3 1761 04568960 1

AELII ARISTIDIS

SMYRNAEI

QVAE SVPERSVNT OMNIA

EDIDIT

BRVNO KEIL

VOLVMEN II

ORATIONES XVII—LIII CONTINENS

BEROLINI
APVD WEIDMANNOS
MDCCCXCVIII

PRAEFATIO.

Libri manuscripti quibus Aelii Aristidis orationes vel omnes vel plures vel singulae comprehenduntur plus ducenti ad memoriam nostram pervenere; quo tanto de numero ne decima quidem pars viris doctis adhuc revera innotuit. praestantissimum igitur cum editoris esset munus accuratiora de natura indole vicibus condicionibus librorum Aristideorum disserere, nobile hoc officium recusare minime volui; sed opere vix incepto cum cognovissem materiam eorum, quae mihi essent describenda illustranda disputanda, ampliorem esse quam quae iustis praefationis cuiusdam finibus coerceretur, peculiari libro constitui de exemplis Aristideis deque arte critica in Aristide factitanda plene et accurate explicare. nunc satis habui de iis referre, quae mihi ad editionem hanc et utendam recte et iudicandam opus esse visa sunt.

Sed priusquam ad ipsos libros Aristideos veniam, pauca praefanda sunt de orationum ordine quem ego in editione secutus sum. recessi enim ab ea orationum dispositione, quae editionibus prioribus ferebatur, restituique ordinem auctoritate librorum sancitum. sed cum orationes aliis in libris aliter digestae reperiantur, explicandum et quorum librorum ordinem probaverim et quae mihi causa fuerit, cur novum ordinem amplexus editionum exemplum spernerem.

Corpus orationum Aristidearum, quod integris libris traditum est, quinquaginta duabus orationibus constat; nam quod frustulum quinquagesimae tertiae *ἐπὶ τῷ ὕδατι τῷ ἐν Περγάμῳ* servatur ultima pagina libri ex Arethae archiepiscopi Caesariensis bibliotheca profecti, id ab ceteris exemplis Aristideis abest. sed ne cui fraudi sit, quod in libris manuscriptis orationes numerantur quinquaginta septem, monendum videtur esse orationem *ὑπὲρ τῆς ῥητορικῆς* libris bipertitam exhiberi, ut sint *ὑπὲρ τῆς ῥητορικῆς λόγος α* et *β*

(vol. II p. 1—103 et 104—155 Ddf.), quinquepertitam ferri orationem *ὑπὲρ τῶν τεττάρων*, cuius hae sint particulae: *Περικλῆς*, *Κίμων*, *Μιλτιάδης*, *Θεμιστοκλῆς*, *Κοινὴ ἀπολογία* (II p. 156—202, 21 — 214, 20—238, 7—295, 19 sqq. Ddf.). omne autem hoc corpus vel scribae vel viri docti in duo volumina digesserunt ita, ut priore volumine orationes Panathenaicam, Platonicas, declamationes, quas *μελέτας* Graeci dicunt, comprehenderent, ceteras in posterius colligerent. atque cum talis sit orationum dispositio et divisio, libri in duas classes discedunt. alterius enim classis priore volumine praeter Panathenaicam (or. I) et Platonicas (or. II. III. IV) continentur declamationes undecim, quae sunt Sicilicae, pro pace, pro foedere, Leuctricae (or. V—XV), cum quae fertur duodecima declamatio, *πρεσβευτικὸς πρὸς Ἀχιλλέα* inscripta, in posterius volumen relegata sit; contra in altera classe *πρεσβευτικός* ille ceteris declamationibus subiunctus est, ut prioris voluminis sedecim hae sint orationes:

I *Παναθηναικός* (or. 13 Ddf.)
II *ὑπὲρ τῆς ῥητορικῆς* (or. 45)
III *ὑπὲρ τῶν τεττάρων* (or. 46)
IV *πρὸς τὸν Καπίτωνα* (or. 47)
V *περὶ τοῦ πέμπειν βοήθειαν τοῖς ἐν Σικελίᾳ* (or. 29)
VI *εἰς τὸ ἐναντίον* (or. 30)
VII *ὑπὲρ τῆς πρὸς Λακεδαιμονίους εἰρήνης* (or. 31)
VIII *ὑπὲρ τῆς πρὸς Ἀθηναίους εἰρήνης* (or. 32)
IX *πρὸς Θηβαίους περὶ τῆς συμμαχίας λόγος α* (or. 38)
X *πρὸς Θηβαίους περὶ τῆς συμμαχίας λόγος β* (or. 39)
XI *ὑπὲρ Λακεδαιμονίων πρῶτος* [*Λευκτρικὸς α*] (or. 33)
XII *ὑπὲρ Θηβαίων πρῶτος* [*Λευκτρικὸς β*] (or. 34)
XIII *ὑπὲρ Λακεδαιμονίων δεύτερος* [*Λευκτρικὸς γ*] (or. 35)
XIV *ὑπερ Θηβαίων δεύτερος* [*Λευκτρικὸς δ*] (or. 36)
XV *ὑπὲρ τοῦ μηδετέροις βοηθεῖν* [*Λευκτρικὸς ε*] (or. 37)
XVI *πρεσβευτικὸς πρὸς Ἀχιλλέα* (or. 52)

patet virum quendam doctum sobrio rectoque consilio usum undecim declamationibus duodecimam hanc adiecisse; eiusdem autem viri prudentem operam in adornando et constituendo volumine posteriore deprehendimus; quod volumen cum in maxima parte librorum Aristideorum rudem esse indigestamque molem dixeris — ita confusa et permixta orationum series est —, in iis libris, quorum prius volumen duodecimam declamationem continet, apte et sollerter est digestum. quae ordinum diversitas quo luculentius

appareret, exemplum subicere e re duxi; quod non frustra factm esse procedente quaestione patebit. perscripsi igitur orationum ordines duos, quorum is, quem in sinistra columna posui, virum illum doctum auctorem habet, quem dextra exhibui, ex vulgaribus istis est, qui plurimis libris feruntur. ne vero credas me ad rem augendam ordinem eum ex his mihi selegisse, qui causae meae optime inserviat, dico hunc eum esse, quem ex vulgaribus maxime ordinis nomine dignum esse iudicaveris. relege iam tabulam.

[*Πολιτικοί*]		XXVIII	*περὶ τοῦ παραφθέγματος* (or. 16[1])
XVII	*Σμυρναϊκὸς πολιτικός* (or. 15 Ddf.)	XXVII	*πανηγυρικὸς ἐν Κυζίκῳ κτέ.* (17)
XVIII	*μονῳδία ἐπὶ Σμύρνῃ* (18)	XXX	*Ἀπελλᾶ γενεθλιακός* (18)
XIX	*ἐπιστολὴ περὶ Σμύρνης κτέ.* (41)	XXXIII	*πρὸς τοὺς αἰτιωμένους κτέ.* (19)
XX	*παλινῳδία ἐπὶ Σμύρνῃ* (20)	XVIII	*μονῳδία ἐπὶ Σμύρνῃ* (20)
XXI	*προσφωνητικὸς Σμυρναϊκός* (21)	XIX	*ἐπιστολὴ περὶ Σμύρνης κτέ.* (21)
XXII	*Ἐλευσίνιος* (19)	XX	*παλινῳδία ἐπὶ Σμύρνῃ* (22)
XXIII	*περὶ ὁμονοίας ταῖς πόλεσιν* (42)	XXI	*προσφωνητικὸς Σμυρναϊκός* (23)
XXIV	*Ῥοδίοις περὶ ὁμονοίας* (44)	XVII	*Σμυρναϊκὸς πολιτικός* (24)
XXV	*Ῥοδιακός* (43)	XXII	*Ἐλευσίνιος* (25)
XXVI	*εἰς Ῥώμην* (14)	XXXIV	*κατὰ τῶν ἐξορχουμένων* (26)
XXVII	*πανηγυρικὸς ἐν Κυζίκῳ κτέ.* (16)	XXIX	*περὶ τοῦ μὴ δεῖν κωμῳδεῖν* (27)
[*Ἰδιωτικοί*]		XXXIX	*εἰς τὸ φρέαρ τὸ ἐν Ἀσκληπιοῦ* (28)
XXVIII	*περὶ τοῦ παραφθέγματος* (49)	XXIII	*περὶ ὁμονοίας ταῖς πόλεσιν* (29)
XXIX	*περὶ τοῦ μὴ δεῖν κωμῳδεῖν* (40)	XVI	*πρεσβευτικὸς πρὸς Ἀχιλλέα* (30)
XXX	*Ἀπελλᾶ γενεθλιακός* (10)		
XXXI	*εἰς Ἐτεωνέα ἐπικήδειος* (11)		

1) numeri sunt eius ordinis quem hac columna exhibui.

XXXII *ἐπὶ Ἀλεξάνδρῳ ἐπιτάφιος* (12)
XXXIII *πρὸς τοὺς αἰτιωμένους κτέ.* (51)
XXXIV *κατὰ τῶν ἐξορχουμένων* (50)
XXXV *εἰς βασιλέα* (9)
XXXVI *Αἰγύπτιος* (48)
Μαντευτοί
XXXVII *Ἀθηνᾶ* (2)
XXXVIII *Ἀσκληπιάδαι* (7)
XXXIX *εἰς τὸ φρέαρ τὸ ἐν Ἀσκληπιοῦ* (18)
XL *Ἡρακλῆς* (5)
XLI *Διόνυσος* (4)
XLII *λαλιὰ εἰς Ἀσκληπιόν* (6)
XLIII *εἰς Δία* (1)
XLIV *εἰς τὸ Αἰγαῖον πέλαγος* (17)
XLV *εἰς τὸν Σάραπιν* (8)
XLVI *Ἰσθμικὸς εἰς Ποσειδῶνα* (3)
Ἱεροὶ λόγοι
XLVII—LII *ἱερῶν λόγων α̅—ς̅* (23—28)

XXXVII *Ἀθηνᾶ* (31)
XXXVIII *Ἀσκληπιάδαι* (32)
XL *Ἡρακλῆς* (33)
XLI *Διόνυσος* (34)
XXVI *εἰς Ῥώμην* (35)
XXXV *εἰς βασιλέα* (36)
XLII *λαλιὰ εἰς Ἀσκληπιόν* (37)
XLIII *εἰς Δία* (38)
XLIV *εἰς τὸ Αἰγαῖον πέλαγος* (39)
XLV *εἰς τὸν Σάραπιν* (40)
XLVI *Ἰσθμικὸς εἰς Ποσειδῶνα* (41)
XXXI *εἰς Ἐτεωνέα ἐπικήδειος* (42)
XXXII *ἐπὶ Ἀλεξάνδρῳ ἐπιτάφιος* (43)
XXIV *Ῥοδίοις περὶ ὁμονοίας* (44)
XXV *Ῥοδιακός* (45)
XXXVI *Αἰγύπτιος* (46)
XLVII—LII *ἱερῶν λόγων α̅—ς̅* (47—52)

indicibus perlustratis facile intellegitur — quare verbis nunc parco — ordinem sinistrae columnae ex ordine dextrae esse commutatum recentioremque altero esse. quod quamvis bene cognovissem, tamen recentiorem hunc ordinem in adornandis orationibus sequi constitui. equidem quasi invitus eo delatus sum; neque enim alia via patebat, si modo ordinem orationum non minus quam ipsas orationes ex libris recensere studebam. nam qui editionibus fertur ordo, eum nullo libro traditum Guilielmus Canterus constituit, cum versionem orationum Aristidearum, artis nostrae et scientiae admirabile opus, conderet; quo exemplo Paulus Stephanus, Jebbius, Dindorfius ita usi sunt, ut pristinum Canteri ordinem et adimendis et addendis orationibus deformarent. quare editionum ordo utique abiciendus erat: ecquem vero ex inordinatis libris capi posse ordinem credis? restabat

quem secutus sum unus. accipis igitur hoc volumine, quod ordine posterius tempore prius prodit, orationes Aristidis omnes praeter sedecim quae secundum ordinem mihi probatum priori volumini reservatae sunt; adieci autem frustulum illud orationis LIII Arethae libro traditum. iam de his triginta septem orationibus mihi dicendum est explicandumque, quibus libris usus sim quamque rationem et in recensendis verbis et in emendandis sim secutus.

Libros igitur manuscriptos aut nunc primum excussos aut post Dindorfium denuo collatos adhibui hos:

A = Arethae archiepiscopi Caesariensis liber (cf. E. Maass, Mélang. Graux p. 758) in duas partes iam saec. XII divisus, quarum prior Parisini graec. 2951 foliis 1^r—250^v comprehenditur, posterior est Laurentianus pl. LX cod. 3. atque Parisino continentur orationes undecim[1]) I III II IV V—XI (cf. Omont, Invent. sommaire des manuscr. grecs de la Bibl. Nationale III p. 60), Laurentiano (*Γ* Dindorfii), qui est foliorum 189, triginta et una ordine hoc: XII—XV, XLVII—LII, XXXIV, XVIII XXII XIX XX, XXIV XXIII XXXIII XXVIII, XVII XXI, XXXVI, XXIX, XXVII XXX, XXXVII XXXVIII XLI XL XXXIX, LIII (cf. Bandini, Catalog. bibl. Laur. II p. 584 sqq.). librum scriptum esse a Iohanne Calligrapho, qui celeberrimum Platonis librum Clarkianum (Bodleianum) exaravit, Vitellio a. 1885 probavi; cf. nunc ectypa Palaeogr. Society I 81 et Vitelli-Paoli, Collezione Fiorentina fasc. IV, 1 tab. XL. aetas libri satis accurate definiri potest. nam ad verba or. XXVIII § 149 (p. 189, 13) *ἔφη γὰρ φοβερώτερον εἶναι ἐλάφων στράτευμα λέοντος ἡγουμένου ἢ λεόντων ἐλάφου* vetus scholion adpictum est: *τοῦτο πραγματικῶς νῦν ὁρᾶται ἐπὶ Συμεῶνι τῷ Βουλγάρῳ καὶ τῷ κακοδαιμόνως Ῥωμαίων προεστῶτι.* iam Symeon intra a. 893 et 927 regnavit; atqui liber noster Arethae non diacono Patrensi, sed archiepiscopo Caesariensi scriptus est; scholio enim veteri ad Panathen. I p. 210, 7 Ddf. *ἀφανὴς*
ϑ χ π
spectanti[2]) adposita est nota *αρε αρε*/; Aretham autem constat

1) numeri sunt ordinis, quem ego in editione secutus sum.

2) scholion est: *πολλοῖς δ᾽ ἀφανὴς ἦν· ἐπειδὴ εἶπε ὅτι πᾶσαν τὴν οἰκουμένην εἶχε στρατόπεδον, ἀναγκαίως τὸ πλῆθος τὸ ἑπόμενον ἠγνόει.* (hinc Arethas incipit:) *ποῦ ἄρ᾽ ὁ προηγούμενος ἐτύγχανεν τοῦ στρατεύματος; ἢ πρὸς τὸ ἔθνος τὸ ἑπομένον τοῦτο ἐξακουστέον καὶ οὐχὶ ʽἀφανὴς᾽ γραπτέον,*

non ante initium saec. X archiepiscopum factum esse; ergo ad tempus quod annis 900 et 927 circumscriptum est redacti sumus. atque incursus Symeonis, qui periculosissimi imperio Byzantino fuerunt, inde ab a. 913 fiebant: decertatum est d. XX m. Augusti a. p. Chr. n. 917, qua pugna Byzantini duce Leone Phoca plane devicti et superati sunt. hanc pugnam scholio significari inde patet, quod acumen et lepor scholii ad v. *φοβερώτερον — λεόντων ἐλάφου* adscripti nititur in ipso Leonis ducis Byzantinorum nomine, qui dux *ἔλαφος* effecerit, ut *λεόντων* (Byzantinorum) exercitus periret. ergo intra a. 918 et 927 querela illa margini adpicta est, neque dubito, quin sub idem tempus Iohannes librum ipsum exaraverit. praeter Iohannis Calligraphi manum sex manus ab illius manu diversae dignoscuntur, quarum et inter verba et in margine correctiones coniecturae scholia leguntur. corrector sive revisor omnium vetustissimus Iohannique aequalis fuit; eleganti ista uncialium litterarum scriptura usus est, quae omnium librorum archiepiscopi Caesariensis singulare decus est et peculiare; quem scribam ipsum Aretham fuisse non sine aliqua veri specie perhibent. ceterarum quinque manuum auctores recentiores sunt diversisque temporibus correctorum munere fungebantur. revisoris autem correctiones fere omnes ex vetustissimo quodam libro, qui periit, depromptas esse in propatulo est; quare religiose eas excutiendas esse duxi notavique signo A^r. contra ceterorum correctorum lectiones vel notae plerumque consentiunt cum lectionibus, quae eaedem in parte librorum recentiorum nostrorum inveniuntur; quare cum pretii aut nullius aut exigui sint, non interest scire cui quaeque manui debeatur, recteque me fecisse confido, quod quinque illas recentiores manus omnes una nota A^2 insignivi. progrediente autem disputatione pauca dicenda erunt de auctoritate lectionum et revisoris et eius scribae, qui inter recentiores aetate tertius atramento pallido vel cineraceo usus est. nunc addam scribae A^r operam iis quae dixi minime contineri; idem enim

ἀλλ' ‛ἀφανὲς', ἵν' ᾖ οὕτως· ‛πολλοῖς δ' ὢν ἦγεν ἦν ἀφανὲς οὗ γῆς εἴη', τὸ πλῆθος δηλονότι. τῷ γὰρ πολὺν τόπον ἐπέχειν τὸ στρατόπεδον κτἑ., quae apud Frommel p. 356 (ubi *ἀντὶ τοῦ οὐχ οὕτω* et *ἔθνος δὲ οὐ νῦν τὸ πλῆθος* ex A legendum); initium scholii p. 147, 29 sqq. Ddf.; in A inter verba legitur *ἀφανὴσ* (ε s. l.), in quibus et *ὴ* in ras. et *ε* s. l. dedit A^r.

adiectis paragraphis et aliis signis exaratisque litteris quas a linea dicimus verba scriptoris distinxit, orationibus inscriptiones praefixit, subscriptiones subiecit; denique scholiorum magnam partem idem in Parisino, in Laurentiano omnia fere scripsit, de quibus alio loco dicendum est. denique de libri condicione haec addenda: non solum medius violatus excisis quattuor foliis post fol. 72 (cf. p. XII), sed etiam in fine mutilus est; desinit enim scriptura A^1 in infima pagina fol. 189^v in vv. *τῶν ἐπι* || (p. 469, 9), quae in margine inferiore excipiuntur supplemento transscripto e pagina 190^r quae olim fuit; qui transscripsit scriba, eius ceteroquin nullum in libro vestigium. finitur supplementum v. *ἐξαισίων* (p. 469, 20), qua eadem in voce olim libri integri scriptura terminabatur; plura enim nullo tempore in fol. 190^r fuisse duo libri testantur, qui ex A derivati sunt, priusquam fol. 190 excisum est; imperfectum igitur Iohannes Calligraphus librum reliquit. apographa autem quae dixi haec sunt:

apogr. *A* = Vaticanus graec. 1899; est chartaceus formae quadratae constans foliis 423 singulis paginis binas columnas complectentibus; bibliopegae opera nunc in duo volumina (I: fol. 1—190; II: 191—423) divisus est. scriptus est a Theodora filia sororis Michaelis VIII imperatoris non ita multo ante a. 1282 (cf. Herm. XXV p. 315). continet orationes omnes quas A eodemque ordine dispositas cum scholiis; in fine adiecta sunt in fol. $419^r a$ frustulum or. XII (des. *κατειληφὼς* I p. 642, 12 Ddf.), fol. $420^v a$ or. XLIV, fol. $422^r a$ frustulum or. XXV (des. *ἀνδράσιν* p. 77, 20). liber non ex ipso A descriptus.

apogr. *a* = Vaticanus graec. 75, membranaceus, formae quadratae maioris, foliorum 427; scriptus est saeculo XIII a scriba antiquioris litteraturae speciem imitante. continet orationes omnes quas A eodemque ex ordine dispositas sine scholiis. ex hoc libro A. Maius fragmentum or. LIII edidit in Scriptt. vett. nova collect. I 3 p. 41 [1825], quod repetivit Class. auct. e Vat. codd. edit. IV p. 521 [1831]. libri origo ex eodem exemplo quo *A* repetenda videtur neque ex ipso A descriptus est.

apographa non nisi in recensendis extremis illis or. LIII versibus adhibui, qui in A recentissima sola manu servati sunt. liber A post alios habuit possessorem Iohannem Nicolaum capelanum civem Patmiensem, qui saec. XV videtur vixisse,

quanquam fortasse dubitare licet solane prior libri pars an liber integer Iohannis Nicolai fuerit; nam bipertitum librum iam initio saec. XII fuisse inde certo colligitur, quod Bodleianae Canonic. gr. 84, liber saeculi XII, cuius magna pars ex A derivata est (cf. p. XI), ab or. XII incipit, quae prima est in Laurentiana libri A parte; cf. p. XII.

R = Vaticanus graec. 1298; est saec. XI ineuntis, foliorum 354 formae quadratae, quorum 3. 5. 6. 8—88. 95—104. 186—189. 196—283. 314—328 membranacea antiqua sunt, cetera saec. XV suppleta partim chartacea, partim membranacea eaque rescripta; insunt or. I—IV cum scholiis (cf. E. Maass. l. c.) et argumentis, XVIII XXII XIX XX XVII XXI XXIX XXVII XXX, XXXIII XXXIV, XI XII, recentiore manu scriptae XIII XIV V—VIII, deinde prima manu IX X (des. *μάλιστα* I p. 747, 25 Ddf.), iterum recentiore manu XXVIII XXVI. primariam scripturam duae recentiores correxerunt, quae diversae aetatis sunt; correctionum exempla habuerunt libros vulgares, ut tibi nec recensenti verba neque emendanti prosint; una nota R^2 ambas significavi. item una nota in significanda primaria scriptura contentus fui, quanquam satis facile inde a fol. 236ʳ novus quidam scriba deprehenditur, priori aequalis, qui ut paullo diversis litterarum formis ita uno eodemque exemplo atque ille usus est; at libris studemus, operarios non curamus. de fatis libri R, qui duobus nunc voluminibus (I: fol. 1—182, II: fol. 183—354) comprehenditur, cf. Nolhac, la bibliothèque de Fulvio Orsini p. 171. 411. 416.

C = Laurentianus pl. LIX cod. 15 est membranaceus saec. X exeuntis; constat fol. 205 formae minoris; continet praeter scripta quaedam Dionysii Halicarnassensis Philostrati Callistrati (cf. Bandinii Catalog. II p. 527) inde a fol. 189ʳ Aristidis orationes XXXV XLII—XLV, quae mutila desinit in *ἀπειρία* (p. 356, 5). liber ex exemplo vetustissimo fluxit, optimo illo quidem, sed vitiosissime scripto, id quod testatur auctor verborum adnotationis quam ad p. 258, 22 exscripsi; quae verba scribam Laurentiani ex suo exemplo transscripsisse inde apparet quod mendosa sunt: ergo inter Laurentianum et vetustum eius exemplum aut plures aut unus liber intercedebant. quae correctiones inveniuntur, pleraeque primae manus sunt; paucae illae, quae secundae nescio cui debentur, auctoritate prorsus carent.

Q = Vaticanus graec. 1297; est membranaceus saec. XII ineuntis; constat foliis 413 formae maximae; continet foliis 34ʳ—383ᵛ et

385r—408r orationes prima manu scriptas I—XV (cum scholiis et argumentis) XXI XXVIII; recentioris manus est quae mutila in fol. 384rv legitur or. XVI (des. ἀξιοῦν αἰδεῖσθαι II p. 589, 21 Ddf.); Aristidi praefixa est Theodori Metochitae laudat. Gregor. Naz. (mutila) et Platonis Gorgias, subiectae sunt Polemonis declamationes duae (F apud Hinckh p. IV). permulta in or. XXI et XXVIII non solum secunda manus, quam revisoris esse dixerim, sed etiam prima correxit; adhibuit autem corrector eum librum, cuius lectiones neglegere non par est. ceterum cf. Nolhac l. c. p. 190, 1 et E. Maass l. c.

S = Urbinas graec. 122 (cf. Stornajolo, Catalog. codd. Urb. p. 205); est membranaceus saec. X exeuntis vel XI ineuntis; constat foliis 301 formae fere quadratae; continet orationes triginta quattuor hoc ordine: XXVI XXXV XLII—XLVI, XXXI XXXII, XXV XXIV, XXXVII XXXVIII XLI XL, XLVII—LII, XXVIII XXXVI, V—XV. scholia leguntur ad or. XXVI—XXXVI eadem fere quae A^r dedit. liber ex exemplo aut male conservato aut lectu difficili originem duxit, quod accurate et religiose ita scriba secutus est, ut, si quae verba legere non potuit, spatium vacuum relinqueret. cuius rei in orationibus alterius Aristidearum voluminis exempla extant sex: p. 78, 9; 82, 20; 164, 10; 214, 24; 298, 29; 349, 22. correxerunt duae manus recentiores, quarum alteram ad saec. XII fere referre non dubitarim, alteram docti Itali aetatis litterarum renascentium esse ex scholiis latinis margini adiectis constat. neutrius vero correctiones ad recensenda verba utiles sunt; ad emendanda attulit pauca manus recentissima, quae plerumque verba ad exemplum quoddam libris DT simillimum correxit. una nota S^2 has quoque significavi paucis exceptis locis, ubi ita eas distinxi, ut antiquioris correctoris manum S^2, recentioris S m. recentiss. dicerem.

B = Bodleianus Canonicianus graec. 84 (cf. Coxe III p. 81); est membranaceus saec. XII, constat foliis 327 formae fere quadratae; continet orationes triginta octo hoc ex ordine: XII—XV XVIII XXII XIX XX XXIV XXVII XXX XXXIX XXXIV XXXIII XVI XVII XXIX XXIII XXXVII XXVIII XXVI XXXVIII XLI XL XLII—XLVI XXXI XXXII XLVII —LII XXXVI. quarum orationum pleraeque quas easdem A continet, ut non ex ipso A descriptae ita ex tertio quodam libro, qui inter A et B intercedebat, oriundae sunt; quod certissimis

indiciis probatur, quorum hoc praeter cetera mentione dignum: quam lacunam foliis quattuor excisis nunc in A inter verba *φιλοτιμήσοιτο ἀπὸ* (p. 458, 30) et *-νάῳ γενόμενοσ* (p. 465, 25) hiare dixi (p. IX), ea in B quoque deprehenditur; tantum autem abest, ut scriba B vel eius auctor spatio libero relicto omissorum foliorum damnum indicaverit, ut foedissima stultissimaque interpolatione usus continua scriptura *φιλοτιμήσοιτο ἀπὸ νάου* (sic) *γενόμενοσ* exaraverit, quae sensu plane carent. librum non adhibui nisi in recensendis eis verbis, quae in or. XXVI ab S libro duobus foliis post fol. 3 excisis nunc absunt (p. 96, 27—100, 5); praeterea selectas quasdam libri lectiones ad or. XXXI XXXII XLIII, paucas ad or. XLVI notavi. libri egregie scripti et servati parva utilitas est.

E = Parisinus graec. 2950; est membranaceus, quem saec. XI exeunte (non X, quod iudicavit Omontius l. c. p. 68) scriptum esse scholiis quae in libro leguntur adscitis demonstrari potest; constat foliis 205 formae quadratae iisque valde disturbatis; quas prioris voluminis Aristidei vel integras vel mutilas orationes contineat, nunc longum est explicare, neque Omontius l. c. omnia recte indicavit; ex alterius voluminis unam or. XXIII tradit foliis 194, 195, 196—202, 205 eamque mutilam (des. fol. 205^{v} *σχῆμα καί*, p. 53, 6).

D = Laurentianus pl. LX cod. 7 (Δ Dindorfii); est membranaceus saec. XII; constat foliis 199 formae mediae; continet ex corporis Aristidei volumine altero orationes triginta quattuor eo ordine, quem dextra columna p. V. VI perscripsi, omissis orationibus prima (XXVIII) media (XLI) ultima (LII) (cf. Bandinii Catalog. II p. 592 sq.). quae manus secunda, D^{2}, correxit, ea partim e libro recentiore hausta partim coniectura inventa nihili fere sunt.

F = Angelicanus III C 11; est saec. XIII, ut videtur, chartaceus eius generis quod bombycinum dicunt, non bene conservatus, ut solent huius notae libri; constat foliis 318 formae mediae; continet fol. 3^{r}—212^{v} alterum corporis Aristidei volumen praeter primam orationem (XXVIII), ut triginta sex orationes exhibeat. Aristidem excipiunt Aeschinis orationes et epistolae (cf. Stud. ital. di fil. cl. IV p. 92 n. 44). librum adhibui in recensendis or. XLI et fragmento or. LII in D omissis, in quibus uno loco (p. 332, 15) scriba recentior mendum apertum sustulit; ab

eodem ceteris in orationibus plures correctiones profectae et in margine scholia recentiora.

U = Urbinas graec. 123 (cf. Stornajolo l. c. p. 207); est membranaceus saec. XIV ineuntis; constat foliis 403 formae mediae; continet foliis 7r—393v totum corpus Aristideum, orationes quinquaginta duas, easque in priore volumine eodem ordine dispositas quo A, in posteriore eo ordine quo DF. scholia non habet. Aristidi et praemissae et subiunctae sunt orationes aliquot Dioneae (cf. Dion. ed. Arnim I p. XIII). de fatis libri in fol. 403v haec: *τοῦτο τὸ βιβλίον μετὰ πολλοὺς δεσπότας ἐμὸν κτῆμα γέγονε Δημητρίου τοῦ Κυδώνου δούλου Ἰησοῦ Χριστοῦ. — καὶ ἐμὸν πολυπόθητον κτῆμα γέγονεν Ἰωάννου τοῦ Παναρέτου δούλου Ἰησοῦ Χριστοῦ.* ergo e rhetorum Byzantinorum museo liber provenit neque originem dissimulat. plurimae enim correctiones et variae lectiones ex aliis libris repetitae plurimaeque coniecturae et inter lineas et in margine scriptae sunt; ipsa quoque verba sine dubio compluriens coniectura constituta. correctiones autem et variae lectiones partim primae manui debentur partim agmini, ut ita dicam, manuum recentiorum, quas omnes ut aequales inter se ita paene aequales manui primae sunt; neque quemquam facile fugiet nullam ex recentioribus illis ceteras virtute aut auctoritate lectionum superare; quare omnes una nota U^2 complexus sum, praesertim cum permultis locis ne discerni quidem possit, utrum lectionem libris traditam corrector propagaverit an coniecturam receperit. adnotavi autem libri U scripturam ad omnes orationes exceptis 'sacris sermonibus'; quamvis enim recens ille sit, tamen egregiam opem nobis verba recensentibus tulit, quippe qui plus septuaginta locis iudicandus nobis esset unus omnium aut genuinas lectiones servasse aut veras praebere. contra in 'sacris sermonibus' librum abieci, postquam excussis duobus primis nihil illum continere cognovi, quod adnotatione dignum esset, nedum operam nostram iuvaret.

T = Laurentianus pl. LX cod. 8 (*Θ* Dindorfii); est membranaceus saec. XI; constat foliis 303 formae maximae; continet totum corpus Aristideum, orationes quinquaginta unam, neglecto fragmento or. LII, cuius tamen inscriptionem (NZ *ἱερῶν λόγων ἕκτοσ*) praebet (cf. Bandinii Catalog. II p. 594 sq.). orationes eo ordine dispositae sunt, quem nos in hac editione secuti sumus (cf. p. IV sqq.). scholia ad or. I II III extant eaque certo

consilio et ratione contracta et decurtata. orationes unus scriba exaravit, correxit idem qui scholia scripsit; quem ipsum scribam fuisse ut demonstrari posse diffido, ita iure posse negari non credo. notavi correctorem T². paucissima manus quaedam recentissimae in verbis mutaverunt; quae sicubi adeo pristinam scripturam deleverunt, ut quae fuerit incertum sit, refugiendum est ad Malatestian. plut. XXVII cod. 3 [1]), qui ex T descriptus est, priusquam correctores isti in egregium librum saevirent.

Hi sunt libri quorum ad fidem oratoris verba recensui; data vero occasione et opportunitate alios quoque libros in auxilium vocavi eorumque lectiones suis locis adnotationi meae inserui, sive quod ad emendanda verba ex iis aliquid fructus percipitur, sive quod ad illustrandam vel explicandam scripturae discrepantiam utiles mihi videbantur esse. quibus de libris haec refero:

Ambrosianus A 175 sup.; est saec. XIV ineuntis chartaceus notae bombycinae constans foliis 358; continet orationes LII ex ordine libri T, cui maxime cognatus est, ut eum in or. LII in locum libri T, qui orationem omittat, cedere iusserim.

Burbonicus E II 20; est saec. XIV chartaceus; constat foliis 311; continet orationes viginti quattuor: I III II IV—X, XXVIII, XVIII XXII XIX XX XXIV, XXVII XXX XXXIX XXXIV XXXIII, XVI (mutilam, des. *καὶ τῶν ἀπὸ τού* ‖ II p. 588, 21 Ddf.), XVI (integram) XXV (mutilam, des. *θεάματα ἑαυτῷ* p. 80, 10).

Laurentiani pl. LX codd. 24. 20, quae duo volumina unius libri Aristidei sunt, chartacea saec. XV; in altero folia 288 in altero 273 scriptura complentur; insunt orationes LII ex ordine libri T; cf. Bandinii Catalog. III p. 612. 610; subscriptio (cod. 20 fol. 219ʳ) *εἴληφε τέλος ἡ παροῦσα βίβλος μηνὶ Αὐγούστῳ κέ ἔτει ,ςϡδ' ἰν(δικτιῶνος) δ'* i. e. a. 1396 ex exemplo descripta. fluxit liber ex eodem exemplo quo Ambros. A 175 sup.

Laurentianus olim Abbatiae 9 (conventi soppressi); est chartaceus XIV vel XV saec. foliorum 363; continet orationes undequadraginta, de quorum ordine cf. Studi ital. di filol. cl. I 135 sq., praeterea infra p. XXXII et Wochenschr. f. klass. Philol. 1889, 1368.

1) est chartaceus notae bombycinae saec. XIV vel XV foliorum 364 formae maximae. continet orationes quinquaginta duas; or. LII quae desideratur in T ex alio libro suppleta; cf. Zazzeri, sui codici... della bibl. Malatest. p. 230.

Marcianus Venetus graec. 428; est saec. XV chartaceus; constat foliis 194; continet orationes triginta duas: XVIII XXII XIX XX XXIV XXVII XXX XXXIX XXXIV XXXIII XVI (cui subiuncta Libanii ἀντιλογία) XXVI (cf. p. XXXI) XLII—XLVI XXXI XXXII XXV XXXVII XXXVIII XLI XL XLVII—LI XXVIII XXXVI XXIII. fuit Bessarionis cardinalis.

Parisinus graec. 3005; est saeculi XIV vel XV, chartaceus foliorum 90; continet orationes undeviginti: XI—XV, XXV XXIV XXXIII XXIX XXI XVII XXVII XXVIII XXXVII XXXVIII XXVI XLIV XLII XXXVIII XXXIX; cf. Omont, l. c. p. 87.

Upsaliensis graec. 28. 28[a]; est saec. XV chartaceus in duo volumina digestum; continet Libanii scripta, quibus praemissae Aristidis or. XVI et XXXIV (cf. p. XXXIV); fuit Claudii Rolambii; cf. R. Foerster, de Libanii manuscr. Upsaliensibus (Rostochii 1877) p. 7

Vaticanus graec. 1299; est saec. XIV ineuntis membranaceus, constans foliis 264; continet orationes voluminis alterius triginta sex easque ex ordine librorum DF omissa or. XL.

his addendi sunt libri ei, quorum quas memoravi lectiones aut ab editione Dindorfiana aut a schedis Reiskianis ineditis mutuatus sum.

Monacensis graec. 432 (olim Augustanus); est chartaceus saec. XV foliorum 283; continet orationes viginti septem I IV III II V—XV XXXIII XVII XXI XLII XXVI XLIII—XLVI XXXII XXV XXXVII (des. fol. 243^v, secuntur Demosthenica; cf. Hardt, Catalog. IV p. 344); librum foedissime interpolatum Reiskius excusserat, cuius collationes in schedis Hauniensibus (cf. p. XXXVI) extant. — Dindorfii E (apud Reiskium in schedis A vel A[1]).

Baroccianus (Bodleianae) graec. 116, chartaceus foliorum 226; inest una or. XXXV (fol. 1^r—7^v) saec. XV scripta; cf. Coxii Catalog. IV p. 191. — Dindorfii K.

Baroccianus (Bodleianae) graec. 136; est chartaceus foliorum 246; scriptus, ut mihi videbatur, saec. XIV exeunte; Dindorfio est saeculo antiquior, Coxio (Catal. p. 237) saec. XV ineuntis; continet orationes quattuor prioris voluminis (or. I—IV) viginti posterioris: XXVII XXVI XLII XLIII XXV XXXVII XXXII XLIV—XLVI XXXI XXX XXXIII XVIII—XXII

XVII XXXIV; libri origo prope a libro S aberat. — Dindorfii L.

Oxoniensis Collegii Novi 259; chartaceus saec. XIV exeuntis foliorum 254 (cf. Coxe, Catalog. Colleg. Ox. I Coll. Nov. p. 92); continet orationes sex I III II XVIII XIX XX; folia 2—111 (desinit fol. 111v τοὺς πολλοὺς, sic, II p. 54, 20 Ddf.) una eademque manu scripta sunt; fol. 1 et 112—254 supplevit recentior manus, de qua in subscriptione: *Ἀντώνιος Δαμιλᾶς καὶ τοῦτο ἀνεπλήρωσε τὸ βιβλίον,* quae non ipse Damilas scripsit. quae secus de libro Dindorfius ad II p. 54 tradit non probo. — Dindorfii N.

Enumeratis libris et descriptis sequitur ut explicemus, qua ratione et arte usi eos ad reciperandam et redintegrandam veram orationum Aristidearum memoriam adhibuerimus. qua in quaestione eos solos par est respici libros, quos secutus verba recensui, neglegi quos secundarios produxi. atque quaerentibus nobis, quae communis inter primarios illos ratio intercedat, hoc facile occurrit, quod statim agnoscatur, omnes unius eiusdemque originis esse; in omnibus enim aeque mutilata or. LII (*ἱερῶν λόγων ϛ̄*) in omnibusque eaedem quae multae sunt lacunae, eadem menda, eaedem interpolationes. ulterius vero progressi si anquiramus quae singulorum sit librorum cognatio et necessitudo, plurimis iisque gravissimis difficultatibus implicamur. nam quae inquirendi ratio et via certissima solet esse, ea nos fere deficit in perscrutandis libris Aristideis: recognitis enim discrepantiis scripturae et inter se collatis certae librorum illorum familiae distincteque circumscriptae constitui non possunt: ea est lectionum mixtio; quam in parte usque ad antiquitatis labentis tempora redire certissimum est. etenim cum oratoris celeberrimi scripta non solum a magistris Byzantinis sed etiam a rhetoribus antiquae disciplinae ad legendum et interpretandum discipulis proponerentur, factum est, ut pridem libri Aristidei inter se conferrentur, lectiones variae ex alio exemplo alii adscriberentur, interpretationes et adnotationes adiungerentur, unde scribis recentioribus contaminandae et miscendae scripturae ansa oblata. quam rem cum summi momenti esse pateat ad recte iudicandam variarum lectionum farraginem, quam adnotatione critica comprehendi, singularem hanc librorum Aristideorum condicionem illustrare exemplis allatis necesse esse iudicavi. atque tres locos selegi, quorum primus in volumine nostro legitur, alter in priore extat, tertius eius est decla-

mationis, quae modo priori modo posteriori volumini inserta est (or. XVI). sunt autem librorum lectiones hae.

Ex or. XVIII § 5 p. 10, 2:

ἐκφανὴσ: Canon. gr. 84; Bodlei. misc. 189. 190 (in quo -νὴσ ex -νεὶσ corr. pr. m.) — Paris. gr. 2953. 3012. — Laur. LX 3 (unde Vat. gr. 75. 1899). — Ambros. G 66 sup. — Burbon. 153. 155. — Vat. gr. 82. 199. 224. 900. 1298. — Marcian. gr. 419. 427. app. VIII 7. — Scorial. Σ III 16

add. γρ. ἐκφανείση: Vat. gr. 932 pr. m. in mg.; Vat. gr. 933 revis. s. l. — Marcian. gr. 428 pr. m. s. l.

ἀφανὴσ Cantabr. Coll. Trinit. R 9, 18

ἐκφανεῖ: Paris. gr. 2993. 3006 A. — Laur. LX 7. — Vat. gr. 15. 928. 931. 1299. — Marcian. gr. 424

add.: γρ. ἐκφανὴσ Urb. gr. 123 mg. pr. m. — ἢ ἐκφανὴσ Vat. gr. 79 m. tert. s. l.

ἐκφανεῖ: in ras. paulo ampliore corr. Scorial. R I 20 m. rec.[1]) in ἐκφανεῖσι corr. Angel. III C 11 pr. m.

ἐκφανείση: Vat. gr. 77. Vat.-Pal. gr. 29. 90

˜ ϊ
ἐκφανεῖση Laur. LX 8, corr. et mg. add. γρ. ἐκφανὴσ m. sec. (inde ἐκφανείση Malatest. XXVII 3 add. mg. γρ. ἐκφανὴσ pr. m.). — Ambros. A 175 sup., corr. pr. m., ut vid., in mg. add. γρ. ἐκφανὴσ m. rec. — Vat. gr. 74, corr. (εῖ et ι s. l.)
εῖ ϊ
et mg. add. γρ. ἐκφανὴσ pr. m. — ἐκφανείση: Paris. gr. 2952, corr. pr. m.[2]) — Ambros. H 52 sup., corr. pr. m.

ἐκφανήση in ἐκφανὴσ corr. Matrit. N 79 pr. m. (?) lineola per η extremum ducta additoque in mg. ἐκφανὴσ

ἐκφανήσει Paris. gr. 3007

ἐκφανίσει Paris. gr. 2996

ἐκφανεῖσι: Oxon. Nov. Coll. 259. — Ambros. B 69 sup. D 42 sup. — Vat.-Pal. gr. 148. 277

ἐκφανῆσι Baroc. 136

ἐκφανεῖ σοι in ἐκφανεῖσι corr. Paris. 2562 rubricator, quanquam σοι parum sublucet.

---

1) incertum quid fuerit; e rasurae ambitu et forma ἐκφανείση (vel -εῖσι) fuisse conieci.

2) in libro sic: ἐκφανείση εῖ ϊ

Ex oratione ὑπὲρ τῶν τεττάρων inscripta II p. 414, 11 Ddf.:

γιγνομένησ: Cantabr. Coll. Trinit. O 4, 3. — Bodlei. misc. 189 (add. s. l. interpretatione πρεπούσησ). — Paris. gr. 3006. — Laur. LX 6. 9. — Barberin. I 165. — Vat. gr. 77. 79. 929. 931. Urbin. gr. 123. Vat.-Pal. gr. 29. 145. — Vindob. phil. 113

γιγνομένησ Vat. gr. 934 e corr. m. rec.; pr. m. incerta

γινομένησ: Monac. gr. 249. 433. 515. — Bodlei. misc. 190. — Oxon. Nov. Coll. 259. — Paris. gr. 2949. 2952. 3006 A. 3007. — Laur. LX 8 (inde Malatest. XXVII 3). 12. Abbat. 9. 185. — Ambros. A 175 sup. B 69 sup. F 127 sup. — Vat. gr. 73. 930. 933. 1298. Reginens. 120. — Marcian. gr. 424. 425. — Upsal. Björnst. 14

add. mg. γρ. τιμωμένησ αἰδοῦσ: Baroc. 136 pr. m. — Matrit. O 73 pr. m.

τινομένησ: Paris. gr. 2948. 2950. — Vat. gr. 935. — Marcian. app. VIII 7

γι
τινομένησ Ambros. G 66 sup. pr. m.

in γινομένησ corr.: Paris. gr. 2953 m. sec. (radendo).[1]) — Ambros. G 60 sup. m. rec. — Burbon. 155 pr. m. (hinc γινομένησ Mus. Britan. add. 10061). — Vat. gr. 74 m. rec.

τεινομένησ Paris. 2951 (hinc τεινομένησ Vat. gr. 75), mg. add. m. rec. γρ. μὴ τῆσ τιμωμένησ αἰδοῦσ

τιμωμένησ Vat. gr. 76. 1899. — Vindob. phil. 96

νομιζομένησ: Vat. gr. 928, add. s. l. γινομένησ pr. m. 1297, add. s. l. γινο pr. m.; Vat.-Pal. gr. 90 add. s. l. γρ. γιγνομένησ m. rec.

ὀφειλομένησ Marcian. gr. 426

Ex oratione πρεσβευτικὸς πρὸς Ἀχιλλέα inscripta II p. 588, 12 sq. Ddf.:

ἀγαμέμνονα διεχειρίσω ὡσ οὐ δεῖν: Canon. gr. 84. — Paris. gr. 2952. 2953. 2961. 3007. Coislin. 180. — Laur. LX 8 (inde Malatest. XXVII 3). LXXXV 9. — Ambros. A 175 sup. H 52 sup. Z 135 sup. — Barberin. II 41. — Vat. gr. 74. 932. 933. Reginens. 120. Vat.-Pal. gr. 275. — Marcian. gr. 424 (ubi δέον pro δεῖν). 428. app. VIII 7. — Scorial. Σ I 14

add. mg. ὤου δεῖν τεθνάναι Hauniens. 1901 pr. m.

---

1) eadem s. l. add. schol. ἁρμοζούσησ.

add. mg. οὐδ' ὤου δεῖν Bodlei. Laud. 16 pr. m.

ἀγαμέμνονα οὐ δεῖν Burbon. 155a [1])

ἀγαμέμνονα ὢσ οὐδ' ὤου δεῖν Ambros. P 116 sup.

ἀγαμέμνονα ῴ(ι)ου δεῖν: Paris. gr. 3006 A. — Laur. LVII 21. LX 7. — Burbon. 155b (inde Mus. Britan. add. 10061). — Vindob. phil. 326. — Upsal. Björnst. 14. — Matrit. N 86. N 98

add. διεχειρίσω οὐδ' s. l.: Angel. III C 11 pr. m. — Burbon. 154, διεχ. add. pr. m., οὐδ' m. tert.

ἀγαμέμνονα διεχειρίσω οὐδ' ῴ(ι)ου δεῖν: Paris. gr. 936 (qui errore ἔνου pro ὤου). — Vat. gr. 67. 84 (qui διεχειρήσω). 224. 928. 930. 931. [1297][2]). 1299. 1899. Urb. gr. 123 (διεχειρήσω pr. m., corr. m. sec.). Vat.-Pal. gr. 278. — Marcian. gr. 422. 440 (qui ἐχειρίσω). — Upsal. Rolamb. 28 (errore ἀγαμέμονα). — Scorial. R I 20

ἀγαμέμνονα διεχειρίσω οὔκουν ὤου δεῖν Vat. gr. 2250

Exempla ita disposui, ut maxima lectionum mixtio in primo appareat, minima in tertio, in quo tres classes librorum facile distinguuntur. quid? quod ea est tertii exempli condicio, ut forsitan quaeras, rectene illud ego ante dixerim certum de familiis librorum Aristideorum constituendis iudicium e scripturae discrepantiis fieri non posse. sed lente cauteque procedamus. equidem concedo e lectionum varietate de singularum orationum scriptura et condicione recte iudicari, nego de integris libris, nisi forte omnes orationes librorum omnium excussas habes. quod enim in amplis libris Platonicis Demosthenicis Aristotelicis Plutarcheis persaepe fieri constat, ut aliae sint origines et virtutes aliarum librorum partium, idem in libris Aristideis accidit; quorum haud pauci quamvis integram et simplicem speciem prae se ferant, tamen e compluribus partibus et origine et natura maxime inter se diversis compositi sunt; quod quomodo factum sit, in propatulo esse iudico, nec, si non sit, nunc attinet explicare. at dicere audeo operae pretium eum facturum non esse, qui in grandibus illis voluminibus excutiendis tempus consumere constituerit. nam ne hac quidem via progresso ei omnis dubitatio exempta erit, neque omnino opus est operam perdere. patet alia via eaque plana et certa: ex ordine enim orationum classes vel genera librorum distinguenda sunt; qua ratione quam prospere et feliciter uti liceat, exemplo supra (p. IV sqq.) proposito adumbravimus. iam vero hac progressi via postquam librorum classes discrevimus, conferendae

1) oratio bis scripta in libro; priorem 155a, posteriorem a scriba recentiore additam (fol. 307r—309v) 155b significavi.

2) cf. p. XI.

nobis sunt scripturae discrepantiae videndumque consentiantne inter se priores illae classes ex ordine orationum constitutae et classes eae, quae secundum lectionum discrepantias distinguendae videntur esse, an dissentiant. dissentiunt: denuo quaerendum; nimirum peccatum nobis aliquid erit. consentiunt: verum tenemus. iam quid hac ratione instituta in quaestione nostra profecerim ita exponam, ut missis rebus singulis et minutis summam paucis complectar. est autem quaestio de necessitudine quae inter posterioris voluminis Aristidei libros intercedit; de prioris libris nunc non quaeritur.

Librorum Aristideorum quos descripsi duo genera discernuntur, quorum alterum libros A et R, alterum ceteros libros eosque ex uno omnes archetypo ortos complectitur. diversi enim in duobus his generibus numerus et ordo orationum, diversa insuper permultorum locorum scriptura. quae librorum diversitas quomodo nata sit, etiam nunc agnoscitur. erant vetustissimae duae orationum Aristidearum collectiones, orationum pauciorum altera, plurium altera eaque mutilata. atque prius genus ita ortum est, ut auctores vel scribae librorum et A et R collectioni minori paucas quasdam orationes — nec vero easdem ambo — e collectione ampliore depromptas adderent, non eisdem collectionum exemplis usi, sed aliis scriba A aliis R; ad idem autem quod scriba A habuit exemplum liber Q in or. XXVIII redire videtur. alterum librorum genus constitutum est, cum homo nescio quis duas illas collectiones integras, quatenus tunc servatae erant, in unum corpus coniungeret. ergo libro suo, ex quo archetypus alterius librorum generis ortus est, orationes et plures quam in libris A vel R sunt comprehendit et alio ordine disposuit. adhibuit praeterea collectionum duarum exempla diversa ab iis, e quibus A et R orti sunt, ut etiam scripturis discrepantibus archetypus alterius generis, quem nota ϱ significabo, discederet et a libro A et a R, quorum scripturam non plane eandem esse modo dixi. ex ϱ fluxit archetypus librorum nostrorum, qui alterius generis sunt; esto nobis ϛ. tres igitur scripturae veterum illarum collectionum testes adhuc nacti sumus, librum A, librum R, archetypum ϛ. iam vero cum ipse archetypus ϛ perierit, ex iis qui inde fluxerunt libris memoriam illius necesse est resuscitare; quod propterea haud ita facile fit, quia libri illi minime eadem fide scripturam genuinam servant. atque tres imprimis classes horum librorum agnoscuntur: in prima verba scribarum neglegentia et socordia corrupta sunt; altera est, cuius in libris scriptura genuina coniecturis cuiusvis generis immixtis insuper deformata est; tertia nata est, cum

in librum quendam vetustum, qui ex ϛ fluxerat, lectiones ex alio exemplo repetitae inferebantur. atque primae classis sunt libri CS, alterius EDF, tertiae T. libri B autem scriptura — ne libri huius mentionem omittam — in iis orationibus, quae non ex A fluxerunt, inter S et T ita medium tenet, ut paulo propius a T absit; haereas ergo utri classi adscribas librum scripturae haud dubie mixtae. quaerentibus porro nobis quae necessitudo inter tres has librorum e ϛ oriundorum classes intercedat, e re est in auxilium vocare librum U. et facile lectionibus recognitis efficitur libros DUT certo quodam cognationis vinculo coniunctos esse, cum multi ei sint loci, quibus DUT, qui librum Q asseclam in or. XXI habent, unam eandemque praebeant scripturam, quae diversa est ab A vel R vel S vel C. iam ea libri U condicio est, ut quasi medium inter alteram classem (D) et tertiam (T) tenere videatur; ut enim cum D et ordine orationum et permagno lectionum numero egregie consentit, ita cum T tam saepe facit, ut fere nescias, ab utrius, D an T, scriptura propius absit. quae res quomodo mihi videatur explicanda esse, significatum volui hac addita delineatione:



erat igitur archetypus, ex quo U et T derivati sunt; quem notavi littera *v*. hunc vir doctus nescio quis ita constituit, ut librum ex archetypo ϛ ortum ad exemplum diversae originis conferret et corrigeret. quod autem exemplum cum libro notae ϛ contulit, id necessitudine quodam interiore cum libro ex quo A fluxit coniunctum fuit; id quod inde perlucide apparet, quod multis locis U et T soli omnium cum A consentiunt; nec tamen ea est illa affinitas, ut libros gemellos eos dixeris; immo certissimum est diversos illos fuisse. iam igitur tribus istis quos testes scripturae veterum duarum collectionum praesto nobis esse diximus, quartum accedere vidimus, cuius memoriam e consentientibus libris UT redintegrare licet. perutilem operam auctor archetypi *v* nobis praestitit: et bona fortuna fit, ut fere eandem laudem aliis viris duobus impertire nobis liceat; quod non ideo dixi, ut quattuor iliis testibus quintum et sextum adicerem, sed contigit, ut archetypi ϱ memoriam fere extinctam aliquatenus reciperaremus. libri UT ad *v* redeunt; ex quibus librum U — modo quae recentiores sunt in libro recentissimo maculas demas — fidelius et accuratius virtutes et vitia archetypi *v* reddere quam T

vel inde apparet, quod ordo orationum, quem in v fuisse certissimum est, servatus est in U, in T immutatus. sed omnino ratio libri T non ea est, cui conveniat eum fidelem ac sincerum archetypi v testem esse; neque enim liber volgaris est, sed ex editione omnibus numeris absoluta, quae τ mihi audit, provenit. nam idem vir doctus et orationes in aptum ordinem redegit et scholia certo usus consilio pertractavit, de quibus iam diximus, et ipsa oratoris verba cum arte recensuit; atque ita munere hoc functus est, ut ad emendanda verba non contentus esset auxilio ingenii coniecturarum felicis, sed alios libros Aristideos circumspiceret et adhiberet, cuius rei certa testimonia plurimas illas varias lectiones habemus, quas et ipse scriba et revisor verbis adscripserunt. fuit autem inter libros quos sibi comparaverat optimus quidam liber, quem gravissimum veteris scripturae testem esse libenter concedes, cum addidero eum fuisse archetypi ς fratrem, qui alterum integritate et fide scripturae superaret. quibus duobus tertium statim addamus. innumera fere menda scripturae manus primae libri A inhaerent, quae non tam Iohannis Calligraphi neglegentia nata esse quam a libro, quo ille exemplo usus est, originem accepisse quicumque lectiones perlustraverit cognoscet. quae menda e dimidia fere parte revisor correxit, quem Aretham archiepiscopum fuisse communis nunc virorum doctorum opinio est. quo in negotio cum paucissimis locis — pace Arnimii sit dictum — ad coniecturas refugeret, fere omnia quae attigit menda sustulit collato alio libro vetusto eoque perbono. hic liber ut diversus et ab ς et a libro editoris τ, ita cum iisdem intime cognatus erat. quae si recte disputata sunt, tres nobis suppetunt viae, quibus ad archetypum alterius librorum generis ϱ adscendamus: archetypus ς, exemplum a revisore A adhibitum, exemplum ab editore τ adscitum.

Haec igitur est summa eorum quae disputavimus. scripturam veterum duarum collectionum quattuor libri testantur: A et R et ϱ et liber qui in v adhibitus est; horum duorum memoria nullis libris tradita iudicio et arte ex ceteris libris nostris resuscitanda nobis est. ad rem illustrandam hanc oculis subiciam tabellam.



Haec generatim disputata satis sunto; consentaneum autem est rationes librorum non plane easdem in omnibus orationibus esse, sed paullo diversas in singulis deprehendi; quae nunc non opus est persequi: venio ad alium locum gravissimum.

Quaeritur enim, quae cuiusque ex quattuor illis testibus primariis fides et auctoritas sit. atque hoc facile intellegitur, nullum esse inter eos, qui ceteros adeo lectionum praestantia utique superet, ut optimum eum fideque praeter ceteros dignum praedicemus. qua laude ne vetustissimum quidem Arethae librum (A) ornare licet; quamvis enim concedendum sit eum in oratione Aegyptiaca et in 'sacris sermonibus' ceteris libris omnibus longe praestare unumque omnium fragmentum or. LIII tradidisse, tamen in multis eis quae restant orationibus totiens ceteris libris cedit, ut palmam non ferat. quodsi nullus ex testibus integram collectionum duarum scripturam servavit, sed veri vestigia per omnes libros dispersa latent, ea arti recensendi nostrae lex imposita est, ut nos nostro usi iudicio in omnibus verum scrutemur et ex omnibus quodcumque nos maxime specie veritatis movet libemus. rationem igitur quam eclecticam dicunt sequamur oportet. quae quam vera dicta sint, facillime ex oratione Aegyptiaca (XXXVI) perspicitur, in qua Arethae librum (A) longe optimum esse modo dixi. etenim locis fere triginta quinque solus omnium veram scripturam exhibet; his decem loci accedunt, quibus lectiones librorum AS coniunctorum probandae sunt; nec tamen in libri illius scriptura unice salus verborum Aegyptiacae nititur, sed undecim locis libri UT, septem DU verum servasse videntur. neque diversa librorum ratio in ceteris orationibus; etenim undetriginta in orationibus, quae excepta Aegyptiaca inde ab or. XVII numerantur, libri recentiores DU plus septuaginta locis certam medelam tulerunt; adde, quod iam supra memoravi, uno solo libro U veram lectionem alteris septuaginta locis exhiberi; denique, ut taceam de multis eis locis, qui unius

libri T ope sanari potuerunt, unum D librum fere quadraginta locis secutus sum, ex quibus septem quidem sunt 'sacrorum sermonum'; id quod propterea moneo, quia in his orationibus U neglexi. sed nolo talia terere, ne in me convicia ea convertam, quae non sine causa in eos conici dixeris, qui artis nostrae summam in numerandi artificio positam esse opinentur.

Satis haec ad illustranda ea, quae de ratione nostra recensendi dixi, debili hercle ea et infirma, cui praestaret sane ratio quaevis alia, alia si praesto esset. an paucis locis fieri necesse esse credis, ut recentiorum librorum coniecturas vendamus pro genuinis scripturis non dico ipsius oratoris, sed collectionum illarum vetustissimarum. hoc enim accedit, quo haud raro opera nostra eludatur: arte recensendi nos apud Aristidem non ad ipsa eius exempla, sed ad collectiones istas adscendimus, quarum condicionem miserrimam fuisse omnium certissimum est. scatebant illarum exempla lacunis interpolationibus mendis, quae nunc omnibus libris nostris inhaerere iam memoravi; cuius rei egregios testes ipsos vetustissimos libros ACS habemus, quorum scripturis corruptis et lacunosis vera collectionum species optime servata est. quid? quod ea, quae de suo exemplo scriba exempli libri C conquestus est (cf. p. X), de ipsis collectionum exemplis dici poterant. his autem tam mendosis libris recensio nostra in primis nititur; recentiorum enim librorum levior facies et planior subdola saepius fictis virtutibus. itaque postquam pro librorum nostrorum natura et condicione collectionum duarum scripturas mendis erroribusque plenissimas restituimus, emendationibus opus est et mutationibus neque raris eis neque levibus, tandem ut ipsius oratoris verba recuperemus. atque hoc in negotio viri docti aetatis Byzantinae felici eventu non raro usi nobis praeierunt. nam multos locos egregie tractaverunt, quos in collectionibus illis olim corruptos nunc emendatos vel libri recentiores vel correctores librorum seriores tradunt. quanquam curiose utique videndum, ne blandiore quam veriore istarum lectionum specie decipiamur; sunt enim inter correctores recentiores, qui, cum librum dextre emendasse videantur, impudentissime et procacissime oratoris verba interpolaverint. quod praeter ceteros in eum libri A correctorem dictum esto, qui inter recentiores huius libri correctores tertium aetate locum tenet. neque tamen correctori huic ad unum omnia quae sunt peccata imputare licet; sunt enim, quae eum e libro interpolato hausisse certum sit. verum operae pretium est singula quaedam recognoscere. p. 70, 17 libri integri praebent *πολλάκις ἐλέγχθησαν*

οὐχ ὡς δ ε ῖ διακείμενοι, ubi cum voculam δεῖ ante δια- Iohannes Calligraphus fideliter exemplum suum secutus omisisset, petulanter corrector ille A[2] οὐχ ὡς ἐ π α γ γ έ λ λ ο ν τ α ι διακείμενοι supplevit; idem autem U exhibet, ut A[2] ex libro quodam interpolationem repetivisse appareat, cuius libri ipse p. 67, 10 aliisque locis addita nota γρ. mentionem fecit. nec minus certum est correctoris A[2] additamentum p. 127, 10 περὶ αὐτὴν, quo inter voces τοὺς τόπους interposito sententia corrumpitur, ex libro quodam fluxisse; constat enim testimonio editionis Juntinae, quae τοὺς περὶ αὐτὴν τόπους praebeat. sed alia suo Marte corrector ille emendare studuit, quibus locis hebetem ingenii sui imbecillitatem testatus est. stulte enim p. 205, 15 pro εἰ corrupto εἶτα reposuit, stultius etiam p. 247, 7 ineptum κἀλλὸν (i. e. κἄλλον et καλὸν) ex κάλλον A[1], quo veri κάλλιον vestigium servatum est, fecit. sententia non percepta p. 230, 28 οὐ, p. 297, 15 ὡς, p. 306, 24 iterum οὐ idem interpolavit. optime autem intempestiva illius sedulitas illustratur correctione ea, quam verbis p. 244, 5 obtrusit. veram enim lectionem οἷς οὐδ᾽ ἀπαντῆσαι πρῶτον οὐδ᾽ ἂν εἷς δέξαιτο libri eandem omnes exhibent, nisi quod elementis male discretis οὐδ᾽ ἂν εἰσδέξαιτο in A legitur: iam in his A[2] cum subiectum desiderasset, ita locum sanasse sibi videbatur, ut pronomine τίς inculcato πρῶτον τ ί ς οὐδ᾽ ἂν ε ἰ σ δέξαιτο scriberet. inter nobilissima vero illius facinora est, quod in verbis p. 309, 8 edidit. πρὸς τὸν εἱμαρμένον τόπον οὗ μόνον ἦν αὐτῇ τεκεῖν Aristidis verba sunt, fideliter libris SDUT tradita; in exemplo vero vetusto, ex quo archetypus libri A fluxerat, verba τόπον μόνον οὗ, cum homoeoteleuton fraudi fuisset operario, omissa erant. iam igitur, ut quae restabant elementa quadantenus intellegerentur, homo nescio quis mutatis distinctione et prosodia πρὸς τὸν εἱμαρμέ ν ο ν· ἦ ν scripsit; quae a Iohanne Calligrapho exarata cum
τὸν τόπον ὅπου
A[2] deprehendisset, talia ausus est: πρὸσ τὸν εἱμαρμένον ἦν, ut iam legeretur πρὸς τὸν τόπον ὅπου εἱμαρμένον ἦν κτέ. de tot tantisque scribae huius A[2] correctionibus accuratius mihi erat disputandum, ut rectius de eo loco iudicares, quo ille verbis correctionem intulit adeo speciosam, ut verear ne praepropero plausu eum prosequaris. dico verba p. 208, 19: τίς [ἂν] ἡμῖν ἐκ τῆς ἄλης (sic T; ἄλλης ARDU) τῶν παίδων . . . . τοσούτου δεῖ τι τῶν χειρόνων νοσεῖν ἢ κατὰ ταῦτα ἃ κτέ., in quibus quod inest mendum, cum una sola voce αλησ terminatum sit, facile tollitur, sive ἀγέλης scribis sive praefers ἴλης, quod ab huius orationis dictione non alienum

esse iudicaverim. hanc enim de hoc loco sententiam artis nostrae legibus ferre cogimur, quibus auctoritatem optimorum librorum sequi iubeamur; nec patiar te amplecti sententiam scribae A², qui verba ita correxit, ut ad *τῆσ ἄλλησ*, quae in versus fine leguntur, in margine *τῶν παίδων συμμορίασ τούτω παράλληλοσ* adscriberet. confiteor verba *τίς* [*ἂν*] *ἡμῖν ἐκ τῆς ἄλλης τῶν παίδων συμμορίας τούτῳ παράλληλος . . . τοσούτου δεῖ*, si libris nostris optimis tradita essent, nos probaturos esse, quamvis aegre illud *παράλληλος* pro *παράβλητος* vel *παραπλήσιος* ferremus. nunc nulla causa est, cur ceterorum librorum spectatam fidem correctoris testimonio subdolo posthabeamus, nec movet me auctoritas recentiorum quorundam librorum (Vat. gr. 79. 914. Laur. Abb. 9), quorum primariae scripturae eadem lectio inest; quo consensu nihil probatur nisi quod saepius iam cognovimus scribam illum correctiones suas ex libro quodam interpolato hausisse. licet autem addas et apte illa et pulcre dicta esse — quod mihi secus videtur —, nihil iis auctoritatis adieceris. an hebetes utique Byzantini? immo sagicissimus quisque iudex et doctissimus maxime nunc illorum et importunam interpolandi petulantiam et ingeniosam emendandi felicitatem mixtis cavillationibus et laudibus prosequitur. nostra aetate Bergkius speciosis inventis suis plus uno loco Pindarum Pindaro pulcriorem reddidit, nec tamen Bergkianum Pindarum laudamus, sed verum amplectimur, licet hic illic minus pulcrum; verum autem dicimus, quem optimorum testium auctoritate traditum accepimus. quae velim de Aristidis loco quem modo tractavimus dicta esse putes. et satis de studiis Aristideis Byzantinorum, quos sciunt omnes oratorem Smyrnaeum permagni aestimasse: fere nihili duxerunt aut ducunt viri docti memoriae nostrae, quippe qui intolerabilem oratoris ostentationem, stupidam superstitionem, perplexam obscuramque dictionem certatim vituperent. nihil igitur mirum perpaucos ex illis data opera Aristidis scripta tractasse. omnes appellaveris, decem nomina si dixeris. at sunt inter hos duo viri, quorum uterque unus instar est agminis, Guilielmum Canterum dico et Johannem Jacobum Reiskium. iam egregio duumvirorum horum ingenio et acumine factum est, ut permulti loci, qui corrupti libris traduntur, emendati nunc legantur, quanquam illorum studiis hoc obfuit, quod bonorum librorum ope paene destituti erant. neque enim nisi cognitis libris emendandi quae debeat esse lex et ratio pernoscitur. atque haec sunt, quae artem nostram in emendandis orationibus Aristideis temperent et dirigant.

Exempla vetustarum collectionum, ex quibus libri nostri antiquissimi manaverunt, ut neque amplis neque frequentibus interpolationibus deformata erant, ita et lacunis plurimis, quarum qui sit ambitus fere ubique est incertum, et corruptelis mendisque gravissimis erant turbata. lacunas autem et menda scripturae haud pauca perforatis vel laesis papyris velleribusve nata esse etiam nunc facile agnoscitur; neque enim casu factum esse iudico, ut oratio XVIII (*μονῳδία ἐπὶ Σμύρνῃ*), quae in altera illarum collectionum primum locum tenuit, corruptelis et lacunis ita abundaret, ut de emendandis verbis plus uno loco desperes; nimirum initium voluminis vel tomi orationum mala fortuna usum erat. idem in extremam partem voluminis eius cadit, quod monobiblon orationis in Romam compositae (XXVI) continebat; cuius laudationis perorationem in integrum revera posse restitui si quis dixerit, eum insanabilia sanare posse confitendum est. nam quae ego illic tentavi, ea ex parte tam audacia sunt, ut pateat me de reciperandis oratoris ipsius verbis desperantem satis habuisse inventis meis sententiam significare. altera pars lacunarum ex homoeoteleutis originem duxit, neque exiguus harum videtur numerus esse; cuius rei ea causa est, quod collectiones illae litteris uncialibus exaratae erant, quo scripturae genere fallacius nullum fuit operariis. eodem autem a scripturae genere etiam causa plurimorum illorum mendorum profecta est, quae simpliciter scripturae corruptelas dicere solemus, cum scribae singula elementa falso legebant vel coniungebant aut notas vel compendia antiquiora non recte intellegebant; iotacismo autem paucissimis locis verba corrupta inveni. atque consentaneum est in agnoscendis id genus mendis nos unice fere iuvari antiquissimis libris ASC, in quibus doctae recensionis vestigia nulla inveniuntur; contra in libris, qui Byzantinorum, ut ita dicam, curationem perpessi sunt, corruptelae illae persaepe coniecturis illatis quasi oblitae sunt. quae vere dicta esse ut breviter probemus, satis habebimus pauca afferre exempla. e scriptura uncialium litterarum explicatur corruptela p. 47, 21, ubi ΟΜΟΙΟΥϹΘΑΙ litteris Є et Θ inter se mutatis legitur pro ΟΜΟΙΟΥϹЄΑΙ, quod restitui. item p. 457, 14 ΚΟΙΛΙΑΙ ex ΚΟΙΝΑΙ elicuit Wilamowitzius; nimirum ΛΙ in Ν coaluerant. compendiis male lectis orta sunt menda, quae p. 302, 8 (ΔЄѠΡΑΙϹ : ΔѠΡЄΑΙϹ). 299, 27. 244, 5 sq. sustulimus. iam quanta audacia viri docti serioris aetatis ad emendanda verba usi sint, optime illustratur apposito exemplo ex oratione *εἰς Σάραπιν* inscripta (XLV), ubi (p. 353, 9) *δεῖν στροφαῖν ἢ περιόδοιν* in C legitur,

quae scriptura una addita litterula (δ⟨υ⟩εῖν) in integrum restituitur; ceteri libri turpissima interpolatione *αἱ δὲ στροφαὶ ἢ περίοδοι* non tam correcti quam corrupti sunt. neque minus memoratu dignus locus ille (p. 378, 20), ubi ЄІΚΑϹΙΝ Usenerus oratori recuperavit adiutus ope libri A (item S[1]), qui ЄІΚΑϹΑΙ praebet; at *ὡσ εἰκάσαι* DT exhibent tam stulte interpolati, ut sententia evaderet 'quoad conicere licet', cum Aristides dixisset 'die vicesimo'. atque haec de lacunis et corruptelis; adicienda porro pauca de interpolationibus, ut quae ante breviter significavimus, accuratius describamus. ea autem interpolationum ratio est, ut una plerumque paucisve voculis, quibus singula quaedam explicentur verba, coerceantur. neque enim ullum interpolationum exemplum in huius voluminis orationibus extat, quo demonstretur ampliores enuntiationes vel integras argumentationes verbis oratoris inculcatas esse; quocum egregie convenit, quod in omnibus orationibus singularum partium tenor optime conservatus est, quem qualem voluerit esse orator facile e dispositione uniuscuiusque orationis agnoscitur; ac ne uno quidem loco aut singulis sententiis aut amplioribus orationum partibus de sede sua motis sermonis contextus et continuatio disturbata sunt. diversissimum ergo est munus eius qui Aristidea scripta emendare studet ab eorum qui in corrigendis Dionis Prusaensis scriptis vel Plutarchi relliquiis philosophicis operam posuerunt. nimirum Aristidem rhetores legebant singularum cupidi elegantiarum sermonis oratoris atticizantis; qui philosophos tractabant, ad sententias animadvertebant, quas dum interpretantur frequenti periphrasi et amplioribus explicationibus usi, auctores fiebant interpolationum late patentium disturbationisque argumentationum gravissimae. itaque cum de lacunarum ambitu plerumque non posse iudicari consentaneum sit, hoc pro certo habeamus apud Aristidem et corruptelas et interpolationes artis finibus circumscriptas esse; corruptarum vocum vel litterarum salutem ita parari, ut a scriptura librorum ACS proficiscaris; mutationes vel correctiones cum veri specie non fieri, quae adscita litteratura minuscula quae dicitur excogitatae sunt; nam certissimum est omnes fere eius modi corruptelas aut in ipsis exemplis litteratura unciali perscriptis iam fuisse, aut natas esse, dum ex illorum scriptura in minusculam orationes transcribuntur; temporibus Byzantinis — quae nunc dico saecula nonum decimum undecimum — paucissima menda in orationes illata. hanc rationem secutus quid ipse in emendandis orationibus Aristideis profecerim aliorum est iudicare; meum esse scio praedicare egregiam felicem-

que operam Udalrici de Wilamowitz-Moellendorff et Georgii Kaibel Aristidi mihique praebitam, quorum, dum orationes hae typis excuduntur, ille totum volumen, hic fere totum (excipiendi enim quatterniones VIII—XIII) relegit. atque Aristides duumvirorum doctorum doctrinae et acumini quid debeat, adnotatione nostra testati sumus; mihi quid illi fuerint, cum errantem vel dubitantem vel frustra quaerentem revocarent edocerent confirmarent quocunque modo adiuvarent, testes habento conscientiam meam et memoriam gratiae tenacem. et haec satis eis me dixisse confido *πολλῶν πείρατα συντανύσαντ᾽ ἐν βραχεῖ.*

Quoniam igitur de recensione et emendatione explicavi, reliquum est, ut de adnotationibus meis dicam et quibus auxiliis in adornanda editione usus sim. perscripsi in adnotatione critica librorum scripturae discrepantias exceptis meris operariorum erroribus; quotiescunque autem ea res erat, ut dubius haererem, errorne lectioni mendosae subesset an antiquioris scripturae vestigium lateret, caute agere malui quam rei cognitionem virorum doctorum iudicio praeripere; quare lectiones illas ambiguas adnotationibus inserui. sedulo autem primariam librorum scripturam eruere et a seriorum correctorum scriptura distinguere studui. quam scripturae diversitatem quo distinctius et facilius indicarem, correctorum recentiorum manus omnes una adhibita nota (A^2 T^2) significavi; in iis autem correctionibus, ubi solius correctae scripturae, non correctoris mentionem — velut in T a. corr. et T p. corr. — feci, discernere non potui, ab ipso scriba an a correctore recentiore emendatio profecta esset. denique compendiis A^1 a. corr. et A^1 p. corr., significatum volui ipsum libri scribam verba correxisse, cuius primariam scripturam compendio A^1 a. corr., emendatam compendio A^1 p. corr. indicari. haec tam accurate distinguenda et adnotanda erant, quia in unica fere primaria librorum scriptura apud Aristidem recensio nititur. omnino in ea editione, qua prima de librorum Aristideorum lectionibus accuratius relatum sit, par est pleniorem quam restrictiorem extare scripturae traditae memoriam. nec paucis locis adnotationibus Dindorfianis fallacibus adductus sum, ut aut ipsas librorum lectiones aut librorum notas in margine inferiore repeterem; nolui Dindorfii meove silentio lectores dubitationibus dari. in uno vero Arethae libro (A) rationem meam deserui, cuius gravissimi testis primariam scripturam cum pulvisculo quod aiunt exhaurire et adnotare studui; paenitet tamen nunc, quod memoriam creberrimae correctionis, qua A^2 scripturam primae manus *ἀεί* in *αἰεί* mutare

solet, per totum volumen propagavi; satius certo erat praefatione rem paucis conficere, praesertim cum cetera quae ad orthographiam et prosodiam spectant tacitus ac non appellato emendatae scripturae auctore correxerim. qua ab ratione si quando recessi, id quo consilio factum sit, peritos non fugiet. litteram ν, quam paragogicam dicunt, ante consonas positam ex fide librorum ASC restitui; ceteri enim libri ad legem illam, quae a Byzantinis constituta libris grammaticis nostris fertur, correcti sunt. neque vereor ne quis propagatam librorum illorum inconstantiam mihi opprobrio vertat: adfatim nunc et inscriptionibus et papyris Aegyptiis comprobatum est antiquissimorum librorum memoriam in tradenda illa litterula propius a vero Graecorum sermone abesse quam recentiorum artificiosam aequabilitatem. data autem occasione addo, qui libri ν illud ante consonas servant, eosdem ι mutum adscriptum plerumque exhibere, recentiores omittere. Sed iam satis multa de quisquiliis istis, quibus non tam legentium animos teneri consentaneum est quam editorum religionem vexari; ad alia eaque gravissima animum oportet attendant ii qui Aristidem tractare student, cuius scripta non solum non facilia sint ad emendandum, sed ne aperta quidem ad intellegendum. et iuvat afferre testimonium Reiskii, quo peritiorem harum rerum arbitrum non habeo quem dicam; haec autem illius sunt verba: 'Scriptorum graecorum quotquot legi, neque tamen perpaucos legi, qui quidem libero dicendi genere usi sunt, post oratorem Thucydidem unus Aristides, mea sententia, est omnium intellectu difficillimus, cum propter incredibilem argumentationum et crebritatem et subtilitatem, tum propter graecitatis exquisitam elegantiam.'* quae cum ita sint, non vituperatum me iri confido, quod legentium intellegentiae et commoditati ita consului, ut adnotationibus criticis scholia aliquot brevia insererem, quibus res quasdam selectas vel verba interpretarer, sive quod illa paullo obscurius dicta esse iudicabam sive quod digna mihi videbantur esse, quae diserte praedicarentur. indicavi praeterea adnotationibus memorias antiquorum scriptorum, quorum verba vel sententias Aristides suum in usum convertit; multa autem me praetermisisse ipse optime scio, tamen feci, quod quidem potuerim, memor Hesiodei illius, quod iubet dimidium nos non minoris ducere toto. atque grato animo confiteor me in indagandis memoriis Demosthenicis apud Aristidem obviis magnopere adnotatione critica adiutum esse, quam Blassius editioni suae Demosthenis praefixit; diligentissime enim vir doctissimus memorias Demosthenicas ex Aristidis orationibus

collegit. contra parvae utique utilitatis fuit liber quem Guilielmus Schmid de Aelii Aristidis atticismo composuit, quod ita dico, ut libere profitear in eam quidem operis Schmidiani partem quae Aristidem spectat iniuria esse collatas laudes istas, quibus nunc iudices neque periti satis neque idonei totum illius opus obruunt. apud seriores scriptores, qui Aristidem imitati sunt, fere nihil inveni, quod ad orationes voluminis huius adnotarem; testimonia vero Philostrati Menandri auctoris artis rhetoricae, quae Aristidis sub nomine fertur, segregata ab adnotationibus attuli. quibus ut Thomae Magistri et auctoris lexici Vindobonensis testimonia adiungerem ab animo non impetravi; tribus enim quattuorve saeculis cum libri nostri optimi Byzantinis istis superiores sint, parvi habenda esse illorum testimonia patet, licet sint quidam inter Thomanos loci Aristidei, quos libenter concedas illum ex collectaneis, quae libros nostros superabant aetate, hausisse. satis igitur habui illorum scripturam iis tantum locis respicere, quibus diversas a libris nostris lectiones praebent. tertium adnotationum genus mihi ortum est, cum sententias et coniecturas virorum doctorum qui ante me Aristidem tractaverunt impugnare aut meas ipse argumentis confirmare studebam. neque enim par esse iudico ceteros coniecturas explicata argumentatione probare, editori ne breviter quidem causas sententiae suae significare licere. omnino id studui, ut indicarem, si qua verba aut non intellexissem aut corrupta esse censerem. odi istam taciturnitatis magniloquentiam, qua fit, ut lector in difficillimo quoque et impeditissimo loco dubius haereat, ipsumne solum fugiat verborum intellectus an editor quae omnino non intellegi possunt imprimenda curaverit. quanquam permulta non attigi, quae in primis fusiore disputatione digna esse bene scio; at impediebat editionis consilium et ratio, quominus amplis dissertationibus librum instruerem. alio igitur loco — ut gravissima significem — de orationibus XXIV XXX XXXV, quas ab Aristide abiudicavi, de 'sermonibus sacris', de vitae Aristidis temporibus exponam. nam Schmidii rationes falsas esse constat, quicquid ille nunc clamitat.

Ut ad extremum illud veniamus, dicam de subsidiis et auxiliis, quae mihi in paranda editione praesto erant. agmen ducant, ut par est, editiones.

Anno 1513 Aldus Manutius Venetiae orationem Panathenaicam (XIII) et laudationem Romae (XXVI) post Isocratem edidit, quae primae fuerunt orationes Aristideae typis exscriptae. librum vel

libros manuscriptos quos Manutius adhibuit ut investigarem, mihi non contigit; unus enim liber bibliothecae Marcianae Venetae, qui orationem Romanam continet (Marcian. gr. 428; cf. p. XV) tot locis ab editionis Aldinae scriptura recedit, ut paucae illae lectiones, quibus contra omnes nostros libros facit cum Aldina, in censum non veniant. fortasse igitur, quod tunc persaepe accidit, liber in typographia periit. verisimile autem est verba editionis Aldinae plus uno loco coniecturis cum aliorum tum Marci Musuri constituta esse, quo auctore Panathenaicum Isocrati se adiunxisse ipse Manutius praefatione rettulit.

Editio princeps prodiit a. 1517 Florentiae typis Philippi Juntae, cura Euphrosini Bonini, doctissimi medici Florentini, quem una cum discipulis, ut solebat, Theocrito aliisque scriptoribus operam dedisse notum est. atque ita Boninus editionem Aristidis paravit, ut librum Laur. Abb. 9 (cf. supra p. XIV) quasi pro fundamento editionis poneret, eas autem quae in hoc libro desiderantur orationes ex libro Laur. LX 24. 20 (cf. ibid.) repeteret mediasque orationibus prioribus illis insereret. praetermisit tamen declamationem *πρεσβευτικὸς πρὸς Ἀχιλλέα* inscriptam. cum vero verba in Laur. Abb. 9 pessime conservato valde corrupta, in Laur. LX 24. 20 optime scripto multo melius tradita esse intellexisset, alterum librum ex altero correxit, ut non solum ordo et dispositio editionis sed etiam verba oratoris contaminatis duobus libris constituta sint. quae editionis ratio quo facilius intellegeretur, ad eas Juntinae lectiones, quae veram scripturam praebere videntur, in quinque primis orationibus modo hunc modo illum librum, prout locorum natura ferebat, appellavi. in ceteris orationibus horum librorum memoriam omisi, non quo omnes Juntinae lectiones veras ex iis profectas censerem, sed quia nihil refert scire, quae ex istis lectionibus debeantur hominibus ignotis Byzantinis saeculorum XIII vel XIV, quae Bonino vel discipulis eius non minus ignotis. nam quas recentes isti libri praebent bonas lectiones, eas a Byzantinis omnes felici divinatione inventas esse certissime ex antiquissimis libris ut inter se consentientibus ita ab illis exemplis dissentientibus concluditur; nec minus certum est perpauca Boninum eiusque socios ultro correxisse. quanquam hoc in laudem docti medici Florentini adiciendum, eum non solum satis diligenter operariorum neglegentiam et segnitiem castigasse, sed etiam sobrio sollertique iudicio adhibito singulas lectiones ex libris suis ita selegisse, ut editio Juntina inter editiones quae Dindorfianam praeierunt longe praestaret.

Quare non recte Henricus Stephanus fecit, quod orationes Panathenaicam et Romanam, quas et ipse editioni suae Isocrateae a. 1593 Parisiis editae adnexit, ad editionem Aldinam, non ad Juntinam exegit, et iure in Dindorfii vituperationem propterea quoque incidit, quod non priore Aldina satis perpolita, sed repetita illa anni 1534 usus est, quae plurimis erroribus est inquinata. denique nec libros manuscriptos habuit nec nisi pusilla quaedam corrigere studuit.

Pratre Henrico Paulus filius non diligentior in edendo Aristide. prodiit enim a. 1604 Genevae editio Aristidis, cui inscriptum est: '*Ἀριστείδου λόγοι.* Aelii Aristidis Adrianensis oratoris clarissimi orationum tomi III. interprete Guilielmo Cantero Vltraiectino . . . Oliva Pauli Stephani. Anno MDCIIII.' quae Paulus Stephanus praestitit haec sunt. Juntinam denuo typis exscripsit, nisi quod orationes Panathenaicam et Romanam ex patris editione Isocratea repetivit. ordinem orationum amplexus est, quem Canterus in versione Latina constituerat. verbis emendandis non modo operam nullam impendit, sed sunt quae infeliciter coniectando, cum typothetarum menda corrigere studeret, etiam magis corruperit; neque Canteri emendationes egregias ad orationes Panathenaicam et Romanam spectantes inter verba recepit, sed in calce libri mixtas cum Juntinae lectionibus addidit. quid? quod ea erat neglegentia, ut versionem Canterianam, quae ad exemplum Juntinum facta erat, etiam eis orationibus adiceret, in quibus patris illud exemplum Isocrateum secutus erat. quorum exemplorum scripturae cum permultis locis inter se discreparent, compluriens factum est, ut alia in verbis Graecis alia in versione Latina legerentur. declamationem autem illam, quam Boninus omiserat, cum Joachimus Camerarius a. 1534 Hagenoae edidisset et Canterus inter ceteras orationes vertisset, Stephanus bibliopola, qui Canteri versionem habuit in eaque declamationem legit, sibi non comparavit maluitque utramque et orationem Graecam et versionem Latinam ab editione abesse. indices porro, quos spretis Canterianis confecit, pessimi sunt. denique operariorum erroribus satis multis editio vitiata. omnino non est editio, sed quaestio nummaria.

Saeculo post prodiit editio Samuelis Jebb, medici Britanni, qui splendidissimis duobus voluminibus a. 1722 et 1730 in lucem emissis non solum orationes Aristideas omnes addita declamatione *πρεσβευτικὸς πρὸς Ἀχιλλέα,* sed etiam scholia quaedam vetera una cum prolegomenis antiquis et artem rhe-

toricam complexus est. nolo repetere vituperationes et contumelias, quas Reiskius in Jebbium publice coniecit; quid senserit, brevius haec testantur, quae in exemplo suo Jebbiano editoris nomini adpinxit: Homo plane impar huic operi, ineptus, Graecarum Venerum ignarus, ubi Criticam exercet ridiculus, aut potius indignatione dignus, qui optimas alicubi lectiones in textum inferre neglexit, in v. l. posuit, aut alibi codices non satis accurate contulit, saepissime contra ipsas regulas Grammaticae impingit, quas vel tyrones norunt.' acerbe haec nec vero absque iure dicta sunt in editorem, qui ipse nihil fere arte aut scientia praestitit; tamen confitendum est operarium Jebbium se praestitisse quadantenus utilem collectis auxiliis et subsidiis, quibus in emendando et interpretando Aristide uti opus est. primus enim post Boninum ille complures libros manuscriptos contulit, primus scholia et argumenta vetera edidit, primus artem rhetoricam, quae Aristidis fertur, orationibus subiunxit. quae Reiskium invitum — invitum dixi — praetermisisse aut siluisse non mirabuntur qui hominis bilem norunt. declamationem autem et artem rhetoricam una cum versione e Norrmanni editione, de qua mox dicendum, Jebbius recepit.

Denique initio huius saeculi insecutus est 'Aristides ex recensione Guilielmi Dindorfii' (Lipsiae 1829). consilium editoris hoc erat, ut verba Graeca ad libros manuscriptos, inter quos optimos habuit antiquissimos tres Laurentianos, exigeret. quod voluit, ferme adsecutus est, atque librorum ope innumerabiles et corruptelas erroresque emendavit et lacunas replevit. unde longe optima omnium quarta haec facta editio; nec dubium quin etiam melior ea evasura fuerit, si Dindorfius collationibus accuratioribus usus esset — Furianas, ni fallor, habuit Laurentianorum — et si ipse emendationi operam dare voluisset. sed hanc fere neglexisse non miraberis eum editorem, qui praefatione profiteri ausus sit non esse Aristidem eum scriptorem, cui diutius quis immoraretur. quanquam haud paucos locos leni manu sanavit eosque sane plures quam qui nuper extitit illius vituperator. singula de editione, quae omnium in manibus est, non attinet referre; hoc addo, Dindorfium tertio editionis volumine scholia a Reiskio collecta edidisse.

Integris corporis Aristidei editionibus subicio mentionem libri a Laurentio Norrmanno Upsalae a. 1688 editi, quo orationes *πρεσβευτικὸς πρὸς Ἀχιλλέα* et *κατὰ τῶν ἐξορχουμένων* et ars rhetorica Aristidea continentur; orationes autem e libro Rolambiano, cuius mentionem supra fecimus (p. XV) edidit addiditque versionem

Latinam ab ipso factam et adnotationes. librum satis diligenter paratum a Jebbio adhibitum esse modo dixi.

Frustulum panegyrici ἐπὶ τῷ ὕδατι τῷ ἐν Περγάμῳ primus e Laur. LX 3 Bandinius in Catalog. bibl. Laur. vol. II p. 586 sqq. edidit, iterumque Dindorfii in usum Franciscus de Furia contulit; de Angeli Mai editionibus supra rettuli (p. XI).

Iam venio ad Guilielmi Canteri versionem orationum Aristidearum Latinam editam Basileae a. 1566; cuius tribus tomis prioribus Aristides continetur, quartus, qui his subiunctus est, Canteri versione declamationum Gorgiae Antisthenis Alcidamantis aliorumque completur. atque in opere, quod num satis possit laudari dubites, laudibus parcere praestat; est autem dignissimum viro, quem, si fata iuveni illi pepercissent, inter summos omnium temporum philologos numeraremus. valet versio recensionem: coniecturas suas et notas egregias in margine ad verba Latina Canterus exhibuit ibidemque adiecit lectiones ex libro quodam manuscripto repetitas, quas Oporino acceptas referebat. valet versio, quae summa est versionis laus, interpretationem: singulari enim acumine scientia arte ita oratoris scripta intellectu difficillima interpretatus est, ut sententias argumentationes res illustraret et explicaret. praeterea orationes in novum quendam ordinem scite excogitatum redegit indicesque rerum et sententiarum memorabilium composuit. neque edita versione studia Aristidea posuit; nam margini exempli sui Juntini et novas coniecturas et varias libri Itali nunc deperditi lectiones adscripsit, quae a. 1766 Reiskius in quinto Animadversionum in auctores Graecos (p. 591 sqq.) volumine edidit. iure vero dolemus, quod exemplum illud Canteri Juntinum nunc latet; neque enim omnia Abreschius, qui Reiskio Canteriana obtulit, exhausisse videtur. ultima autem libri vestigia Londini nunc deprehendi, ubi a. 1789 una cum exemplo Juntinae Scaligerano inter libros Pinellianos sub hasta veniit; est tamen quod sperem, me non frustra in investigatione perseveraturum esse. [neque me spes fefellit. haec enim typis exscripta vix erant, cum W. G. Wheeler et W. Spiegelberg ea qua sunt humanitate rogantem me certiorem fecerunt ille Canterianum exemplum Juntinum in bibliotheca Bodleiana nunc extare, hic Scaligeranum a. 1860 in bibliothecam Musei Britannici illatum esse.]

Canteri studiis Aristideis non cedunt Reiskii: anno enim 1761 in tertio Aminadversionum in auctores Graecos emendationes et ad-

notationes suas vere aureas edidit; a. 1766 Canterianas adnotationes quas modo memoravi publici iuris fecit; a. 1768 edendi Aristidis consilium iniit (cf. R. Förster, Joh. Jac. Reiske's Briefe p. 773). veteres igitur suas coniecturas retractavit et librorum manuscriptorum, quos quam plurimos sibi comparare studebat, lectiones composuit. habuit autem libros Bavaricos quos dixit (Monac. graec. 249. 123) duos et Augustanos tres (Monac. graec. 432 [cf. p. XV]; 463; 515), qui omnes nunc Monachii adservantur; paulo ante mortem (cf. Foerster l. c. p. 825. 890) scripturas Meermannianorum duorum, qui nunc Oxonii sunt (Miscell. 189. 190), schedis suis inseruit. scholia porro quae doctae uxoris cura et diligentia e Meermannianis et duobus Monacensibus exscripta habuit, una cum scholiis Oxoniensibus a Jebbio editis grandi volumine complexus est; morte vero prohibitus est quae collegerat scholia castigare et emendare. neque magis quam scholia Aristidea ipsius Aristidis 'sermones sacros' sex unquam arte et iudicio attigit. cuius rei non mortem praematuram causam fuisse apparet, sed ipsius Reiskii naturam et valetudinem. iuvenem enim acuta ratione insignem remotumque ab omni superstitione consentaneum est commentarios illos cuiusvis hariolationis et superstitionis plenissimas abominatum esse; virum pernicioso morbo tabescentem ominosi nescio quid a libris frequenti dolorum malorum mortisque memoria refertis fortasse deterruit. erravit ergo Ernestina Christina Reiskia, cum in 'D. Johann Jacob Reiskens von ihm selbst aufgesetzte Lebensbeschreibung' (Lipsiae 1783) rettulit (p. 172) maritum editionem Aristidis ad umbilicum perfectam reliquisse. ipse autem Reiskius — licet in litteris ad Meermannum datis (cf. Förster l. c. p. 826) dixerit se vere a. 1771 Aristidis excudendi initium facturum esse — in schedis, quae nunc Hauniae adservantur (Ny Kongelige samling, Quart, 186^{ab}. 187. 188^{ab}. 189^{ab}) plus uno loco se Aristidem imperfectum seposuisse significavit, id quod cognitis illis schedis testor. singulari enim liberalitate virorum egregiorum qui bibliothecae Hauniensi praesunt, cum factum esset, ut suppellex Reiskii Aristidea omnis mihi a. 1888 Berolinum transmitteretur, et exemplum Reiskii Jebbianum curiose pervolvi et ex schedis manu scriptis omnes illius coniecturas adnotationes explicationes excerpsi. nunc quae ex recentioribus his Reiskii inventis vera aut memoratu digna mihi videbantur, in adnotationes rettuli, insignita ea compendio Rsk.^{2}, ut a prioribus, quibus simplicem notam Rsk. esse volui, distinguerentur. quamquam non multa sunt, quae recepi;

etenim in Reiskium quoque cadit quod aiunt secundas curas non feliciores solere esse.

Praeter schedas Reiskianas Piersoni et Valckenaeri adversaria, quae dicuntur, ad Aristidem inedita inspexi et excerpsi, quae nunc in bibliotheca Leydensi sub titulis 'Bibl. publ. Lat. cod. n. 551; 488. 389' extant. gratissimo autem animo testor ea ultro mihi a bibliothecae illius praefecto qui tunc fuit liberalissimo et humanissimo du Rieu oblata esse.

Scaligeranas coniecturas a Dindorfio mutuatus sum, qui primus eas edidit (cf. Dindorfii praef. p. V); Grauerti emendationem (p. 469, 18) unde idem hauserit, nescio.

Ceterorum virorum doctorum nomina, qui aut emendationes aut explicationes in Aristidem contulerunt, eo minus nunc opus esse censui enumerare, quo accuratius inter adnotationes sententiarum auctores additis librorum titulis ceterisque notis appellavi. coniecturas falsas et inutiles silui. ex editionibus cur Juntinam et Dindorfianam fere solas respexerim, ex iis quae de quattuor editionum virtutibus et vitiis disserui facile intellegetur. in margine vero numeros paginarum editionum duarum novissimarum Dindorfianae et Jebbianae adieci, neglexi antiquioris Stephanianae, quam Canteri nomine indignissimam etiam nunc sunt qui Canterianam dicant. sed cum in indicibus et thesauris linguae Graecae illius rationem habere nondum desierint, ne Stephanianae quidem editionis memoriam a tabula ea abesse volui, qua editiones priores praeter Juntinam — neque enim ullus eius hodie usus — cum nostra hac contuli (p. XLI). paragraphis ipse orationes digessi, ut tandem aliquando certiore et distinctiore in adferendis verbis Aristideis ratione uteremur. denique orationes eas, quae hoc volumine continentur, nostris utique numeris (XVII—LIII) in adnotationibus significavi; orationum, quae primo volumine continebuntur, titulos ipsos exscripsi, ut abessent dubitationes. quod vero in primis huius voluminis foliis verba orationum quas ipso hoc volumine comprehendi adscriptis numeris paginarum Dindorfianis attuli, id errore factum est, cuius veniam velim lectores tribuant.

Restat solemnis praefationum peroratio. hi ergo viri libris aut excussis aut inspectis de editione mea optime meruerunt: Festa Pistelli Rostagno Florentini, Wentzel et Ziebarth Gottingenses, Wheeler Oxoniensis, Graeven Romanus, Nilén Suecus, Glaue Berolinensis, Reitzenstein, olim sodalis Romanus nunc collega amicissimus. quibus

addendi sunt, qui praeter ceteros mihi, dum libris Aristideis excutiendis et examinandis incumbo, fautores extiterunt, Hieronymus Vitelli Florentinus et Henricus Omont Parisinus. grati me animi esse hi omnes sciunto. hoc denique religione cogor adicere opera Wilamowitzii, qui Aristidis edendi mihi auctor extitit, factum esse, ut ad itinera in Italiam et Galliam facienda, quibus libros Aristideos recognoscerem, bis mihi stipes viri illi conferrent, quibus a. 1885 et 1887 optimarum artium cura in ministerio Borussico mandata fuit; quod memor beneficii profiteor.

Scribebam Argentorati.

INDEX ORATIONVM

VOLVMINIS II

TABVLA

qua orationum ordines editionum Stephanianae Jebbianae Dindorfianae cum ordine huius editionis comparantur

Ordo Canteri	ed. Stephan.			Jebb.			Dind.			huius ed. vol. II			
or.	1	vol. I	p.	3	vol. I	p.	1	vol. I	p.	1	p.	339	or. XLIII
„	2	„	„	16	„	„	9	„	„	12	„	304	„ XXXVII
„	3	„	„	31	„	„	17	„	„	29	„	362	„ XLVI
„	4	„	„	51	„	„	28	„	„	47	„	330	„ XLI
„	5	„	„	56	„	„	31	„	„	53	„	325	„ XL
„	6	„	„	65	„	„	36	„	„	63	„	334	„ XLII
„	7	„	„	73	„	„	41	„	„	71	„	313	„ XXXVIII
„	8	„	„	84	„	„	47	„	„	81	„	352	„ XLV
„	9	„	„	101	„	„	56	„	„	98	„	253	„ XXXV
„	10	„	„	120	„	„	67	„	„	113	„	201	„ XXX
„	11	„	„	133	„	„	75	„	„	126	„	212	„ XXXI
„	12	„	„	142	„	„	80	„	„	134	„	217	„ XXXII
„	14	„	„	344	„	„	197	„	„	321	„	91	„ XXVI
„	15	„	„	400	„	„	229	„	„	371	„	1	„ XVII
„	16	„	„	412	„	„	236	„	„	382	„	125	„ XXVII
„	17	„	„	433	„	„	247	„	„	401	„	347	„ XLIV
„	18	„	„	440	„	„	252	„	„	408	„	319	„ XXXIX
„	19	„	„	448	„	„	256	„	„	415	„	28	„ XXII
„	20	„	„	455	„	„	260	„	„	424	„	8	„ XVIII
„	21	„	„	461	„	„	263	„	„	429	„	16	„ XX
„	22	„	„	472	„	„	269	„	„	439	„	23	„ XXI
„	23	„	„	479	„	„	273	„	„	445	„	376	„ XLVII
„	24	„	„	511	„	„	291	„	„	465	„	394	„ XLVIII
„	25	„	„	546	„	„	309	„	„	488	„	413	„ IL
„	26	„	„	568	„	„	321	„	„	502	„	426	„ L
„	27	„	„	617	„	„	347	„	„	534	„	452	„ LI
„	28	„	„	646	„	„	362	„	„	551	„	467	„ LII
„	40	vol. II	„	274	„	„	504	„	„	751	„	191	„ XXIX
„	41	„	„	289	„	„	512	„	„	762	„	12	„ XIX
„	42	„	„	297	„	„	517	„	„	768	„	32	„ XXIII
„	43	„	„	340	„	„	539	„	„	797	„	72	„ XXV
„	44	„	„	374	„	„	557	„	„	824	„	54	„ XXIV
„	48	vol. III	„	552	vol. II	„	331	vol. II	„	437	„	264	„ XXXVI
„	49	„	„	618	„	„	365	„	„	491	„	139	„ XXVIII
„	50	„	„	689	„	„	401	„	„	543	„	237	„ XXXIV
„	51	„	„	715	„	„	416	„	„	571	„	227	„ XXXIII
„	55	deest			deest			„	„	707	„	468	„ LIII

INDEX NOTARVM

quae in volumine altero occurrunt

A = Laurentianus LX 3 (cf. praef. p. VII) = *Γ* Ddf.
A[r] revisor libri A
A[2] manus recentiores libri A
A = Vaticanus graec. 1899 (p. IX)
a = Vaticanus graec. 75 (p. IX)
B = Bodleianus Canonicianus graec. 84 (p. XI)
C = Laurentianus LIX 15 (p. X)
D = Laurentianus LX 7 (p. XII) = *Δ* Ddf.
E = Parisinus graec. 2950 (p. XII)
F = Angelicanus III C 11 (p. XII)
Q = Vaticanus graec. 1297 (p. X)
R = Vaticanus graec. 1298 (p. X)
S = Urbinas graec. 122 (p. XI)
T = Laurentianus LX 8 (p. XIII) = *Θ* Ddf.
U = Urbinas graec. 123 (p. XIII)
O = prima scriptura librorum omnium
O = consensus librorum A[2] *Aa* in or. LIII
Rsk. = J. J. Reiskius in Animadv. in auct. Graec. vol. V
Rsk.[2] = J. J. Reiskius in schedis Hanniensibus (p. XXXVI)
Ddf. = Guilielmus Dindorf in editione
Wil. = Udalricus de Wilamowitz-Moellendorff (p. XXIX)
Schmid = W. Schmid, der Atticismus in seinen Hauptvertretern, vol. II Aelius Aristides

[voces] quae in libris extant deletae
⟨voces⟩ quae in libris desunt additae
/ una // duae litterae erasae

I 371 D
I 229 J

XVII.

(15) ΣΜΥΡΝΑΙΚΟΣ [ΠΟΛΙΤΙΚΟΣ].

*Ὁ μὲν λόγος οὐκ ἐξ ἴσου τῇ τε πόλει καὶ τοῖς ἄλλοις· οἱ μὲν
γὰρ οὐδὲν ἂν δείξαιεν τοσοῦτον ὅσον εἴποιεν ἄν, ἡμεῖς δ' οὐδὲν
ἂν εἴποιμεν ὅσον δεῖξαι πάρεστιν· ἀνάγκη δὲ ἀφοσιώσασθαι πρὸς
τὸν νόμον, ἐπειδὴ καὶ οἵδε κελεύουσιν. ἔστι δὲ ὅμως κἂν τούτῳ κέρδος
τῇ πόλει, καὶ τῷ λέγοντι σχεδὸν ἥκιστα κίνδυνος· ὁ μὲν γὰρ ὅσῳ
καλλίω φανεῖται τὰ δρώμενα, τοσούτῳ μᾶλλον τὸ εἰκὸς δόξει πα-
θεῖν ἀπολειφθείς, ὥστε ἅμα τε ἐξελεγχθήσεται καὶ τὴν συγγνώμην
ἐκ τῶν ἐλέγχων ἕξει, τῇ δὲ πόλει φιλοτιμία προσγίγνεται, εἰ τοιού-
των καὶ τοσούτων ὄντων ὧν ἔχει δεικνύναι μὴ μόνον τοῖς δρωμένοις
ἰσχυρίζεται, ἀλλὰ καὶ τοῖς περὶ τῶν πατρίων λόγοις. Ἔστι γὰρ οὐ 2
νεωστὶ ἡμῖν ἡ πόλις εὐτυχής, ἀλλ' ἐκ προγόνων, καὶ καθέστηκεν αὐτὴ
πρὸς αὑτὴν ἐν ἀποίκου σχήματι καὶ μητροπόλεως· τρίτη γάρ ἐστιν
ἀπὸ τῆς ἀρχαίας· ὥσπερ γὰρ τὰ ἀγάλματα καὶ οἱ δι' ἀκριβείας
λόγοι δευτέρᾳ καὶ τρίτῃ χειρὶ καθίστανται, οὕτως ἄρα καὶ τὴν
πόλιν τρίτῃ χειρὶ χρῆν κτισθεῖσαν ἀκριβῶσαι τὸ κάλλος, καὶ
γέγονεν δὴ παλαιοτάτη ⟨καὶ⟩ καινοτάτη ἡ αὐτὴ ἑαυτὴν ἀνανεω-
372 D σαμένη, καθάπερ τὸν ὄρνιν φασὶ τὸν ἱερόν. ἡ μὲν οὖν πρεσβυτάτη 3
πόλις ἐν τῷ Σιπύλῳ κτίζεται, οὗ δὴ τάς τε θεῶν εὐνὰς εἶναι
λέγουσιν καὶ τοὺς Κουρήτων χοροὺς περὶ τὴν τοῦ Διὸς μητέρα.
οὕτω δ' ἦν ἐξ ἀρχῆς θεοφιλὴς ὥστε λέγουσιν οἱ ποιηταὶ τοὺς
θεοὺς ἅμα τοῖς ἥρωσιν ἐρανίζειν εἰς αὐτὴν ἀναμὶξ εὐωχουμένους.*

Libri ARDUT = O

TESTIMONIVM 15 sq. cf. Menand. Epid. p. 183 W. (355 Sp.)

Tit. om. D[1], add. m. recentissima; *πολιτικὸς* seclusi, cf. ad tit. or. XXI
2 *δὲ* D 6 *τοσοῦτον* R 7 *συγγνώμην*] *γνώμην* R 8 *προσγίνεται* DUT
11 *καὶ* ADU: s. l. add. T[1], om. R *αὔτη* A a. corr. R 12 *αὐτὴν* A a.
corr. R, *ἑαυτην* DU 15 *χρῆν* UT: *ἐχρῆν* D, *χρὴ* AR *ἠκριβῶσθαι* Kai-
bel 16 *δὴ* Junt.: *δ' ἡ* ART, *ἡ* DU ⟨*καὶ*⟩ add. Junt.: om. O; cf. p. 21, 26
18 *οὗ — λέγουσιν*] Hom. Ω 615 *τε*] *τῶν* D, om. U 19 *τοὺς*] *τοὺσ τῶν* DU
τοῦ om. U 20 *ποιηταὶ*] Pind. O. I 37 sq. (*ἐς ἔρανον φίλαν τε Σίπυλον*)
21 ad *ἐρανίζειν* add. mg. *γρ. ἑαρίζειν* D[1]

ἐκείνην μὲν οὖν αἱ νύμφαι δέχονται, καὶ νῦν ἐστιν ὕφαλος ὑπελ-
4 θοῦσα τὴν λίμνην, ὥς φασιν. δευτέρα δὲ μετὰ ταῦτα ᾤκεῖτο ὑπὸ
τῷ Σιπύλῳ παρὰ τὴν χηλὴν τῆς ἠιόνος, ἐν μέσῳ τῆς ἀρχαίας καὶ
τῆς νῦν, ἡ νῦν ἀρχαία πρὸς ταύτην καθεστηκυῖα· ταῦτα δ' ἦν ὥσπερ 230 J
μελέται τῆσδε τῆς οἰκήσεως ἐν ἄλλοις φαυλοτέροις πλάσμασιν.
τρίτῳ δέ, ὡς οἱ ποιηταὶ καλοῦσιν, βήματι κινηθεῖσα ἡ πόλις εἰς
5 ἓν τόδε κατέστη τὸ σχῆμα. ὁ δὲ λεὼς ὁ μὲν πρεσβύτατος αὐ-
τόχθων αὐτῇ· ἐπεὶ δὲ καὶ ἐποίκους ἔδει δέξασθαι, ἐδέξατο καὶ
τούτους ἀπὸ τῶν αὐτοχθόνων τῶν τῆς ἑτέρας ἠπείρου, καὶ συνε-
κράθη δαιμονίως τοῖς ἀντιπέρας Ἕλλησιν οἰκιστὰς δοῦσά τε καὶ
δεξαμένη, Πελοποννησίοις μὲν τὸν ἐπώνυμον δοῦσα καὶ τὸ σεμνύ-
νεσθαι τῇ προσηγορίᾳ, Ἀθήνηθεν δὲ τοὺς Ἐρεχθείδας, ὡς λόγος,
ἐκ τοῦ πρὸς Ἀμαζόνας πολέμου δεξαμένη καὶ ὕστερον δὴ τοὺς
ὑστέρους. ἀπέλαυσαν δὲ τῆς μητροπόλεως ἀμφότερα, ἁβρότητας 378 D
μὲν εἰς τὸ καθ' ἡμέραν, τολμήματα δὲ εἰς τοὺς πολέμους κρείττον'
ἢ πολλοῖς ἐρίσαι λυσιτελεῖν, ὥστε καὶ τῶν ποιητῶν ἤδη τισὶν
Σμυρναῖον τρόπον τὸ τοιοῦτον εἰρῆσθαι· δεῖγμα δὲ ἓν ἐξαρκέσει,
οὗ καὶ τὸ ὑπόμνημα ὄψει — καλοῦσι γάρ σε ἦρος Ὧραι πρῶται —·
6 Διονυσίοις τριήρης ἱερὰ τῷ Διονύσῳ φέρεται κύκλῳ δι' ἀγορᾶς. τὸ
δ' ἐστὶ σύμβολον, ὥς ποτε Χῖοι πλεύσαντες ἐπὶ τὴν πόλιν, ὡς
ἐρήμην αἱρήσοντες τῶν ἀνδρῶν ἀπόντων ἐν τῷ ὄρει † κατὰ τῶν θεῶν
ὀφθέντες ὑπ' αὐτῶν κατιόντων, οὐ μόνον τῆς πείρας ἀπέτυχον,
ἀλλὰ καὶ τὰς ναῦς προσαπώλεσαν, ἐνόπλιον δὴ τότε ὀρχησαμένων
τῷ Διονύσῳ καὶ τὰ Βακχεῖα ἐν τοῖς ἐκείνων σώμασιν τελεσαμένων.
7 καὶ τοῦτο μὲν ἥδυσμα ταῖς πράξεσι τῆς πόλεώς ἐστιν καὶ ὡσπερεὶ
σύμβολόν τι τῶν ἄλλων ὧν ἀνάγκη παραλιπεῖν· διὸ καὶ ὑπὸ τῶν

---

1 sqq. cf. or. XXI § 3 4 τῆς νῦν] cf. Paus. VII 5, 1 6 τρίτη R ποιηταὶ] cf. Pind. P. 3, 43 (Bergk ad. h. l.); Schol. Hom. *N* 20 7 ἓν] cf. p. 3, 22 9 τῶν (ante τῆς) scripsi: ἀπὸ O; hoc servato prius ἀπὸ del. Wil. 10 ἀντιπέραν D^2; cf. Schmid p. 79 τε om. D 11 πελοπονησίοισ D, ut solet τὸν] τὸ D^1U 13 τοὺς ὑστέρους] cf. or. XXI § 4 14 δὲ ADU: δὴ RT 15 κρείττον' scripsi: κρεῖττον RDTA p. ras., κρείττων A a. ras., κρείττω U 16 ἐρεῖσαι D^1T^1 ποιητῶν] poetae ignoti (cf. Bergk^4 ad Pind. frg. 204) 17 τὸ om. D^1 δεῖγμα] sc. τοῦ Σμυρναίου τρόπου; ὑπόμνημα est τριήρης 18 Ὧραι πρῶται scripsi: ὥρᾳ πρώτῃ O; καλοῦσι ad Smyrnaeos relatum sensu cassum; cf. ad p. 12, 15; Διονυσίοις ⟨οἷς⟩ Schwarz Wien. Stud. 1886, 78 20 ὡσ ποτὲ χῖοι A^rDUT: ὧι πότε χῖοι R, (at ῖ ex εῖ corr.), ὥσ ποτ' ἔχει οἱ A^1 21 ἐρήμη D^1 κατὰ (κᾶτα A) τῶν θεῶν AR, κᾶτα ἐκ τῶν θεῶν D^1UT^2 mg. c. γρ., κατὰ τῶν νεῶν T^1D^2; locus corruptus; vv. ὡς — αἱρήσοντες evincunt causam et cur Smyrnaei in montes profecti essent et cur soli homines, non feminae, additam fuisse; κατὰ τὸ θεῖον ci. Wil. 25 ὥσπερ εἰσ σύμβολόν R

πολλῶν διαθρυλεῖται. πολλοὺς δ᾽ ἄν τις αὐτῆς ἔχοι λέγειν ἀγῶνας
καὶ ἄλλους, καὶ δὴ τοὺς τελευταίους τοὺς ὑπὲρ ὑμῶν καὶ σὺν ὑμῖν
ἐν παντὶ τῷ παραστάντι πολλῆς τινος ἔργον σχολῆς διηγήσασθαι.
281 J ἀλλὰ τί δεῖ περὶ ταῦτα τρίβεσθαι; αἷς μὲν γάρ ἐστι τῶν πόλεων
ἐν μύθοις ἢ διηγήσεσιν ἡ φιλοτιμία, εἰς ταῦτα εἰκὸς ἀναχωρεῖν,
ἥτις δὲ εὐθὺς ὀφθεῖσα χειροῦται καὶ οὐκ ἐᾷ ζητεῖν τὰ ἀρχαῖα,
τί δεῖ ταύτην σεμνύνειν ἀπὸ τῶν παρελθόντων, ἀλλ᾽ οὐ περιη-
γεῖσθαι [καθάπερ οἱ τῆς χειρὸς ἔχοντες,] μάρτυρα τὸν θεατὴν τῶν
374 D λόγων ποιούμενον; οἶμαι γάρ, εἴ τινος εἴδωλον πόλεως ἔδει φαί- 8
νεσθαι κατ᾽ οὐρανόν, ὥσπερ τὸν στέφανόν φασι τὸν Ἀριάδνης καὶ
ἄλλα εἴδωλα ποταμῶν τε καὶ ζῴων ὅσα πρὸς θεῶν ἐτιμήθη,
τήνδε ἂν φαίνεσθαι νικῆσαι· οὕτως μοι δοκεῖ πεφυκέναι παρά-
δειγμα πόλεως καὶ οὔτε τοῦ πολίτου ποιητοῦ προμνωμένου προσ-
δεῖσθαι οὔτε ἄλλης τέχνης εἰς ἔπαινον, ἀλλ᾽ αὐτὴ προξενεῖν τὸν
ἔρωτα αὐτῆς πᾶσιν ἀνθρώποις καὶ αὐτὴ καταναγκάζειν ὀφθαλμούς,
οὐχὶ ὦτα πείθουσα. Τέταται γὰρ ὑπὲρ τῆς θαλάττης ἄνθος 9
ὥρας ἀφιεῖσα διηνεκές, ὥσπερ οὐ κατὰ μικρὸν πολισθεῖσα, ἀλλ᾽
εἰσάπαξ ἀνασχοῦσα τῆς γῆς, οὐ πρὸς ἀνάγκην οὐδ᾽ ἠπειγμένον τὸ
μέγεθος παρεχομένη, ἀλλὰ πανταχοῦ πολλὴ καὶ παραπλησία, καὶ
ἔστιν αὐτῇ τὸ μέγεθος κάλλους περιουσία· οὐδ᾽ ἂν φαίης εἶναι
πόλεις πολλὰς κατὰ μικρὰ διεσπαρμένας, ἀλλὰ μίαν μὲν πολλῶν
ἀντίρροπον, μίαν δ᾽ οὖν ὁμόχρουν καὶ σύμφωνον ἑαυτῇ καθάπερ
375 D ἀνθρώπου σῶμα συμβαίνοντα τῷ ὅλῳ τὰ μέρη παρεχομένην.
κόσμοι δὲ οἵ τε ἐν αὐτῇ καὶ οἱ περὶ αὐτὴν ἐξ ἴσου πολλοί τε καὶ 10

---

1 *διαθρυλεῖται* scripsi: *ἄρα θρυλεῖται* O (*θρυλλεῖται* DT); *ἀεὶ θρυλεῖται* Schwarz l. c. p. 79 coll. Plat. Phaed. 65 B   *ἀγῶνασ ἔχοι λέγειν* U   2 *ἄλλουσ* ARDUT[2] mg. c. *γρ.*: *ἄθλουσ* T[1]   *τελευταίους*] cf. or. XIX § 11   *ἡμῶν καὶ σὺν ἡμῖν* D   6 *δ᾽* U   *εὐθὺσ* om. D   7 *περιηγεῖσθαι* ATD[2] (radendo): *περιδιηγεῖσθαι* R (natum ex *περιηγ.* superscr. *δι*, unde) *περὶ αὐτῆσ διηγεῖσθαι* D[1] (in ras. *᾽τ* agnoscuntur) U   8 *καθάπερ οἱ* (ex *καθαπερεὶ* corr. U pr. m.) *τῆσ χειρὸσ ἔχοντεσ* ARDUT[2] mg. c. *γρ.*: *καθαπερεὶ τῆσ χειρὸσ ἔχοντα* T[1] (cf. Schmid p. 169); seclusi verba   9 *ποιούμενον* A[1]RTU a. ras.: *ποιούμενοι* A[2]DU p. ras.   10 *φησι* R   *τὸν ἀριάδνησ* ART: *τ.σ ἀρι.δνησ* DU   12 *τήνδε* Wil.: *τῆσδε* O   *οὕτω* DUT   13 *πόλεωσ* A: *πόλεωσ εἶναι* RDUT   14 *αὐτὴ*] *αὐτῆι* A   15 *αὐτῆσ* DU   *καταναγκάζειν*] sc. *ἐρᾶν* (ex *ἔρωτα* suppl.)   16 *τέτακται* R   20 *εἶναι πόλεισ* ARD: *πόλεισ εἶναι* UT   21 *κατὰ μικρὰ* A: *κατὰ μικρὸν* RDUT   22 *οὖν* suspectum Kaibelio   *ὁμόχρουν* DU: *ὁμόχρων* A (at / mg.) RT; *ὁμόθρουν* Lobeck ad Phryn. p. 142, at imagini corporis humani, quae statim sequitur, *ὁμόχρουν* aptissimum; cf. Paus. V 5, 11   23 *σώματι* DU

λαμπροὶ καὶ ποθεινοτέρους οὐχὶ λελοιπότες, ἀλλ᾽ ἔστιν ἅπασα
[ὥσπερ] δι᾽ ἀγαλμάτων ὥσπερ οἱ κατάπαστοι χιτῶνες. ἀπὸ ἑσπέρας
μὲν πρὸς ἕω βαδίζων ἐκ νεώ τε εἰς νεὼν ἥξεις καὶ ἐκ κολωνοῦ
πρὸς κολωνὸν δι᾽ ἑνὸς στενωποῦ καλλίονος ἢ κατὰ τοὔνομα. στάντι
δὲ ἐπὶ τῆς ἀκροπόλεως ἡ μὲν θάλαττα ὑπορρεῖ, τὰ δὲ προάστια
ὑφορμεῖ· καταμιγνυμένη δὲ ἀμφοτέροις ἡ πόλις διὰ τριῶν τῶν ἡδί-
στων θεαμάτων ἐκχεῖ τὴν ψυχήν, οὐδὲ ἔστιν εὑρεῖν οὗ τις ἐρείσει⟨ε⟩
τὸν ὀφθαλμόν· ἕλκει γὰρ ἐφ᾽ ἑαυτὸ ἕκαστον ὥσπερ ἐν ὅρμῳ ποι- 232 J
κίλῳ. κατιόντα δὲ ἀπὸ τῆς ἀκροπόλεως τὰ ἔξω ἐκδέχεται, ...
ναῶν τε ὁ κάλλιστος αὖθις τῆς εἰληχυίας θεοῦ τὴν πόλιν· καὶ τὰ
11 *ἐπὶ τούτοις ἔργον καὶ πρεσβύτῃ μνησθῆναι κοσμίως. πάντα γὰρ*
ἤδη μέχρι τῆς παραλίας καταλάμπεται γυμνασίοις, ἀγοραῖς, θεά-
τροις, περιβόλοις, λιμέσιν, κάλλεσιν αὐτοφυέσιν καὶ χειροποιήτοις
ἁμιλλωμένοις, ἀργὸν δὲ οὐδέν ἐστι θεάματος οὐδὲ χρείας· λουτρὰ
μέν γε τοσαῦτα ὥστε ἀπορήσαις ἂν οὗ λούσαιο, δρόμοι δὲ ἀπάσης 376 D
ἰδέας, οἱ μὲν ἐν βάθει τῆς πόλεως, οἱ δ᾽ ἐπὶ τέρμασιν, ἄλλος
ἄλλον κωλύων τὸν κάλλιστον εἶναι, κρῆναι δὲ καὶ πηγαὶ κατ᾽ οἰκίας
τε καὶ πλείους ἢ κατ᾽ οἰκίαν, [καὶ στενωποὶ ἀντ᾽ ἀγορῶν] καὶ στενω-
ποὶ τέτραχα σχίζοντες ἀλλήλους εἰς ὑποδοχὴν τοῦ ἡλίου, μικροῦ δέω
λέγειν ὃ πρόσθεν (p. 3, 21) *ἠρνούμην, πολλὰς πόλεις ποιοῦντες τῇ*
12 *περιγραφῇ, μίμημα τῆς πάσης ἑκάστην. αὖραι δὲ ἠριναί τε καὶ*
θεριναὶ λιγυρώτεραι τῶν παρὰ ποιηταῖς ἀηδόνων καὶ τεττίγων,
ἄλλαι δι᾽ ἄλλων διάττουσαι τόπων ἅπασαν τὴν πόλιν ἀντὶ ἄλσους
καθιστᾶσιν. ποίας γραφῆς ἢ πλάσματος οὐ βελτίω ταῦτα [μιμή-
σασθαι]; ἀεὶ δὲ ὥσπερ εἰς πομπὴν ἐνιαύσιον κεκοσμημένη ταῖς τε

---

1 *ποθεινοτέροισ* R 2 *ὥσπερ* secl. Wil.; *ἅπασα ὥσπερ οἱ ἀγαλμάτων κατάπαστοι χιτῶνες* Rsk. 3 *βαδίζειν* R *τε εἰς* DU: *τε καὶ εἰς* ART 4 *πρὸσ* DUT: *τε πρὸσ* AR *καλλίωνοσ* R a. corr.; vicus *aureus*, cf. p. 10, 8 *κατ᾽ούνομα* R 5 *προάστεια* ADUT 7 *ἐκχεῖ* suspectum (cf. Schmid p. 227), sententia est 'turbat' *οὐδὲ*] cf. Schmid p. 63 post *οὐδὲ* add. *γὰρ* DU *εὑρεῖν ἔστιν* U *ἐρείσειε* scripsi: *ἐρείσει* O 8 *ἐφ᾽ ἑαυτὸ* ADU (at *ὸ* e corr. pr. m.): *ἐφ᾽ ἑαυτῶι* R, *ὑφ᾽ ἑαυτῶ* T^1, *ἐφ᾽ ἑαυτὰ* T^2 9 *κατιόντα* AU: *κατιόντι* RDT *ἐκδέχεται*] *ἐκ* in ras. U^2 10 *αὖθις*] *αὐτῆς* Rsk., *εὐθὺς* Jacobs ad Achill. Tat. p. 791; lacunam indicavi: nec *τε* nec *αὖθις* intelleguntur; alius pulcherrimi aedificii vel fori praecessit mentio *θεοῦ*] Magnae Matris: '*μητρῷον*' Strab. XIV 646 11 *κοσμίωσ* ARDU: *μετρίωσ* U^2 mg. c. *γρ.*, *μετρίωσ* T pr. m., cf. p. 8, 13 14 *ἁμιλλωμένοις*] *ἁλλομένοισ* R *οὐδὲ*] *ἢ* DU 18 *οἰκίαν*] *οἰκίασ* DU *καὶ — ἀντ᾽ ἀγορῶν* seclusi, glossema ad *εἰς ὑποδοχὴν κτἑ.* spectans, cf. p. 10, 9 posterius *καὶ στενωποὶ* om. U (eras. in Vindob. IV 113, probante Schwarz l. c. 81) 19 *τέτραχα*] cf. Strab. l. c. *ἀλλήλοισ* R 24 *μιμήσασθαι* seclusi 25 *αἰεὶ* ex *ἀεὶ* A^r (ut solet) T^2

ἰδίαις καὶ ταῖς δημοσίαις κατασκευαῖς ὡραΐζεται, σκηνῆς Μηδικῆς
θέαμα ἁβρότερον. θυμηδίαι δὲ αὐτὴν οὔποτε λείπουσιν, οὐδ᾽ ὅσαι 13
Μοῦσαι πόλεις ἀνθρώπων ἐπέρχονται οὐδεμία ἐξοικεῖ. πολλὴ μὲν
γὰρ ἡ ἐγχώριος, πολλὴ δὲ ἡ ἔπηλυς· φαίης ἂν ἑστίαν εἶναι τῆς
ἠπείρου παιδείας εἵνεκα· θεάτρων τε πάντων κατά τε ἀγῶνας καὶ
τὰς ἄλλας ἐπιδείξεις ἀμύθητος ἡ ἀφθονία· πρὸς δὲ τούτοις χειρῶν
ἔργα παντοῖα καὶ φορὰ γῆς καὶ θαλάττης ἐφάμιλλος. συνελόντι
δ᾽ εἰπεῖν, ἑκατέρῳ τῷ ἔθνει μία δὴ πόλις αὕτη μετριωτάτη, ὅσοι
τε ἐπὶ ῥᾳστώνης τὸν βίον διανύσαι προείλοντο καὶ ὅσοι φιλοσοφεῖν
233 J ἀδόλως ἀξιοῦσιν. ἀντιπάλους γὰρ τῶν πόνων τὰς ἀναπαύσεις
377 D ἔχουσιν, ὥστε οὐ κάμνουσιν. ὁ δὲ δὴ πρὸ θυρῶν κόσμος, ἀντὶ 14
Ἀπόλλωνος ἀγυιέως προπύλαιος τῇ πόλει Μέλης ὁ ἐπώνυμος,
διωρυχὴ νυμφῶν ἐκ πηγῶν εἰς θάλατταν, αὐταῖς τε εἶναι λουτρὸν
ῥυτὸν καὶ Νηρηίδας παρὰ Νηρέως δέξασθαι δι᾽ ὀλίγου. ῥεῖ δὲ ὁ
Μέλης ὁμοίως ἔκ τε ἄντρων καὶ οἴκων καὶ δένδρων καὶ μέσου τοῦ
ῥείθρου ἀνίσχων καὶ προϊὼν . . . . . μέχρι θαλάττης, καὶ αὐτοῦ τὸ μὲν
κατὰ τὰς ἄνω πηγὰς κύκλος τέ ἐστι καὶ ὅρμῳ μάλιστ᾽ ἂν ἀπεικάσαις, τὰ δὲ ἑξῆς εὐρίπῳ· πρὸς δὲ ταῖς ἐκβολαῖς † βέβρυχε μὲν
ἥκιστα, ὁ δὲ τὸ ῥόθιον ἐπιλεαίνων ἀψοφητὶ καταμίγνυται, ἐπιοῦσαν
μὲν ἐξ ἀνέμων τὴν θάλατταν αἰωρῶν, ἀπιούσῃ δὲ ἑπόμενος, νῶτον
ἐν τοῦ ὕδατος ἑκατέρου δεικνύς, ὥστε οὐκ ἂν γνοίης ὅπου συνέβαλον.
καὶ μὴν ὅτι γε ἰχθύων πάντῃ πλήρης, καὶ τούτων τιθασῶν τε καὶ 15
συσσίτων τοῖς σκηνοῦσιν ἐπὶ ταῖς ὄχθαις, καὶ † οὐκ ἐπὶ τοῦ ξηροῦ,

---

2 *οὔποτε*] *οὔπω* R *οὐδ᾽* Ddf.: *οὐθ᾽* O 3 *ἐξοικεῖ*] cf. Panath. I 287, 23 Ddf., ubi *ἔξω οἰκεῖν* Aldi coniectura 5 *παιδιᾶσ εἵνεκα* ART, *παιδείασ ἕνεκα* DU *τε*] *δὲ* DU *πάντων*] *ἁπάντων* T *τε*] *γε* DU 6 *ἡ* om. U 7 *θαλάσσησ* T 12 *ἀγυιέωσ* ADUT^{1}: *ἀγυιέως* RT^{2} mg. c. *γρ.* *μέλησ ὁ* DUT: *λέλησο* A (at cum/mg.) R *ἐπώνυμος*] nympharum et sinus 13 *διωρυχὴ* U, *διορυχὴ* D (utrumque in libris Thom. Mag. 94, 11): *διωρυχὴν* RT^{1} p. corr.; *διορυχὴν* AT^{1} a. corr., *διωρυχῆς* Scaliger; *διωρυχὴν* (Junt.) — *εἰς θάλατταν* ⟨*ποιεῖ*⟩ P. Stephanus, unde *ὁ νυμφῶν ἐπώνυμος διωρυχὴν — ποιεῖ* Rsk. 15 locum intricatissimum sic enarraverim: 'Meles ita fluit, ut oriatur aequa ratione et ex antris et e domibus (supra fontes exstructis) et ex arboribus (inter radices cum emicant rivuli) et ex ipso alveo (ubi item rivuli) et procedat ⟨inter loca amoenissima⟩ usque ad mare'; verba *καὶ αὐτοῦ* 16 — *εὐρίπῳ* 18 plana sunt; tum e. g. *πρὸς δὲ ταῖς ἐκβολαῖς* ⟨*ἡ μὲν ῥαχία* (or. XXV § 25) *μαχομένη τῷ ποταμῷ*⟩ *βέβρυχε μήκιστα, ὁ δὲ κτέ.* sec. Hom. *P* 263 (locum supped. Kaibel) 16 *αὐτοῦ*] *αὐτοῖσ* D a. corr. 17 *κύκλος τέ ἐστι*] an *κυκλοτε*⟨*ρές*⟩ *ἐστι?* 18 *βέβρυχε μὲν ἥκιστα* O: *ἥκιστα βέβρυχε* Thom. Mag. 118, 3 20 *θάλασσαν* U *αἰωρῶν* ARUD^{1} p. corr.: *ἑωρῶν* D^{1} a. corr., *ἑωρῶν* T, *αι* s. l. add. incertum T^{2} an T^{1} *νότον* RT^{1} a. corr. 21 *ἓν* Kaibel: *ἐκ* O 22 *τιθασῶν* DTA^{2}R^{2} (-*θάσων* A^{1}R^{1}): *τιθασσῶν* U 23 *συσσιτίων* DU de *καὶ — ξηροῦ* v. ad p. 6, 1

ἀλλ᾽ ὑπὸ τοῦ αὐλοῦ ἐν χώρᾳ ὀρχουμένων καὶ παροινίᾳ κυβιστών- 378 D
των εἰς τοὺς συμπότας, ταῦτα μὲν κἂν οἱ παῖδες ἐξηγοῖντο καὶ
ἰδεῖν πᾶσιν ἔξεστιν· αἱ δὲ δὴ καλλίους τοῦ ποταμοῦ γοναὶ καὶ ἐπὶ
πάσας φέρουσαι πόλεις Ὅμηρος, ὁ κοινὸς τοῖς Ἕλλησι τροφεὺς
καὶ φίλος ἐκ πατέρων τε καὶ ἐκ παιδὸς ἑκάστῳ· διὸ καὶ δικαίως ἄν
μοι δοκοῦσιν ἅπαντες εἰς τὰς πηγάς, ὥσπερ ἐκεῖνος ἔφη (Ψ 148) τοῦ
Σπερχειοῦ, τοῦ Μέλητος ἀπάρχεσθαι τῶν λόγων, ὥσπερ βοστρύχων,
16 ᾄδοντες Ὁμήρου χάριν τὸν ποταμόν. διαβάντι δὲ τὸν Μέλητα
ἀπαντᾷ χῶρος, Ποσειδῶνος, ὡς ἐμοὶ δοκεῖν, δῶρον τῇ πόλει, παρα-
πλήσιόν τε καὶ οὐ παραπλήσιον τῷ περὶ Θετταλίαν λεγομένῳ.
ἐκεῖ μὲν γὰρ τὰ ὄρη διαστήσας Θετταλίαν ἐποίησεν γῆν ἄπεδον
ἐκ λίμνης, ἐξιεὶς κατὰ ῥῆγμα τὸν Πηνειόν, ἐνταῦθα δὲ ἀπήγαγε τὴν
θάλατταν ἀπὸ τῶν ὀρῶν, ἀντίστροφον τὸν ἐκ τῆς ἠπείρου κόσμον
τῷ παρὰ τῆς θαλάττης ἁρμόττων τῇ πόλει. οὐ μὴν ἰλύν γε ὑπε-
λίπετο οὐδ᾽ ὅλον ἔπηξε τὸ ἔδαφος, ἀλλ᾽ ὀρύξαντι μέν ἐστι σημεῖα 284 J
τῆς ἀρχαίας φύσεως καὶ βλέψαντί γε εἰς τὰ κύκλῳ περιέχοντα 379 D
εἰς ἅ ποτε ἀπηρείδετο ἡ θάλαττα, διεξελαύνοντι δὲ ἐν ὥραις καὶ
17 κρήναις τὸ ἁλίπεδον, καὶ ταῦτά γε ἐν τέλει . . . . . καὶ προελθόντι
μικρὸν ἡ πόλις αὖθις ὥσπερ παραπέμπουσα ἀναφαίνεται, καὶ
γίγνεται δι᾽ ἐλάττονος ἐνταῦθα ἤδη ἀριθμητὰ καὶ μετρητὰ τὰ
κάλλη αὐτῆς. καὶ οὐδεὶς οὕτως ἐπείγεται ὅστις ὁρᾷ τὸ πρόσω τῆς
ὁδοῦ καὶ οὐ μεταβάλλει τὸ σχῆμα, τὰ μὲν κατ᾽ ὀφθαλμοὺς δεξιὰ
ποιούμενος, τὰ δὲ ἀριστερὰ πρὸ τῆς ὄψεως. ἡ γὰρ πόλις ἕλκει
πρὸς αὑτὴν ὥσπερ ἡ μαγνῆτις λίθος τὰ σιδήρια καὶ δι᾽ ἀνάγκης
ἐθελουσίου χειροῦται. πέπονθεν δὲ ταυτὸν ἥ τε πόλις πρὸς τὰ

---

1 vv. *καὶ* (p. 5, 23) — *ὀρχουμένων* corrupta vel interpolata; pro *ξηροῦ* ci. *ξηροτηγάνου* Kaibel coll. Ophel. frg. 1 (II p. 293 K.) et Eubuli 109 (ibid. 203); *οὐκ — ἀλλ᾽* secl. Schwarz l. c. 81 (prob. Wil.); *ἐν χώρᾳ* 'in sua sede' *κυβιστῶν τῶν* A^1 2 *ἐξηγοῦντο* A 4 *φέρουσαι* DUT: *φέρουσι* AR 8 *ᾄδοντες* scripsi: *ἄιδοντασ* A, *ὧι δόντασ* R, *ἄδοντασ* D (*ᾀδ-*) UT *τῶν ποταμῶν* R 10 *τε* Rsk.: *τι* O (at s. l. add. U^1) 12 *ῥῆγμα* Wil.: *ῥεῦμα* O *δὲ ἀπήγαγε* scripsi: *δὲ ἐπανήγαγε* O (e *δε ανηγαγε* (π supra lin.) natum); *ὑπανήγαγε* Rsk. 14 *⟨οὔτ᾽⟩ ἰλύν* — 15 *οὔθ᾽ ὅλον* mavult Kaibel *ὑπελίπετο* AT: *ὑπελείπετο* RDU 15 *οὐδὲ* U *ὅλον* scripsi: *ὅσον* O 17 *ὥραις* corruptum ex *ἐκροαῖς* vel *πηγαῖς* (cf. § 11); mentio fontium vel aquarum necessaria, ut et his verbis probetur oratoris sententia de pristina littoris natura (*μὲν — δὲ*) 18 *ἁλήπεδον* A a. corr. (corr. A^1) R *γε*] *τε* R lacunam indicavi: profectus ab urbe perlustrato suburbio cum Meletem transgressus esset, planitiem littoralem usque ad finem visit; deinde, dum in extremis planitiei sub ipsis montibus, quae in orbis modum planitiem circumscribunt, iter prosequitur, ipsi procedenti paullo a sinistra rursus urbs apparet, ad quam iam redit 20 *γίνεται* DUT^1 21 *ὁρᾷ*] *ἐρᾷ* D^1 *τὸ* om. R 22 *δεξιά ποι ποιούμενοσ* A 24 *ἑαυτὴν* DUT

ἔξω καὶ τὰ ἔξω πρὸς τὴν πόλιν. οὔτε γὰρ ἐκ τοῦ ἄστεος τὰ προ-
άστια δρῶντι κόρος, εἴ τε τις ἔξωθεν προσορῴη τὴν πόλιν, ἀεὶ
τοῦ ἴσου δεῖ τὸ μὴ ἱκανῶς ἔχειν. μόνη δέ ταύτῃ πόλεων εἰς ζημίαν 18
ἡ δόξα καθίσταται· οὐδεὶς γὰρ ἂν ἔξω περὶ αὐτῆς ἀκούων ἐφίκοιτο
ὥστε ἅπαν συλλαβεῖν. δοκεῖ δ' ἄν μοί τις καὶ δόγμα παρ' αὐτῷ
ποιήσασθαι, ὥσπερ τὸν ὑπὸ τῆς ἐχίδνης φασὶ πληγέντα μὴ ἐθέλειν
380 D ἑτέρῳ λέγειν ἀλλ' ἢ ὅστις πεπείραται, οὕτω καὶ τῶν περὶ τῆς
πόλεως καλῶν ἰδόντα ἰδόντι μόνον κοινοῦσθαι ἢ μέλλοντί γε αὐ-
τίκα, εἰς ἑτέρους δὲ οὐκ ἂν ῥᾳδίως [τοὺς λόγους] ἐκφέρειν ὥσπερ
εἰς βεβήλους ⟨τὰ⟩ ἱερά [· ὥσπερ οἱ ὑπ' ἔρωτος κατεχόμενοι πρὸς
τοὺς κομιδῇ παῖδας οὐκ ἐθέλουσι διηγεῖσθαι]. τοσόνδε μὲν γὰρ 19
ἴσως καὶ ποιητὴς ἂν εἴποι καὶ ψυχαγωγήσειεν, ὡς ὁ μὲν λιμὴν
ἐν ὀμφαλῷ τῆς πόλεως, τὸ δὲ πέλαγος ἐν ὀφθαλμῷ, τοῖς ἐπὶ
θάτερα ἐσχάτοις οὐχ ἧττον σύνοπτον ἢ τοῖς προσοικοῦσιν· καὶ ἡ
μὲν ἀκρόπολις διὰ πάσης ἀνέχει τῆς πόλεως, ἡ δὲ θάλαττα παρα-
τείνει καθάπερ βάσις, τοσοῦτον τοῦ Μέλητος πρὸς ἕω παραλλάτ-
τουσα ὅσον εἰς καμπὴν παρεξελθεῖν, καὶ ἄλλα ἐν μέρει κοσμοίη
235 J τις ἄν· ἡ δὲ ἐπὶ πᾶσιν χάρις ὥσπερ Ἶρις τεταμένη καὶ τὴν πόλιν 20
ὥσπερ λύραν ἁρμοττομένη σύμφωνον αὐτῇ τε καὶ τοῖς ἔξω κόσμοις,
καὶ ἡ διὰ πάντων ὥσπερ τοῦ παρ' Ὁμήρῳ (Β 457) χαλκοῦ μέχρις
οὐρανοῦ διηνεκὴς αἴγλη, τῷ ταῦτα ἐφικτὰ διηγήσασθαι; οὐχ οὕτως
381 D οὔτε ὁ Μέλης καλλίπαις οὔτε τις εἰς λόγους εὐτυχής. καὶ μὴν μόνη 21
μὲν πόλεων ἱστορίας, οὐκ ἀκοῆς δεῖται, μόνη δὲ οὐχ ἱστορίας μᾶλλον
ἢ διαίτης συνεχοῦς καὶ ὁμιλίας, ὅστις αὐτὴν μέλλει καλῶς θεά-
σεσθαι καὶ τοὺς μισθοὺς τῶν ἐπαίνων αὐτόθεν κομιεῖσθαι. ἐγὼ
δὲ τοσοῦτον ἔτι προσθήσω τῇ περιόδῳ· τοῦ μὲν γὰρ μυχοῦ τοῦ

---

1 οὔτε A[1]RT: εἴτε D, τῶτε UA[2] προάστεια ADUT 2 κόρος Canter coll. or. XXV § 7: κόσμοσ O αἰεὶ A[r]T[2] 3 conieci δεῖ⟨ται διὰ⟩ τὸ μὴ 5 δοκεῖ Junt.: δοκεῖν O αὐτῷ Wil.: αὐτῶν O 6 φασὶ] Plat. Symp. 217 E; cf. etiam or. XXVIII p. 534, 2 Ddf. 7 περὶ suspectum 8 ἰδόντα TD[2]U (at ντα in ras. pr. m.): ἰδὼν ARD[1]; del. Junt. μόνον ADT: μοῦνον R, μόνω U 9 τοὺς λόγους ADUT, om. R, seclusi 10 τὰ addidi, cf. or. XXVIII p. 528, 3 Ddf. δεικνὺς ἀμυήτῳ τὰ ἱερά ὥσπερ — 11 διηγεῖσθαι seclusi 11 γὰρ] γε DU 12 ἴσωσ om. DU a. corr. (corr. pr. m.) εἴποι τισ καὶ DU 13 τῆσ πόλεως scripsi: τὴν πόλιν O; cf. Panath. I 159, 6 Ddf. 17 καὶ ἄλλα ἐν ART: ἀλλὰ ταῦτα μὲν καὶ ἐν DU; δὲ post ἡ (v. 18) referendum ad μὲν v. 11 18 ὥσπερ — 20 πάντων omissa add. mg. R[1] 19 αὐτῆι RT[2], αὐτῆι AT[1]: ἑαυτῇ DU τε] γε U 20 τοῦ DUTA[2]: τὸ A[1]R 22 μέλης (το supra) A, το bis add. duae diversae m. rec. καλλίπαισ ARDUT[2] mg. c. γρ.: καταλείπεται T[1]; καλλίπαις praedicatum 23 δ' D 24 διαίτησ συνεχοῦσ καὶ ὁμιλίασ ART: διαίτησ καὶ συνεχοῦσ ὁμιλίασ DU ὅστι A[1] θεάσασθαι D 25 καὶ — κομιεῖσθαι in textu omissa add. mg. U[1]

κόλπον μικρῷ τι πρότερον (§ 14) *ἐμνήσθην, ὑπὲρ δὲ τοῦ παντὸς*
22 *βραχὺ τὸ λοιπόν. ἔστιν γὰρ ἀκριβῶς κατ᾿ ἐπωνυμίαν τῆς πόλεως*
καὶ οὐχ ἑτέρᾳ πρέπων. πραότητι μὲν γὰρ καὶ χρείᾳ καὶ κάλλει καὶ
σχήματι κόλπος ἐστίν, δυνάμει δὲ θάλαττα ἐξώπιος· ἑνὸς δ᾿ ἔχων
κόλπου προσωνυμίαν εἰς πολλοὺς κόλπους ἀνελίττεται, καθάπερ
οἱ πίνακες οἱ πτυκτοί· ἄλλαι γὰρ ἄλλους ἄκραι σχηματίζουσιν·
λιμένες δὲ καὶ ἀναπαύσεις μυρίαι. φαίης ἂν αὐτὸν ἐοικέναι ταῖς
πολυκρούνοις φιάλαις, οὕτως ἀεὶ δι᾿ ὀλίγης χερρονήσου τοὺς ὅρμους
ἔχει, περίπλους ἡμερῶν οὐκ ὀλίγων, εἴ τις κατὰ ὅρμον ὁρμίζοιτο.
23 *κἀμοὶ τὸν λόγον ἐνταυθοῖ* [*ἤδη*] *ὥρα ὁρμίζειν· περὶ γὰρ τοῦ δήμου*
τί δεῖ λέγειν; αὐτὸς γὰρ κρινεῖς καὶ ἔτι βελτίω ποιήσεις ἐξηγού-
μενος πρὸς τὸ κάλλιστον. νῦν μὲν οὖν οἶδ᾿ ὅτι καὶ σοὶ καὶ τῶν
παρόντων πολλοῖς μετρίως δοκῶ διειλέχθαι, αὐτίκα δὲ ἐξελεγ-
χθήσεται πάντα ταῦτα ἡττώμενα· κἀμοὶ κέρδος ἡττᾶσθαι τὰ τοιαῦτα.

I 424 D
I 260 J

XVIII.

(20) ΕΠΙ ΣΜΥΡΝΗΙ ΜΟΝΩΙΔΙΑ.

Ὦ Ζεῦ, τί χρήσωμαι; πότερον σιωπῶ Σμύρνης κειμένης; — τίνος μεταλαβὼν ἀδάμαντος φύσιν ἢ τίνα ταύτην καρτερίαν καρτερῶν; — ἀλλ᾿ ὀδύρωμαι; ποίαν ἁρμονίαν ἁρμοσάμενος ἢ τίνα τόλμαν τοσαύτην λαβών; ὅσαι γὰρ Ἑλλήνων καὶ βαρβάρων φωναί, τῶν τε ὑπὲρ γῆς ἔτι καὶ τῶν ἐκ τοῦ παντὸς αἰῶνος γενομένων, εἰς ταυτὸν ἅπασαι λέγω συνελθοῦσαι ἐλάττους τοῦδε τοῦ πτώ-

---

Or. XVIII: libri ARDUT = O

---

1 *τι*] *τινι* DU *πρότερον*] *πρόσθεν* T 2 *κατὰ* DU 3 *ἑτέρωι* R, cf. p. 6, 8 *πραότητι*] *πράγματι* TA^2 4 *ἑνὸσ* ARD^2 item T^2U^2 (at *νο* in ras., quid fuerit in utroque incertum), *ὅμως* D^1 6 *πυκτοί* TU 8 *αἰεὶ* A^rT^2U *χερονήσου* U 9 *περίπλουν* Rsk. 10 *ἤδη* A, om. RDUT, seclusi 13 *πολλοῖς*] *τοῖσ πολλοῖσ* DU 14 *καί μοι* O Subscr. *σμυρναικὸσ πολιτικόσ* T, *σμύρνησ ἐγκώμιον ἢ προσφωνητικόσ* A^r; *τέλοσ τοῦ σμύρνησ ἐγκωμίου ἢ προσφωνητικοῦ* R; cf. tit. or. XXI

Tit. *ἐπὶ σμύρνηι μονωιδία* AR: *μονωδία ἐπὶ σμύρνη* TU (D in indice), om. D 15 *χρήσωμαι* $A^1R^1UTD^2$: *χρήσομαι* D^1 et p. ras. et A et R 17 *ὀδύρομαι* D^1A^2 20 *λέγω* O: *λόγῳ* Laur. Abb. 9 (Junt.); cf. Schwarz, Wien. Stud. 1886, 79; hiatus ut removeatur, fort. scribendum *συνελθοῦσαι τοῦδε ἐλάττους*; *λέγω* post *μόνον* (9, 1) transponi vult Kaibel (distinguens ante *ἐγχειρῆσαι*) *πτώματοσ* D^1 *πτῶ˜* mg. R^2, in ras. *πράγματοσ* (integram vocem aut priorem syllabam) corr. $A^2R^2D^2$, ut *πτώματοσ* A^1R^1 fuisse certum sit: *πράγματοσ* TU (cf. p. 28, 3)

ματος ἐγχειρῆσαι μόνον, μὴ ὅτι τὴν ἀξίαν σῶσαι. ὦ μήκιστα
μηκίστων ἰδὼν καὶ ἀκούσας ἐγώ, ὦ πάντα φέρων χρόνος, οἵαν
425 D *ἰδέαν πόλεως ἐξευρὼν καὶ τεχνησάμενος εἶτα ἀναλώσας ἔχεις. Ὦ* 2
πάντα ἀνόμοια τοῖς πρότερον. τὰ μὲν ἀρχαῖα Κουρήτων χοροὶ
καὶ τροφαὶ καὶ γενέσεις θεῶν καὶ Πέλοπες διαβαίνοντες ἐνθένδε
καὶ Πελοπόννησος ἀποικία καὶ Θησεὺς οἰκιστὴς τῶν ὑπὸ τὸν Σί-
πυλον τόπων καὶ Ὁμήρου γοναὶ . . . . . καὶ ἀγῶνες καὶ τρόπαια
καὶ νῖκαι παρὰ τοῖς ἄρχουσι διὰ πάντων ἐθνῶν, καὶ λογίων περιη-
γήσεις ἀναγραφόντων καλλίστην τῶν ἁπασῶν. καὶ μὴν τά γε 3
261 J *ὁρώμενα κρείττω διηγήσεως. προσιόντι μὲν εὐθὺς ἀστραπὴ κάλ-*
λους καὶ μεγεθῶν ἀριθμοὶ καὶ μέτρα καὶ ⟨συ⟩στάσεις ὥσπερ
ἁρμονίας μιᾶς· πόδες μὲν ἐπ᾽ ἠιόνων καὶ λιμένων καὶ ἀλσῶν
ἐρειδόμενοι, μεσότης δὲ ἴσον τοῦ πεδίου τε ὑπεραίρουσα καὶ τῶν
ἄνωθεν ἀπολείπουσα, ἐσχατιὰ δὲ μεσημβρινὴ κατὰ μικρὸν ὑψου-
μένη, δι᾽ ὁμοίου τοῦ παντὸς λάθρα λήγουσα εἰς ἀκρόπολιν, σκο-
πιὰν τῆς τε θαλάττης καὶ τῆς πόλεως ἔχουσαν. τὸ δὲ οὔτε λόγῳ 4
ῥητὸν οὔτε ὄψει βεβαίως καταληπτόν, ἀλλ᾽ ἐκφεῦγον οὐκ οἶδ᾽ ὅπως,
ἐπιθυμίαν δὲ τοῦ συλλαβεῖν αὐτὸ παριστὰν ἀεὶ δή ποτε τὸ ὑπὲρ
πάσης τῆς πόλεως ἑστηκὸς γάνος, οὐ διαφθεῖρον τὰς ὄψεις, ὡς
ἔφη Σαπφώ (frg. 94; 127 B⁴), *ἀλλ᾽ αὖξον καὶ τρέφον καὶ ἄρδον ἅμα*
εὐθυμίᾳ, ὑακινθίνῳ μὲν ἄνθει οὐδαμῶς ὅμοιον, ἀλλ᾽ οἷον οὐδὲν
πώποτε γῆ καὶ ἥλιος ἀνθρώποις ἔφηναν. ὥσπερ δὲ ἄγαλμα ἀκρι- 5
βῶς πεποικιλμένον πάντῃ περιόντι θέαν ἔχει, οὕτω σοι τῇ πρό-
426 D *τερον μὲν ὡραιοτάτῃ πόλεων, νυνὶ δ᾽ ἀωρίαν α . . . . . ., περιῆν*

TESTIMONIVM 23 *πεποικιλμένον* cf. Menand. Epid. p. 170 W. (350 Sp.)

1 *τὴν ἀξίαν σῶσαι*] sc. *τὴν τοῦ πράγματος* (cf. or. XXV § 19) 5 *τροφαὶ*] *αὶ* in ras. T^2 6 *ἀποικία*] auget quae narrat p. 2, 11; 23, 20 *τὸν*] *τὸ* DU 7 lacunam indicavi; fuit quod illis *τὰ μὲν ἀρχαῖα* v. 4 responderet (e. g. *τὰ δὲ νεώτερα . . . .*) 8 *ἄρχουσι καὶ διὰ* Ddf. e Baroc. 136 et Oxon. Nov. Coll. 259, falsus; imperatores Romani et senatus intellegendi; *νῖκαι* cf. or. XIX § 13 *λόγων* U^1 *λογίων*] e. g. Strab. XIV 646 *καὶ νῦν ἐστι καλλίστη τῶν πασῶν* 11 *συστάσεις* scripsi: *στάσεισ* O 16 *ἔχουσαν* A (at *ν* ex parte eras.) RTD: *ἔχουσα* U *οὔτε*] *οὕτω* D^1 18 *αὐτὸ*] *ο* in ras. T^2; § 3 continentur quae oculis cerni et verbis describi possunt; § 4: quod vero neque cerni nec describi potest, *τὸ γάνος* est; cf. or. XVII § 19 et 20; *τὸ* deleri vult Wil. *παριστὰν* (-*ᾶν*) O: *παριστῶν* A^2U^2, *παριστὸν* R^2 *αἰεὶ* $A^rR^2D^2$ 20 *τρέφων* T^1 Sapphonis fragmenta composuit Wil. 22 *ἔφηναν*] *αν* in ras. R^2 *δὲ* add. U^2 23 *περιόντι* $ARDU^1$: *περιιόντι* TU^2 *οὕτω σοι* DU: *οὕτωσ οἱ* ART; *οὑτωσὶ* Wil., *οὕτω καὶ* Schwarz l. c. 82 24 *δὲ* RT *ἀωρίαν ἀπεριην αφωτον τισ αἰεὶ θεωροίη* A^1 *ἀωρίαν ἃ περιῆν ἀφότου τισ ἀεὶ θεωροίη* TA^2 (praeter *ἀεί*,
ἐχούσῃ *ἂν*
quod A^r), *ἀωρίαν ἃ περιῆν* (ex *ἀπεριῆν* corr.) *ἀφ᾽ ὅτου τισ ἀεὶ θεωροίη* R, corr. et verba superscr. R^2; *ἀωρίαν ἐχούσῃ ἃ περιῆν ἀφότου τισ ἂν θεωροίη* D

ἀφ᾽ ὅτου τις ἀεὶ θεωροίη· νῦν δὴ τὸ κάλλιστον εἶδος παρέσται
δοκεῖν, τοῦτο μὲν ἐξαίφνης ἐκφανὴς . . . . ἐγγιγνομένη, τοῦτο
δὲ ἀπαντικρὺ γιγνομένῳ, τοῦτο δ᾽ ἐκ προαστίων ἐκ πορθμῶν ἐκ
πελάγους, ἐκ γῆς ἐκ θαλάττης. ταῦτα μὲν τὰ πρὶν ἐντυχεῖν.
6 *συνουσίαι δὲ ὅσαι καὶ ὁμιλίαι τίνα μὲν κόρον ἔσχον ἀνθρώποις;*
τίνι δὲ ἄλλῃ πόλει παρὰ μικρὸν ἐλθεῖν ἀπέλιπον; ὦ κρῆναι καὶ
θέατρα καὶ στενωποὶ καὶ δρόμοι κατάστεγοι καὶ ὕπαιθροι· ὦ τῆς
ὑπερλάμπρου σχῆμα ἀγορᾶς, ὦ χρυσοῦ τε ἐπώνυμοι καὶ ἱερῶν
ὁδοὶ καθ᾽ ἕκαστον πλαίσιον, ἀντ᾽ ἀγορᾶς ἅπασαι· ὦ λιμένες πο-
θοῦντες τὰς τῆς φιλτάτης πόλεως ἀγκάλας, ὦ κάλλη γυμνασίων
ἀμύθητα, ὦ ναῶν καὶ περιβόλων χάριτες, ποῖ ποτε γῆς ἔδυτε; ὦ
7 *κόσμοι παραλίας, ὦ πάντα ἐκεῖνα ὀνείρατα. Ποῖαι πηγαὶ δα-*
κρύων ἱκαναὶ τοσούτῳ κακῷ; ποῖαι συναυλίαι καὶ συνῳδίαι χορῶν
πάντων τὴν καλλίχορον καὶ πολυύμνητον καὶ τριπόθητον ἀνθρώ- 262 J
ποις ἀρκέσουσιν ἀνοιμῶξαι πόλιν; ὦ πτῶμα τῆς Ἀσίας, ὦ λοιπαὶ
πόλεις, ὦ πᾶσα μὲν γῆ, πᾶσα δὲ εἴσω Γαδείρων τε καὶ ἔξω Γα- 427 D
δείρων θάλαττα, ὦ κύκλος ἀστέρων, ὦ πάντα ἐφορῶν Ἥλιε, οἷον
ἠνέσχου θέαμα ὁρῶν. ὦ παιδιὰ μὲν Ἰλίου πόρθησις, παιδιὰ δὲ
Ἀθηναίων ἐν Σικελίᾳ συμφοραὶ καὶ κατασκαφαὶ Θηβῶν, καὶ στρα-
τευμάτων ὄλεθροι καὶ πόλεων δύσεις καὶ πάνθ᾽ ὅσα πῦρ καὶ πό-
λεμοι καὶ σεισμοὶ μέχρι τοῦδε ἀπειργάσαντο. ὦ πρότερον μὲν
κάλλει καὶ μούσαις ἁπάσας πόλεις ἀποκρύπτουσα, νῦν δ᾽ ἀπο-

(at *ἐχούσῃ ἅ περιῆν* in ras. multo breviore D^2) U (in quo *ἅ* super ras. add. m. 2, cf. AR); *νυνὶ δὲ ἀωρίαν* secl. Schwarz l. c. 82; lacunas indicavi; verba *παρέσται — γιγνομένῳ* adeo corrupta, lacunosa, turbata glossematis, ut certi nihil adsequi liceat; e. g. propos. *οὑτωσὶ τῇ — πόλει, νυνὶ δ᾽ ἀωρίᾳ* ('ruinae et intempestive mortuae urbi'), *περιῆν — θεωροίη* [*νῦν δὴ*] *τὸ εἶδος παρ⟨ασχ⟩έσθαι δοκεῖν — ἐκφανεῖ γιγνομένη* ⟨lacuna⟩ *τοῦτο δὲ κτἑ.* Wil., *οὕτω σοι τῇ — πόλει, νυνὶ δ᾽ ἀωρίαν* (praepostere) *ἀ⟨πηνθηκυίᾳ⟩ περιῆν, ἀφ᾽ ὅτου — θεωροίη,* ⟨*ἣ*⟩ *νυνδὴ τὸ — εἶδος παρεῖχες ἰδεῖν, τοῦτο μὲν — ἐκφανὴς* [*ἐγ*]*γιγνομένη κτἑ.* Kaibel 2 *ἐκφανὴσ ἐγγινομένη* AT^2 mg. c. *γρ.* R (at *ἐγ* et *η* in ras. R^2); *ἐκφα-ν͂είσῃ* (ῑ s. l.) *γινομένη* T (˜ et *ι* T^2); *ἐκφανεῖ γιγνομένη* DU, at ˜ in ras. (cf. T) et mg. c. *γρ. ἐκφανὴς* pr. m.; lacunam indicavi, deest e. g. *τοῖς πόρρωθεν*, ni plura; cf. or. XX § 14 et Panath. I 156, 20 Ddf.; *ἐγγινομένη* secl. $Rsk.^2$ 3 *γινομένω* RT, *γιγνομένην* U^1 *δὲ* AD *προαστείων* O 4 *τὰ* om. D 6 *μικρον ἐγγὺσ ἐλθεῖν* U, *ον* (s. l.) *ἐγγὺσ ἐλ* in ras. U^2; *παρὰ μικρὸν ἐγγὺς ἐλθεῖν* Rsk.; *παρὰ μικρόν* i. q. *ἐγγύσ* cf. Dion. Byz. p. 3, 8 W. *τῷ παρὰ μικρὸν ἐξαπατῶσιν* 9 *πλαίσιον* Canter: *πλησίον* O 10 *τὰσ — ἀγκάλασ* ADU: *τὰσ* R^1 omisso *ἀγκάλασ*, quod add. mg. pr. m. et post in textum induxit R^2, *τὰ* T omisso *ἀγκάλασ*; cf. p. 22, 8 11 *ποτε* om. Thom. Mag. 266, 16 13 *χωρῶν* D 14 *καλλίχωρον* DUA^2 15 *ἀποιμῶξαι* Wil. 16 prius *Γαδείρων* om. U 18 *ἰλίου*] *ἰ* in ras. R^1T^2 20 *πόλεων καταδύσεισ* U 22 *δὲ* DUT

κρύψασα τὸ τῆς Ῥόδου πτῶμα· ἔμελλες ἄρα τοῖς Ἕλλησιν ᾄδεσθαι
δευτέρων σχετλιωτέρων. ὦ πᾶσι τοῖς ὁμοφύλοις ἐναγισμάτων 8
ἡμέρα, ὦ κοινὴ τοῖς Ἕλλησιν ἀποφράς, οἵαν κεφαλὴν τοῦ γένους
ἀπήνεγκας, οἷον ἐξεῖλες ὀφθαλμόν. ὦ γῆς ἄγαλμα, ὦ θέατρον
τῆς Ἑλλάδος, ὦ Νυμφῶν καὶ Χαρίτων ὕφασμα. ὦ πάντα ὑπο-
μείνας ἐγώ, ποῦ γῆς νυνὶ μονῳδῶ; ποῦ μοι τὸ βουλευτήριον; ποῦ
νέων καὶ πρεσβυτέρων σύνοδοι καὶ θόρυβοι διδόντων ἅπαντα; ἦν
ποτε ἐν τῷ Σιπύλῳ πόλις, ἣν κατὰ τῆς λίμνης δῦναι λόγος. ὦ
Σμύρνα, ὡς πόρρωθέν σοι τὸ προοίμιον ᾔδετο. οἵας ἐκληρονό-
μησας τύχης, ὡς ἥκιστα σαυτῇ προσηκούσης. Νῦν ἔδει μὲν πάντας 9
οἰωνοὺς εἰς πῦρ ἐνάλλεσθαι — παρέχει δ' ἡ πόλις ἄφθονον —,
πᾶσαν δὲ τὴν ἤπειρον ἀποκείρασθαι — πάντως αὐτῆς ὁ βόστρυχος
οἴχεται —, νῦν ποταμοὺς δάκρυσι ῥυῆναι, νῦν ὁλκάδας ἐκπλεῦσαι
428 D μέλασι τοῖς ἱστίοις. ὦ Μέλης δι' ἐρήμου ῥέων· ὦ τῶν προτέρων
μελῶν τὰ παρόντα ἀντίφθογγα, ὦ κύκνων ᾠδὴ καὶ ἀηδόνων χορὸς . . .
ἐνθρηνεῖν· ἦ που καὶ Γοργόνες εἰ περιῆσαν, οὐκ ἂν τὴν Μέδουσαν
οὐδὲ τὸν αὑτῶν ὀφθαλμόν, ἀλλὰ τὸν τῆς Ἀσίας ἐπένθησαν. ποῖον 10
Βόσπορον ἢ ποίους Καταρράκτας ἢ τίνα Ταρτησσὸν τὸ σόν, ὦ
δαιμονία, κλέος οὐκ ἐπῆλθεν; ποίᾳ Μασσαλίᾳ τὸ πένθος τοῦτο
263 J ὁρισθήσεται, ἢ τίνι Βορυσθένει; τίς Ἑλλήνων οὕτως ἔξω τῆς Ἑλ-
λάδος, τίς βαρβάρων οὕτως ἀδάμαστος καὶ ἀνάλωτος τοῖς τῆς
Σμύρνης βέλεσιν καὶ φίλτροις, ὅστις οὐκ ἀκοῇ μὲν ἤρα, ἀκοῇ δὲ
ἀνιάσεται; Ἡλιάδας μὲν δὴ λέγεται πενθούσας τὸν ἀδελφὸν τελευ-
τώσας αἰγείρων ἀλλάξασθαι φύσιν καὶ τὸ δάκρυον αὐτῶν εἰς ἤλεκ-
τρον παγῆναι, σὲ δέ, ὦ χαριεστάτη πόλεων, αὐτοῖς ὥρα τοῖς δέν-
δρεσι θρηνεῖν.

---

1 *Ῥόδου πτῶμα*] or. XXV 2 *δευτέρων σχετλιωτέρων*] cf. ad. p. 22, 23 *ὁμοφύλοισ* RDUT: *ἀλλοφύλοισ* A² in ras. 7 *διδόντων ἅπαντα* corrupta; videtur subesse sententia: 'plausus qui mihi omnia praebebant'; plausu auditorum orator ad orationes, quae ei rerum omnium instar erant (cf. or. XXXIII p. 577, 22 sqq. Ddf.), incitabatur, ita ut plausibus illis omnia sibi dari profiteri posset 8 cf. or. XVII § 3 10 *νῦν μὲν ἔδει πάντασ* U, *νῦν ἔδει πάντασ μὲν* R² 11 *αλλεσθαι* T 12 *πᾶσαν — ἀποκείρασθαι*] superare studet personatum Lysiam II 60 *κείρασθαι τῇ Ἑλλάδι* 15 lacunam indicavi: e. g. *χορός, ⟨νῦν ὑμῖν τῇ ἐρημίᾳ καιρὸς⟩ ἐνθρηνεῖν* (cf. v. 26); *μέλη* (propter *Μέλης* pro *λόγοι* dictum) *πρότερα* dicit quae de pulcherrimo Smyrnae suburbio or. XVII § 14 sq. praedicaverat; his *ἀντίφθογγα* sunt *τὰ παρόντα μέλη*, quibus queritur, quod *δι' ἐρήμου* iam Meles fluat; iam olores et luscinias, quae pulcherrimum suburbium quondam incoluerant, iubet *τῇ ἐρημίᾳ ἐνθρηνεῖν*; *ἐνθρηνῶν* e Vindob. IV 326 Schwarz l. c. 79 17 *αὑτῶν* ART, *αὐτῶν* U, at ʽ et *ῶν* corr. m. 2, *αὑτῶν* D² ex *αὐτὸν* D¹ 18 *τὸν σὸν* om. D Subscr. *συνετέθη ἐν ἀκαριαίω ὁμοῦ τῆι ἀγγελία* AR, hic *εἶθ' ἐπιστολή* addit; *μονῳδία ἐπὶ σμύρνῃ* T

XIX.

(41) ΕΠΙΣΤΟΛΗ ΠΕΡΙ ΣΜΥΡΝΗΣ ΠΡΟΣ ΤΟΥΣ ΒΑΣΙΛΕΑΣ. I 762 D I 512 J

Αὐτοκράτορι Καίσαρι Μάρκῳ Αὐρηλίῳ Ἀντωνίνῳ σεβαστῷ καὶ αὐτοκράτορι Καίσαρι Λουκίῳ Αὐρηλίῳ Κομόδῳ σεβαστῷ Αἴλιος Ἀριστείδης χαίρειν.

Πρότερον μέν, ὦ μέγιστοι βασιλεῖς, ἀγωνίσματα καὶ λόγους
ἐκ διατριβῶν καὶ τοιαῦθ᾽ ὑμῖν ἀπέστελλον, νυνὶ δὲ ἑτέραν ὁ δαίμων
ἔδωκεν ὑπόθεσιν· κεῖται Σμύρνα τὸ τῆς Ἀσίας ἄγαλμα, τῆς δὲ
ὑμετέρας ἐγκαλλώπισμα ἡγεμονίας, πυρὶ καὶ σεισμοῖς ἐκτριβεῖσα.
ὀρέξατε πρὸς θεῶν χεῖρα, ὀρέξατε, ὅσην ὑμῖν πρέπει. Σμύρνα τοι
μέγιστα δὴ τῆς νῦν Ἑλλάδος εὐτυχήσασα καὶ πρὸς θεῶν καὶ πρὸς
ὑμῶν, τῶν τε ἀεὶ βασιλέων καὶ τοῦ συνεδρίου κοινῇ, μέγιστα
δὴ καὶ πέπονθε τῶν μνημονευομένων. ἓν δὲ ὅμως αὐτῇ κἀν
τούτοις ἐφυλάχθη παρὰ τοῦ δαίμονος ὡσπερεὶ σύμβολον σωτη-
2 ρίας· εἴδετε τὴν πόλιν, ἴστε τὴν ζημίαν. Ἀναμνήσθητε ὧν
ἐπὶ τῆς πορείας ἐφθέγξασθε ὁρῶντες εἰς αὐτήν, ἀναμνήσθητε ὧν 763 D
εἴσω παρελθόντες, ὡς διετέθητε, ὡς διεθήκατε· οἱ μὲν Θεοξένια
ἦγον, ὑμεῖς δὲ ὡς ἐν τοῖς ἡμερωτάτοις ὧν κέκτησθε ἀνεπαύεσθε.

Libri ARDUT = O

Tit. *ἐπιστολὴ περὶ σμύρνησ-¦-πρὸσ τοὺσ βασιλέασ-¦*-R: *ἀριστείδου ἐπιστολὴ περὶ σμύρνησ πρὸσ τοὺς βασιλέασ τῶν ῥωμαίων* A (*-αίων* ex *-έων* corr. A^2) TU; subiciunt titulo *ἡ ἐπιγραφή* T, *ἐπιγραφή* U; om. D; *ἐπιστολὴ περὶ Σμύρνης* Ddf. 1—3 om. D 2 *λουκίω* RU: om. AT 5 *ἑτέραν ὁ δαίμων* A: *ὁ δαίμων ἑτέραν* RDUT 7 *ἡγεμονίασ ἐγκαλλώπισμα* D 8 *τοι* A (at / mg.) R^2 s. l. D^1, *τοι* U, s. l. *α* add. pr. m.: *τὰ* TD^2, om. R^1 9 *τῆσ* | *ἑλλάδοσ* U 13 *εἴδετε*] *ἴδετε* RT m. recentissima *ἀναμνήσθητε — παρελθόντεσ* add. mg. U^1 15 *θεοξένια* A^2 (ci. Canter): *θεῶι ξένια* O (at s. l. add. *ὡσ* ante *θεῷ* U^1) quod immerito tuetur Schwarz, Wien. Stud. 1886, 81: Commodum semel tantum cum patre Smyrnae fuisse concludimus e p. 23, 17; quod non vere, ut e p. 2, 18 conieceris, sed autumno a. 176 factum esse rationibus chronologicis adhibitis Klebs (Pauly-Wissowa R.-E. I 2301) probavit, cui ita favet noster locus, ut non Dionysiis imperatores Smyrnam visitasse doceat. Quae ita inter se concilianda iudico: or. XVII non habita est imperatoribus urbem intrantibus (neque enim Commodi mentio ulla), sed missa per legatos ad Marcum Aurelium, ut imperatorem, qui iter per Asiam faciendum iam instituerat, salutarent proficiscentem; hoc factum est hieme exeunte (cf. p. 2, 18); imperatores non ante autumnum urbem adierunt, quibus diebus Smyrnaei Theoxenia, quae 'dies Caesarum receptionis' recte interpretatur Wil., egerunt

ποία προσβολὴ τῆς ὄψεως οὐχ ἡδίους ὑμᾶς ἐποίησεν; τί τῶν
513 J *πάντων ἐθεάσασθε σιγῇ καὶ οὐ μετὰ τῆς πρεπούσης ὑμῖν εὐφη-*
μίας; ὧν οὐδὲ ἀπελθόντες ἠμνημονήσατε. ἃ νῦν πάντα ἐν κόνει.
μέμυκε μὲν ἐκεῖνος λιμήν, οἴχεται δὲ ἀγορᾶς κάλλη, κόσμοι δὲ 3
ὁδῶν ἀφανεῖς, γυμνάσια δὲ αὐτοῖς ἀνδράσι καὶ παισὶ διέφθαρται,
ναοὶ δὲ οἱ μὲν κεῖνται, οἱ δὲ κατέδυσαν· ἡ δὲ πρὸς θέαν ὡραιο-
τάτη πόλεων καὶ τοῦ κάλλους ἐπώνυμος ἀνθρώποις ἅπασιν ἀωρό-
τατον θεαμάτων ἀποπέφανται, κολωνὸς ἐρειπίων καὶ νεκρῶν,
ζέφυροι δὲ ἐρήμην ἐπιπνέουσιν. τὸ δὲ λειπόμενον πᾶν εἰς ὑμᾶς
βλέπει, συναποβλέπει δὲ καὶ ἡ ἄλλη πᾶσα Ἀσία ὑμῖν μὲν τἀγαθὰ
νῦν τε καὶ ἀεὶ συνευχομένη, τῇ Σμύρνῃ δ' ἔλεον παρ' ὑμῶν, εἰ δὴ
Σμύρνα γε τοὔδαφος. παράδοξον μὲν οὖν οἶδα ἐρῶν λόγον, οὐ 4
μὴν ἀνόητόν γε, ὡς οἶμαι. εἰ γὰρ καὶ ἀβούλητος ὑμῖν ἡ ὑπόθεσις,
τῆς γε ἀγαθῆς τύχης ὑμῖν γέγονεν, δούσης ἀφορμὴν ἐφ' ἧς κάλλιστα
δὴ καὶ φανερώτατα τῇ φύσει χρήσεσθε ἐπὶ πολλοῖς καὶ μεγάλοις
οἷς πρότερον ἐπεδείξασθε. μὴ γάρ μοι Λυσίμαχον ἔτι μηδὲ
Ἀλέξανδρον αὐτόν, μηδὲ Θησέα καὶ μύθους, ἀλλ' ὑμεῖς οἰκισταὶ
τῆς πόλεως γένεσθε, ὑμεῖς νέαν ἐξ ἀρχῆς ἀποδείξατε, ὑμῶν
γενέσθω πᾶσα καὶ διὰ πάντων ἡ πόλις· εἴτε ὡς καλύπτραν βασι-
λίδων εἴτε ὡς βασιλέων ἀνάδημα εἴθ' ὅπως βούλεσθ' ἐλογίσασθε,
764 D *οὕτω σώσατε τὴν πόλιν. τίνας οἰκιστάς, ποίους βασιλέας οὐκ ἀπο-*
κρύψετε; ποίους οὐχ ὑπερβαλεῖσθε ὅρους μεγαλοψυχίας, ἃ χρόνῳ
καὶ καθ' ἕκαστον ἐκτήθη τῇ πόλει, ταῦθ' ἑνὸς οἰκισμοῦ ποιήσαν-
τες γενέσθαι; καὶ ταῦτα οὐχ ὡς συμβουλεύων εἶπον οὐδ' ὡς 5
ἀγνοοῦντας διδάσκων, οὐχ οὕτως ἔκφρων γέγονα ὑπὸ τῆς συμφορᾶς,
ἀλλά τοι καὶ εὔχεσθαι οὕτω νομίζουσιν ἄνθρωποι, 'Δὸς νίκην
514 J *Αἴαντι'* (*Η* 203) *καὶ 'Νῦν αὖτ' ἐμὲ φῖλαι Ἀθήνη'* (*Ε* 117)*· ἐν ᾧ*
τοίνυν τρόπῳ τοῖς θεοῖς διαλεγόμεθα, ἐν τούτῳ καὶ ὑμῖν ἐπιστέλλειν
ἀνεπίφθονον. καὶ μὴν τοῖς μὲν θεοῖς εὐχόμεθα ὑπὲρ τούτων, ὑμῶν
δὲ τῶν θειοτάτων ἀρχόντων δεόμεθα· καλὸν δέ που καὶ πρὸς θεῶν

TESTIMONIVM 9 *ζέφυροι — ἐπιπνέουσιν* Philostr. V. S. II 9

4 *μέμυκε*] cf. Paul. Sil. Anth. X 15, 1 *μεμυκότα κόλπον* *μὲν ἐκεῖνοσ* DU: *μὲν γὰρ ἐκεῖνοσ* T, *μὲν καὶ ἐκεῖνοσ* R, *μὲν* | | | *ἐκεῖνοσ* A, (non fuit *γὰρ*); *ἐκεῖνος*, quem vidistis 6 *θέαν* TUD²: *θεῶν* ARD¹ 9 *καταπνέουσι* Philostr. (e memoria verba referens) 10 *τὰ ἀγαθὰ* U 12 *ἐρῶ* R 14 *ἐφ' οἷς* T *δὴ κάλλιστα καὶ* U 18 *γίνεσθε* D 19 *δι' ἁπάντων* A 20 *διάδημα* DR² *βούλεσθ' ἐλογίσασθε* Wil.: *βούλεσθε λογίσασθε* O (*λογίσασθαι* U²) 21 *ἀποκρύψετε*] *ο* et prius *ε* in ras. U² (*ἀπεκρύψατε* Oxon. Nov. Coll. 259) 23 *ἐκτίσθη* R (at corr. *ισ* ex *η* pr. m.) *ἐκτήσθη* D (*σ* arras.) 26 *εὔχεσθ' ἂν οὕτω* R *ἄνθρωποι* O, correxi 27 *αὖτ' ἐμὲ* D *φίλαι ἀθήνη* A¹: *φίλε' ἀθήνη* TD¹R² (in ras. *ε'*), *φίλε ἀθήνη* UA²D² 30 *καλὸν δήπου* P. Stephanus (errore?)

6 *καὶ πρὸς ἀνθρώπων δεῖσθαι τὰ τοιαῦτα. Ὅπως δὲ αὐτὸς ἐξέ-*
φυγον, ποθεῖτε ἴσως ἀκοῦσαι. ἡμέραις τισὶ πρότερον τῶν συμβάντων
ἐκίνησέν με ὁ θεὸς καὶ κατέστησεν εἰς χωρίον τι καὶ προσέταξεν
κατὰ χώραν μένειν, οὗ δὴ καὶ διατρίβων τὰ συμβάντα ἐπυθόμην.
πυθόμενος δὲ οὐκ εἶχον ὅπως ἡσυχάζοιμι, ἐλείπετο δὲ ἄλλο μὲν
οὐδέν, οἶμαι, θεοὺς δὲ καὶ ὑμᾶς καλεῖν. διὰ ταῦτα οὔτε πρεσβείαν
κοινὴν ἀνέμεινα οὔτ' εἰς ἕτερον βλέπειν ἠξίουν ὅ τι πράξειεν, ἀλλ'
ἡγούμενος εἴ τινι τῶν πάντων κἀμοὶ διαλέγεσθαι . . . . . τὸ
πρᾶγμα, ἐμαυτὸν ἔταξα διάκονον, ἀξιόχρεων εἶναι νομίσας εἰ μή
7 *τι ἄλλο, ἀλλ' ἀνακλαύσασθαι τὰς τῆς πόλεως συμφοράς. ἕτεροι*
μὲν οὖν παρὰ βασιλεῦσιν ἰσχύσαντες δωρεὰς εὕροντο ⟨ταῖς⟩ ἑαυτῶν
πατρίσιν εὖ πραττούσαις, ἐγὼ δ' εἴ τι καὶ τοὐμόν ἐστι παρ' ὑμῖν,
αἰτῶ καὶ δέομαι ταύτην γενέσθαι τῇ πόλει τὴν χάριν, μὴ καθάπερ 765 D
σκεῦος συντριβὲν ἐκριφῆναι καταγνωσθὲν ἀχρηστίας, ἀλλ' ἀναβιῶναι
δι' ὑμῶν. εἰσῄει δέ μοι καὶ τὸ τοῦ Σόλωνος, ὅν φασι τῆς πολι-
τείας καταλυθείσης λαβόντα ἀσπίδα καὶ δόρυ καθῆσθαι πρὸ τῆς
οἰκίας, βοηθεῖν μὲν οὐκ ἔχοντα, οἶμαι, ἐνδεικνύμενον δὲ ὡς ἔχει
γνώμης· τὸ δ' ἐμὸν καὶ πλέον. εἰ γὰρ καὶ μηδὲν ἔργῳ συντελεῖν
εἶχον, τό γε τὴν ὑμετέραν φιλανθρωπίαν παρακαλεῖν εἰς ἔργον
8 *ᾔδειν μοι καθιστάμενον, ὥστ' οὐχὶ μάταια σπουδάσεσθαι. καὶ μὴν*
ὅσα μὲν ἔξω πυλῶν οὐ πάνυ θράττει με, ἐπεὶ οὐδὲ τοῖς προστά-
ταις συνέχαιρον, ἡνίκα περιειργάζοντο· δείσθω δ' ὑπὲρ αὐτῶν ὁ
βουλόμενος, οὐδὲν τό γε ἐμὸν κωλύει· ὅσα δ' εἴσω περιβόλου καὶ
παλαιὰ καὶ καινὰ τῆς τε εἰς ὑμᾶς τιμῆς καὶ ἅμα τῆς παρ' ὑμῶν
ὑπομνήματα καὶ τῇ πόλει φιλοτιμίαν ἔχοντα πρός τε τοὺς ὁμο-
τίμους καὶ τῶν ξένων τοὺς ἀφικνουμένους, ἔτι δὲ τοῖς ξένοις ἁπά- 515 J
σης τύχης ἀφορμὴν καὶ παραμυθίαν, ἡδέως ἂν εἰς ἐκείνην τὴν
9 *ἡμέραν ἀφικοίμην, ἐν ᾗ ταῦτα ἑστῶτα θεάσομαι. ὅταν γε μὴν*
ἐνθυμηθῶ πρὸς ἐμαυτὸν ὅτι τῶν πάλαι τις αὐτοκρατόρων, οὐ τῆς

---

4 *κατὰ*] *καὶ* R[1] 5 *ἡσυχάζοιμι*] *ἡσυχ* in ras. T[2] *δὲ οὐδὲν ἄλλο μὲν οὐδὲν οἶμαι* D 6 *καὶ* ante *ὑμᾶς* s. l. add. U[2] *ὑμεῖσ* A[1], corr. A[r] 7 *ὅτι πράξειεν* om. D[1], add. mg. D[2] 8 *κἀμοὶ* ADUT[2]: *καὶ ἐμοὶ* R, *καὶ* T lacunam indicavi, e. g. ⟨*ὑμῖν προσήκειν καὶ παρίστασθαι*⟩, ad *διαλέγεσθαι* cf. p. 16, 14; lacuna non admissa pro *διαλέγεσθαι* ci. *διακελεύεσθαι* Wil. 10 *ἀνακλαύσεσθαι* Canter (Rsk.), at medium ferri potest 11 *δωρεὰν* T *εὗρον ταῖσ ἑαυτῶν* D, *εὗρον ταῖσ αὑτῶν* U, mg. add. m. 2 *γρ. δωρεὰσ εὕροντο ἐν ταῖσ*; om. *ταῖσ* ART, addidi tamquam e coniectura 14 *συντριβὲν*] *συν* in ras. U[2] *ἀχρηστίας* Rsk.: *ἀχρηστίαν* O, cf. or. XXVI § 28 15 *φασι*] cf. interpretes ad Aristot. rp. Ath. 14, 2 20 *σπουδάσασθαι* D 23 *γε*] *γ* in ras. A[r] 26 *εἰσαφικνουμένουσ* DU 29 *προς*] *κατ'* DU *τις*] Domitianus (Scaliger ad Euseb. p. 202; Bernhardy ad Dion. Per. 209)

ὑμετέρας οἰκίας — μηδὲ γὰρ εἴη τοῦτό γε, οὐδὲ γένοιτ᾿ ἂν ὑφ᾿ ὑμῶν
οὐδενός —, ἀλλά τις τῶν πρότερον πεττεύων, ὥς λέγεται, μεταξὺ
παρεφθέγξατο, μὴ βούλεσθαι Νασαμῶνας εἶναι, ἔπειτα ἀπώλοντο
οἱ Νασαμῶνες, οἶμαι περί γε ὑμῶν εἰκότως ἂν ἐλπίζειν ὅτι σπου-
δάζοντες καὶ τοῖς ὑμετέροις αὐτῶν ἤθεσι χρώμενοι καὶ τοσοῦτον
μόνον εἰπόντες καὶ προδείξαντες ὅτι βούλεσθε Σμύρναν εἶναι,
766 D ταχέως ἅπασιν ἡμῖν ὃ ποθοῦμεν δείξετε. ἔτι δὲ οὐκ ἀλλοτρίοις 10
χρῶμαι παραδείγμασιν, ἀλλ᾿ ὑμῶν αὐτῶν, ὅσην τῶν ἐν Ἰταλίᾳ πόλεων
ἐπιμέλειαν ἐποιήσασθε ὥστε ἀναλαβεῖν αὐτὰς τοῖς ἅπασιν. ἐκεί-
νας μὲν τοίνυν πάλαι κεκμηκυίας ἀνεκτήσασθε, Σμύρναν δὲ ἀρτίως
μὲν ἀνθοῦσαν, ἀρτίως δὲ καταρρυεῖσαν εἰς πόλεων ἀριθμὸν αὖθις
καταστήσατε, πρότερον μὲν τὰ ἱερὰ κοσμήσαντες αὐτῆς, νυνὶ δὲ τὸ
πᾶν σχῆμα σώσαντες. ἀξία δὲ οὐ μόνον τῆς ὄψεως χάριν ἡ 11
πόλις σωθῆναι, ἀλλὰ καὶ τῆς εὐνοίας ἣν παρὰ πάντα ⟨τὸν⟩ χρόνον
εἰς ὑμᾶς παρέσχετο, συναραμένη μὲν τοῦ πρὸς Ἀντίοχον πολέμου,
συναραμένη δὲ τοῦ πρὸς Ἀριστόνικον, πολιορκίας τε ὑπομείνασα
καὶ μάχας οὐ φαύλας ἀγωνισαμένη, ὧν ἔτι νῦν ἐν πύλαις ἦν αὐτῇ
τὰ ὑπομνήματα. ἔτι δὲ ἐσθῆτος δεῆσαν ὑμετέρῳ στρατοπέδῳ καὶ
τοῦ στρατηγοῦ διεφθαρμένου τὸν μὲν στρατηγὸν κομίσαντες εἰς
τὴν πόλιν θάπτουσιν εἴσω τῶν νῦν πυλῶν, πρὸς δὲ τοὺς στρατιώ-
τας τοὺς χιτῶνας ἐνείμαντο ἀνὴρ ἀνδρὶ δούς. τοιοῦτοι μὲν τὰ πρὸς 12
τοὺς ἄρχοντας ὑμᾶς· πρὸς δὲ τοὺς ὁμοφύλους τίνες; πάντα μὲν
οὐ μικρὸν ἔργον ἂν εἴη γράφειν, ἀλλὰ σεισμῶν ποτε καὶ λιμῶν
516 J συνεχῶν συμβάντων περὶ τὸν κάτω τόπον τοῦτον τῆς Ἀσίας καί
τινων καὶ χάσμασι διεφθαρμένων καὶ συμφορᾶς πολυτρόπου κατε-
χούσης τὰς πόλεις καὶ σίτῳ καὶ χρήμασι καὶ τῷ μηδὲν προθυμίας
ἐλλείπειν ἔστιν ἃς τῶν πόλεων διεσώσαντο, Χίους, Ἐρυθραίους,
Τηίους, Ἁλικαρνασσέας. εἰς ἃ τοίνυν τότε τοῖς ἄλλοις ἐπήρκει μία
767 D δὴ πόλις, οὐδ᾿ ἡτισοῦν αὐτῇ νῦν ἀξιόχρεως βοηθῆσαι· ἡ δὲ παρ᾿
ὑμῶν ἐλπὶς λείπεται. καὶ μὴν πρότερον μὲν ἀριστεῖα τῶν ἔργων 13

---

1 *μηδὲ γὰρ*] praeter *μη* in ras. U^{2} 3 *βούλεσθε* A 5 *ἡμετέροισ* R 7 *ἡμῖν*] *ἡ* in ras. U^{2} 8 *χρῶμαι*] *χρώμενοι* DU; cf. v. 5; Isocr. IX 77 (V 113) 12 *καταστήσατε* DUT: *κατεστήσατε* AR 14 *πάντα τὸν χρόνον* DU: *πάντα χρόνον* ART; addidi articulum tanquam e coniectura 16 *συναραμένη δὲ*] *ένη δὲ* in ras. U^{2} 18 *ἐσθῆτος κτέ.*] cf. Tacit. ann. IV 56 (Rsk.) 21 *ἐνείμαντο* O Thom. Mag. 401, 6: *ἐνείματο* Thom. Mag. 84, 18 (ci. Canter), variat lectio apud eundem p. 244, 11 24 *συμβάντων συνεχῶν* R, fort. praestabilius *τὸν*] *τῶν* T^{1} 28 *ἁλικαρνασέασ* ARDU 29 *οὐδ᾿ ἡτισοῦν* D (hic *οὖν*) U, *οὐ δήτισ οὖν* A^{r} *οὐδήτιουν* A^{1}: *οὐδ᾿ ὁστισοῦν* T^{1}, posterius *σ* eras. *αὐτη* A^{1} *αὕτη* R, *αὐτηι* A^{r} *αὐτῇ* T^{1}DU om. U^{1} 30 *ἔργων* $D^{1}A^{2}$: *ἔγων* A^{1}, *αἰγῶν* R, *ἀγῶν* T^{1} (hoc non est *ἀγώνων*), *ἀγώνων* UT^{2}

ἐφέρετο, χώραν καὶ πανοπλίας καὶ λάφυρα, οἷς αὐτὴν ὑμεῖς ἐτιμᾶτε, νῦν δὲ πρεσβεῖα συμφορῶν ἀνῄρηται παρὰ τοῦ δαίμονος, ὧν ⟨ἐν⟩ ὑμῖν ἡ λύσις. ὃ δ' ἁπάντων μάλιστα ἄξιον εἰπεῖν καὶ θαυμάσαι, τῆς τύχης τὴν μεταβολήν. τοῦ γὰρ νεὼ τοῦ νῦν καταδύντος οὕτω λαμπρῶς λέγεται τυχεῖν ὥστε ἀγῶνος γενομένου τὴν μὲν Ἀσίαν τῶν ἄλλων ἐθνῶν προκριθῆναι, τῶν δ' ἐν τῇ Ἀσίᾳ πόλεων τὴν Σμύρναν τοσοῦτον ὥστε τὴν μὲν ἄλλην Ἀσίαν ἑπτὰ μόνας ψήφους μεταλαβεῖν, τῇ δὲ πόλει τετρακοσίας γενέσθαι μόνῃ. τοῦτον μὲν οὖν καὶ διὰ τῆς Ἀσίας κομίσαιτ' ἂν ἴσως, ἂν ὑμῖν δοκῇ, ἡ δὲ τῶν ὅλων ἐπανόρθωσις μόνων ὑμῶν, οἷς οἱ θεοὶ τὰ τηλικαῦτα ἀπέδοσαν.

14 *Ὅταν μὲν οὖν εἰς τὸ τῆς συμφορᾶς μέγεθος ἀποβλέψω, οὐδεὶς μοι δοκεῖ λόγος ἀρκεῖν, ἀλλὰ πάντα ἐλλείπειν τοῦ μετρίου, ὅταν δὲ εἰς τὴν ὑμετέραν ἀρετὴν καὶ φύσιν καὶ τὸ πρόχειρον πρὸς τὰς εὐεργεσίας, ἐπέρχεταί μοι δεδιέναι μὴ πλείω τῶν ἱκανῶν διειλέχθαι δοκῶ. οἶμαι μὲν οὖν οὐχ οὕτω τοῦτο ἔχειν· εἰ δ' ἄρα, συγγνώσεσθε οἶδ' ὅτι. πολλά τοι καὶ παρὰ τὴν αὑτοῦ φύσιν ἄνθρωπος φθέγγεται συμφορᾷ ληφθεὶς ἄλλως τε καὶ ἣν οὐδεπώποτ' ἂν ἤλπισεν.*

XX.

(21) ΠΑΛΙΝΩΙΔΙΑ ΕΠΙ ΣΜΥΡΝΗΙ. I 429 D

I 263 J

Ἐμοὶ δέ, ὦ ἄνδρες Ἕλληνες, συνέβη ταυτὸν ὅπερ τοῖς ἐν ταῖς τραγῳδίαις μέχρι πολλοῦ σιωπῶσιν, ἔπειτα καιροῦ παρασχόντος φθεγξαμένοις ἢ πρὸς χορὸν ἢ πρὸς ὁντιναδήποτε· πάντα γὰρ τὸν

Or. XX: libri ARDUT = O

3 *ἐν* add. Canter 5 *λαμπρῶς*] *λαμπροῦ* Canter; fallitur: non templum splendidum dicit orator, sed ipsum suffragium, quo ut templum illud Smyrnae conderetur decretum est; suffragia senatorum Romanorum sunt, templum id quod quondam Tiberio Asia provincia sacraverat, postea Caesarum audivit: Tacit. annal. IV 55 sq. *ὥστ'* D 6 *δ' ἐν*] *δὲ* D 8 *τοῦτον* scripsi: *τοῦτο* O 14 *πλείω τῶ νικᾶν ὧν* A¹, corr. Aʳ 15 *οὖν* AR: om. DUT *τοῦτ'* D, *ταῦτ'* U 16 *πολλά ⟨γέ⟩ τοι* Rsk. *αὐτοῦ* RDT 17 *ἄλλως καὶ ἣν* U¹, *ἄλλωσ τε καὶ ᾗ* U² (*τε* s. l.) *οὐδεπώποτ'* ARD: *οὐδέποτ'* UT Subscr. *ἐπιστολὴ περὶ σμύρνησ πρὸσ τοὺσ αὐτοκράτορασ* Aʳ, *ἐπιστολὴ περὶ σμύρνησ πρὸσ τοὺσ βασιλέασ ῥωμαίων* T

Titulus: *παλινωδία ἐπὶ σμύρνῃ* R: *ἀριστείδου* (om. T), *παλινῳδία, ἐπὶ σμύρνῃ, καὶ τῷ ταύτησ ἀνοικισμῷ* Aʳ (in quo solo distinctio) UT (et D in indice); om. D 18 *δὲ* ARD: *μὲν* UT *ταῖσ* AT: om. RDU

*ἄνω χρόνον κατασχὼν ἐμαυτόν, ἐξ οὗ ταῦθ' ἃ σύνιστε ἐγένετο, καὶ
οὔτε πρὸς παραμυθίαν τῶν πολιτῶν ὁρμήσας οὔτ' ἄλλο πράξας
οὐδὲν ἀλλ' ἢ τοῖς προστάταις ὅσα καιρὸς ἦν ἐπιστείλας καὶ τἀ-
κεῖθεν ἀποσκοπῶν, ἐπειδὴ καλῶς ποιοῦντες οἱ θεοὶ καὶ οἱ θεῶν
γνώμῃ βασιλεῖς ἡμῖν αὐτοί τε κυβερνώμενοι καὶ τὰ τῶν ἀνθρώπων
ἄγοντες πράγματα τὴν ἀλλοτρίαν τῆς πόλεως ἀπωσάμενοι τύχην τὴν
χρηστὴν καὶ πάλαι προσήκουσαν ἀντεισήγαγον, οἶμαί τι κἂν αὐτὸς ἐν
καιρῷ τυχεῖν εἰπών. εἰ μὲν οὖν ἐξῆν ἐμοὶ κινεῖσθαι ὅποι βούλομαι,* 2
*παρὼν ἂν ὑμῖν διελεγόμην, κατέχοντος δὲ τοῦ σωτῆρος ἡ διὰ τῶν
γραμμάτων ὁμιλία κατελείπετο. καὶ τοῦτ' εἰ μέν ἐστιν εἰς παράδειγμα
ἀνενεγκεῖν, οὐ χρὴ θαυμάσαι· εἰ δ' ἄλλῳ μὲν οὐδενί πω μέχρι
τούτου πέπρακται, προσήκει δὲ ἡμῖν, οὐκ ὀρθῶς ἔχει νεμεσῆσαι.*
264 J *ἡνίκα μὲν οὖν τὰ συμβάντα ἐπυθόμην — οὐ γὰρ παρών γε ἔτυχον,* 3
430 D *ἀλλ' ἔφθην προεξελθών, ὅτου δὲ γνώμῃ λογίζεσθε —, μονῳδίας
τινὰς ᾖδον, ἕως ἔλαθον λόγους τινὰς συνθεὶς ὑπὸ τοῦ πάθους·
οὐδὲ γὰρ ἦν ἄλλως ἀνταρκέσαι, μὴ τούτοις ἐφέντα ἑαυτόν. νῦν δ'
ὥρα μοι τὸν Στησίχορον μιμήσασθαι τῇ παλινῳδίᾳ, καὶ μὴ τότε
ἀβούλητα ᾄδοντα τἀκ τῶν εὐχῶν νυνὶ σιωπῆσαι. τοσοῦτον δὲ τοῦ
Στησιχόρου διοίσειν μοι δοκῶ· ὁ μὲν γὰρ ἀνθ' ὧν κακῶς εἶπεν τὴν
Ἑλένην, ἀντὶ τούτων ὕμνησε τὰ δεύτερα, ἐγὼ δὲ ἃ τηνικαῦτα ἐκό-
σμουν ὀδυρόμενος, ταῦτα νῦν ἐπὶ τοῦ γεγηθέναι κοσμήσω, καθαρὰν
ὀδυρμοῦ τὴν εὐφημίαν παρεχόμενος. Ἡμῖν γάρ, ὦ ἄνδρες Ἕλ-* 4
*ληνες, πταῖσαι μὲν συνέβη κατὰ τὴν κοινὴν ἀνθρώπων τύχην, ἣν
οὐχ οἷόν τε ἀμοίρους κακῶν εἰς τέλος διεξελθεῖν, ἀναφέρειν δὲ τῇ
τῆς πόλεως τύχῃ, δι' ἣν οὐδενὸς τῶν καλῶν ἄμοιρος πώποτε ἐγέ-
νετο. γνοίη δ' ἄν τις καὶ τῷ χρόνῳ τεκμαιρόμενος. τὸ γὰρ ἡνίκ'
ἔμελλεν οὐ πεσοῦσα κείσεσθαι οὐδ' ἀνθρώπου τελευτῇ παραπλη-
σίως πράξειν, ὥσπερ ἄλλαι τινὲς ἤδη πρότερον πόλεις, ἀλλ' ἐπὶ
κρειττόνων κρηπίδων ἀναστήσεσθαι, τηνικαῦτα ὑπολισθεῖν, πῶς
οὐκ εὐτυχίας μέρει προσθείη τις ἂν εὖ φρονῶν; συζυγίαν δέ, ὡς* 5
ἔοικεν, ὁ δαίμων ἐσκέψατο. τοῖς τε γὰρ πάντα ἀρίστοις βασιλεῦσι
431 D *καὶ πάσας πόλεις ὑφ' ἑαυτοῖς ἔχουσι ⟨τὸ⟩ τὴν καλλίστην οἰκίσαι φιλο-*

---

1 *σύνιστ'* D 8 *μοι* U 9 *σωτῆρος*] Aesculapius; or. XIX § 6 10 *κατελείπετο* R a. ras. U: *διελείπετο* T^1, *ἐλείπετο* D, *κατελίπετο* ADT^2R p. ras. *τοῦτ' εἰ* UT^2A^2, *τοῦτο|εἰ* D: *τουτὶ* A^1RT^1 12 *ὑμῖν* U *ἔχειν* A a. ras. R 16 *ἀνταρκέσαι* RT^1: *αὐταρκέσαι* ADUT^2 *τούτουσ* A^1 a. ras. *ἐφέντα* AR, *ἐφέντα* U, corr. m. 2, *ἀφέντα* T, corr. m. 2, *ἐπαφέντα* D *τῇ παλινῳδίᾳ* molestum 21 *ὀδυρμὸσ* T^1 22 *ἡμῖν*] *ἡ μὲν* T; 'loquitur Aristides ut Smyrnaeus' Rsk.²; cf. v. 5, praeterea p. 18, 6. 17; 19, 19 (bis); 22, 21 24 *ἀναφαίρειν* T 30 *εὐτυχίας*] *εὐδαιμονίασ* U 31 *τε* om. D 32 *ὑφ'*] *ἐφ'* U^1 *τὸ* add. Kaibel *οἰκῆσαι* T

τιμίαν εἶχεν, τῇ τε πόλει τὸ διὰ τούτων ἀνεγερθῆναι καὶ τοιού-
τους ἀρχηγέτας ἐπιγράψασθαι τὴν συμφορὰν εἰς εὐπραξίαν μετέ-
βαλεν. πρότερον μὲν γὰρ Θησέα καὶ Ἀλέξανδρον ᾔδομεν, τὸν μὲν
τῶν ἐν Ἕλλησιν, οἶμαι, φιλανθρωπότατον, τὸν δὲ συμπάντων βα-
σιλέων μάλιστα δὴ θαυμασθέντα τῆς εἰς τοὺς πολέμους τόλμης
ἕνεκα, νῦν δ' ἔτι λαμπροτέρους καὶ μείζονας οἰκιστὰς προσελά-
βομεν· οἷς πᾶσα μὲν γῆ καὶ θάλαττα ὑπήκοος ἐκ πατέρων τε καὶ
ἐξ ὧν αὐτοὶ προσέκτηνται, σοφίας δὲ καὶ δικαιοσύνης καὶ ἀλη- 265 J
θείας καὶ χρηστότητος οὐκ ἔλαττον, εἰ καὶ μὴ πλέον τῆς ἐν τοῖς
6 ὅπλοις ἰσχύος περίεστιν. τίς γὰρ οὕτως ἔξω στηλῶν Ἡρακλέους
ἢ τίς ὑπὲρ τὸν Καύκασον, ὥστ' ἀνήκοος τῆς τούτων φιλανθρωπίας
καὶ μεγαλοψυχίας εἶναι; οἳ καὶ τὸ τῆς Σμύρνης ὄνομα οὐ περιεῖ-
δον ἐν μύθου τάξει γενόμενον, ἀλλ' ἀπορροήν τινα τῆς αὑτῶν
τύχης ἀφεῖσαν εἰς αὐτήν, καὶ παρέσχον οὐ τὸ πτῶμα θρηνεῖν,
7 ἀλλὰ συνοίκια ἑορτάζειν. Ἀλεξάνδρου μὲν οὖν ὕπνος ᾄδεται προοί-
μιον τῆς κατοικίσεως ἔχων, οἱ δὲ τοσαύτην ἄρα τὴν ἐγρήγορσιν 432 D
παρέσχοντο ὥστ' ἔφθησαν ἡμᾶς ἀνιστάντες, πρὶν ἐξελθεῖν τὸν
8 ἐροῦντα πρὸς αὐτοὺς ἃ πεπόνθαμεν. ὀργάνοις δὲ θειοτάτοις ἅμα
καὶ λαμπροτάτοις ἐχρήσαντο, λόγοις μὲν παραμυθησάμενοι καὶ δεί-
ξαντες, ὅ ποτε Ἡσίοδος (Th. 81 sq.) ἐμαντεύσατο, ὅσον τι χρῆμα ἡ μου-
σικὴ τῇ βασιλικῇ προσγενομένη, χορηγίαν δὲ πᾶσαν παρασχόμενοι
πρός τε τὴν τῶν συμβεβηκότων θεραπείαν καὶ προσέτι ἑτέρων κόσμων
περιβολήν. καὶ οὐδὲ ταῦτ' ἀπέχρησεν, ἀλλ' ὥσπερ ἐν αὐτῇ τῇ πόλει
πολιτευόμενοι χρημάτων τε πόρους ἀπεδείκνυσαν καὶ τοὺς φιλο-
τιμησομένους ὑπ' ἐλπίδων ἐκάλουν καὶ χειρῶν βοήθειαν [ἐκάλουν]

---

1 τὸ A[r]U[2] (Burbon. II E 20 Junt.): τοῦ O; τῷ Schwarz, Wien. Stud. 1886, 79 2 εὐπραξίαν] εὐθυμίαν U 4 ἐν om. DU 8 προσέκτηνται ART: προσεκτήσαντο DU, cf. Schanz, praef. ad Plat. Leg. p. XVII 9 εἰ καὶ μὴ ART: εἰ μὴ καὶ DU (Lex. Vindob. 75, 9); propter bella contra Quados et Sarmatos gesta pauloque ante (a. 175 a. Chr. n.) feliciter confecta orator dixit militia animique virtutibus aeque claros esse imperatores, i. e. 'clari animi virtutibus, quamquam hisce non (εἰ καὶ μὴ) clariores quam sunt bellicis' 11 aut τίς delendum aut οὕτως inserendum post Καύκασον (post τίς Rsk.) ὑπὲρ DU: ὑπὸ ART 12 οὐ om. A 13 αὐτῶν ARDT 15 συνοικίαι R[1] (-οίκιαι R[2]), συνοικία T[1] οὖν om. R cf. Paus. VII 5, 2. 3 16 κατοικήσεωσ DUT 18 ἐροῦντα] cf. p. 19, 18 λαμπροτάτοισ ἅμα καὶ θειοτάτοισ DU 23 ταῦτα U τῇ s. l. add. T[2] 25 ἐκάλουν] ἐκήλουν Rsk.; verbum apud Aristidem non obvium probavit Schwarz l. c. 82 posterius ἐκάλουν secl. Schwarz l. c.: ἐκάλουν A[1]T[1], ἐκάλουν καὶ RDUT[2]A[2] (καὶ legit etiam Thom. Mag. 143, 9) βουλομένοις (v. p. 19, 1) Schwarz l. c.: βουλομένουσ O (Thom. Mag. l. c.); operarios (χειρῶν βοήθειαν) Smyrnaeis praestare sese velle imperatores rescripserant (ex

ἐπηγγέλλοντο βουλομένοις, οὐκ ἐθέλοντας δὲ οὐκ ἐνοχλήσειν, κἂν
αὐτίκα πρὸς τούτοις ἕτερόν τι βουλώμεθα, λέγειν ἐκέλευον, ὡς
χαριούμενοι. ὥστ᾽ ἐμοὶ μὲν οὐδὲ σύμπαντα τὰ ἐξ ἀνθρώπων 9
433 D χρήματα ἀντάξια τῆς συνεχείας ταύτης εἶναι δοκεῖ· πεποίηκεν γάρ,
εἰ θέμις εἰπεῖν, συνενεγκεῖν τῇ πόλει τὸν σεισμόν. πρὶν μὲν γὰρ
ἐν τούτῳ γενέσθαι τύχης, οὔπω δῆλον ἦν εἰς ὅσον τιμᾶται οὐδὲ
ὅπως δέοι πρὸς αὐτὴν ἔχειν τοὺς ἄλλους, νῦν δὲ τὸ τοῦ Θεμιστο-
κλέους ἔξεστιν εἰπεῖν, εἰ δὴ τοῦτό γε πιστευτέον κατ᾽ ἐκείνου, ὡς
ἐπὶ ταῖς δωρεαῖς ταῖς παρὰ τοῦ Πέρσου γενομέναις αὐτῷ φθέγ-
ξαιτό τι τοιοῦτον πρὸς τοὺς παῖδας, ὅτι νῦν ἄρα ἐσώθησαν, ἡνίκα
266 J ἀπωλώλεσαν. ἀλλ᾽ οὖν ἐκεῖνος μὲν τῆς πατρίδος λέγεται στερηθεὶς
ταῦτα εἰπεῖν, ἡμῖν δὲ ὁμοῦ τῇ κομιδῇ τῆς πατρίδος χρήματα, κόσμοι
φιλοτιμίαι, βασιλεῖς οἰκισταί τε καὶ σύμβουλοι, πάντα ὁμοῦ γέγονεν
τὰ κάλλιστα. ἆρ᾽ οὐ ταῦτα χρή με φάναι τῆς ⟨τε⟩ ἐκείνων ἀηττήτου 10
καὶ τῆς ἀγαθῆς τῆς πόλεως τύχης εἶναι, τοῖς μὲν ἐξ ὧν οἰκίζουσί
τε καὶ πράττουσιν, τῇ δ᾽ ἐξ ὧν οἰκίζεται μνήμην ἀθάνατον πορι-
ζούσης; οἵ γε τοσαύτην ἔσχον ὑπερβολὴν ὥστ᾽ οὐδὲ τοσοῦτον ἀρκεῖν
ὑπέλαβον, αὐτεπάγγελτοι πρὸς τὸν οἰκισμὸν ὁρμῆσαι, ἀλλ᾽ ἀντὶ
τοῦ πρέσβεις παρ᾽ ἡμῶν ἀναμένειν αὐτοὶ πρέσβεις περὶ ἡμῶν πρὸς
τὴν οἴκοι βουλὴν κατέστησαν, ἃ μηδεὶς ἂν ἡμῶν ἐθάρρησεν αἰτῆσαι,
ταῦτ᾽ ἀξιοῦντες ψηφίσασθαι. ἆρ᾽ οὐχ ἅπας μὲν θρῆνος τούτοις 11
ἐξαλήλιπται καὶ μνήμη πᾶσα τῶν τε ἰδίων ἑκάστῳ καὶ τῶν κοινῶν
δυσχερῶν, ἀντεισῆκται δὲ εὐθυμία μετ᾽ εὐφημίας καὶ τοῦ ζῆν ἐπι-
θυμία νῦν, εἴπερ ποτέ, ἐπὶ ταῖς μελλούσαις ἐλπίσιν, καὶ χάριτες
πρέπουσαι τοῖς θεοῖς, τοῖς βασιλεῦσι, τῷ ⟨. . . . . τῷ⟩ δεξαμένῳ
434 D τὰ τῶν κορυφαίων πολιτεύματα ἀσμένῳ καὶ μνησθέντι τῆς Σμύρνης
ἃ προσῆκεν; Ἄξιον τοίνυν, ὦ ἄνδρες Ἕλληνες, καὶ τοῦ καθ᾽ 12
ὑμᾶς τοὺς ὁμοφύλους ἤδη μέρους μνησθῆναι, ὡς τούτοις τε ἀκο-

hoc rescripto 19, 1 *οὐκ — χαριούμενοι* repetita), si Smyrnaeis placeret, si non placeret, non fore ut insisterent

4 *συνεχείας*] beneficiorum, cf. Demosth. XVIII 218 (Rsk.) 7 *Θεμιστοκλέους*] Plut. Them. 29; cf. Wyttenbach ad [Plut.] apophth. reg. 185 10 *τοιοῦτο* ARD 11 *ἀπολώλεσαν* A 12 *ὑμῖν* T, cf. ad p. 17, 22 14 *ταῦτα χρή με φᾶναι* T: *ταῦτα χρή με λέγειν φάναι* A, *ταῦτα χρή με λέγειν*||||||||||*φάναι*, ras. 4—5 litt., R, s. l. add. *γρ. χρὴ φάναι τῆσ ἐκείνων* R², *ταῦτα χρὴ φάναι* D, *χρὴ ταῦτα φάναι* U *τε* add. Kaibel; redit ad 17, 30 sq. 17 *τοσοῦτ᾽* O 22 *ἐξαλήλειπται* AT a. ras. 23 *εὐθυμία* T: *εὐφημία (μετ᾽ εὐφημίασ)* AR¹, *εὐφροσύνη* DU, R² s. l. *γρ. εὐφροσύνη μετ᾽ εὐφημίασ*; ludit in *ἐπιθυμία* et *εὐθυμία* 25 lacunam indicavi, e. g. *τῷ ⟨συνεδρίῳ τῷ⟩*, cf. p. 12, 10; senatum populi Romani significari notavit Rsk. 26 *κρυφαίων* T¹ post *πολιτεύματα* add. *χωρῶν* D *χορῷ* U, quod Rsk. senatus significationem esse voluit; hiatus *χορῷ ἀσμένῳ* in hac oratione ferri non potest 27 *ἃ*] *ὡσ* U

λούθως διετέθητε καὶ τὴν εὔνοιαν ἣν εἴχετε ἐκ παντὸς χρόνου τῇ
πόλει, σαφέστατα ἐπεδείξασθε. μάθοι δ' ἂν τις ἐπισκεψάμενος τὰ
τῆς πρώτης καὶ πρεσβυτάτης τῶν Ἑλληνίδων πόλεως, λέγω δὲ τῆς
Ἀθηναίων, πῶς ἔσχεν παρὰ τὰς συμφοράς. καὶ οὐ καθαιρεῖν ἐκεί-
νην ἀξιῶν λέγω ταῦτα — μήπω σφόδρα οὕτω γενοίμην φιλόπολις —,
ἀλλ' ἅμα τούς τε πολίτας παραμυθεῖσθαι βουλόμενος καὶ τοῖς
παροῦσιν ἐνδείξασθαι, ὅτι τῇ πόλει διὰ πάντων καιρῶν εὖ πράττειν
13 *ἐπιχώριον καὶ τῆς ἀγαπητῆς μοίρας ὡσπερεὶ κλῆρός ἐστιν. ἐκείνοις* 267 J
τοίνυν στερηθεῖσι μὲν τῶν νεῶν, στερηθεῖσι δὲ τῶν τειχῶν καὶ
τῆς ἀρχῆς ὅλης καὶ προελθοῦσιν εἰς τοῦτο ὥστε τὸν δῆμον φυγάδα
ἀναγκασθῆναι τῆς πατρίδος γενέσθαι — τὰ γὰρ ἐν μέσῳ τοσαῦτα
σιωπήσομαι —, ἀλλ' οὕτω γε πράξασι πλὴν Φαρσάλου τε καὶ Ἄρ-
γους καὶ Θηβῶν οὐδένες οὔτε μείζονα οὔτε ἐλάττονα ἀπεμνημόνευ-
σαν χάριν τῶν ἐκ τοῦ παντὸς αἰῶνος εὐεργεσιῶν, οὐδ' ὅτι τοῦ γένους
ἔρεισμα ἡ πόλις ᾔδετο (Pind. frg. 76 B⁴.). *οὗτοι δὲ οὓς εἶπον τούς*
τε φεύγοντας δεξάμενοι καὶ τοῖς ἐξαιτοῦσιν ἀντισχόντες ταύτην δὴ
χάριν τῇ πάντα ὑπερφερούσῃ πόλει κατέθεντο, παρ' ᾗ τὴν ἀγαθὴν 435 D
14 *ἱδρῦσθαι τύχην αἱ μαντεῖαι λέγουσιν.* *φέρε δὴ καὶ τὰ τῆς ἡμε-*
τέρας πόλεως ἐπισκεψώμεθα, μή πη τῶν ἐραστῶν αὐτῆς αἰσχυν-
θῆναί τῳ προσῆκεν, ἣ μέχρι μὲν τούτων τῶν χρόνων οἷον πόλεως
παράδειγμα κάλλους εἱστήκει, χειρουμένη μὲν εὐθὺς ἐξ ὄψεως τούς
τε ἀπὸ γῆς καὶ τοὺς ἐκ θαλάττης καταίροντας, παρελθοῦσιν δὲ
εἴσω τὰ κάλλιστα ἀποφαίνουσα καὶ παρασκευάζουσα ὧν οὔτ' ὀφ-
θαλμῶν κόρον ἦν λαβεῖν οὔτε χρόνου διατριβῆς· ἃ νῦν ἀπέραντον ἂν
15 *εἴη καταλέγειν. ἐπεὶ δὲ καὶ τῆς ἑτέρας ἔδει μερίδος πεῖραν λαβεῖν,*
ἃ μὲν τοῖς ἄρχουσιν ἐπῆλθε σπουδάσαι, διήλθομεν ἀρτίως (§ 8)·
ἀλλ' ἐν ὑμῖν τοῖς ὁμοτίμοις τί τῶν ἁπάντων οὐκ ἐγένετο; οὐ κατὰ
πόλεις τε ὀδυρμοὶ κἂν τοῖς κοινοῖς συνεδρίοις βοώντων τὰ μήκιστα
καὶ ποθούντων ἐν πατρίδος μοίρᾳ τὴν πόλιν, πανηγύρεις τε δια-
λύειν ἀξιούντων καὶ ῥητορευόντων εἰς αὐτήν, ὡς ἕκαστος εἶχεν
δυνάμεως; ὥσπερ γὰρ κοινοῦ πτώματος τῆς Ἀσίας γεγενημένου,
16 *οὕτω τὰς γνώμας εἴχετε. ἀλλὰ μὴν τά γε τῆς ἐπὶ τῶν ἔργων αὐτῶν*

---

2 *ἀπεδείξασθε* T 3 *πόλεων* AR: *πόλεωσ* DUT 4 *παρὰ*] *περὶ* A 5 *μήπω*] *μήποτε* ci. Rsk.; at cf. Kaibel ad Soph. Electr. p. 132 8 *μοίρασ* AR: *ὥρασ* DUT, cf. v. 25 9 *τῶν* ante *τειχῶν* om. A 12 *πλὴν*] *τὴν* A¹, corr. A² *Φαρσάλου*] Pharsaliorum haec Atheniensibus praestita beneficia apud unum, quod sciam, Aristidem (cuius auctorem ignoro) tradita *τε* om. U 18 *μαντεῖαι*] oracula haec ignota videntur esse 21 *πόλεως* suspectum Kaibelio coll. p. 26, 14 *χειρουμένη*] cf. p. 3, 6; 6, 25 23 *ἀποφανουσα* A¹, corr. Aʳ *παρασκευάζουσα*] *παρ* in ras. U² *ὀφθαλμοῖς* Rsk. 24 *κόρον*] cf. p. 7, 2 25 *μερίδοσ πεῖραν ἔδει* U 27 *τῶν||||||ἁπάντων*, 3 litt. eras. R 32 *ἐπὶ* ARU²T²: om. DU¹T¹

ἐπικουρίας τίς πω μέχρι τοῦδε μέμνηται ἐν Ἕλλησι γενόμενα; ἀγοραὶ
μὲν ἁπανταχόθεν τοῖς κατὰ χώραν μένουσιν ἐκ γῆς καὶ θαλάττης
εἰσαφικνούμεναι, ἅμιλλα δὲ καὶ σπουδὴ τῶν ἑκατέρωθεν μεγί-
στων πόλεων, καλούντων τε ὡς αὑτοὺς καὶ ὀχήματα καὶ πορεῖα
268 J ἐπιπεμπόντων, ἔτι δ' οἰκήσεις καὶ συνεδρίων κοινωνίας καὶ πάσας
ἀφορμὰς παρασκευαζόντων, ὥσπερ γονεῦσιν ἢ παισὶν αὑτῶν, παρα-
436 D πλήσια δὲ καὶ τῶν μεγέθει μὲν ἀπολειπομένων, προθυμίας δὲ καὶ
τιμῆς οὐδὲν ἐλλειπόντων. τίς γὰρ οὐχ ἕρμαιον ἐποιήσατο ἑαυτοῦ, 17
τίς γὰρ οὐχ εὑρίσκεσθαι μᾶλλον ἢ τίθεσθαι ταύτην χάριν ᾠήθη,
δέξασθαι συνοίκους τοὺς τοσοῦτον πρωτεύσαντας; χρημάτων τοίνυν
συντέλειαν καὶ πρὸς τὰ μέλλοντα ὑποσχέσεις ἀφ' ἑκατέρας τῆς
ἠπείρου καὶ πολλὰς ἄλλας φιλανθρωπίας εἰς δύναμιν τὴν ἑκάστων
γενομένας τίς ἂν ἐκπεράνειεν διηγούμενος; καὶ οὐ τούτου γε ἕνεκα
ἡ πόλις ἠξίωσεν πάντα ἐφεξῆς δέχεσθαι οὐδ' ὡς οἱ διδόντες ἐβού-
λοντο, ἀλλ' ὡς αὐτῇ καλὸν ἦν λαβεῖν. καὶ τί δεῖ ταῦτ' ἐν μέρει 18
καταλέγειν; πάντα γὰρ τὰ ἔθνη τὰ πληροῦνθ' ἡμῖν τὴν Ἀσίαν φιλο-
τιμίαν κοινὴν φιλοτιμεῖται πρὸς τὴν πόλιν, τὰ κράτιστα τῶν ἀρχαίων
ἀνιστάντα. ἐπὶ μόνης δὲ ταύτης τῆς πόλεως τὸ παλαιὸν ῥῆμα
ἐξηλέγχθη ψευδῶς ἔχον, τὸ κακῶς πραξάντων λήθην εἶναι παρὰ
τοῖς φίλοις· τοσοῦτον αὐτῇ καὶ παρὰ τὴν συμφορὰν ἐπιφανείας
καὶ χαρίτων καὶ δόξης ἐφυλάχθη παρὰ τοῦ δαίμονος. Νῦν δ' 19
ὅσα μὲν θρηνώδους ἁρμονίας καὶ σχημάτων ἀχαρίτων καὶ παρὰ
τῆς λύπης ἔχοντα τὴν εὐφημίαν ἐκποδὼν ἀπελήλυθεν, λευχειμονεῖ
δὲ ἡ ἤπειρος, πανηγυρίζει δ' ἡ Ἑλλὰς ἐπὶ χρηστῆς ὑποθέσεως, ἡ
πόλις δὲ ὥσπερ ἐν δράματι καὶ δὴ πάλιν ἐξ ἀρχῆς ἀναφύεται μετα-
βαλοῦσα τὴν ἡλικίαν, ἡ αὐτὴ παλαιὰ καὶ νέα γενομένη, ὥσπερ τὸν
φοίνικα ἀναβιώσκεσθαι λόγος αὐτὸν ἐξ αὑτοῦ· οὐ γὰρ δὴ τοῦτ'

---

2 καὶ ART: om. U, ἐκ D θαλάσσησ T 3 εἰσαφικνούμεναι DU: εἰσαφικνουμένοισ RT, ἀφικνουμένοισ A 4 αὐτοὺσ ARDT πορεῖα tacite corr. Wyttenbach, Lex. Plutarch. s. v.: πορείασ O 6 αὐτῶν ARDT παραπλησία (sc. ἅμιλλα καὶ σπουδή) δὲ καὶ Schwarz l. c. 83 7 δὲ καὶ DU: τε καὶ ART; μὲν ἁπανταχόθεν (2) — δὲ .. τῶν .. μεγίστων πόλεων (3) — δὲ καὶ τῶν . . . ἀπολειπομένων (sc. πόλεων i. e. civium); ad παραπλήσια mente παρασκευαζόντων supplendum; δὲ καὶ ⟨τα⟩ τῶν Rsk. (prob. Wil.) τῶν] τῶ T 8 ἐποιήσατο ἑαυτοῦ AR, ἑαυτοῦ ἐποιήσατο DUT 9 γὰρ del. Wil.; cf. or. XXV § 43 ταύτην ⟨τὴν⟩ χάριν Rsk.; at ταύτην praedicatum, quod verbis δέξασθαι — πρωτεύσαντας explicatur 12 ἑκάστω D 18 ἐπὶ μόνης κτἑ.] eadem de Atheniensium urbe praedicaverat Panath. I 180, 10 Ddf.; ceterum cf. Soph. frg. 667 N.[2] 21 ἐφυλάχθη] cf. p. 12, 12 δ' om. U 23 λευχειμωνεῖ A a. corr. 25 ἐν δράματι] cf. p. 26, 4 26 cf. p. 1, 16 γενομένη ADU: γινομένη RT 27 ἐξ αὐτοῦ ARD

ἄρα δόξαι τῷ θεῷ ἕτερον φοίνικα ἀντ' ἐκείνου τε καὶ μετ' ἐκεῖνον
20 *γενέσθαι. πάντα δ' ὥσπερ ὁδῷ κεχωρηκέναι φαίνεται. Θησέως*
μὲν γὰρ ἐξ ἀρχῆς οἰκίσαντος, Ἀλέξανδρος ὕστερον εἰς τοῦτο τὸ
σχῆμα προήγαγεν· τρίτη δὲ χεὶρ τῶν πάντα νικώντων ἀνίστησι τὴν 437 D
αὐτὴν καὶ συντίθησιν· μεταθεῖναι μὲν γὰρ οὐκ ἠξίωσαν ἔρωτι τῆς
ὑπαρχούσης, οἱ δ' ἐπὶ τῶν ἰχνῶν ἐγείρουσιν. ἐπόθει δ' ἄρα καὶ ἡ 269 J
τῆς πόλεως φύσις οἰκιστὰς διττοὺς δύο τὰς ἀρχηγέτιδας νέμουσα.
21 *καὶ δὴ λιμένες τε κομίζονται τὰς τῆς φιλτάτης πόλεως ἀγκάλας*
καὶ πάλιν [αὖ] κατακοσμεῖται, καὶ τῷ Μέλητι οὐδὲν ἐμποδὼν τὸ
μὴ τοὺς προσοίκους ἔχειν. ἦρος δὲ πύλαι καὶ θέρους ὑπὸ στεφάνων
ἀνοίγνυνται, χοροὶ δὲ Νυμφῶν καὶ Μουσῶν ἐν αὐτῇ τε καὶ περὶ
22 *αὐτὴν χορεύουσιν, ζέφυροι δὲ οὐ λυπήσουσι πνέοντες. ὦ μακάριοι*
μὲν τῶν πρεσβυτέρων οἱ πρὸς ταύτην ἀφιξόμενοι τὴν ἡμέραν, ἐν
ᾗ τὴν Σμύρναν ὄψονται τὸν ἑαυτῆς ἔχουσαν κόσμον· παῖδες δὲ
οὐδὲν ζημιωσόμενοι, ἀλλ' ὀψόμενοι τὴν πατρίδα οἵαν οἱ γονεῖς
ᾤκουν· οἱ δ' ἐν ἡλικίᾳ τὰ μὲν συμπράξαντές τε καὶ συμπονήσαντες,
τὰ δὲ συνθύσοντες καὶ συνεορτάσοντες ἑαυτοῖς τε καὶ τοῖς εἰσαφικ-
νουμένοις, ὡς τῶν παρόντων ἀγαθῶν ἔτι καλλίους αἱ τῶν μελλόν-
23 *των ἐλπίδες. Ἀλλὰ Ζεῦ πολιεῦ τε καὶ θεαὶ κληροῦχοι τῆσδε*
τῆς πόλεως καὶ Πόσειδον, ὃς ἀμφότερα εἴληχας κινεῖν τε καὶ σῴ- 438 D
ζειν, καὶ θεοὶ βασίλειοί τε καὶ Ἑλλήνειοι, γενέσθαι τόνδε ἡμῖν τὸν
οἰκισμὸν δευτέρων ἀμεινόνων βεβαιοτέρων [ἔστι μοι] ἐπὶ πολλῇ

---

3 *οἰκήσαντοσ* RDT 4 *τρίτη*] ad tempus sophista retractat sententiam: or. XVII § 3, or. XVIII § 2 *ἀνίστησιν αὐτὴν* U 7 *δύο τὰς ἀρχηγέτιδας*] par *Νεμέσεων*, quas Smyrnaei colebant (Paus. VII 5, 3), componit imperatorum pari 8 *ἀγκάλας*] cf. p. 10, 10 9 *πάλιν*] *πάλιν αὖ* DU; an *καὶ πάλιν αὐ⟨τὴ⟩ κατακοσμεῖται*?; *καὶ πάλιν κοσμηθέντι καὶ τῷ* Kaibel 10 *ἦρουσ* R; sententia e Pind. frg. 75, 14 B[4] *δὲ* om. D 11 *μουσῶν καὶ νυμφῶν* DU 12 *αὐτὴν*] *ἣν* in ras. T[2] *οὐ λυπήσουσι* corruptum; *συναυλοῦσι* Kaibel 13 *ἡμ//εραν* T, corr. m. 2 16 *συμπράξοντέσ τε καὶ συμπονήσοντεσ* D 17 *συνθύσαντεσ καὶ συνεορτάσαντεσ* U *συνθύσοντεσ*] posterius *υ* in ras. T[2] (cf. *συνθήσοντεσ* Baroc. 136. Ox. Coll. Nov. 259) 19 *πολιέ|τε* D *κληροῦχαι* U a. ras.; *κληδοῦχοι* Cobet, Mnemos. IX 46; at *Νεμέσεις τὴν πόλιν κλῆρον ἔλαχον*, ut statim de Neptuno *εἴληχας* 20 *ἀμφότερα*] non 'continens solum et mare' (Rsk.), sed *κινεῖν τε καὶ σῴζειν* (Preller-Robert Gr. Myth. 585, 2) 21 *ἑλλήνειοι* AUT: *ἑλλήνιοι* RD; prius contra *θεῶν τῶν Ἑλληνίων* Quatt. II 244, 10 Ddf. (cf. Schmid p. 177) propter *βασίλειοι* servandum *ὑμῖν* T, cf. ad p. 17, 22 22 *ἔστι μοι* A (nunc erasum; / in mg.) RT, om. DU, del. Ddf., recte ut videtur, quamquam non video quid sibi velit — neque enim inde apti infinitivi in precibus sollemnes — neque perspicio unde natum sit 23 *ἀμεινόνων βεβαιότερον ἐπὶ* Büchner, Philolog. 1890, 183; at genetivus solemnis in hoc proverbio or. XVIII § 7, XXIV § 59, XXVI § 101

μὲν εὐφροσύνῃ καὶ δόξῃ τῶν οἰκιστῶν, χρηστοῖς δὲ τοῖς ἀπαντησομένοις τῇ πόλει διὰ παντὸς τοῦ μέλλοντος χρόνου, εἶναι δέ τι καὶ τοὐμὸν ἐν Ἕλλησιν νῦν τε καὶ ὕστερον.

XXI.

I 439 D
I 269 J

(22) ΣΜΥΡΝΑΙΚΟΣ

[ΠΟΛΙΤΙΚΟΣ, ΠΡΟΣΦΩΝΗΤΙΚΟΣ].

Ἐβουλόμην ἄν, ὦ θαυμάσιε, μάλιστα μὲν τὴν πόλιν οἵαν κατέλιπες τοιαύτην φανῆναι, εἰ δὲ μή, παρὼν αὐτὸς ποιεῖσθαι τοὺς
270 J *λόγους, ἵν' ἀμφοτέρως ἐκέρδαινον, σοί τε συνὼν καὶ τῆς νῦν ἀνιούσης ἡμῖν πόλεως ἀπολαύων τὰ γιγνόμενα. ἐπεὶ δ' οὕτω συμβέβηκεν, οὐ τοῦ γε παντὸς εἴργεσθαι καλῶς ἔχειν ὑπέλαβον, ἀλλὰ ἴχνος γέ τι φωνῆς ἡμετέρας σοί τε γενέσθαι γνωρίσαι καὶ τοῖς παροῦσι τῶν Ἑλλήνων ὅσοι τε πολῖται καὶ ὅσοι ξένοι.* 2 *ὅλως μὲν γὰρ ἔμοιγε σχεδὸν εἰς ἔθος καθέστηκεν ἀπόντι πανηγυρίζειν, ἐπειδή γε ὁ θεὸς ταύτην ἄγει. ὁ δὲ νυνὶ λόγος καὶ πάνυ μοι κατὰ καιρόν ἐστιν. ἐπεὶ γὰρ καὶ τῆς ἀνελπίστου φήμης ἀφικομένης πρῶτος ὑπὲρ τῆς πόλεως ἐμνήσθην πρὸς τοὺς πάντα ἀρίστους βασιλέας διατρίψας*
440 D *οὐ πλέον μιᾶς νυκτός, εἰκός τοι καὶ περὶ τῶν εἰς εὐφημίαν ἡκόντων οὕτως ἔχειν ὡς ἑαυτῷ προσηκόντων.* 3 *Τὰ μὲν οὖν παλαιὰ μέμνησαι κατὰ τὴν πρώτην ἀκούσας ἀρχήν, ἣν τῷ πατρὶ συνῆρχες, Διός τινα γένεσιν καὶ χορείας Κουρήτων καὶ Ταντάλου καὶ Πέλοπος οἰκισμὸν τῆς πρώτης πόλεως ἐν τῷ Σιπύλῳ γενομένης καὶ διαβάσεις Πέλοπος ἐνθένδε εἰς τὴν πρότερον μὲν Ἀπίαν, Πελοπόν-*

Or. XXI: libri ARQDUT = O

---

1 *εὐφροσύνῃ καὶ* om. D   Subscr. *παλινωιδία* A[r], *παλινωδία ἐπὶ σμύρνῃ καὶ τῷ ταύτησ ἀνοικισμῷ* T

Tit. *πολιτικόσ* A et in indice R pr. m., *πολιτικὸσ σμυρναικόσ* R: *προσφωνητικὸσ σμυρναικόσ* UT, *προσφωνητικὸς ἐν σμύρνῃ* Q (at in indice pr. m. *τοῦ αὐτοῦ προσφωνηματικός*; *μα* nunc erasum); om. D; cf. subscr. or. XVII. Duo cum *Σμυρναικοί* in delectum orationum nostrum recepti essent, prioris titulo (or. XVII) *πολιτικός*, alterius *προφωνητικός* additum, ut distinguerentur; at ut utrique orationi aeque apte *πολιτικός* (cf. Diog. L. III 86), ita *προσφωνητικός* aeque inepte (neutra enim est) inscribi potuit   4. 5 *κατέλιπον* DU   7 *γινόμενα* Q   *οὕτωσ* D   8 *εἶχεν* R   *ἀλλ'* DU   9 *τε* add. U[2]   10 *μὲν* om. Q   13 *ἀφικνουμένησ* U[1], *ἀφικομένοισ* T[1]   15 *τοι* ARD p. corr. pr. m.: *τι* QD a. corr. UT   16 *ἑαυτῶι* AR: *ἐμαυτῷ* QDUT   19 *διαβὰσ εἰσ* A[1], corr. A[r]

*νησον δὲ ἀπ᾽ ἐκείνου κληθεῖσαν, ἀφ᾽ οὗ τρίτος ἔγγονος βασιλεὺς
κοινὸς τῆς Ἑλλάδος γενόμενος κατέλυσε τὴν τῶν βαρβάρων ἀρχήν.
4 δευτέρων δὲ εὐφημιῶν Θησεύς τε ἀρχηγέτης καὶ Σμύρνα ὄνομα
τῇ πόλει ταύτῃ καὶ γένος Ἀττικὸν καὶ Ἰώνων ὕστερον ὡς εἰς
οἰκείαν εἴσοδος· καὶ τρίτη δὴ θέσις καὶ κατοίκισις [τὸν Ἀλέ-
ξανδρον], οὗ δύο ταῦτα κάλλιστα καὶ μέγιστα μνημεῖα, ἥδε τε ἡ
πόλις καὶ ἡ τοῦ Νείλου πρόσοικος. τοιαῦτα ἤκουσας· καὶ τριήρης
τις ἦν δεικνυμένη μὲν Διονυσίοις, ὑμνουμένη δ᾽ ἐν τοῖς Κατάπλοις,
σύμβολον νίκης παλαιᾶς, ἣν ἐνίκων Σμυρναῖοι βακχεύοντες Χίους
5 ὅπλοις καὶ ναυσὶ πεφραγμένους. ἅ γε μὴν ὀφθαλμὸς ἐξηγεῖτο
καὶ οὐ μῦθος ἔτι οὐδὲ λόγοι λογοποιῶν τε καὶ ποιητῶν, ἀλλὰ καὶ
αὐτὸς Ὅμηρος παρὼν ἀσφαλέστερον ἂν ἡγήσατο σιωπᾶν ἢ λέγειν* 441 D
*περὶ αὐτῶν· ἑώρας ἀγοράν τε θεῶν ἑστίαν καὶ λιμένας τῇ μὲν κυ-
κλουμένους τὴν πόλιν, τῇ δὲ ὑπὸ τῆς πόλεως μέσους ἐχομένους,
καὶ ναῶν κάλλη καὶ περιβόλους, ἐξ ἴσου τῇ τε φύσει καὶ τέχνῃ* 271 J
*κεκοσμημένα, καὶ πάντα δὴ τὸν κόσμον τῶν ὅρμων ὡς ἐξήρτηντο
ἀλλήλων· καὶ τὸ δὴ μέγιστον σύμβολον τῆς πόλεως, τὴν διὰ πάντων
ὁμολογίαν [καὶ] μουσικὴν ἕν τι τὸ πᾶν σῶμα ἀποφαίνουσαν, ὥσπερ
ἂν εἰ κατὰ τὸν μῦθον τὸν περὶ τοῦ Θηβαίων τείχους λεγόμενον
6 πρὸς λύραν καὶ κιθάραν ἥρμοστο ἐξ ἀρχῆς. Εἶεν. τὰ μὲν δὴ
παλαιά τε καὶ οὐ παλαιά, ἀλλὰ χθές τε καὶ πρώην ὡς εἰπεῖν ἔτι
φαινόμενα τοιαῦτα μὲν ἤκουσας, τοιαῦτα δὲ ἐθεάσω. ἀκίνητον δὲ
οὐδέν, φασί, τῶν ἐν ἀνθρώποις, ἀλλὰ καὶ γῆ θάλατταν δέχεται
καὶ θάλαττα ἠπειροῦται, καὶ πόλεις αἱ μὲν κατὰ γῆς ἔδυσαν, αἱ
δ᾽ ὑπὸ ῥευμάτων οὐρανίων τε καὶ ποντίων ἠφανίσθησαν· ἴδιον
γὰρ τοῦ θνητοῦ γένους αἱ μεταβολαί, καὶ πολλὰ τὰ θαύματα
7 τοῦ χρόνου. καὶ δὴ καὶ τῇ ἡμετέρᾳ πόλει τοσοῦτον νικώσῃ συνέβη*

---

1 *ἔκγονοσ* DU; Agamemno 3 *δευτέρων* A² (ci. Rsk.): *δεύτερον* O 4 *εἰς* om. D in confinio paginarum (f. 25ʳ ᵛ) 5 *εἴσοδος* Rsk.: *εἴσοδον* O *κατοίκισισ* A: *κατοίκησισ* R (posterius *σ* in ras.) QDUT *τὸν ἀλέξανδρον, ου* ART: *τὸν ἀλέξανδρον ἔχουσα, οὗ* DU, interpolati; *τὸν Ἀλέξανδρον* seclusi; cf. or. XXVI § 26; conditoris nomen satis dilucide verbis *ἡ — πρόσοικος* significatur (iterum sententiam retractat, cf. ad p. 22, 4); ⟨*διὰ*⟩ *τὸν Ἀλέξανδρον* Canter; ⟨*κατὰ*⟩ *τὸν Ἀλέξανδρον* Schmid, Philolog. 1889 (I), 377 7 *ἤκουσασ* DUQ (cf. v. 22): *ἀκού-σασ* ART (cf. p. 23, 17), quod fortasse defendi potest: Schmid p. 68 sq. *ἤκουσας καὶ τριήρης* ⟨*ὥς*⟩ *τις* Rsk.²; cf. or. XVII § 6 8 *δὲ* D 11 *οὐ*] *ὁ* R 12 *ἂν ἀσφαλέστερον* U *ἡγήσατο* QUT: *εἰσηγήσατο* D, *ἡγήσαιτο* AR 13 *τε*] *τε καὶ* DU *ἑστίασ* DU *τῇ* — 14 *τῇ*] *πῆ* — *πῆ* DU¹ 14 *τῆι πόλει* R *μέσουσ*] *ου* in ras. pr. m. et U et Q 18 *καὶ* seclusi 19 *τὸν* ante *περὶ* DUT: om. AR 25 *ὀυνίων* T, at *ουν* in ras. T², *οὐρανιώνων* D, *ὀυνῶν* (= *οὐ-ρανῶν* R) *ποντίων* Rsk.: *παντοίων* O 27 *τοσοῦτο* AR

τρόπον τινὰ ὀλισθεῖν· οὗ δὴ καθαρῶς ἐξεφάνη ὅσος τις ὁ παρ᾽
αὐτῆς τῇ Ἀσίᾳ κόσμος ἦν, λέγω δὲ οὐχὶ τὴν μέχρι Μαιάνδρου
πηγῶν, οὐδ᾽ ὅσην ὁ τῶν ἡγεμόνων ὑμῶν κλῆρος ὁρίζεται, ἀλλ᾽ ἣν
ἐξ ἀρχῆς Ἕλληνες προσεῖπον Ἀσίαν, προσηγόρευον δὲ καὶ ἤπειρον
442 D διαφερόντως αὐτὴν τῶν τριῶν — ἀλλ᾽ ὅ γ᾽ ἐβουλόμην εἰπεῖν, ἅμα
γὰρ τῷ πτώματι συμβάντι πάντα ἐδόκει γεγυμνῶσθαι καὶ πᾶς τις
ὥσπερ ὀφθαλμὸν ἐζήτει σώματος. λέγω δὴ τὸ μὲν προσκροῦσαι 8
κατὰ τὴν κοινὴν ἁπάντων ἀνθρώπων τύχην καὶ φύσιν τῇ πόλει
συμβῆναι, τὰ δ᾽ ἐφεξῆς τῆς ἀγαθῆς ἤδη καὶ τὴν πόλιν ἐξ ἀρχῆς
λαχούσης εἶναι. ὅτε γὰρ ἦν . . . . . . καιρὸς πρόχειρα ὤρεξε, τοιού-
τους ἔχων τοὺς τῶν ὅλων προστάτας, οἳ πάντων μὲν ἥκιστα ἔμελλον
περιόψεσθαι κειμένην, πάντων δὲ μάλιστα προθυμήσεσθαι οὐκ
ἀναστῆσαι μόνον, ἀλλὰ καὶ πρὸς ὑπερβολὴν ἆραι· ʽτὰ δὴ νῦν πάντα
τελεῖταιʼ φησὶν ὁ παῖς τοῦ Μέλητος (Hom. *B* 330 al.). καὶ μὴν τήν γε 9
εὐγένειαν τοῦ δήμου — μὴ γὰρ πάνθ᾽ ἡμῖν ἔστω περὶ τῶν οἰκοδομη-
272 J μάτων — τίς οὐκ ἂν ἠγάσθη καὶ ἐθαύμασεν; οὔτε γὰρ ἐξεπλάγη
πρὸς τὴν συμφοράν, παραμυθίαν τε οὐκ ἐζήτησεν οὐδ᾽ ἀνέμεινεν
καλλίω τῆς παρὰ τῶν βασιλέων ἅμα ἔργῳ καὶ λόγῳ γιγνομένης,
ὥστε ὁ τοῦ πένθους αὐτῷ καιρὸς ἑορτή τις ἐγεγόνει. Καὶ μὴν 10

---

1 οὗ] οὐ R καθαρὸσ Q ὅσ (σσ superscr.) T, οσ s. l. add. T² τισ παρ᾽ αὐτῆσ ὁ τῆσ Ἀσίασ DU 2 τῇ Ἀσίᾳ Rsk.: τῆς Ἀσίας O, quod tuetur Kaibel δὲ in ras. Q² 3 ὑμῶν] ex ὑμῖν aut ὑμεῖσ corr. T², ex ἡμῶν in ras. U¹, postea iterum η superscr. U²; ἡμῶν D; ʽproconsulum vestrorum provincia (Asia)ʼ 4 καὶ ἤπειρον καὶ διαφερόντωσ T, posterius καὶ lineola transfixa del. T² 5 γε U; ἀλλ᾽ ὅ γε ad v. 1 οὗ δὴ καθαρῶς κτέ., v. 8 λέγω δὴ ad p. 24, 25 ἴδιον γὰρ κτέ. respicit; ceterum cf. p. 19, 14 sq. 7 ὀφθαλμὸν] cf. p. 11, 4 προσκροῦσα A¹, corr. Aʳ 8 ἁπάντων] τῶν DU 10 πρό-χειρα ARTQ mg. c. γρ.: πρὸσ χεῖρα DUQT² mg. c. γρ. (ex p. 12, 8) ὤρεξε ATR² ὄρεξε Q: ὀρέξαι R¹ (ut videtur) DU, ὀρέξατε Q mg. c. γρ.; lacunam ante καιρός indicavi; πρὸς ὑμᾶς τὴν χεῖρα ὤρεξεν ὁ δῆμος Rsk.², lacunam inter πρὸς et χεῖρα Ddf. indicavit, qui et ipse ἔχων ad vocem perditam δῆμος rettulit; at participium ad καιρός trahendum: ea Smyrnae erat bona fortuna quod infortunio oppressa est eo tempore, quod tales orbis terrarum moderatores (τῶν ὅλων de Smyrna dicta esse non possunt) tulerit; suppleverim e. g. ὅτε γὰρ ἦν ⟨ἐν τοῖς ἐσχάτοις ἡ πόλις, ἃ δὴ τότε ἀπῄτησεν ὁ καιρός, αὐτὸς ὁ⟩ καιρὸς πρόχειρα ὤρεξε, τοιούτους ἔχων — προστάτας. Aristides χεῖρα ὀρέγειν non de supplice, sed de deo, quem supplex precibus adit, dicere solet: p. 12, 8 et or. XLII p. 68, 10 Ddf., cf. or. XLIV p. 405, 6 Ddf.; καιρὸς πρὸσ ⟨τὸ⟩ χεῖρα ὀρέξαι, [τοὺς] τοιούτους εἶχε τοὺς τῶν ὅλων Schwarz l. c. 84; lacuna non admissa pro ἔχων ci. ἔχουσα Wil., ἔχειν Kaibel, ut vv. τοιούτους — προστάτας epexegetice ad πρόχειρα dicta sint τοὺσ τοιούτουσ τῶν (omisso ἔχων) DU 12 προθυ-μήσεσθαι] ε in ras. Q² 14 γε] τε Q 18 ἅμα om. DU¹

*τά γ' ἐπὶ τούτοις ἡμεῖς μὲν ἀκοῇ γιγνώσκομεν, σὺ δ' ὁρῶν
κἂν ἑτέροις αὐτὸς ἐξηγοῖο. ἔοικε γὰρ οὐ πόρρω πεπραγέναι τοῦ
μυθολογήματος ἡ πόλις τοῦ περὶ τὸν ἀρχηγέτην αὐτῇ λεχθέντος.
οἶσθ' ὅτι φασὶν οἱ ποιηταὶ τὸν Πέλοπα κατὰ μέλη τμηθέντα ἑψη-
θέντα ἐν λέβητι συντεθῆναι πάλιν ἐξ ἀρχῆς ἐκ τοῦ λέβητος, ἐλλεί-
ποντος δὲ τοῦ ὤμου σχεῖν ἐλεφάντινον ἀντὶ τοῦ παλαιοῦ, καί φασι* 443 D
*τὸ ἔργον Δήμητρος γενέσθαι· ὡς δὲ καὶ τῇ πόλει μετ' ἐκεῖνον τὸν
λέβητα, ὃς αὐτῇ πάντα ἐπέφλεξεν, ἡ δευτέρα σύστασις εἰς θαυ-
μαστήν τινα ἐλήλυθε κάλλους περιουσίαν, ὥσπερ τοῦ Ποσειδῶνος
ἐξεπίτηδες τῇ τριαίνῃ κινήσαντος αὐτήν, ἵν' ἴδοι καλλίονα ἢ πρὸ
τοῦ· οἷόν τι καὶ περὶ Θετταλίαν λέγεται φιλανθρωπεύσασθαι τὴν*
11 *διασφάγα ποιήσας τῶν Τεμπῶν ἕνεκα τῷ Πηνειῷ. καὶ γάρ τοι
πρότερον μὲν οὐδ' εἰς ἐπίνοιαν ὑπερβολῆς ἐλθεῖν ἦν, ἀλλ' ἐδόκει
παράδειγμα κάλλους ἡ πόλις εἶναι, νυνὶ δ' ἐξηλέγχθημεν ἄρα οὐκ
ὀρθῶς δοξάζοντες. τότε μὲν γὰρ τὰς ἄλλας πόλεις, νῦν δ' αὐτὴ
σχεδὸν ὡς εἰπεῖν ἑαυτὴν νενίκηκεν· καί μοι δοκεῖ προσόμοιον τῇ
μητροπόλει παθεῖν. μνησθήσομαι δ' εἰκόνος οὐ μυθώδους, ἀλλ'*
12 *ἀναγκαίας πιστεῦσαι. ἐκείνη τε γὰρ ἐμπρησθεῖσα ὑπὸ τοῦ Πέρσου
καὶ πάντα τρόπον διαφθαρεῖσα ἐπέδωκεν ἁπανταχῇ, τῇ τε πόλει
κέρδος τὸ σύμπτωμα· ὑπὸ τοιαύτης χειρὸς ἐγείρεται πάντῃ σεμ-
νοτέρα καὶ ὑψηλοτέρα καὶ στεγανωτέρα, καλοῦμεν δὲ Ἀδράστειαν.
καλῶν δὲ ὄντων ἁπάντων τῶν ὁρωμένων τούτων κόσμων ἕτερον
μεῖζον προσείληφεν· οἰκισταὶ γὰρ αὐτῆς οἱ πάσας τὰς πόλεις ὑφ'
ἑαυτοῖς ἔχοντες, οὓς οὔτε φιλανθρωπίᾳ οὔτε ἔργων ἀποδείξεσιν
οὐδείς πω νενίκηκεν· ὧνπερ οἶμαι καὶ μόνων ἦν κρεῖττόν τι τῆς*
13 *τότε Σμύρνης ἐξευρεῖν. τοιαύτη τις ἡμῖν τῆς τύχης ἡ περὶ τὴν* 273 J
πόλιν γέγονεν παλινῳδία. καὶ δὴ τῇ τε Ἰωνίᾳ καλῶς ὁ στέφανος

γ
1 *γε* D *γινώσκομεν* U 2 *πεπραχέναι* R pr. m. 4 *ἑψηθέντα*] *ἑ* in ras. T² (cf. *ὀψηθέντα* Bar. 136) 6 prius *τοῦ*] ‘quem omnes norunt’ *ἐλεφάντιον* D *καὶ* om. Q, s. l. add. U pr. m. 7 *καὶ* in ras. U² 8 *πάντα ἐπέφλεξεν*] ex Herod. VIII 32, quamquam mutata verbi notione 12 *τῶν πεμπῶν* T *ἕνεκα*] ut Tempe fierent 13 *ἐδόκει κτἑ.*] cf. p. 3, 12 15 *νυνὶ δ' αὐτὴ* RU² (*νι* et *η* sine acc. et in ras.) 16 *σχεδὸν ὡς εἰπεῖν*] cf. Sandys ad Arist. rp. Ath. 2, 3; aliter libris inter se dissentientibus res iudicanda p. 34, 8 an *προσόμοιόν ⟨τι⟩ τῇ*? 17 *οὐ* om. Q *μύθωι δοὺσ* A¹, corr. A² 18 *τε* om. RD, postea add. Q¹ 9 *τῇ τε πόλει*] ‘et Smyrnae nostrae’ Rsk.² *σεμνότερα — 20 ὑψηλότερα — στεγανώτερα* A¹, corr. A²; *καὶ στεγανώτερα* om. T¹, add. m. satis antiqua, sed diversa a ceteris 22 *ἁπάντων τούτων τῶν ὁρωμένων κόσμων* U 23 *μεῖζον* A¹RQU¹T: *μείζω* DA²U²; neutrum *ἕτερον* *ὑφ'* DU: *ἐφ'* A (at *υ* add. s. l. Aʳ)RQT 24 *ἑαυτοῖς* scripsi: *ἑαυτοὺσ* O; cf. p. 17, 32 25 *ὧνπερ* DUQT: *ὥσπερ* AR *μόνον* R

σέσωσται ἥ τε Ἀσία τὸ πρόσχημα κεκόμισται· παράδειγμα δὲ τῶν
ἀνελπίστων τὰ τῆς πόλεως γέγονεν πράγματα, ὡς οὔτ' ἐξ οὐρίων
θέουσιν οὐδὲν ἀπώμοτον οὔτε λυθείσης τῆς νεὼς ἀπέλπιστον τὸ
444 D μὴ οὐ κρεῖττόν τι συμβήσεσθαι. Μέλητα δὲ κοσμεῖν ἑτέροις τὰ 14
νῦν παρίημι· καίτοι μέγιστός γε αὐτὸς αὐτῷ κόσμος ἐστὶν ὁρώ-
μενος, ᾧ γε καὶ θέρος καὶ χειμὼν τὸν αὐτὸν ἔχει λόγον, καὶ οὔτε
ἐξ ὄμβρων ποτὲ ὕβρισεν οὔτε αὐχμοῖς εἶξεν, ἀλλ' ὥσπερ ἄλλο τι
τῶν ἀκινήτων ἓν μὲν σχῆμα, μίαν δὲ χρόαν τὸν ἀεὶ σῴζει χρόνον.
καὶ μὴν οὐδὲ πλάνης γε ὁ Μέλης οὐδ' οἷος ἀποφοιτᾶν, ἀλλ' 15
ἔοικεν ἐραστῇ τινι τῆς πόλεως οὐ τολμῶντι μακροτέραν ἀπογίγνε-
σθαι, ἅτε, οἶμαι, ἄσβεστον μὲν αὐτῆς τὸν ἔρωτα, ἄσβεστον δὲ
τὴν φυλακὴν ἔχων, ὥστε αὐτόθεν ὁρμηθεὶς αὐτοῦ καὶ παύεται,
παρατείνας κώλῳ τινὶ τῆς πόλεως ἑαυτόν. ταυτὶ μὲν οὖν ὥσπερ
οἱ νυμφόληπτοι δυνάμει τινὶ τῶν Νυμφῶν αὐτῶν ἔοικα προσμε-
λῳδῆσαι [περὶ τὸν Μέλητα], οὐχ οὕτω προθέμενος· ἔδει δὲ ἴσως
καὶ τοῖς παισὶν ὥσπερ ἄλλην τινὰ μοῖραν τοῦ λόγου σωθῆναι.
Τιθείη δ' ἄν τις καὶ τοῦτ' εἰς ἀγαθὸν σύμβολον σέ τε ἡμῖν ἐπὶ 16
τὰς πόλεις ἥκειν καὶ τὴν περίοδον οὕτω συμβαίνειν, ὥστε σὲ τὴν
πατρῴαν ἀρχὴν ἀκριβῶς ἀνανεώσασθαι ταῖς περὶ τὴν Σμύρναν
διατριβαῖς· τῆς γὰρ πόλεως ὁ καιρὸς πολύς, νικῴη δὲ τὰ τῆς
ἀγαθῆς τύχης πανταχῇ.

---

1 *κεκόμισται*] *κεκόσμηται* R 3 *ἀπέλπιστον* Rsk.²: *ἀνέλπιστον* O (cf. v. 2) 5 *μέγιστόσ γε* ATQ: *γε μέγιστοσ* D, *μέγιστοσ δὲ* R, *μέγιστοσ* U (Baroc. 136) *αὐτῶι* AD¹ p. corr.: *αὐτῶ* RD¹ a. corr., *ἑαυτῶ* QT *ἐστιν ὁ ὁρώμενοσ* D 8 *χροίαν* Q¹, *ι* eras. 9 *οὐδὲ*] *οὐ* D *οὐδ'* Ddf.: *οὐθ'* O 10 *μακρότερον* DU *ἀπογίνεσθαι* DUT 12 *παύσεται* D 13 *ταυτὶ*] *ταῦτα* U 15 *περὶ τὸν Μέλητα* seclusi; *περὶ τοῦ Μέλητος* Rsk. *προθέμενοσ* DU: *προέμενοσ* ARQT iuvenes imperatori obviam ibant, quorum e numero unus *προσφωνηματικόν* dixit; huius orationi (cf. v. 4) addit Aristides sese fortasse quae de Melete subiunxit reservare debuisse: 'ut alios locos silui, quos in diversas orationis partes iuvenis ille reciperet, sic hunc forte praeterire debui' eadem usus arte orationi XV peroratae locum de sinu Meleteo subiunxit (§ 21 sq.); pro *τοῖς παισὶν* ci. *τοῖσ ἔπεσιν* Jacobs, Lect. Stob. p. 104 20 *καιρὸς πολύς*] summi momenti hic dies (ubi tu Smyrnam adis) civibus est (quia multa de te sperant), qui utinam voti compotes fiant. Subscr. *πολιτικὸς σμυρναικόσ* A^rR; cf. or. XVII

XXII. I 415 D

(19) ΕΛΕΥΣΙΝΙΟΣ. I 256

Ὦ πάλαι ποτὲ ἡδίων ᾄδειν Ἐλευσὶς ἐμοί, τίς Ὀρφεὺς ἢ
Θάμυρις ἢ ποῖος Ἐλευσῖνος οἰκήτωρ Μουσαῖος ἀρκέσει τοσούτῳ
πράγματι; ποίαις κιθάραις ἢ λύραις τὸ κοινὸν πτῶμα, τὸ κοι-
νὸν τῆς γῆς, ἀνακλαύσεται; τίνα ταύτην προὔβαλες ὦ Ζεῦ τὴν
ὑπόθεσιν; ἐγὼ μὲν καὶ προσάγων ἐμαυτὸν τῷ λόγῳ ναρκῶ καὶ
ἀναστρέφω καὶ καθ᾽ ἓν τοῦτο λέγειν ἀναγκάζομαι, ὅτι σιγᾶν οὐκ
2 *ἔχω. τίς γὰρ Ἑλλήνων ἢ τίς βαρβάρων οὕτω σκαιὸς ἢ ἀνήκοος,*
ἢ τίς οὕτω σφόδρα ἔξω τῆς γῆς ἢ θεῶν, ἢ συλλήβδην εἰπεῖν καλῶν
ἀναίσθητος, πλὴν τῶν κάκιστ᾽ ἀπολουμένων οἳ ταῦτ᾽ ἔδρασαν, ὅστις
οὐ κοινόν τι τῆς γῆς τέμενος τὴν Ἐλευσῖνα ἡγεῖτο καὶ πάντων ὅσα
θεῖα ἀνθρώποις ταυτὸν φρικωδέστατόν τε καὶ φαιδρότατον; τίνι
δ᾽ ἄλλῳ χωρίων ἢ μύθων φῆμαι θαυμαστότερα ἐφύμνησαν, ἢ τὰ
δρώμενα μείζον᾽ ἔσχε τὴν ἔκπληξιν ἢ μᾶλλον εἰς ἅμιλλαν κατέστη
3 *ταῖς ἀκοαῖς τὰ δρώμενα; Ὅσα μὲν δὴ θέας ἐχόμενα, εἶδον γενεαὶ* 257 J
παμπληθεῖς εὐδαιμόνων ἀνδρῶν καὶ γυναικῶν ἐν τοῖς ἀρρήτοις 416 D
φάσμασιν· ἃ δ᾽ εἰς τὸ μέσον, ποιηταὶ καὶ λογοποιοὶ καὶ συγγρα-
φεῖς πάντες ὑμνοῦσι, κόρην τὴν Δήμητρος ἀφανῆ γενέσθαι χρόνον
ἔστιν ὅν, Δήμητρα δ᾽ ἐπέρχεσθαι γῆν πᾶσαν καὶ θάλατταν ζητοῦ-
σαν τὴν θυγατέρα· τέως μὲν οὖν οὐχ οἵαν τε εἶναι εὑρεῖν, ἐλθοῦσαν
δ᾽ εἰς Ἐλευσῖνα τήν τε ἐπωνυμίαν ⟨περι⟩ποιῆσαι τῷ τόπῳ καὶ τὴν
4 *κόρην εὑροῦσαν ποιῆσαι τὰ μυστήρια, καὶ γενέσθαι δὴ τὸν σῖτον* 417 D
παρὰ μὲν ταῖν θεαῖν τῇ πόλει τῶν Ἀθηναίων, παρὰ δ᾽ αὖ τῆς
πόλεως ἅπασιν Ἕλλησιν καὶ βαρβάροις — καὶ τούτοις Κελεός τε

Libri ARDUT = O

Titulum om. D 2 *Ἐλευσῖνος* Kaibel: *ἐλευσίνιοσ* O 4 *ἀνακλαύσετε* A 5 prius *καὶ* in ras. U^{2} 10 *τῆσ γῆσ τέμενοσ* om. R *ὅσαθει* A^{1} cum / in mg., corr. *θεῖ᾽* A^{2} 11 *ταυτὸ* DU 12 *χωρίων*] *χωρίῳ* Ddf., hiaret oratio 13 *μείζον᾽* scripsi: *μείζω* O *εἰς ἅμιλλαν*: *εἰσ ἐφάμιλλον* O, confectum e duabus lectionibus *ἐφάμιλλον* et *εἰς ἅμιλλαν*, quarum hanc recepi suadente Wil. 15 *εὐδαίμων* A^{1}, corr. A^{2}; beati initiati 17 *πάντεσ* ex *πάνθ᾽*, ut videtur, corr. T^{1} 18 *ὅν* R^{1}D *δ᾽*] *δὲ* A 20 *ποιῆσαι — εὑροῦσαν* om. T^{1}, add. mg. T^{2} *⟨περι⟩ποιῆσαι* scripsi: *ποιῆσαι* ART^{2}, *δοῦναι* DU *τὴν κόρην εὑροῦσαν* om. D 22 *τῆι πόλει τῶν ἀθηναίων παρὰ δ αὖ τῆσ* (*αὐτῆσ* A^{1}R, corr. A^{r}) *πόλεωσ ἅπασιν* (*ἅπασι τοῖσ* T) *ἕλλησι* ART (cf. p. 29, 8): *τοῖσ ἀθηναίοισ παρὰ δὲ τῶν ἀθηναίων καὶ ἕλλησι* DU

καὶ Μετάνειρα καὶ Τριπτόλεμος ἐπιφημίζονται καὶ ἅρματα δὴ
δρακόντων ὑπόπτερα ὑπὲρ πάσης γῆς καὶ θαλάττης φερόμενα —·
μυηθῆναι δὲ ξένων πρώτους Ἡρακλέα καὶ Διοσκούρους, ἀγῶνά τε
γυμνικὸν γενέσθαι πρῶτον Ἐλευσῖνι τῆς Ἀττικῆς καὶ τὸ ἆθλον
εἶναι τοῦ καρποῦ τοῦ φανθέντος, πειρωμένων τῶν ἀνθρώπων ὅσον
εἰς ἰσχὺν ἐκ τῆς ἡμέρου τροφῆς ἐπέδοσαν· ἀπάγειν δὲ καὶ τοὺς
Ἕλληνας ἀπαρχὰς τῶν καρπῶν ἑκάστοτε [Ἀθήναζε] ὡς μητροπόλει
σφῶν τε αὐτῶν καὶ τῶν καρπῶν τῶν Ἀθηναίων τῇ πόλει. Εὐμολ-
418 D πίδαι δὲ καὶ Κήρυκες, εἰς Ποσειδῶ τε καὶ Ἑρμῆν ἀναφέροντες, ἱερο-
φάντας, οἱ δὲ δᾳδούχους παρείχοντο. καὶ τὰ μὲν εἰς μύθους ἀνήκοντα
τοιαῦτα. τὰ δ᾽ ὕστερον, Ἡρακλειδῶν εἰς Πελοπόννησον κατελ- 5
θόντων καὶ χρόνου διαγενομένου Δωριεῖς ἐπ᾽ Ἀθήνας ἐστράτευον.
ὡς δ᾽ Ἐλευσῖνι γίγνονται, καταισχυνθέντες εἴτε καὶ δείσαντες χρὴ
λέγειν, ἀπιόντες ᾤχοντο τὴν αὐτήν· ἡ δ᾽ ἐκείνων τότε κίνησις Ἰωνίαν
οἰκίζει παρ᾽ ἡμῖν. γενομένου δὲ τοῦ Μηδικοῦ στόλου καὶ μεγί- 6
στων δὴ πραγμάτων καὶ κινδύνων οὐ μόνον τὴν Ἑλλάδα, ἀλλὰ καὶ
258 J πᾶν ὅσον ἔξω τῆς Περσικῆς ἀρχῆς ἦν κατασχόντων πολλὰ μὲν τῶν
ἐν τοῖς Ἕλλησιν ἱερῶν ἐμπίμπραται καὶ πρός γε ἡ κορυφὴ τῆς
Ἑλλάδος, ἡ τῶν Ἀθηναίων πόλις, τῇ δ᾽ Ἐλευσῖνι τοσοῦτον περιῆν,
ὥστ᾽ οὐκ ἀπόρθητος μόνον ὡς εἰπεῖν διεγένετο, ἀλλὰ καὶ συνιού-
σης τῆς ναυμαχίας ἐξεφοίτα μὲν ὁ Ἴακχος συνναυμαχήσων, νέφος
419 D δὲ ὁρμηθὲν ἀπ᾽ Ἐλευσῖνος καὶ ὑψωθὲν [ὑπὲρ τῶν νεῶν] ἐγκατέ-
σκηψεν εἰς τὰς ναῦς ἅμα τῷ μέλει τῷ μυστικῷ, Ξέρξης δ᾽ ἐκπλαγεὶς
ἔφευγεν καὶ τὰ Μήδων πράγματ᾽ ἀπώλλυτο. πολέμου δὲ συμβάντος 7
τοῖς Ἕλλησι πρὸς ἀλλήλους πολλοῦ καὶ πάντων ἄνω καὶ κάτω
γενομένων, μόνη δὴ τρόπον γέ τινα Ἐλευσὶς ἠρέμει· καὶ οὔτε
Βοιωτῶν ἵππος οὔτε Λακεδαιμονίων καὶ Πελοποννησίων εἰσβολαὶ
[οὐ] τοῦ περιβόλου προσήψαντο, οὐ⟨δὲ⟩ τὸν νεὼν εἶδον ἑτέροις ἢ
προσῆκεν ὀφθαλμοῖς. Σφοδρίου τοίνυν ὕστερον ὁρμηθέντος ἐκ

---

1 *μετιάνειρα* A² (Burb. II E 20) 2 *ὑπὸ πάσησ* T 3 *διοσκόρουσ* D (at in mg. rubr. [= pr. m.] *κάστωρ καὶ πολυδεύκησ οἱ διόσκουροι, ὧτοσ καὶ ἐφιάλτησ ἀλευάδαι*) 7 *Ἀθήναζε* seclusi 9 *ἀναφέροντεσ οἱ μὲν ἱεροφάντασ* DU 13 *γίνονται* DU *καὶ* om. U *χρὴ*] *εἰ χρὴ* DU 14 *δ᾽*] *δέ τ᾽* D *τότε*] T² ex *τε* T 15 *ἡμῖν*] in Asia 16 *δὴ* om. U 17 *κατασχόντων* omissum add. mg. U¹ 18 *ἐμπίμπραται* A: *ἐμπίπραται* DU, *ἐμπίπρα/ται, ν* eras. m. 2 et R et T 22 *ὑπὲρ τῶν νεῶν* ARDT, *ὑπὲρ τοῦ νεὼ* U, seclusi 23 *εἰσ τὰσ ναῦσ* ART: *εἰσ τὰσ τῶν βαρβάρων ναῦσ* DU et legit [Aristid.] Leptin. II 673, 12 Ddf.: *νέφος ταῖς τῶν βαρβάρων ναυσὶν ἐγκατασκῆψαι παρασκευάσας*; cf. Quatt. II 282, 18 sqq. Ddf.; Herod. VIII 65 (unde *ὑψωθὲν* sine *ὑπὲρ τῶν νεῶν* pro *μεταρσιωθὲν* dictum), Plut. Them. 15 *δὲ* T 24 *πράγματα* U 28 *οὐ* seclusi (hiat) *οὐ⟨δὲ⟩* scripsi: *οὐ* O 29 *Σφοδρίου*] Xenoph. Hell. V 4, 21. 22

Θεσπιῶν ἤρκεσαν αἱ δᾷδες φανεῖσαι κατασβέσαι τὴν τόλμαν.
σπονδαὶ τοίνυν αἱ μὲν ἄλλαι παρηνομήθησαν, καὶ τοῦτο μὲν Πυθίων
ὄντων ἡ Καδμεία κατελήφθη, τοῦτο δ' εἰς Ἴσθμια τὴν αὐτὴν
θεωρίαν ἦγον μὲν Ἀργεῖοι, ἦγον δὲ Κορίνθιοι, τοῖς ὅπλοις οἱ
ἕτεροι τοὺς ἑτέρους κρατήσαντες· τὴν δ' ἐπ' Ἀλφειῷ μάχην σιωπῶ,
πλὴν ὅσα καὶ ταύτῃ σύμβολον οὐ φαῦλον ἔπεστι παρὰ τοῦ Διὸς 420 D
ἡ τῶν ἀποστερουμένων τόλμα καὶ νίκη. μόναι δὲ αἱ μυστηριώτιδες
σπονδαὶ τοὔνομα ἔσωσαν καὶ μόνοις Ἐλευσινίοις ὑγίαινεν ἡ Ἑλλάς,
καὶ σαφέστατα δὴ πανήγυρις αὕτη καθάρσιον ἦν καὶ μανιῶν καὶ πά-
8 σης ἀτόπου συμφορᾶς. καὶ τί δεῖ καθ' ἕκαστα ἐπεξιέναι; ἀλλὰ Φίλιπ-
ποι καὶ Ἀλέξανδροι καὶ Ἀντίπατροι καὶ πᾶς ὁ τῶν κάτω δυναστῶν
οὗτος κατάλογος, μυρία δὴ τῶν ἐν τοῖς Ἕλλησι κινήσαντες, μόνην τὴν
Ἐλευσῖνα ὡς ἀληθῶς ἄβατόν τι καὶ κρεῖττον ἑαυτῶν ἡγήσαντο·
καὶ σιωπῶ Κελτοὺς τοὺς τὰ τελευταῖα ἐπεισκωμάσαντας τῇ Ἑλλάδι
καὶ ὅσα τις τοιαῦτα προσθείη· ἐν ἅπασιν ἀθῷον τὸ ἱερὸν διέφυγεν.
μόνον τοίνυν καὶ ὑπόμνημα τῆς παλαιᾶς εὐδαιμονίας ἅμα καὶ 259 J
σεμνότητος ἐλείπετο τοῦτο τῇ τε πόλει καὶ τῇ Ἑλλάδι. ναυμαχίαι
μὲν γὰρ καὶ πεζομαχίαι καὶ νόμοι καὶ πολιτεῖαι καὶ φρονήματα καὶ
φωναὶ καὶ πάνθ' ὡς εἰπεῖν ἐπέλιπεν, ἀντεῖχεν δὲ τὰ μυστήρια.
9 Πανηγύρεις τοίνυν αἱ μὲν ἄλλαι δι' ἔτους πέμπτου καὶ τρίτου πληροῦν-
ται, μόνη δὲ ἡ τῶν μυστηρίων παντὸς ἔτους ἐνίκησεν εἶναι. τὸ δὲ 421 D
δὴ μέγιστον καὶ θειότατον, μόνην γὰρ ταύτην πανηγύρεων εἰς οἶκος
συλλαβὼν εἶχε, καὶ ταυτὸν ἦν τῆς τε πόλεως πλήρωμα καὶ τοῦ
10 Ἐλευσινίου. πλάσματα τοίνυν καὶ γραφὰς καὶ τὸν κύκλῳ κόσμον
τοῦτον τίς ἂν οὐχὶ καὶ ἐν ταῖς τριόδοις ὁρῶν ἐγανώθη, μή τί γε
δὴ ἐν προσθήκῃ τῶν σεμνοτέρων [εἶδεν]; ἀλλὰ μὴν τό γε κέρδος
τῆς πανηγύρεως οὐχ ὅσον ἡ παροῦσα εὐθυμία οὐδ' αἱ τῶν ἐκ τοῦ

1 Θεσπιῶν Palmerius Exercit. p. 468: θηβῶν O (at ηβω in ras. T², non fuit εσπι) 2 Πυθίων] at Xenoph. l. c. V 2, 29; de Isthmiis ib. IV 5, 1. 2 παρενομήθησαν R 3 κατελείφθη R¹ 5 τοὺς ἑτέρουσ] corr. in τῶν ἑτέρων U² κρατήσοντεσ DU¹ 6 ὅσον U ἔπεστι ADUR² c. γρ. s. l.: ἐπέστη R¹T πλὴν ὅσα — νίκη] vel Olympiarum feriae violatae, quamvis quam sacrae essent, ipse Iuppiter testatus esset victoria Pisatibus concessa (ἡ — νίκη: Xenoph. l. c. VII 4, 29 sqq., Diod. XV 78; Head, H. N. 357) 7 δὲ αἱ DU et in ras. A^r (A¹ incertum), δ' αἱ R: δὲ δὴ T 12 ad κινήσαντες add. mg. γρ. τολμήσαντεσ U² 13 ἄβατον τι ὡα ἀληθῶσ καὶ U 15 ὅσ' ⟨ἂν⟩ Kaibel ἐν οἷσ ἅπασιν R 18 φρονήματα καὶ φωναὶ] gloria civitatum, quae principatu superbiebant, earumque lingua (dialecti); φωνή 'lingua' item p. 8, 18 19 ἐπέλιπεν Burb. II E 20 (ci. Ddf.): ἐπέλειπεν A, ἐπέλιπον RDUT 25 ὁρῶν] ἰδὼν Thom. Mag. 76, 11 (omisso antea ἂν) 26 εἶδεν seclusi: ἴδεν A¹ εἶδεν RDUTA²; δὴ ⟨εἰ⟩ ἐν — εἶδεν Rsk. (hiat) τό γε DU: τό τε ART 27 εὐθυμία] θυ in ras. U², ευφημία D οὐδ' αἱ ARU (at 'αι in ras. m. 2), οὐδὲ αἱ D: οὐδ' αὖ T

πρότερον χρόνου δυσκολιῶν λύσεις καὶ ἀπαλλαγαί, ἀλλὰ καὶ περὶ
τῆς τελευτῆς ἡδίους ἔχειν τὰς ἐλπίδας ὡς ἄμεινον διάξοντας, καὶ
οὐκ ἐν σκότῳ τε καὶ βορβόρῳ κεισομένους, ἃ δὴ τοὺς ἀμυήτους
ἀναμένειν. Ταῦτα μὲν δὴ μέχρι τῆς σχετλίας ἡμέρας· ἃ δὲ νῦν 11
ὁρᾶν τε καὶ ὑμνεῖν ὁ δαίμων παρέδωκεν τίς θρῆνος Ἀργεῖος, τίνες
Αἰγυπτίων ἢ Φρυγῶν ᾠδοὶ συμμετρήσονται; τίς Ἐλευσίνιος Αἰ-
σχύλος πρὸς χορὸν ᾄσεται; ποίας Ναυπλίου πάγας ὑποπύρους, ὡς
ἔφη Σοφοκλῆς (Frg. 402 N.²), ἄξιον τῇ πυρκαϊᾷ ταύτῃ παραβαλεῖν;
422 D ὦ δᾶδες, ὑφ᾽ οἵων ἀνδρῶν ἀπέσβητε, ὦ δεινὴ καὶ ἀφεγγὴς ἡμέρα,
ἣ τὰς φωσφόρους νύκτας ἐξεῖλες, ὦ πῦρ, οἷον ὤφθης Ἐλευσῖνι,
οἷον ἀνθ᾽ οἵου. ὦ νεφέλη καὶ σκοτόμαινα, ἣ νῦν ἐπέχεις τὴν
Ἑλλάδα. ὦ Δήμητερ, ἣ πάλαι μὲν αὐτόθι τὴν κόρην εὗρες, νῦν
δέ σοι ζητεῖν ὁ νεὼς λείπεται. καὶ δὴ προσάγει μέν, ὦ γῆ 12
καὶ θεοί, τὰ μυστήρια. Βοηδρομιὼν δὲ οὗτος ἑτέρας τὰ νῦν
δεῖται βοῆς, οὐχ οἵας ὅτε Ἴων Ἀθήναζε ἐβοήθησεν. ὦ πρόρ-
ρησις, ὦ τῶν ἱερῶν ἡμερῶν καὶ νυκτῶν κατάλογος, εἰς οἵαν ἡμέραν
260 J ἐτελευτήσατε. ποτέροις καὶ ἄξιον στενάξαι μεῖζον, πότερον τοῖς
423 D ἀμυήτοις ἢ τοῖς μεμυημένοις; οἱ μὲν γὰρ ὧν εἶδον, οἱ δ᾽ ὧν
εἶχον ἰδεῖν τὰ κάλλιστα ἀπεστέρηνται. ὦ κακῶς ἐξορχησάμενοι 13
τὰ μυστήρια, ὦ τὰ ἄφαντα φήναντες, κοινοὶ τῶν ὑπὸ γῆς καὶ ὑπὲρ
γῆς θεῶν πολέμιοι. ὦ πάλαι τε δὴ καὶ νῦν ὡς ἀληθῶς παῖδες
Ἕλληνες, οἳ τοσούτου κακοῦ προσιόντος περιείδετε. οὐκ, ὦ θαυ-
μάσιοι, νῦν γέ τι ἐν ὑμῶν αὐτῶν ἔσεσθε; οὐ τάς γε Ἀθήνας αὐτὰς
περισώσετε;

---

1 προτέρου DU 3 τε] γε D, om. U οὐκ — κεισομένους] verba sollemnia, cf. Foucart, Rech. sur l'origine . . . des mystères d'Éleusis p. 54 sqq. καὶ βόρῳ T 4 ἀναμένει U ἡμέραισ D 5 θρῆνος Ἀργεῖος] Conon. 19 καὶ οὕτως ἦν ἐκπρεπὴς ὁ ἐπὶ Λίνῳ θρῆνος (quem mulieres Argivae quotannis decantabant), ὡς ἀπ᾽ ἐκείνων καὶ τοῖς ἔπειτα ποιηταῖς παντὸς πάθους παρενθήκη Λίνος ᾄδεται; coll. Aesch. Choe. 423 θρῆνος Ἄριος ci. Wil. 6 φρυγ////ῶν ᾠδαὶ U, at ʼet α m. 2 in ras. συμμετρήσονται AT: συμμερίσονται RDU 13 σοι ζητεῖν ὁ AR: σε ζητεῖν ὁ D, σοι ζητεῖν οἱ ὁ UT προσάγει] intransitive cf. e. g. or. LI p. 542, 10; 545, 28 Ddf. 15 πρόρρησις] Toepfer, Att. Geneal. p. 49 sq. 16 εἰς] σ in ras. R² 17 καὶ] δὲ καὶ DU 20 καὶ ὑπὲρ γῆν T 21 πάλαι] Plat. Tim. 22 B 22 περιείδετε RDUT²: περιΐδετε AT¹ 23 νῦν γε δὴ ἐν Rsk., νῦν γ᾽ ἔτι ἐν Schmid, Philolog. 1889 (I), 377 ἐν] ἐὰν D Subscr. ἐλευσίνιοσ T, ἐλευσίνιοσ ἐγράφη ὅσον ἐν ὥραι ἐν σμύρνηι μηνὶ δωδεκάτωι, ἐπὶ ἡγεμόνοσ μακρίνου, ἐτῶν ὄντι νγ καὶ μηνῶν ϛ (hic numerus nunc eras. R). ἐλέχθη ἐν σμύρνηι ἐν τῶι βουλευτηρίωι AR¹ mg.

XXIII.

(42) ΠΕΡΙ ΟΜΟΝΟΙΑΣ ΤΑΙΣ ΠΟΛΕΣΝ.

Οἱ μὲν πολλοὶ τῶν περὶ τοὺς λόγους, ὦ ἄνδρες Ἕλληνες, I 768 D I 517 J *εἰώθασιν ἢ τὰς ἐπὶ τῶν πλασμάτων διατριβὰς προελόμενοι τὸν ἅπαντα χρόνον μελετᾶν λέγειν, τοῦ λέγειν δὲ ἀπολείπεσθαι τοσοῦτον ὅσονπερ ἂν εἰ μηδὲν τῶν εἰς τοῦτο φερόντων ἔπραττον, ἢ τούτων ὑπερφρονήσαντες αὐτοὶ μηδὲν σπουδαιοτέρῳ τούτων σχολάζειν πράγματι, τῷ περὶ τὴν ἔριν καὶ τῷ ταράττειν τοὺς εἰς λόγον αὐτοῖς ἀφικνουμένους, ἐξ ὧν λυποῦσι μὲν τοὺς ἐντυγχάνοντας, βελτίους δὲ οὔτ᾿ αὐτοὶ φαίνονται δήπουθεν οὔτ᾿ ἐκείνους*
2 *ποιεῖν ἔχουσιν. ἤδη δέ τις* (Isocr. IV 15 sqq.) *τῶν ἐλλογίμων καὶ τῶν παλαιῶν σοφιστῶν ἐσεμνύνατο ἐπ᾿ ἀρχῇ του συγγράμματος ὡς αὐτός γε τοιοῦτον οὐδὲν ποιήσων οὐδὲ κομψευσόμενος, ἀλλ᾿ ὑπὲρ δυοῖν τούτοιν διαλεξόμενος, τῆς τε πρὸς ἀλλήλους ὁμονοίας καὶ τοῦ πολέμου τοῦ πρὸς τοὺς βαρβάρους,* [*καὶ*] *μάλα γενναίαν, ὥς γ᾿ ἐμοὶ κριτῇ, καὶ προσήκουσαν τῶν λόγων ἐνστησάμενος τὴν ὑπό-*
3 *θεσιν. ἐγὼ δ᾿ ὑπὲρ μὲν τοῦ πολέμου τοῦ πρὸς τοὺς βαρβάρους οὐκέθ᾿ ὁρῶ καιρὸν λέγειν. ἀθρόαν γὰρ ἁπάντων δεδωκότων δίκην τοῖς τε θεοῖς καὶ τοῖς ἡγεμόσι μελήσειν οἶμαι, καὶ σὺν αὐτοῖς γε εἰπεῖν τοῖς θεοῖς οὐ πολὺν τὸν ἀγῶνα νομίζω γενήσεσθαι, ὁρῶν τῆς ἁπάσης οἰκουμένης καὶ τῆς ἤδη βεβαίως*

Libri AEDUT = O

Titulus: *περὶ ὁμονοίασ* EUT: *περὶ τῆσ ὁμονοίασ* A; tit. om. D. *ταῖς πόλεσιν* delendum censeo; debebat esse *πρὸς τὰς τῆς Ἀσίας πόλεις*, ut hoc additamento et aliquid rei significaretur et ipsa verborum constructione (*πρὸς*) orationis genus recte indicaretur; neque enim epistola est, ut or. XXIV, cuius in titulo optime dativus *Ῥοδίοις* legitur; sed ut haec *περὶ ὁμονοίας* oratio ab altera Rhodiis missa melius distingueretur, ad exemplum tituli Rhodiacae additum huic *ταῖς πόλεσιν* 1 *τοὺσ* om. DU 2 *πλασμάτων* AUT: *πραγμάτων* ED 3 *τοῦ λέγειν*] *τοῦ μελετᾶν* E 5 *μηδενὶ* E 6 *τὴν ἔριν*] cf. Wyttenbach ad Plut. mor. 78 E 10 *ἐπ᾿* AT: *ἐν* EDU *τοῦ* O 13 *καὶ* secl. Wil., quod ipse ad *καὶ* v. 14 rettuleram *ὥς γε* ⟨*παρ᾿*⟩ *ἐμοὶ* Rsk.[2] 14 *τῷ λόγῳ* ex *τῶν λόγων* corr. inter scrib. E[1] *ἐνστησάμενος — ὑπόθεσιν*] cf. Schmid p. 105 15 *δὲ* U 17 *μελήσειν*] ex insequentibus intellegendae eae quae nondum debellatae sunt gentes (Wil.); ante *τοῖς* lacunam ind. Rsk.[2] 19 *τῆσ ἀπάσησ* AT: *ἀπάσησ τῆσ* EDU

769 D ἐχομένης μικρὸν μέρος τὸ νῦν ὑπὸ ἀνοίας ἀνθεστηκός, ὃ δὲ λοιπόν
ἐστιν, περὶ τῆς πρὸς ἀλλήλους ὁμονοίας [οὕτως] ὅπως ἂν οἷός τε
ὦ διαλέξομαι. νομίζω γὰρ καὶ τῆς συνεχοῦς ταύτης ἀσχολίας καὶ 4
μελέτης τῆς περὶ τοὺς λόγους εἰς τὰ τοιαῦτα μάλιστα τῶν ἀγωνι-
σμάτων ἀνήκειν τὴν χρείαν· οὐ γὰρ ὅπως μηδέποτ' εἴπωμεν τῶν
χρησίμων μηδέν, διὰ τοῦτ' ἀεὶ μελετῶμεν, ἀλλ' ὅστις τὰ δέοντα
λέγειν ἔχει τε καὶ θαρρεῖ, οὗτός ἐστιν ὁ καὶ τὴν μελέτην δεικνὺς
ὡς οὐχὶ μάτην οὐδ' εἰκῇ πεποίηται. ἠπιστάμην μὲν οὖν καὶ 5
518 J τοῦτο ὥσπερ ἔρεισμα πολλοῖς ὂν καὶ καταφυγὴν τὸ τοὺς παρόντας
ἐπαινεῖν ἀεὶ καὶ ἐν οἷς ἂν λέγωσιν, πολλοὺς δὲ καὶ τῶν ἀποδι-
δρασκόντων ἐξ ἑτέρων πόλεων κακῶς ἐκείνας λέγοντας πρὸς ταύτας
ἐν αἷς ἂν γένωνται, ἄλλως τε κἂν τις αὐταῖς προϋπάρχῃ πρὸς
ἀλλήλας διαφορά· ἐγὼ δ' οὔτ' ἐπαίνους ἀνέδην γιγνομένους ἔχοιμ'
ἂν ἐπαινεῖν, εἰ μή τι καὶ χρείας προσείη καὶ τὸ τοὺς ἀκούσαντας
βελτίους ἐκ τῶν δυνατῶν ἀπελθεῖν, οὐθ' ὅσα καὶ χαρίσασθαι δεῖ
τῷ λόγῳ μετὰ τοῦ δικαίου, τὴν μὲν ἐν ὀφθαλμοῖς θεραπεύσω πόλιν,
τὰς δ' ἑτέρας φύγοιμ' ἂν τῶν εἰκότων ἀξιῶσαι, οὐδ' ἐν αὐτῷ τούτῳ
πρώτῳ διαστήσω τὰς πόλεις, ὥσπερ οἱ πολλοί τε καὶ φαῦλοι,
ἀλλ' ἐπαινέσομαι πάσας εἰς ὅσον εἰκός ἐστιν ἑκάστην, καὶ ἄρξομαί
γε τῶνδε τῶν λόγων ἀπὸ τούτου. ἡγοῦμαι γὰρ τῷ βουλομένῳ 6
φιλίαν κοινὴν ταῖς πόλεσι πρᾶξαι πρὸς ἀλλήλας οὐ τὰς μὲν εὖ
λέγειν, τὰς δὲ κακῶς προσήκειν, ἀλλὰ πασῶν ἐπ' εὐφημίᾳ μνη-
σθῆναι, ἵνα πρῶτον μὲν ἅπαντες ἡδίους γενόμενοι προθυμότερον
προσῆσθε τὴν συμβουλήν, ἔπειτ' ἤδη τι τῶν εἰς τὴν ὁμόνοιαν
φερόντων περαίνηται. ἐὰν γὰρ εἰς τὸ κοινὸν ἐπαινούμενοι δέξη- 7
770 D σθε καὶ μηδεὶς ὑμῶν τὰς ἑτέρων εὐφημίας ὡς ἀτιμίαν ἑαυτοῦ
λογίσηται, ἀλλὰ τοῖς ἀλλήλων ὡς ἰδίοις ἕκαστοι συνησθῆτε,
πρῶτον μὲν ἀφ' ἑστίας ἀρξάμενοι τὴν ὁμόνοιαν ἐνδείξεσθε,
ἔπειτα καὶ αὐτοὶ κατὰ μικρὸν ἐθισθήσεσθε καὶ λέγειν ἀλλήλους
εὖ καὶ φρονεῖν ἃ κοινῇ πᾶσιν ὑμῖν συμφέρει. τὸ δὲ ἥκειν μὲν

---

1 ὑπ' EDU 2 ὁμονοίασ DU: om. AET οὕτωσ AT, s. l. add. E¹, om. DU, seclusi; vocem ὁμονοίασ in AET extrusit, dum lineam invadit 3 τῆσ om. AT 5 ὅπωσ ἂν μηδέποτ' E εἴπωμεν scripsi: εἴποιμεν O 12 τισ] in ras. T² 13 ἀναίδην A 14 τὸ τοὺς Rsk.: τούτουσ AE, τοῦ τοὺσ DUT ἀκούσαν D 17 δὲ D φύγοιμ' ἂν τῶν εἰκότων ἀξιῶσαι AT φύγοιμ' ἂν τῶν δεόντων (ex δὲ ὄντων rad. corr. U) ἀξιῶσαι DU, φυγεῖν ἂν ἀξιώσαιμι E (cum ·/· in mg.) 18 πρώτῳ s. l. add. T² 19 ἐπαινέσαιμι E 24 συμβουλὴν] βουλὴν D alterum τὴν om. DU 25 περαίνητε D 28 ἐνδείξεσθ' A 29 ἔπειτα καὶ αὐτοὶ κατὰ μικρὸν EDU: ἔπειτα μικρὸν καὶ αὐτοὶ κατὰ μικρὸν AT

*ὡς συμβουλεύσοντα ὁμονοεῖν, ὁμοῦ δὲ ὑμᾶς ἐπαινέσαι κατοκνεῖν,
ἅμα μέν τις καὶ ἀνανδρία μοι φαίνεται, ἅμα δὲ εἶναι καὶ δια-
φθείροντος τὴν ὑπόθεσιν, καὶ δυοῖν θάτερον, ἢ κακῶς ἐγκεχειρη-
κότος ἢ μὴ εἰδότος ὅντινα χρὴ τρόπον περὶ αὐτῆς ἐπεξελθεῖν.*
8 *Πρῶτον μὲν τοίνυν περὶ τῆς ὅλης συστάσεως ἐνθυμηθῶμεν,
εἰς ἣν ἅπαντες οἱ ταύτῃ συντελοῦμεν ὁμοίως μείζους καὶ ἐλάττους,
ὁπόσῳ τινὶ τῶν ἄλλων προέχειν πεπίστευται καὶ παρὰ τοῖς ἄρ-
χουσι κριταῖς καὶ παρὰ τοῖς ἄλλοις σχεδὸν* [*ὡς εἰπεῖν*] *ἅπασιν.*
9 *οὔτε γὰρ πόλεις τοσαύτας τὰς πάσας οὐδεμία ἄλλη τῶν πασῶν
παρέχεται οὔτε δὴ τάς γε μεγίστας τοιαύτας· ἔτι δὲ χωρῶν κάλλη* 519 J
*παντοῖα καὶ ὡρῶν συμμετρίαν καὶ διαίτας παντοίας καὶ θέσιν
τὴν πᾶσαν . . . . ὡς ἐν ὀμφαλῷ μὲν τῆς πάσης ἡγεμονίας ἵδρυται,
πολλοῖς καὶ ἡμέροις τοῖς περὶ αὐτὴν ἔθνεσιν καὶ γένεσιν ἐκ γῆς
καὶ θαλάττης ἐστεφανωμένη· τάξει δὲ τῇ βελτίστῃ συνοικεῖ καὶ
οὔτε αὐθάδειαν οὔτ' ἄγαν δουλείαν ἔχοι τις ἂν αἰτιάσασθαι, ἀλλ' ἐν*
10 *μέσῳ σχήματι κάλλιστα δὴ τῶν ὑφ' ἡλίῳ πολιτεύεται. εἰς τοῦτο
δὲ ἀνήκει τῆς ἀξίας ὥστε τοσαύτης οὔσης τῆς ἁπάσης χώρας, ἣν
ὅ τε Φᾶσις καὶ ὁ Νεῖλος διειλήφασιν πρὸς τὸν ἄνω τόπον, καὶ
ταύτης συλλήβδην κληθείσης Ἀσίας ὑπὸ Ἑλλήνων ἐξ ἀρχῆς, ἡ περὶ
θάλατταν αὕτη νυνὶ μοῖρα ἀφελομένη τὴν ἤπειρον τοὔνομα ἑαυ-
τῆς ἴδιον πεποίηται· οὕτως ἀντὶ πάσης τῆς ἄλλης νενίκηκεν εἶναι.* 771 D
11 *πρὸς δὲ τούτοις ἡ παρὰ τῶν ἡγεμόνων αἰδὼς καὶ φιλανθρωπία
καὶ τὸ συγκεχωρηκὸς εἰς ἅπαντα βελτίους ἢ ὁμοτίμους ἡμᾶς εἶναι
τοῖς πολλοῖς τῶν ἀρχομένων πεποίηκεν δοκεῖν· ὥστε πῶς οὐκ
εἰκὸς ἅπαντας μὲν ἀγάλλεσθαι τοῖς ὑπάρχουσι, πάντας δὲ ὡς ὑπὲρ
οἰκείων καὶ κοινῶν ἀγαθῶν οὕτω διανοεῖσθαι, στασιάζειν δὲ πρὸς
αὐτοὺς μηδαμῶς, περὶ ὧν γε οὐδεὶς τῶν ἔξω στασιάζει, ... τῷ*
12 *μὴ οὐ τοῖς πᾶσι κρατεῖν. Φέρε δὴ καὶ τὰς πόλεις ἐπέλθω τὰς
περὶ τοῦ πρωτείου νῦν ἁμιλλωμένας καὶ παρ' ὧν ἡ πλείστη τῆς
ἔριδος ἀρχὴ συμβαίνει, οὐκ αὐτῶν, ὥς γ' ἐγὼ φαίην ἄν, μᾶλλον*

---

4 *χρὴ τρόπον περὶ αὐτῆσ* EDU: *χρὴ τρόπον περὶ αὐτῆσ ἔδει* A, *τρόπον περὶ αὐτῆσ ἔδει* T 5 *πρῶτον*] dispositio § 8—26: communis trium civitatum laudatio § 8—11 et 26; hac cinguntur singularum laudationes § 13—25; § 12 transitio *συστάσεως*] Asiae provinciae, cf. v. 19 sq. 8 *ὡσ εἰπεῖν* AET, om. DU, seclusi; cf. ad p. 26, 16 12 lacunam indicavi; at posse *ὡς* aptum esse ex *ἐνθυμηθῶμεν* monet Wil. 14 prius *καὶ*] *ἐκ* D, cf. p. 21, 2 15 *οὔτε* EDU *δουλείαν*] *δειλίαν* D 16 *ὑφ'*] *ὑπὸ* A 19 *ὑφ'* DU 20 *αὕτη* om. U^1 23 *ἡμᾶς*] *ὑμᾶς* ci. Canter, probavit Ddf., at cf. *συντελοῦμεν* v. 6 *διακείμεθα* § 73 26 *οἰκείων ἀγαθῶν καὶ κοινῶν* T 27 *αὐτοὺσ* A^2: *αὐτοὺσ* O *στασιάζ*^{ει} T^2 ex *στασιάζ''* (= *ζειν*) aut *στασιάζ*^{οι}, quod in U lacunam indicavi, e. g. ⟨*μηδ' ἄχθεσθαι τοὺς ἑνί γέ τῳ διαφέροντας*⟩ *τῷ* *τῷ* AT: *τῶν* E, *τὸ* DU

ἁμαρτανουσῶν ἢ τῶν ἄλλων ὅσοι περὶ ταύτας διήρηνται· ἧ γὰρ
ἂν οἰκείως ἕκαστος ἔχων τυγχάνῃ, τὰς ἄλλας ὑπὲρ ταύτης κακίζειν
καθʼ ὅσον δύναται βούλεται. ἐγὼ δὲ τοῦτο μὲν οὔτʼ ἂν αὐτὸς ποι-
ήσαιμι οὔθʼ ὅστις ἄλλος ποιεῖ νοῦν ἔχειν ἡγοῦμαι, τὴν δὲ ἐναντίαν
πᾶσαν βαδιοῦμαι καὶ τὰς πόλεις ὡς οἷόν τε κοσμήσω, κεφαλαίοις
τῶν ἐπαίνων ὥσπερ εἰκός ἐστι χρώμενος.

Ἄρξομαι δʼ ἀπὸ τῆς δεχομένης ἡμᾶς τὰ νῦν καὶ ἣ τὸ βουλευ- 13
τήριον τοῖς περὶ τούτων λόγοις παρέχεται. ὡς μὲν οὖν ἤρξέν ποτε
τῶν περὶ τὸν τόπον τοῦτον καὶ ὡς ὕστερον αὐτὰ ταῦτα ἐφʼ οἷς
φιλοτιμούμεθα ἐντεῦθεν ἔσχε τὴν ἀρχὴν ἐάσειν μοι δοκῶ, ἃ δʼ εὐ-
520 J θὺς εἰς ὀφθαλμοὺς ἔρχεται, ἀκρόπολις μὲν αὕτη τοσαύτη τὸ μέγε-
θος, πόρρωθεν ἀστράπτουσα ἀπὸ πάσης εἰσόδου, ὥσπερ κοινή τις
κορυφὴ τοῦ ἔθνους. ὑπὸ δʼ αὐτὴν ἡ λοιπὴ πόλις ἄλλη κατʼ ἄλλους
τόπους παντοίας εἴληφεν θέσεις τε καὶ μορφάς· φαίης ἂν ἄστη
772 D πολλὰ συνελθόντα εἰς ταυτὸν οἰκεῖν καὶ εἶναί τινας ὥσπερ ἀστυ-
γείτονας χρόνῳ συνοίκους γεγενημένους, αὐξηθέντων αὐτοῖς τῶν ἐπʼ
ἀλλήλους ἀεί. κόσμοι δὲ καὶ παλαιοὶ καὶ νέοι διὰ πάσης τῆς
πόλεως διήκοντες, εἷς αὐτῶν ὁ τυχὼν ἀποχρῶν καὶ συμπάσης πό-
λεως κόσμος εἶναι. πολλὰ μὲν δὴ καὶ περὶ τῶν ἄλλων ἄν τις 14
ἔχοι διεξιέναι τῶν εἴτε μερῶν εἴτε καὶ ὡς πολισμάτων χρὴ λέγειν,
τὸ δʼ ἁπάντων τιμιώτατον καὶ ⟨διὰ⟩ πάσης ἀεὶ μνήμης ἐμοὶ τίς
ἂν οἷός τʼ εἴη σιωπῇ παρελθεῖν; λέγω δὲ τὸ τελευταῖον τμῆμα
τῆς πόλεως, ὃ τῷ σωτῆρι καθωσίωται κατὰ τὴν κοινὴν ἁπάντων
ἀνθρώπων ἀγαθὴν τύχην. ἐπειδὴ γὰρ ἔδει καὶ εἰς τήνδε τὴν ἤπει- 15
ρον διαβῆναι τὸν θεόν, διαβαίνει πρῶτον ἐνταυθοῖ καὶ τὴν πόλιν
ὁρμητήριον ποιεῖται τῆς εἰς ἅπασαν τὴν ἤπειρον ὁμιλίας, καὶ
γίγνεται τοῖς μὲν χρόνοις αὕτη δευτέρα τις ἀποικία δεῦρο ἐκ τῆς
Ἑλλάδος μετὰ τὴν ἐξ Ἀρκαδίας τῶν ἅμα Τηλέφῳ, τῇ δὲ ἀξίᾳ καὶ
τῇ δυνάμει πολὺ πρεσβυτάτη πασῶν ἀποικιῶν. ἑστία γὰρ Ἀσκλη-
πιοῦ τῆς Ἀσίας ἐνταῦθα ἱδρύθη, κἀνταῦθα δὴ φρυκτοὶ φίλιοι
πᾶσιν ἀνθρώποις αἴρονται παρὰ τοῦ θεοῦ καλοῦντός τε ὡς αὐτὸν
καὶ μάλα ἀληθινὸν φῶς ἀνίσχοντος. καὶ οὔτε χοροῦ σύλλογος 16
773 D πρᾶγμα τοσοῦτον οὔτε πλοῦ κοινωνία οὔτε διδασκάλων τῶν αὐτῶν

---

1 ὅσοι AED: ὅσαι UT 2 τυγχάνοι U 3 αὐτὸν D 5 ὡς οἷόν τε] ὡσ ἂν οἷόσ τε ὦ DU, e p. 33, 2 7 δεχομένης] Pergamum 9 ταῦτα ἐφʼ οἷς] i. e. cultus Caesarum 12 ἀστράπτουσα] cf. p. 9, 10 16 τῶν ἐπʼ ἀλλήλους] partes urbium inter se oppositae et vicinae (Wil.) 17 διʼ ἁπάσησ A 20 ὡς mihi suspectum 21 διὰ add. Ddf.; καὶ πάσης ἄξιον μνήμης Schmid, Philolog. 1889 (I), 378 23 σωτῆρι] Aesculapio 24 ἀγαθὴν τύχην] praeter ην in ras. U² 27 γίνεται ED αὐτὴ E 30 ἱδρύνθη ET² 31 αὐτὸν O

*τυχεῖν, ὅσον χρῆμα καὶ κέρδος εἰς Ἀσκληπιοῦ τε συμφοιτῆσαι καὶ
τελεσθῆναι τὰ πρῶτα τῶν ἱερῶν ὑπὸ τῷ καλλίστῳ καὶ τελεωτάτῳ
δᾳδούχῳ καὶ μυσταγωγῷ καὶ ᾧ πᾶς ἀνάγκης εἴκει θεσμός. ἐγὼ
μὲν οὖν καὶ αὐτός εἰμι τῶν οὐ δὶς [βεβιωκότων] ὑπὸ τῷ θεῷ, ἀλλὰ
πολλούς τε καὶ παντοδαποὺς βίους βεβιωκότων καὶ τὴν νόσον κατὰ
τοῦτο εἶναι λυσιτελῆ νομιζόντων, πρὸς δὲ καὶ ψήφους εἰληφότων,
ἀνθ' ὧν ἔγωγ' ἂν οὐδὲ σύμπασαν δεξαίμην τὴν ἐν ἀνθρώποις λεγο-*
17 *μένην εὐδαιμονίαν. οὐκοῦν οὐδὲ ἀλίμενα φῆσαι τις ἂν εἶναι τὰ
τῇδε, ἀλλ' ἐκεῖνο ὀρθότατον καὶ δικαιότατον λέγειν, ὡς ἄρα οὗτος* 521 J
*λιμένων ἁπάντων ὀχυρώτατος καὶ βεβαιότατος καὶ πλείστους δεχό-
μενος καὶ γαλήνῃ πλεῖστον προέχων, ἐν ᾧ πᾶσιν ἐξ Ἀσκληπιοῦ*
18 *τὰ ἐπίγυια τῆς σωτηρίας ἤρτηται. ὥστε τίς οὐκ ἂν τοσαύτῃ καὶ
τοιαύτῃ πόλει συναιρόμενός τε καὶ συνευχόμενος καὶ πᾶν ὅσον εὐφη-
μίας οἷός τ' εἴη νέμων σωφρονοίη; ἐγὼ μὲν γὰρ ἡγοῦμαι ὥσπερ
αὕτη κοινὸν ἅπασιν ἀνθρώποις ἀγαθόν ἐστι τῇ δυνάμει τοῦ θεοῦ,
οὕτω καὶ αὐτὴν δικαίως ἂν παρὰ πάντων κοινῆς εὐνοίας ἅμα καὶ
τιμῆς τυγχάνειν.*
19 *Εἶεν. ἀλλὰ τὸ τῆς Σμύρνης πρᾶγμα φαῦλόν τι καὶ τὸ τυχὸν ἢ
τοιοῦτον οἷον πολλαχόθεν λαβεῖν εἶναι τὸ παράδειγμα; ἣν ὅσοι* 774 D
*μὲν οὐκ εἶδον, οὐδ' ἂν ἐφικέσθαι δυνηθεῖεν εἰκάζοντες, οἱ δ' ἰδόν-
τες θεῶν ἔργον ἂν φήσαιεν εἶναι, ὥσπερ Ὅμηρος ἔφη* (*Σ* 478. 490)
τὴν τοῦ Ἀχιλλέως ἀσπίδα Ἡφαίστου ποίημα εἶναι καὶ τὰς ἐν
20 *ἐκείνῃ δὴ πόλεις. πρόσοψις μὲν ἐκ γῆς καὶ θαλάττης πολλὴν ἂν
ἔριν παρασχοῦσα τοῖς τε εἰσπλέουσι καὶ τοῖς εἰσελαύνουσιν ὁπότε-
ροι μᾶλλον ἥσθησαν αὐτῶν. ἀνέχει γὰρ ἐν πλαισίῳ, βάσιν μὲν
τὴν ἠιόνα ποιουμένη, κορυφὴν δὲ τὸ ἐπίπεδον τῆς ἄνω πλευρᾶς,
ἐκ πεδίου τε καὶ τεμπῶν ὑψουμένη κατὰ μικρὸν ἀεὶ δι' ὁμοίου τοῦ
σχήματος. τὰ δὲ οὐκ ὄψις ἄρ' ἦν μόνον, ἀλλὰ νικᾷ τἄνδοθεν. ὅσος
γὰρ κόσμος χρείᾳ συγκεκλήρωται σώματι μὲν λυσιτελεῖς ἀναπαύσεις
ἔχων, ψυχῇ δ' ἐξουσίαν καὶ ῥᾳστώνην εἰς τοὺς προσήκοντας παρέχων*

---

1 *φοιτῆσαι* U 2 *τελεωτάτῳ*] *τελευταίῳ* T 3 *εἴκει*] *ἥκει* D 4 *βεβιωκότων* seclusi 8 *οὐδὲ*] *οὐδὲν* T 12 *ἐπίγυια* AT: *ἐπίνεια* EDU; cf. Boeckh, Urkunden über d. att. Seewesen p. 162 *ὥσ τισ οὐκ ἂν τοιαύτῃ καὶ τοσαύτῃ πόλει* D 18 *πρᾶγμα* iure suspectum Wil. 19 *οἷον* Rsk.: *οἶον* O *ἀλλαχόθεν* E *ὅσοι*] *ὅσον* D *ὅσοι — εἰκάζοντες*] cf. p. 7, 4 sqq. 21 *ἂν* om. E 24 *τε* om. U[1] *εἰσελαύνουσιν* scripsi: *ἐξελαύνουσιν* O 25 *ἀνέχει κτἑ.*] cf. p. 9, 12 sqq. *ἀνέχει μὲν γὰρ* Thom. Mag. 277, 7 28 *ταδὲ* AT, *ταῦτα δὲ* EDU; *τὰ δὲ κτἑ.*: quae *πρόσοψις* praebuit, non imago tantum erat (*ἦν ἄρ'*, quia advena adspectum iam percepit: Wil.), quae intranti urbem dilabitur, sed superant imaginem ea, quae ingresso urbs ipsa praebet; pro *οὐκ* ci. *οὖν* Rsk. *ὅσος μὲν γὰρ* U 30 *ῥᾳστώνην κτἑ.*] cf. p. 5, 9 sq.

*πόνους, ἅπας συνελήλυθεν ἐξ ἱερῶν, ἐκ λουτρῶν, ἐκ λιμένων, ἐκ
δρόμων, ὥστ' οὐδείς ἐστιν ὅστις ἂν σχολάσειεν μεγίστην αὐτὴν
προσειπεῖν, τῇ περιουσίᾳ τοῦ κάλλους γεγοητευμένος. θάλαττα* 21
*δὲ καὶ ποταμοὶ καὶ προάστια ἀλλήλων τε καὶ τῆς πόλεως ἄξια,
ὥσπερ οὐ τύχῃ μᾶλλον ἢ ψήφῳ τῇ πόλει συγκεκληρωμένα. φαίης
ἄν, τὸ τοῦ Σμυρναίου ποιητοῦ, ‘Ἀφρήτωρ, ἀθέμιστος, ἀνέστιός ἐστιν
ἐκεῖνος’* (Hom. *I* 63), *ὅστις οὐ πρότερον τοῦ τῆς Σμύρνης κάλλους
ἐρᾷ, ἐπειθ' οὕτως ὅτου δὴ τύχοι. τὸ δ' αὖ μέγιστον ἁπάντων καὶ* 22
522 J *ἐντιμότατον εἰπεῖν, οἱ Μουσῶν καὶ Χαρίτων χοροὶ δι' αἰῶνος τὴν
πόλιν ἐμβατεύοντες, δι' οὓς οὐχ ἡδίους μόνον, ἀλλὰ καὶ βελτίους
πέφυκεν ἀπαλλάττειν τοὺς εἰσαφικνουμένους. ὥστε πῶς εἰκὸς . . .
καὶ τὰ ἄλλα βελτίους γιγνόμεθα, περὶ ταύτην χείρους, ἀλλὰ μὴ*
775 D *βελτίους τοῖς δρωμένοις εἶναι, καὶ τὰς μὲν περὶ τοὺς λόγους ἐπι-
δόσεις τε καὶ διατριβὰς ἐν ἐκείνῃ μάλιστά πως ἅπασι γίγνεσθαι,
ὅσα δ' εἰς εὐφημίαν καὶ τὴν ἀπὸ τῶν λόγων χάριν ἔρχεται, μὴ ἐν
πρώταις πόλεων ἐκείνῃ νέμειν;*

Φέρε δὴ καὶ τῆς τρίτης ὡσπερεὶ σπονδῆς μνημονεύσωμεν, 23
*λέγω δὲ ἀριθμῷ τρίτην, οὐ τάξει τὰ νῦν· μὴ γάρ μοι ῥῆμα θη-
ρεύων μηδεὶς εἰς τοὐναντίον ἀνθελκέτω τὸν λόγον. μέγιστον μὲν
οὖν αὐτὸ τοῦτ' ἤδη περὶ αὐτῆς ἔξεστιν εἰπεῖν, τὸ δυοῖν μὲν
οὐσῶν τούτων πόλεων, τοσούτων δ' αὖ καὶ τῶν περὶ αὐτῶν εἰρη-
μένων [ὄντων] λείπεσθαί τι καὶ περὶ ταύτης ἅμα τ' ἀλλοῖον εἰπεῖν
καὶ οὐ χεῖρον εἰρῆσθαι. οἶμαι δὲ καὶ πάντας ὅσοι στηλῶν Ἡρα-* 24
*κλέους ἐντὸς καὶ ποταμοῦ Φάσιδος οἰκειουμένους τὴν Ἔφεσον ὀρ-
θῶς ἂν διανοεῖσθαι, τοῦτο μὲν τῇ τῶν λιμένων κοινότητι, τοῦτο
δὲ ταῖς ἄλλαις ἁπάσαις ὑποδοχαῖς. πάντες γὰρ ὡς εἰς πατρίδα
⟨καὶ⟩ αὐτὴν κομίζονται καὶ οὐδεὶς οὕτως ἀγνώμων οὐδ' οὕτως σφό-
δρα ὁμόσε τοῖς φανεροῖς ἰών, ὅστις οὐκ ἂν συγχωρήσειεν ταμιεῖόν
τε κοινὸν τῆς Ἀσίας εἶναι τὴν πόλιν καὶ τῆς χρείας καταφυγήν· οὐδέ*

---

2 *ὅστι*^{σ} T, *σ* add. T^{2} 3 *περιουσίᾳ*] cf. p. 3, 20 4 *προάστεια* O 9 *οἱ — ἐμβατεύοντες*] cf. p. 5, 3 sqq. *χοροὶ καὶ δι'* E 11 *ἀλλάττειν* U *εἰσαφικνουμένουσ* ADU: *ἀφικνουμένουσ* ET *ὥστέ πωσ εἰ///καὶ* A, fuit *κοσ* in ras., *ὥστε πῶσ εἰ καὶ* EUT, *ὥστε πῶσ εἰκὸσ εἰ καὶ* D; lacunam indicavi; fuerint *ὥστε πῶς εἰκὸς ⟨ἡμᾶς δι' ἧς πόλεως εἴς τε τὴν τῶν λόγων δύναμιν⟩ καὶ*; cf. p. 38, 5. 6 16 *πόλεων* displicet 17 *τρίτησ* DUT: *πρώ|τησ* A, in mg. interiore add. *τρί* A^{1} aut A^{r}; *πρώτησ* E *σπονδῆς*] ut in conviviis 22 *ὄν-των* seclusi 23 *εἰρῆσθαι*] *ἀκοῦσαι* U 24 *οἰκειουμένουσ* EUT, *οἰκ////μένουσ* A^{1} quatenus agnoscitur; rasurae forma indicat proximam post *κ* litteram *ει* (per compendium scriptam) fuisse: *οἰκημένουσ* A^{r}, *ὠκημένουσ* DA^{2}; ‘credo omnes gentes si Ephesum sibi quasi suam vindicant, recte iudicare’ (Wil.) 27 *καὶ* addidi; cf. ad or. XLVI p. 44, 3 Ddf. *αὐτὴν* Rsk.: *αὐτῶν* AEDT, *αὑτῶν* U *οὕτω* EDUT 29 *τε*] *τι* DU

γε οὕτω φιλαίτιος οὐδεὶς ὅστις ἂν μέμψαιτο ἐκείνης τῆς πόλεως
τοὺς ὅρους. πολλὴ μὲν γὰρ εἰς μεσόγειαν ἀεὶ βαδίζοντι, πολλὴ δ'
ἐπ' αὐτῆς τῆς θαλάττης, πανταχοῦ δὲ ἱκανὴ παρασχεῖν ἅπαντα
ὅσων δεῖ πόλει, διαίταις τε ἁπάσαις ἀρκέσαι, ὅσας ἄνθρωποι
25 διαιτᾶσθαι δύνανται καὶ προαιροῦνται. καίτοι πῶς εἰκὸς τὴν μὲν
χρείαν κοινὴν ἅπασι τὴν παρ' αὐτῆς εἶναι, τὴν δ' εὔνοιαν μὴ
κοινὴν αὐτῇ παρὰ πάντων ὑπάρχειν, καὶ τὸ μὲν εὐθενεῖν τὴν πόλιν
πᾶσιν ὁμοίως διαφέρειν, μὴ συνεύχεσθαι δ' ἅπαντας ὁμοίως τὴν 776 D
πόλιν εὐθενεῖν; καὶ κατὰ μὲν τοὺς χρόνους τοὺς Περσικοὺς τοσαύτην αἰδῶ παρὰ τῶν βαρβάρων ὑπάρχειν τῇ Ἀρτέμιδι, ἡνίκα δ'
αὐτός τε ὁ νεὼς μείζων ἢ πρόσθεν ἕστηκεν, ἀρχή τε ἡ μεγίστη πασῶν καὶ ἅμα σεμνοτάτη καθέστηκεν, μὴ καὶ ἓν τοῦτο ἐξαρκεῖν ὑπο- 523 J
λαμβάνειν εἰς φιλίαν τῇ πόλει τὴν τῆς θεοῦ τιμήν, ἣν αὐτή τε τιμήσασα ἔχει τὴν πόλιν καὶ παρ' ἀνθρώπων αὐτὴν εἰκός ἐστι φέρεσθαι;

26 Καὶ μὴν αἱ μὲν δύο τῶν πόλεων μιᾶς καὶ τῆς αὐτῆς ἄποικοι τῆς Ἀθηναίων πόλεως, ἣν οὐδ' ἂν εἷς αἰσχυνθείη δή που πρόσχημα παντὸς τοῦ Ἑλληνικοῦ προσειπεῖν· ἥδε δὲ ἔχει τι καὶ αὐταῖς παραπλήσιον ταῖς Ἀθήναις αὐχῆσαι κατὰ τὴν τῶν αὐτοχθόνων ἀνδρῶν τε καὶ ἡρώων φοράν, εἰ δὲ μή, ταύταις γ' ἔχει παραπλήσιον· καὶ γὰρ αὐτῇ τὰ τῶν ἀποίκων ἀπὸ αὐτοχθόνων ἐστὶ τῶν Ἀρκάδων, ὥστε κἀκ τούτων εἰκὸς γνῶναί τε ἀλλήλας καὶ τιμῆσαι τὰ γιγνόμενα.

27 Εἶεν. ἃ μὲν δὴ κοινῇ τοῖς γένεσι τοῖς συντελοῦσι καὶ ταῖς πόλεσι ταῖς τοῦ πρωτείου ἀντιποιουμέναις ἀποδοθῆναι προσῆκεν, εἴρηται διὰ πάσης βραχύτητος, ὥς γ' ἐμοὶ φαίνεται, καὶ ἅμα οὐ
τὰ φαυλότατα, ὡς ὑμεῖς ἐπεσημήνασθε· καὶ πολλὴ χάρις ὑμῖν 777 D
ταῦτά γε δὴ δεξαμένοις εὐμενῶς. ἀκόλουθον δ' ἐμοί τε τὸν λοιπὸν λόγον προσθεῖναι [τὸν τῆς παρακλήσεως], εἴπερ μὴ ψυχαγωγία τις ἔσεσθαι μέλλει μόνον τῆς ἀκροάσεως, ἀλλά τι καὶ χρείας προσέσται, ὑμῖν τ' ἐθελῆσαι καὶ τούτων μετὰ τῆς ὁμοίας ἀκοῦσαι γνώμης,

4 ὅσον A 7 τὸ] τῷ E εὐθενεῖν A a. corr.: εὐσθενεῖν A p. corr. DU, εὐθηνεῖν ET^2, εὐθυνεῖν T^1; eadem v. l. v. 9 13 φιλίαν AT^1 mg. c. γρ.: φιλοτιμίαν EDUT τῆσ om. E ἣν αὐτή] quem honorem dea (Wil.) 14 εἰκόσ ἐστιν αὐτὴν U 15 δύο] Smyrna et Ephesus; cf. ad p. 34, 5 16 οὐδεὶς ἂν U πρόσχημα κτἕ.] ex Herod. V 28; cf. p. 27, 1 17 τοῦ om. T ἥδε scripsi: ἤδη O; Pergamum, p. 35, 7 αὐταῖς scripsi: αὐτῇ AEUT^1, αὕτη DT^2; 'vel ipsis Athenis', non tantum coloniis Athenarum; dicit Teuthraniam urbem, quam pro antiquo Pergamo habuisse videtur (or. XXXVIII § 11; Thraemer, Pergam. 207 sq.), a Mysis aboriginibus conditam esse 19 ταύταις] cf. ad v. 15 20 ἐστι τὰ τῶν E 21 vos cognoscere, ut invicem vos aestimetis, ut par est εἰκόσ ἐστι γνῶναι T ἀλλήλουσ D 26 δὴ om. D δ'] δὲ E τε] γε U 27 τὸν τῆς παρακλήσεως seclusi 28 μέλλοι DU τι] τοι D 29 τ' ἐθελῆσαι AT, τε θελῆσαι E, τε ἐθελῆσαι DU τοῦτον T ἀκοῦσαι μετὰ τῆσ ὁμοίασ U

*ἵνα μὴ μόνον τῇ παραχρῆμα εὐφημίᾳ τετιμηκότες ἦτε τὸν λόγον,
ἀλλὰ καὶ τῇ παρὰ πάντα τὸν χρόνον καὶ ἐπ᾽ αὐτῶν τῶν πραγ-
μάτων μνήμῃ.*

Ἐγὼ γάρ, ὦ ἄνδρες ἄριστοι τῶν τῇδε Ἑλλήνων, εἰ μὲν ἤμελλον 28
*ὑμῶν ἕκαστοι ταῦτα ἐφ᾽ οἷς νῦν ἀγάλλονται προήσεσθαι τῇ πρὸς
τοὺς ἄλλους ἐπιεικείᾳ καὶ κοινότητι, οὐδ᾽ ἂν αὐτὸς συνεβούλευον
τὰ οἴκοι βλάπτοντας τὰ τῶν πλησίον κοσμεῖν· ὅτε δὲ ἔστι τοσαῦτα
ἑκάστοις ἐφ᾽ οἷς ὑπάρχει φιλοτιμεῖσθαι καὶ οὐδὲν ἔλαττον ἀνάγκη
φρονεῖν ἀρετῇ χρωμένους εἰς ἀλλήλους, οὐχ ὁρῶ τίν᾽ ἔχει λόγον ἡ
διαφορά, ἀλλὰ καὶ τοὐναντίον εἴποιμ᾽ ἂν ἅπαν τούτου, βουλομένων
μὲν εἶναι σῴζειν τὴν ἑαυτῶν φιλοτιμίαν, πράως τοῖς ἄλλοις ὁμι-
λεῖν, ἐπηρεαζόντων δὲ τοῖς ὑπάρχουσιν εἰς ἔριν καὶ φιλονικίαν
ἐξάγειν. ἐν μὲν γὰρ τῇ ὁμονοίᾳ καὶ ἑτέρους ἔστιν ἐπαινέσαι καὶ* 29
524 J *τὰ ἑαυτῶν ἀκούειν ἐπαινούμενα, ἐν δὲ τῷ διαστῆναι κακῶς ἑτέρους
εἰπόντας ἀντακοῦσαι κακῶς αὐτοὺς καὶ ἃ μὴ προσῆκεν· ὥσθ᾽ ὅσῳ τις
μᾶλλον ἐπαινεῖσθαι βούλεται καὶ τῶν ὑπαρχόντων ἀπολαύειν πλεο-
νεκτημάτων, τοσούτῳ μᾶλλον τῶν ἴσων ὑπαρκτέον αὐτῷ καὶ ταῖς ἐπιει-
κείαις χρηστέον. ἀλογώτατον δ᾽ ἂν εἴη πάντων ἄχθεσθαι μὲν τοῖς ἑτέ-*
778 D *ρων ἀγαθοῖς, λυμαίνεσθαι δὲ τοῖς ἑαυτῶν, καὶ μᾶλλον δυσχεραίνειν εἴ
τις καὶ ἕτερος τὰ εἰκότα τιμήσεται ἢ εἰ τῶν προσηκόντων αὐτὸς παρὰ
πάντων ἑκόντων μὴ τεύξεται. καὶ μὴν ἅμα τε ἀχθεσθήσεται τοῖς ἑτέ-
ρων ἀγαθοῖς καὶ δῆλος ἔσται φθονῶν. τοῦτο δὲ οὐ τοῦ κρείττονος,
οὐδαμῶς. ἄξιον τοίνυν κἀκεῖνο ἐνθυμηθῆναι, ὅτι ταυτὶ μὲν ἅπαντα* 30
*ὅσα μικρῷ πρόσθεν διῇμεν καὶ ὅσα τοιαῦτα ἂν εἴποι τις, οἷον
κάλλη δημοσίων οἰκοδομημάτων καὶ μεγέθη περιβόλων, καὶ κεῖσθαι
καλῶς καὶ χρήμασιν ἰσχύειν ἐγγείοις ἢ ναυτικοῖς καὶ πάνθ᾽ ὅσα
τούτου τοῦ γένους ἔχεται, τύχης ἄν τις φήσειεν εἶναι τῆς καὶ δι-
δούσης ἕκαστα τούτων καὶ παραιρουμένης, ἡνίκ᾽ ἂν αὖ καὶ τοῦτο
βουληθῇ· ἡ δὲ τῆς ὁμονοίας προαίρεσις καὶ τὸ χρῆσθαι τὰ πρέ-
ποντα ἀλλήλοις αὐτῆς τῆς γνώμης τῶν οὕτω διακειμένων ἐστίν.
ὥστ᾽ οὐχὶ τοσοῦτον εἰκὸς τοὺς ἐκείνῃ προέχοντας φρονεῖν, ὅσον
τοὺς κατὰ ταῦτα νικῶντας. καὶ μὴν ἐκεῖνα μὲν ἔξεστι μὴ πάντων* 31
ἐφεξῆς εἶναι φῆσαι, ἀλλὰ τῶν κατασκευασαμένων καὶ παρ᾽ ὧν

---

1 *τῇ παραχρῆμα κτἑ.*] invertit Thuc. I 22, 4; ad p. 38, 27 sqq. contulit Strab. I p. 15 Kaibel 4 *ἤμελλον* A¹E: *ἔμελλον* AʳDUT 7 *βλάπτοντα τὰ* D *πλησίων* T; proverbium *Σπάρτην ἔλαχες· ταύτην κόσμει* (Paroemiogr. I p. 307) invertit (Kaibel) *ὅτε*] *οὔτε* E 8 *καὶ* om. DU 10 *τούτου ἅπαν* U *τοῦτο* E 11 ʻdecere (*εἶναι*) eos qui — servare velint, comiter se gerereʼ 12 *φιλονεικίαν* O 15 *εἰπόντα* ED 17 *καὶ* add. ante *τοσούτῳ* E *ἴσων*] *ἄλλων* D 24 *διήϊμεν* A¹: *διήειμεν* EDUTA² 31 *προέχοντασ* T: *προσέχοντας* AEDU

ἕκαστα παρειλήφαμεν, οἱ μὲν κατὰ τοὺς αὐτοὺς χρόνους, οἱ δ' ὕστερον γενόμενοι· τὸ δ' εὖ βουλεύεσθαι καὶ σωφρονεῖν ἅπαντός ἐστι δή που τοῦ βουλομένου τοῦτο ἑαυτῷ παρεῖναι. χρὴ δ' ὥσπερ οἰκίαν ἄριστα κατεσκευάσθαι κρίνομεν οὐχ ἥτις ἂν ὡς κάλλιστα λίθων ἔχῃ, ἀλλ' ἥτις ἂν μιᾷ γνώμῃ μάλιστα οἰκῆται, οὕτω καὶ πόλεις ἄριστα νομίζειν οἰκεῖν αἵτινες ἂν ταυτὸν φρονεῖν ἐπίστωνται. δεινὸν γὰρ ἡ στάσις πανταχῇ καὶ θορυβῶδες καὶ τῇ φθόῃ παραπλήσιον· ἕλκει γὰρ ἁπάσας τὰς δυνάμεις καὶ προσπεφυκὸς ἐκμυζεῖ καὶ κενοῖ καὶ οὐ πρότερον παύεται, πρὶν ἂν ἐκτρίψῃ παντελῶς,
32 *ὑπηρέταις αὐτοῖς καθ' ἑαυτῶν χρησάμενον τοῖς νοσοῦσιν. ἀλλὰ* 525 J
μὴν ὅ τι καὶ παντὸς ἔθνους [τοῦτο] σχῆμα κάλλιστον καὶ [αὕτη] 779 D
σωτηρία βεβαιοτάτη, δῆλον δή που τοῦθ' ὅτι καὶ πόλεις καὶ σύντρεις καὶ συμπλείους τῶν εἰς ταυτὸ τελουσῶν εἰκὸς ἔχεσθαι τούτου· οὐ γὰρ δή που ἅ γε κοινῇ πάσαις ταῖς ἐν τῷ ἔθνει συμφέρει, ταῦτ' ἐνίαις αὐτῶν οὐχὶ τὸν αὐτὸν ἔχει λόγον· οὐ γὰρ εἰ τοῦ πρωτεύειν ἀντιποιοῦνται, τοῦτο βελτίω τι τὴν στάσιν ποιεῖ, ἀλλ' ἐνταῦθα δὴ καὶ
33 *τὴν ὑπερβολὴν εὕροι τις ἄν. εἰ γὰρ ἃ μηδὲ τοῖς τυχοῦσιν [μηδὲ τοῖς φαυλοτάτοις] ἐπιβάλλειν μηδ' ἂν εἷς φήσειεν, ταῦθ' οἱ προέχειν ἀξιοῦντες ἑαυτοῖς ἡγήσονται προσήκειν, καὶ μὴ καθ' ὅσον δύνανται φυλάξονται, πῶς οὐ προσθήκην ἡ κατηγορία λαμβάνει, ἢ πῶς οὐχ ἕτερον μέν ἐστιν ὃ βούλονται, ἕτερον δ' ὃ κατασκευάζουσιν; βούλονται μὲν γὰρ εὐδοκιμεῖν ὡς ἄριστοι δή που, φαίνοιντο δ' ἂν οὕτω*
34 *γε ἐξ ἴσου τοῖς κακίστοις διακείμενοι. οἶμαι δ' ὥσπερ τοὺς στρατηγοὺς πᾶς τις ἂν ἀξιώσειε μάλιστα μὲν βελτίους εἶναι τῶν στρατιωτῶν, πάντως δὲ μὴ χείρους, οὕτω καὶ τὰς πόλεις αἷς τὸ προβουλεύειν ἀνάκειται μὴ χεῖρον τῶν φαυλοτέρων καὶ τῶν πολλῶν φρονεῖν. ὥσπερ τοίνυν εὐταξία καὶ κόσμος οὐ τοῖς μὲν στρατιώταις ἐπιτήδειον, στρατηγοῖς δὲ ἄτιμον [οὐδὲ ἄχρηστον] ὑπάρχει, ἀλλ' εἴπερ οἱ πολλοὶ παρέξουσιν ἑαυτοὺς ἐν τῷ τεταγμένῳ, δεῖ τοὺς ἡγουμένους αὐτοῦ*

---

5 *ἔχῃ* ET: *ἔχει* A, *ἔχοι* DU 6 *ταυτὸ* U *ἐπίστωνται*] *ω* in ras. D², *ἐπίστανται* E 8 *καὶ προσπεφυκὸσ* A (*το* supra), *το* quae manus addiderit incertum, fort. A^r^ *ἐκμυζεῖ* AT: *ἐκμυζοῖ* E, *ἐκμυζᾷ* DU; cf. v. l. or. XLVII p. 455, 14 Ddf. 11 *τοῦτο* et *αὕτη* seclusi; concordiae notio accuratius significanda erat et demonstrativo *τούτου* v. 13 reddendum relativum 12 *δήπου τοῦθ'* AT: *δήπουθεν* EUD *καὶ πόλεισ καὶ σύντρεισ* (*συντρεῖσ* A) *καὶ συμπλείουσ* (*σὺν πλείουσ* A) *τῶν* AUT: *καὶ πλείουσ καὶ σύντρεισ καὶ συμπλείουσ τῶν* E, *καὶ πόλεισ καὶ πλείουσ καὶ σύντρεισ καὶ συμπλείουσ τῶν* D; cf. Panath. I 182, 3; 252, 7 Ddf. 16 *τι* om. DU¹ an *τὴν* delendum? 17 *μηδὲ τοῖς φαυλοτάτοις* secl. Rsk., cf. v. 26 20 *φυλάξονται* TE p. ras.: *φυλάξωνται* ADUE a. ras. 28 *οὐδὲ ἄχρηστον* secl. Schmid, Philolog. 1889 (I), 378; pro *οὐδὲ* ci. *ἢ* aut *καὶ* Rsk.² 29 *αὐτοῦ* — 1 *ἡγεῖσθαι*] *αὐτοῖσ τούτου πρῶτον ἀντιποιεῖσθαι* U

τούτου πρῶτον αὐτοὺς ἡγεῖσθαι, ὡς ἐκεῖνό γε ἀμήχανον, στρατη-
γῶν στασιαζόντων καὶ τεταραγμένων πρὸς ἀλλήλους στράτευμα
μιᾶς γνώμης γενέσθαι, οὕτω καὶ τῶν πόλεων χρὴ νομίζειν μάλιστα
προσήκειν σωφρονεῖν αἵτινες ἀντὶ τοῦ κοινοῦ σχήματός εἰσιν ἅπασι
τοῖς ἐν τῷ γένει. θαυμάζω δ' εἰ πολέμου μὲν ἥκοντος πᾶς τις 35
ἂν αὐτοῦ κέρδος ἡγοῖτο ὡς μετὰ πλείστων καὶ γενναιοτάτων συμ-
μάχων κινδυνεύειν, ἐξὸν δ' ἀκινδύνως τὰ ὑπάρχοντα καρποῦσθαι,
780 D εἰ μετ' ἄλλων ὑπάρξει, ζημίαν λογιεῖται, καὶ μηδὲ ἐκεῖνο ἐνθυ-
μηθήσεται, ὅτι ὅσῳ ἂν μειζόνων ἑαυτὸν ἀξιοῖ, τοσούτῳ μᾶλλον
εἰκός ἐστι καὶ τοῖς ἄλλοις χρηστὰ τὰ πράγματ' εἶναι συμβούλε-
σθαι· ὡς τὸ μὲν τῶν οὐδενὸς ἀξίων ἔμπροσθεν εἶναι σεμνὸν οὐδέν,
ἡ δὲ πρὸς τοὺς ἐλλογίμους ἅμιλλα κατ' ἀμφότερ' ἀσφαλής. καὶ
526 J γὰρ νικῶντι καλὸν τὸ σχῆμα τῆς φιλοτιμίας, κἂν ἄλλο τι συμβαίνῃ,
πάρεστιν ἡ παραμυθία. ἔξεστι δὲ κἀκ τῶν Ὁμήρου μαθεῖν· 36
ἐπειδὴ γὰρ κοινότατος ὁ ποιητής, οὐ χεῖρον κἀκείνῳ πρός γε τὰ
τοιαῦτα προσχρῆσθαι. ἐκεῖνος γὰρ τούς τε ἥρωας ἅπαντας ὡς
ἔπος εἰπεῖν ἐπαινεῖ καὶ τοὺς ἐναντιωτάτους ἀλλήλοις, ἡγούμενος
μείζω τοῖς κρατήσασιν αὐτῶν οὕτως ἂν γίγνεσθαι τὴν δόξαν. καὶ
τὰς πόλεις καταλέγων ἄλλας ἄλλον κεκόσμηκε τρόπον, πάσας δ' εἰς
ὅσον οἷόν τε ἦν, ὅ τι καὶ μικρὸν ἔχοι τιμῆσαί τινα αὐτῶν οὐδαμῇ
προϊέμενος. ἐλαφρὰ γάρ, φασί, χάρις ἡ τῆς εὐφημίας. ὥστε μηδὲ
τοὺς ἐχθροὺς δεῖν ἀποστερεῖν τοῦ τοιούτου χρηστόν γέ τι πράξαν-
τας θεῶν τινος εἶναι παραίνεσιν Ἡρακλεῖ Πίνδαρος, οἶμαι,
λέγει. οὕτω φύσει θεῖόν τι τὸ χρῆμα τῆς εὐφημίας, καὶ οὐκ 37
ἐπειδὰν τῶν ἱερῶν μέλλωμεν κατάρχεσθαι, τότ' ἔχει μόνον καιρόν,
ἀλλὰ κἂν τοῖς πλείστοις τῶν ἀνθρωπείων πραγμάτων· τοὺς δ' εἰς
ὅσον ἔξεστι χρωμένους αὐτῇ κεχαρισμένως ἂν τοῖς θεοῖς ποιεῖν
σύμβολον ἥ τε τοῦ κήρυκος αὕτη φωνὴ καὶ ἡ τῶν ἱερέων, ἐπειδὰν
τἀγαθὰ τοὺς θεοὺς αἰτῶμεν, γιγνομένη. ὥσθ' ὅτε τῇ τῶν ἀγαθῶν 38
αἰτήσει προσήκει τοῦτο τὸ εἶδος τῶν λόγων, εἰκὸς δή που καὶ

---

1 αὐτοὺς scripsi: αὐτὸ AEDT 4 σωφρονεῖν] συμφρονεῖν mavult Rsk., quod iterum Rsk. pro εὖ φρονεῖν ci. or. XXIV § 12; at loci invicem se tuentur; cf. praeterea § 50; or. XXIV § 16. 33 6 αὐτοῦ O ἡγοῖτο DU: ἡγεῖτο AET συμμάχων om. E 8 ἄλλων Canter: ἀλλήλων O 9 μειζόνωσ E 12 ἀμφότερα U 14 δὲ] γὰρ T 15 καινότατοσ T 18 γίνεσθαι E, γενέσθαι U 20 ὅ τι AUT: ὅτε DE ἔχει D τινα] α in ras. A[2] 21 φασὶ AT: φησὶ EDU 22 τι] τοι D 23 Πίνδαρος] P. IX 95; Herculis apud Pindarum mentio nulla, sed in scholiis Pindaricis plenioribus, ubi Nerei hoc est dictum, eam fuisse ci. Kaibel 24 τι τὸ χρῆμα] τι χρῆμα τὸ D οὐκ om. T 25 ἔχειν D καιρὸν μόνον U 26 τοὺς] ex τοῦ corr. T[2] 28 ἱερέων AUT: ἱερῶν ED 29 γινομένη E ὅτε Laur. 60, 20 (inde Junt.): ὅτι O

*καθάπαξ αὐτὸ τιμῶντας βέλτιον πράττειν ἂν οἴεσθαι καὶ τῆς βελ-
τίονος μοίρας σῴζειν πρᾶγμα· εἰ δ᾽ αὖ τοῦθ᾽ οὕτως ἔχει, πῶς οὐ
φευκτέον καὶ κατὰ τοῦτο ἡ στάσις; ὡς οὐκ ἔσθ᾽ ὅ τι μᾶλλον ἐναν-
τίον εὐφημίᾳ τούτου τοῦ κακοῦ· δυοῖν γὰρ ἓν ἀντίκειται τοῖς* 781 D
*καλλίστοις· οὔτε γὰρ λέγειν τὰ βέλτιστα οὔτε πράττειν ἐᾷ, ἀλλὰ
βλασφημίας μὲν ἀντ᾽ εὐφημίας, δυσπραξίας δὲ ἀντ᾽ εὐτυχίας φέρει.
οὕτως οὗ μὲν εὐφημία, καὶ εὐπραξία, οὗ δὲ στάσις, οὐδέτερον σῴ-*
39 *ζεται. καὶ μὴν ὁ μὲν οὐδαμῶς ἀξιῶν καθαιρεῖν τοὺς πλησίον
θαρρῶν ἑαυτῷ δοκεῖ ποιεῖν τοῦτο, ὡς οὐδὲν ἂν αὐτός γε ἐλάττων
ταύτῃ νομισθείς, ὁ δὲ τὴν εἰς ἑτέρους ἐπήρειαν κέρδος ἑαυτοῦ
ποιούμενος χωρὶς τῆς ἄλλης κακίας ὕποπτον ἑαυτὸν καὶ περὶ ὧν
ἐρίζει καθίστησιν, ὡς οὐδὲν ἔχων εἰπεῖν τοσοῦτον ὅσον βούλεται.
ὥστ᾽ οὐδ᾽, ὅ τις ἂν μόνον εἴποι τὴν αὐθάδειαν ὑποκοριζόμενος,* 527 J
ἀνδρείᾳ δόξειεν ἂν τοιοῦτος εἶναι, ἀλλὰ πᾶν τοὐναντίον φόβῳ τῷ
40 *περὶ τῶν ὑπαρχόντων. ὥσπερ γὰρ ἐν τοῖς γυμνικοῖς ἀγῶσι τὸ τὴν
νόμιμον καὶ γιγνομένην μάχην ἀφέντας τὸν ἔξωθεν τρόπον κακουρ-
γεῖν οὐ πάνυ θαρρούντων ἐστὶν ἑαυτοῖς οὐδ᾽ ἡγουμένων οἵων τε
εἶναι νικᾶν ἐκ περιουσίας, οὕτω κἂν τοῖς πράγμασιν ἡ παρὰ καιρὸν
ἔρις καὶ τὸ τοῦ προσήκοντος ἔξω σχῆμα ἡττωμένων τοῖς ὅλοις
εἶναι δοκεῖ· ὥστε οὐ φθόνου μᾶλλον, ἀλλὰ καὶ φόβου καὶ ὕβρεως
καὶ ἀνοίας καὶ συλλήβδην εἰπεῖν ἁπάσης κακίας ἐστὶν ἡ στάσις
αἰτία καὶ τῇ προσηγορίᾳ πάντων ἐναντιώτατα ἔχει, ἣν ὑμεῖς [περὶ*
41 *πρωτείων] αὐτοῖς τέθεισθε. Χωρὶς δὲ τούτων τῷ μὲν πρὸς* 782 D
*τοὺς ἀλλοφύλους ἐθελέχθρως καὶ φιλονίκως ἔχειν τάχ᾽ ἂν τις εἴη
συγγνώμη, τὸ δὲ πρὸς αὑτοὺς οὕτως ἀπίστως καὶ στασιαστικῶς
διακεῖσθαι οὔτε γνώμης ἀγαθῆς οὔτε τύχης οὐδ᾽ ἂν εἷς φήσειεν
εἶναι. ἔχοιτε δ᾽ ἂν ἐξετάσαι παραδείγμασι τοῖς ἤδη συμβεβηκόσι*

---

1 *αὐτὸ* EDUA p. ras.: *αὐτὸν* A a. ras. T *ἂν πράττειν* U *ἂν οἴεσθαι*] *ἀντόιεσθαι* nunc A, *τ* in ras. A², *ι* arrasum, incertum quid A¹ 2 *τοῦθ᾽*] *ταῦθ᾽* U 3 *φευκτέον* scripsi: *φευκτὸν* O 4 *τοῖν καλλίστοιν* Laur. 60, 20 (inde Junt.), at cf. or. XXVII § 30 *δυοῖν σώμασι*; § 64 8 *οὐδαμῶσ* AT: *μηδαμῶσ* EDU 11 *κακίασ* AUT: *αἰτίασ* ED 13 *ὅ*ˢ*τισ* A, *σ* s. l. add. pr. m., *ὅτισ* U: *ὅστισ* EDT *εἴποι* Wil.: *εἶπεν* O 14 *ἀνδρείᾳ* scripsi: *ἀνδρείαν*, AET, *ἀνδρίαν* DU 16 *γιγνομένην*] *γυμνικὴν* U 17 *οὐ*] ex *οἱ* corr. Aʳ *οἵων* ATU²: *οἷον* EDU¹ 18 *νικᾶν εἶναι* D 19 *τὸ* AET, om. DU; aut *φιλον(ε)ικεῖν* post *σχήματος* addendum aut *τὸ* delendum censet Rsk.² *σχῆμα* scripsi: *σχήματοσ* O 20 *μᾶλλον*] *μόνον* Rsk.; at cf. Thuc. II 44, 4 21 *εἰπεῖν* om. D 22 *πάντων* EDU: *ἁπάντων* AT (hiatus) 22 *περὶ* — 24 *ἀλλοφύλουσ* add. mg. U² *περὶ πρωτείων* seclusi (item Wil.) 23 *αὑτοῖσ* A²: *αὐτοῖσ* A¹EDU, *αὑτῆσ* T *τῷ* D: *τὸ* AEUT 24 *φιλονείκωσ* O 25 *αὑτοὺσ* A¹, *αὑτοὺσ* Aʳ: *ἑαυτοὺσ* EDUT

χρώμενοι. καὶ γὰρ εἰ μὴ ὅμοια τὰ πράγματα μηδ' οἱ καιροὶ παραπλή-
σιοι, τό γε εὖ φρονεῖν ἀεί πως ταυτόν ἐστιν. ἀνενέγκατε τοίνυν 42
ἐπὶ τὴν ἀρχαίαν Ἑλλάδα, ἐπειδὴ καὶ ἀποίκοις τῶν Ἑλλήνων τῶν
ἐκεῖ συμβέβηκε σχεδὸν ἅπασιν ὑμῖν εἶναι· λέξω δὲ οὐδὲν καινόν,
ἀλλ' ἃ πάντες ἐπίστασθε, τοὺς Λακεδαιμονίους καὶ τοὺς Ἀθη-
ναίους. ἐκεῖνοι γὰρ μέχρι μὲν ταυτὰ ἐφρόνουν καὶ μίαν γνώμην
εἶχον [περὶ τῶν πραγμάτων], ζηλωτοὶ μὲν αὐτοὶ πᾶσι τοῖς Ἕλλησιν
ἦσαν, πολλῶν δὲ καὶ μεγάλων ἀγαθῶν ἀλλήλοις τε καὶ τῶν ἄλλων
τοῖς δεηθεῖσιν ἑαυτῶν αἴτιοι· καὶ συστάντων ἐπὶ τοὺς Ἕλληνας 43
ἁπάντων ὡς εἰπεῖν ἀνθρώπων, ὥστε τὴν μὲν θάλατταν ἐμπλη-
σθῆναι τριήρων, τὴν δὲ γῆν πεζῶν, εἶναι δὲ τὴν προσδοκίαν τῶν
κακῶν ἐν κέρδους μέρει τῷ μὴ αὐτά γέ πω παρεῖναι, οὐκ ἠπόρησαν
ὅ τι χρήσονται, ἀλλὰ ἀκούοντες μὲν γῆν καὶ θάλατταν μεταβάλλοντα
εἰς ἄλληλα, ἀκούοντες δὲ ἥλιον κρυπτόμενον τοῖς τοξεύμασιν καὶ
ποταμοὺς ἐπιλείποντας πίνουσι τοῖς ἐπιοῦσι καὶ ἔθνη καὶ πόλεις
ὅλας ἀναλισκομένας εἰς δεῖπνον λόγον τῷ βασιλεῖ, πρὸς δὲ τούτοις
528 *τοῦ θεοῦ τοὺς θεωροὺς τοὺς εἰς Δελφοὺς ἀφικομένους ἐξελαύνοντος*
μετ' ἀπειλῶν δεινῶν καὶ φόβων, οὐκ ἐξεπλάγησαν οὐδ' ἡττήθησαν
τῶν ἐπιόντων πραγμάτων, ἀλλὰ καὶ μέρους τῆς Ἑλλάδος οὐκ
ὀλίγου νοσήσαντος, καὶ τῶν μὲν εὐπρεπῶς ἐκποδὼν στάντων, εἰ
783 D *δὴ τοῦτό γε εὐπρεπῶς δεῖ καλεῖν, τῶν δὲ ἐκ τοῦ φανεροῦ μηδι-*
σάντων, ἔδειξαν ὅσου τινὸς ἄξιον εἴη πρᾶγμα αἱ πρῶται πόλεις
ταυτὸ φρονήσασαι. ἰσχύοντες γὰρ οἱ μὲν ταῖς ναυσίν, οἱ δὲ τῷ πεζῷ 44
πρῶτον μὲν τὴν ἀπ' ἀμφοῖν ὠφέλειαν κοινὴν ἑαυτοῖς τε καὶ τοῖς
ἄλλοις Ἕλλησι παρέσχοντο· ἔπειθ' ὃ πολλῷ μειζόνως ἄν τις ἀγα-
σθείη, οὐ γὰρ διείλοντο τὴν ἡγεμονίαν, ἀλλ' ὥσπερ ἂν εἰ πόλις
μία ἄμφω ταῦτα παρείχετο, τὴν μὲν προθυμίαν κοινήν, τὴν δὲ
ἡγεμονίαν μίαν ἠξίωσαν ποιήσασθαι. καὶ οὐδέν γε ἔλαττον ἐνέγ- 45
κασθαι συνέβη τοῖς παραχωρήσασιν αὐτῆς ἢ τοῖς ἀξιωθεῖσιν, οὐδ'
ἀτιμοτέρου γενέσθαι λόγου οὔτε ἐν τῷ παραχρῆμα τοῖς Ἕλλησιν
οὔτ' ἐν τῷ μετὰ ταῦτα χρόνῳ τοῖς πᾶσιν ἀνθρώποις. ἀλλ' ἔδοξαν
οἵ γε Ἀθηναῖοι δύο ἡγεμονίας τότε τοῖς Ἕλλησιν ἡγήσασθαι, τὴν

---

5 *ἀλλὰ πάντεσ* D 7 *περὶ τῶν πραγμάτων* seclusi: post *εἶχον* in AEDU, post *καὶ* T *μὲν αὐτοὶ* om. U 9 *αὐτῶν* EDUT 10 *θάλασσαν* ET 12 *τῷ* DUT (ci. Rsk.²): *τὸ* AE, quod fortasse defendi potest 13 *θάλασσαν* E 17 *ἀφικνουμένουσ* DU (at *ν* et *υ* priora in ras. U²) 18 *φόβων*] *φοβερῶν* T 21 *καλεῖν δεῖ* U *μηδισάντων* A²DUT: *μὴ δεισάντων* A¹E 22 *εἴη τὸ πρᾶγμα* T 23 *ταυτὸν* E *ἰσχύοντεσ — πεζῷ* add. mg. U¹ 24 *ἀπ'*] *ἐπ'* U 28 *μίαν* om. E 29 *αὐτοῖσ* D a. corr. (pr. m. corr. ut vid.) U¹ *οὐδὲ* D 31 *οὔτε* D 32 *οἵ γε* om. U

μὲν τῆς παρασκευῆς τῆς ἐπὶ τοὺς πολεμίους, τὴν δὲ τῆς ἐπιεικείας
τῆς πρὸς ἀλλήλους, οἵτινες τῶν συμπασῶν τριήρων τὰ δύο μέρη
μόνοι πληροῦντες Λακεδαιμονίοις οὐδ' εἰς δέκατον τελοῦσιν ἑαυ-
τῶν παρεῖσαν ἡγεῖσθαι, νομίζοντες εἰ μὴ πρότερον τὴν ὁμόνοιαν
τὴν πρὸς ἀλλήλους παράσχοιντο, οὐδ' ἂν δὶς τοσαύτας γενομένας
46 τὰς ναῦς οὐδὲν ὠφελῆσαι τὰ πράγματα. οὕτω δὲ ὁμιλήσαντες
ἀλλήλοις καὶ πάντα κοινωσάμενοι καὶ τοὺς αὐτοὺς ὅρους θέμενοι
τοῦ συμφέροντος, ἐξείλοντο μὲν αὐτὰς τὰς Ἀθήνας ἐχομένας ἤδη
καὶ οἰκουμένας ὑπὸ Περσῶν, ἐρρύσαντο δὲ τὴν Ἑλλάδα ὑποβρύ-
χιον φερομένην καὶ μικροῦ δέουσαν ἤδη πᾶσαν οἴχεσθαι, γῆν δὲ
καὶ θάλατταν ἐκόσμησαν πεζομαχίαις καὶ ναυμαχίαις ὅσον εὔχοντο
νικῶντες. τὸν δ' ἐξισοῦντα τῇ τοῦ Διὸς ἀρχῇ τὴν ἑαυτοῦ πρὸς
τοσοῦτον δέους καὶ ταπεινότητος κατέστησαν ὥστ' ἀναπηδήσας
ἐκ τοῦ θρόνου φεύγων ᾤχετο γῆν πρὸ γῆς, ἑτέραν δὲ φυγὴν ἔφευ-
γον αἱ νῆες πρὸς τὴν Ἀσίαν ἄνω· τροπαίων δὲ τρόπαια ἐξήπτετο 529 J
καὶ βωμοὶ Διὸς ἐλευθερίου καὶ τρίποδες κοινοὶ τῶν Ἑλλήνων ἐν 784 D
Δελφοῖς καὶ ἀναθήματα καὶ δεκάται καὶ κόσμοι τῶν πόλεων καὶ
47 πᾶσα ἐπίδοσις καὶ τοιαῦτα ἐπεχωρίασεν πράγματα. καὶ οἱ μέν
γε τὴν ἡγεμονίαν τῶν Ἑλλήνων μετελάμβανον, ἀνθ' ὧν τότε εἶξαν
ἐν καιρῷ, παρ' ἑκόντων αὐτῶν [Ἑλλήνων] εὑράμενοι τὸν αὐτὸν
τρόπον ὅνπερ αὐτοὶ τόθ' ἑκόντες παρεῖσαν, οἱ δ' αὖ τὰς ὁμοίας
ἀπεδίδοσαν [οἱ Λακεδαιμόνιοι], καὶ οὔτε ἐκώλυσαν οὔτε ἠμφε-
σβήτησαν, ἀλλ' ἡγησάμενοι βελτίους ἑαυτῶν εἰς τὰς ναυτικὰς καὶ
τὰς ὑπερορίους ἀποδημίας, τοὺς παρ' αὑτῶν ἄρχοντας καταλύ-
σαντες ἐκείνοις ἐπέτρεψαν ἡγεῖσθαι. ἐκ δὲ τούτου Σηστὸς Ἠιὼν
Κύπρος Εὐρυμέδων, ἀμφότερα κοσμούμενος κατάλογος νικῶν ναυ-
τικῶν τε καὶ πεζῶν ἐφαμίλλων, πάνθ' ὡς ἔπος εἰπεῖν τὰ κάλ-
λιστα συνείρετο· ἀντανεχώρουν δὲ οἱ βάρβαροι δεσπότας τοὺς

---

1 πολεμίουσ AT²: πολέμους EDUT¹ 2 τὰ δύο EDU: τὼ δύο A, τὼ δύω T 4 παρεῖσαν DUT: παρῆσαν AE 5 τοσαύτασ om. U 6 ἂν add. post οὐδὲν U (idem v. 5 οὐδ' ἂν δὶσ) 10 μικροῦ δὲ δέουσαν E ἤδη s. l. add. E¹ 11 θάλασσαν O ναυμαχίαισ καὶ πεζομαχίαισ U ὅσων εἴχοντο Schmid, Philolog. 1889 (I), 378; ὅσον εὔχοντο sc. νικᾶν 13 τοσοῦτο EDU 18 τοιαῦτ' U ἐπεχωρίασεν] i. e. ἐπιχώρια ἐγένετο (Kaibel); πράγματα· [καὶ] Wil. 19 τῶν] τὴν U 20 αὐτῶν ἑλλήνων AE αὖ τῶν ἑλλήνων UT, αὐτῶν τῶν ἑλλήνων D; seclusi Ἑλλήνων, cf. v. 19 εὑράμενοι A a. ras. T: δεξάμενοι EDU, εὑρόμενοι A p. ras. 21 παρεῖσαν DUT p. corr. m. pr.: παρῆσαν AET a. corr. δ' αὐτὰσ E 22 οἱ Λακεδαιμόνιοι seclusi ἠμφισβήτησαν EDUT 23 τὰς post καὶ om. DU 24 αὐτῶν O 25 Ἠιὼν Wil.: ἰωνία O 26 νικῶν] νηων A^{r} νηῶν T¹ 27 ante ἐφαμίλλων ras. 3 litt. T

Ἕλληνας ἑαυτῶν ἀντὶ τοῦ βασιλέως νομίζοντες. ταῦτα μὲν δὴ 48
τὰ τῆς ὁμονοίας αὐτῶν, κοινὰ μὲν ἀμφοῖν, κοινὰ δ' ἅπασιν ὧν
ἡγοῦντο ἀγαθά. ἐπεὶ δ' ἐστασίασαν περὶ τῆς ἡγεμονίας καὶ τὴν
ἐπιείκειαν νομίσαντες ἀνανδρίαν, τὴν αὐθάδειαν ὡς ἀρετὴν ἐτί-
μησαν, δημαγωγοὶ δὲ καὶ προστάται παρ' ἀμφοτέροις ἀντὶ τοῦ
προϊδόντες τὸ μέλλον διακωλύειν καὶ παραμυθεῖσθαι τὰ πλήθη
παρώξυνον καὶ συνέκρουον τὰς πόλεις, τῆς καθ' ἡμέραν ἡδονῆς
ἅπαντα τὸν ὕστερον χρόνον πωλοῦντες, ἀνεῖπεν μὲν ὁ κῆρυξ ὁ
Σπαρτιάτης, ὥσπερ ἐκ θεῶν του καταπεμφθείς, ὅτι ἐκείνη ἡ
ἡμέρα μεγάλων τοῖς Ἕλλησι κακῶν ἄρξει (Thuc. II 12, 3)· *ταῦτα*
δ' οὐκ εἰς μακρὰν ἐτελεῖτο· οἱ μὲν ἀήττητοι καὶ ἀπόρθητοι δο- 49
κοῦντες εἶναι ζῶντες ἤγοντο αὐτοῖς ὅπλοις καὶ περὶ σπονδῶν
ἐδέοντο, ἐξὸν αὐτοὺς ἐξ ἀρχῆς εἰρήνην ἄγειν πεῖσαι· οἱ δὲ τοσοῦτον
785 D *ἐκείνων ὑπερσχόντες ἐν τῷ πολέμῳ τούτῳ καὶ τοῖς Ἕλλησι πρό-*
τερον τῆς ἐλευθερίας αἴτιοι καταστάντες, δευτέρου πολέμου συ-
στάντος πάλιν ἑξῆς τοῦ Δεκελεικοῦ καὶ πρὸς ἁπάσας πείρας
530 J *προελθόντες, ἃ μηδ' εἰπεῖν ἔστ' ἀδακρυτί, ταῦθ' ἑωρῶντο πά-*
σχοντες, ἕως τά τε τείχη ταῖς ἑαυτῶν χερσὶ κατέσκαψαν καὶ τῆς
ἡγεμονίας ἁπάσης ἀπέστησαν· φυγὰς δὲ καὶ σφαγὰς κοινὰς τῶν
Ἑλλήνων καὶ πανωλεθρίᾳ ⟨τὰ⟩ πράγματα ἀπολλύμενα οὐδ' ἂν εἷς
λέγων ἐφίκοιτο. εἶχον δὲ τὴν ἀρχὴν ἑκατέραν ἤδη Λακεδαιμόνιοι, 50
καὶ χρόνου βραχέος διελθόντος ἐξέπιπτον μὲν ἐκ τῆς θαλάττης, κατε-
πατοῦντο δὲ ἐν τῇ γῇ, καὶ παρέρχεται τρίτη πόλις ἀμφοτέρους,
ἡ Θηβαίων. καί τινα ἤνθησε χρόνον ἐν τοῖς Ἕλλησιν ὑπερφυῶς·
ἀλλὰ γὰρ οὐδ' αὐτὴ ἄρα ἐν καλῷ [*τῆς ὁμονοίας*] *τοῦ σωφρονεῖν*
ᾤκεῖτο, ἀλλ' ἅμα τε ἀνῄει καὶ ἀνταφῄρει πάλιν. ὡς δ' ἐγένοντο 51
τρεῖς αἱ πόλεις καὶ τῶν Ἑλλήνων οἱ μὲν ἠττίκιζον, οἱ δ' ἐλακώ-
νιζον, οἱ δὲ Θηβαίους ἐθαύμαζον, κοινὸν δὲ οὐδὲν ἦν οὐδὲ γνώμη

---

4 *ἀνανδρείαν* Ddf. *τὴν αὐθάδειαν* om. ED 5 *παρ' ἀμφοτέρων* U 6 *προϊδόντεσ* AT: *προειδότεσ* EDU 10 *μεγάλων κακῶν τοῖσ ἕλλησι* U (*ἥδε ἡ ἡμέρα τοῖς Ἕλλησι μεγάλων κακῶν ἄρξει* Thuc.) 11 post *μὲν* add. *γὰρ* Ddf. sec. Canteri versionem 'etenim qui', inutiliter *καὶ ἀπόρθητοι* om. T 13 *τοσούτων* E 15 *συστάντοσ πάλιν* AT: *πάλιν συστάντοσ* EDU; *πάλιν* suspectum 16 *δεκελικοῦ* A[1] (corr. A[r]) E, cf. Athen. II 67[e] 18 *ἕως*] *ὡσ* U *ταῖσ*] *τῆσ* E (sc. *πόλεως*) *χερσὶ*] cf. or. XXV § 65 19 *ἀπέστησαν*] *αἴτιοι κατέστησαν* E, cf. v. 15 *κοινὰς* om. U 20 *τὰ* add. Kaibel 22 *θαλάσσησ* EUD 25 *τῆς ὁμονοίας* seclusi, glossema ad *σωφρονεῖν*; cf. ad p. 41, 4; *ὁμονοίασ* ⟨*καὶ*⟩ *τοῦ* Canter (Rsk.) 26 *ᾤκητο* E *ἀνῄει καὶ ἀνταφῄρει*] 'surrexit (incrementa cepit; cf. p. 23, 5. 6) simul et (Lacedaemonios) rursus (principatu) deiecit'; moderatae (*σώφρονος*) civitatis non erat ceteras civitates statim evertere; verba an sana non sint dubitare licet 27 *δ'*] *δὲ* D 28 *οὐδὲ* om. EDU

καὶ λογισμοῖς διοικούμενον, εὐθὺς μὲν πόλεμοι Φωκικοὶ καὶ περὶ τὴν Πυλαίαν ταραχαὶ καὶ πράγματα αἰσχύνην ἔχοντα ἀλλήλοις ἐπέβαλλεν, ἡ δὲ τελευταία μοῖρα τῶν Ἑλλήνων ἤδη Φίλιππος ἡγεμὼν καὶ Ἀντίπατρος κύριος — τὸν γὰρ Ἀλέξανδρον ὑπερβήσομαι —, πάντα δὲ ἐκεῖνα ὥσπερ ὕδωρ κατὰ γῆς ἔδυ, μικρὸν δὲ λείψανον τῆς Ἑλλάδος εἰς ὑμᾶς ἀγαπητῶς ἀφίκετο ἀρετῇ τῶν νῦν ἀρχόντων ἀναληφθέν. ἆρα μικρόν τι καὶ λῆρος τὸ διάφορον τῆς στάσεως
52 *ὑμῖν παρὰ τὴν ὁμόνοιαν φαίνεται; εἰ δ' αὖ βούλεσθε τοὺς Ἀθηναίους ἐφ' αὑτῶν θεωρῆσαι, οἳ τῶν μὲν βαρβάρων ἐπιόντων ἐξ* 786 D
ἴσου πολιτευθέντες τοσοῦτον ἁπάντων διήνεγκαν, ἐν δὲ τῷ πρὸς Πελοποννησίους πολέμῳ πάντα τὰ ἄλλα ἐνεγκόντες, συμφορὰς ἐν Σικελίᾳ, συμμάχων ἀποστάσεις, Κῦρον, βασιλέα, πάντας ἀνθρώπους ἀνταγωνιστάς, ὑφ' ἑνὸς τούτου μόνον ἐξηλέγχθησαν τοῦ διαστῆναι καὶ οὐ πρότερον τῶν πολεμίων ἡττήθησαν πρὶν ἑαυτῶν οὐκ ἠβουλήθησαν. ἐλθόντες δ' εἰς τοῦτο τύχης ὥστε ὅ γε δῆμος φεύγων ᾤχετο, ... ἐπειδὴ κατελθόντες ἐψηφίσαντο μὴ μνησικακεῖν, ἄριστά τε ἤκουσαν καὶ πάλιν ἦσαν μικροῦ δεῖν ὥσπερ ἐξ ἀρχῆς.

53 *Οὕτω καὶ ἔθνει κοινῇ καὶ πόλεσι ταῖς προεστώσαις καὶ καθ'* 531 J
ἑαυτὴν ἑκάστῃ πόλει μεγάλων ἀγαθῶν ἡ πρὸς ἀλλήλους φιλία καὶ ὁμόνοια, καὶ τοὐναντίον ἡ στάσις κακῶν τῶν ἐσχάτων αἰτία πέφυκε γίγνεσθαι· οὐ γάρ ἐστι γνώμῃ δυσκόλῳ χρωμένους εὐκόλων πειρᾶσθαι τῶν πραγμάτων. εἰ δ' ὅτι μηδεὶς νῦν πόλεμος [πάρεστι], φλυαρίαν τις ἡγεῖται ταῦτα, αὐτὸς ἀγνοεῖ ληρῶν· ἔχει γὰρ οὕτως,
54 *οἶμαι. ὁπόταν μὲν πόλεμος παρῇ, τοῖς τοῦ πολέμου πράγμασιν ἡ στάσις λυμαίνεται, εἰρήνης δ' ὑπαρχούσης τοῖς τῆς εἰρήνης ἀγαθοῖς ἐχθρόν ἐστιν. βλάπτειν μὲν γὰρ ἀεὶ πέφυκεν, ἡ δὲ βλάβη πρὸς τοὺς καιροὺς ἀπαντᾷ. πάντων δ' ἀτοπώτατον τοῖς μὲν ἡγεμόσι χάριν μεγίστην ἔχειν, ὅτι τῶν τοῦ πολέμου κακῶν ἀπαθεῖς ὑμᾶς φυλάττουσιν, αὐτοὺς δὲ ὃ πολλῷ μεῖζον κακόν ἐστι τοῦ πο-*

---

1 *μὲν* in ras. T² 2 *ἐπέβαλεν* U 5 prius *δὲ*] *δ'* D, *μὲν* Aʳ 6 *ἀφίκετο* AUT: *ἐφίκετο* E, *ἐφίκοιτο* D 7 *λῆρος* Rsk.: *λῆρον* O 9 *ἐφ' ἑαυτῶν* U 10 *τοσοῦτον*] quantum modo (§ 42 sqq.) diximus *πρὸς*] *πρὸσ τοὺσ* DU 11 *πάντα τἄλλα* DUT 13 *μόνον* D 15 *ἠβουλήθησαν* AET: *ἐβουκολήθησαν* DU; sc. *ἡττηθῆναι*, cf. § 70 *δὲ* E 16 lacunam indicavi; neque *γε* intellegitur nec sententia integra (quare pro *ἐπειδὴ* ci. *ἐπεὶ δὲ* U²); cf. or. XXIV § 26 17 *ἤκουσαν*] optima fama florebant; *ᾤκησαν* ci. U² 19 *προεστώσαισ* AT: *πρωτευούσαισ* EDU 22 *γίνεσθαι* E 23 *μηδεὶσ* (*νῦν*) *πόλεμοσ* (*πάρεστι*) *φλυαρίαν* T, corr. aut pr. m. aut m. 2; seclusi *πάρεστι* ut e v. 25 suppletum 28 *ἀτοπώτατον*] *οπώ* in ras. U² *μὲν* om. U 30 *ὑμᾶσ* om. U

λέμον, τοῦθ᾿ ἑκόντας αἱρεῖσθαι. τοσούτῳ γὰρ στάσις πολέμου 55
χαλεπώτερον, ὅσῳ πόλεμος μὲν ἐξ ὁμονοίας κατορθοῦται, εἰρήνη
δὲ στάσει διαφθείρεται, καὶ πολέμου μὲν πολλάκις οὐδέν ἐστ᾿
ἀπολαῦσαι δυσχερές, εἰρήνης δὲ οὐδὲν χρηστόν, ἐὰν στάσει χρῆται.
καὶ μὴν στάσις μὲν εἰρήνην λύει, πόλεμος δὲ στάσιν ἔστιν ᾗ· το-
787 D *σούτῳ πόλεμος στάσεως αἱρετώτερος· ἀρχὴν δὲ οὗ μὲν στάσις,*
ἐνταῦθα καὶ πόλεμος καὶ πρὸς αὐτούς, οὗ δ᾿ ἔννομος πόλεμος,
ἁπλοῦς ἅμα καὶ ῥάων ὁ κίνδυνος. καὶ μὴν περὶ πολέμου μὲν 56
ἀμφοτέροις τοῖς λόγοις ἔξεστι χρήσασθαι, καὶ ὡς δεῖ ποιεῖσθαι
καὶ ὡς μή, στάσιν δὲ οὐδεὶς πώποτε τετόλμηκεν εἰπεῖν ὡς βέλτιον
εἰ συμβαίη, οὐδέ γε ὡς, εἰ συμβαίη, βέλτιον μένειν. ἀλλ᾿ ὑπὲρ
μὲν πολέμων λέγουσιν ὡς οὐ χρὴ καταλύεσθαι, ὑπὲρ στάσεως δ᾿
οὐδεὶς πώποτε ἐκ τοῦ εὐθέος εἶπεν τὸ μὴ δεῖν ὡς τάχιστα παύε-
σθαι· εἰκότως. πόλεμοι μὲν γὰρ ἤδη καὶ σωφροσύνης καὶ ἀν- 57
δρείας δόξαν ἤνεγκαν τοῖς ὑποστᾶσι καὶ μείζους ἐξ ἐλαττόνων
ἐποίησαν καὶ τήν γ᾿ εἰς τὸν ὕστερον χρόνον ῥαστώνην παρεσκεύα-
σαν· τὸ γὰρ τοῖς ὅπλοις κρατεῖν τῶν ἐχθρῶν ἥκιστα εὐκαταφρο-
νήτους, οἶμαι, ποιεῖ· τοῦτο δὲ οὐ μικρὰ μερὶς εἰς τὸ τὴν αὐτῶν
582 J *ἀσφαλῶς οἰκεῖν. ἡ δὲ στάσις πάντων τῶν αἰσχρῶν καὶ κακῶν*
ὡσπερεὶ κεφάλαιόν ἐστιν, καὶ μὴ ὅτι τῶν ἄλλων εἶναι κρείττους,
ἀλλ᾿ οὐδ᾿ αὐτοὺς ἑαυτοῖς ὁμοίους ἐᾷ. μὴ γὰρ εἰ μηδὲν ἀνήκεστον
νῦν γίγνεται, μηδὲ γὰρ γένοιτό ποτε ὦ Ζεῦ καὶ θεοί, — ἀλλά τοι
τῶν γε πονηρῶν καρπῶν οὐδὲ τὸ σπέρμα φασὶ δεῖν σῴζειν. πι- 58
στεύειν δὲ χρὴ καὶ Ὅμηρον ἀληθῆ λέγειν, ὡς ἄρα ἔρις ἄρχεται
μὲν ἐξ ὀλιγίστου, προέρχεται δὲ ἐπὶ μήκιστον. ἄνευ γὰρ τοῦ πᾶσαν
τὴν Ἰλιάδα εἰς τοῦτο αὐτῷ συγκεῖσθαι καὶ στάσεως εἶναι κατη-
γορίαν ἅπαν τὸ ποίημα, λέγει δή που καὶ διαρρήδην εἰς τὴν Ἔριν
ταυτὶ τὰ ἔπη (*Δ* 442 sq.)·

---

5 *στάσιν ἐστιν ᾗ* · ATU: *στάσισ ἐστι//* · D, *στάσισ ἐστι* · E 6 *στά-σεως* — 7 *καὶ πόλεμος* om. E *αἱρετώτερον* T *οὗ μὲν* scripsi (*οὗ μὲν ἔνι* Canter ex *οὗ δ᾿ ἔνι* Junt.): *οὐδὲν* A, *οὐδ᾿ ἔνθα* T, *οὗ ἂν* DU; p. 42, 7 7 *αὑτοὺσ* EDU¹TA² *οὗ δ᾿* DUT: *οὐδ᾿* AE *πόλεμοσ* AT: *ὁ πόλεμοσ* EDU 9 *ποιεῖσθαι*] *ποιήσασθαι* U 10 *τετόλμηκεν* — 13 *πώποτε* om. E, cf. ad v. 23 14 *καὶ* add. ante *εἰκότωσ* TU² 16 *γ᾿* om. E *παρεσκεύασαν ῥαστώνην* U 18 *αὑτῶν* EDUT 19 *καὶ κακῶν* om. E 21 *ὁμοίους ἐᾷ* scripsi: *ὁμοιοῦσθαι* O (Є et Θ inter se mutata); *ὁμοιοῦσθαι ποιεῖ* Laur. 60, 20 interpolatus (inde Junt.) 22 post *θεοί* mente supplenda qualia: *διὰ τοῦτο οἴεσθε, ὅτι μηδὲν τὸ πρᾶγμα φύλαττεσθαι δεῖ* 23 post *σώζειν* add. quae ex parte supra, v. 10, omiserat, *διὰ τοῦτο οὐ(δεὶσ πώποτε,* haec evanuerunt) *τετόλμηκεν — οὐδέ γε εἰ συμβαίη — ἀλλ᾿ ὡσ ὑπὲρ — χρὴ καταλύεσθαι* E 24 *δὲ*] *δὴ* Laur. 60, 20 (inde Junt.; edd.) 25 *πᾶσαν αὐτῶ τὴν* DU 26 *αὐτῷ* AEDU: *αὐτὸ* T

ἣ ὀλίγον μὲν πρῶτα κορύσσεται, αὐτὰρ ἔπειτα
οὐρανῷ ἐστήριξε κάρη καὶ ἐπὶ χθονὶ βαίνει.

ἐγὼ δ᾿ οὐρανοῦ μὲν ψαύειν ἔριν οὐκ ἔχω ὅπως συγχωρῶ· δειναὶ γὰρ αἱ Διός, οἶμαι, πύλαι κλεῖσαι πάροδον παντὶ νοσήματι· τοσοῦτον δ᾿ ἂν ἔχοιμι διισχυρίσασθαι, ὅτι ἥκιστα δὴ τοῦτο τῶν ἀνθρωπείων περιγραπτοὺς ἔχει τοὺς ὅρους.

59 Ὅλως μὲν οὖν οὐδέν, οἶμαι, χρὴ τοσοῦτον ἆθλον νομίζειν οὔθ᾿ 788 D
ὑπὸ γῆς οὔτ᾿ ἐν φανερῷ κατακείμενον ὥστ᾿ ἀξιόχρεων εἶναι μανίας τοσαύτης· εἰ δ᾿ ἄρα δεῖ καὶ τοῦτ᾿ εἰπεῖν, ἐνθυμεῖσθ᾿ ὅτι τοῖς Λακεδαιμονίοις τότε καὶ τοῖς Ἀθηναίοις καὶ πρός γ᾿ ἔτι Θηβαίοις ἦν τι σχῆμα τῶν πρὸς ἀλλήλους πραγμάτων· προστασία γὰρ τῶν Ἑλλήνων καὶ τὸ δοκοῦν ἑαυτοῖς προστάξαι . . . . . καὶ κυρίοις εἶναι καὶ παρ᾿ ἐκείνους ἰέναι τοὺς δεομένους, καὶ χρημάτων δὴ σύλλογοι καὶ πολλὰ τοιαῦτα ὑπῆρχεν ὥσπερ ἀφορμὴ τῆς φιλονικίας, οὐ πάντη μέν, οἶμαι, πράγματα αἱρετά — τίς δ᾿ ἂν φήσειεν εὖ φρονῶν; — ὅμως δ᾿ εἶχέν τινα νοῦν ὡς εἰπεῖν ἡ νόσος.

60 ὑμεῖς δέ, ὦ ἄνδρες Ἴωνες, καὶ ὑμεῖς, ὦ ἄνδρες, εἴτε αὐτόχθονες εἴτε Ἀρκάδες χαίρετε ἀκούοντες, εἴ τις ἔροιθ᾿ ὑμᾶς, ἀντὶ τοῦ στασιάζετε καὶ φιλονικεῖτε καὶ ταράττεσθε καὶ τετύφωσθε, τί πρὸς θεῶν ἀποκρινεῖσθε; ὑπὲρ ποίας ταῦτα ποιεῖν ἡγεμονίας ἢ τίνων συμμάχων ἢ ποίων λιμένων ἢ τριήρων ἢ φόρων ἢ τόπων, ἢ τί
61 τοσοῦτόν ἐστι τὸ νικῶν τοὺς λογισμούς; οὐχ οἱ πρόγονοι μὲν ὑμῶν 533 J
— καί μοι πρὸς Διὸς δοθήτω τι παρρησίας ἤδη· οὔκουν οἵ γε ἰατροὶ πάντα πρὸς ἡδονὴν ἰῶνται, ἀλλ᾿ ἀγαπητόν, εἰ μὴ τὰ πλείω μετὰ ἀηδίας. φέρε δὴ καὶ τούτων βραχύ τι μνημονεύσωμεν, ἂν ἄρα ἀκούσαντες ὑφῆτε τοῦ φρονήματος ἀλλ᾿ ὁσονοῦν — ἐκεῖνοι τοίνυν ἠγάπων, εἴ τιν᾿ ἔχοιεν τὸν προεστῶτα ἑαυτῶν, καὶ διετέλουν ἐν τούτῳ τῷ σχήματι τοτὲ μὲν Ἀθηναίους εὐεργέτας νομίζοντες ἐλευθεροῦντας σφᾶς ἀπὸ τῶν βαρβάρων, πάλιν δὲ Λακε- 789 D
δαιμονίους ἀπ᾿ Ἀθηναίων, αὖθις δ᾿ αὖ Φιλίππῳ καὶ Ἀλεξάνδρῳ διδόντες αὑτοὺς ἀσμένως, οὕτω σφόδρα ἀσχόλως εἶχον πρὸς τὸ
62 πρωτεύειν. ἀλλὰ μὴν τά γε νυνὶ πράγματα καὶ τὸν καθεστηκότα

---

1 ἥ τ᾿ ὀλίγον μὲν ταπρῶτα DU ἀτὰρ U 9 ὅτι καὶ τοῖσ T 12 lacunam significavi: desunt ad quae ἐκείνους referatur neque καὶ ante κυρίοις construitur; verba lacunosa non esse ratus solum καὶ illud del. Rsk. 13 ἰέναι] εἶναι E τοὺσ δεχομένουσ U 15 φιλονεικίασ O 16 εἶχεν] εἶχε EDUT, εἶεν A 18 Ἀρκάδες] cf. § 15. 26 19 φιλονεικεῖτε O 24 μὴ om. D 25 μετ᾿ U δή τι καὶ T 27 τινα E 28 ante ἀθηναίους 2 litt. eras. U 29 σφᾶς] σφαγὰσ E 30 ἀπὸ DU 31 αὐτοὺσ AD, ἑαυτοὺσ E

*ἀγαθῇ τύχῃ θεσμὸν τίς οὕτω παῖς ἐστιν ἢ πρεσβύτης ἔξω τοῦ
φρονεῖν, ὅστις οὐκ οἶδεν ὡς μία μὲν πόλις ἡ πρώτη καὶ μεγίστη
πᾶσαν ὑφ᾽ αὑτῇ τὴν γῆν ἔχει, εἷς δ᾽ οἶκος ἅπαντα ἐξηγεῖται, ἡγε-
μόνες δ᾽ ἡμῖν ἐκ νόμου φοιτῶσιν καθ᾽ ἕκαστον ἔτος, τούτοις δ᾽
ἅπαντα ἐπιτέτραπται καὶ μείζω καὶ ἐλάττω πράττειν, ὅπῃ ποτ᾽
ἂν αὐτοῖς δοκῇ βέλτιστον εἶναι; τί οὖν μαθόντες εἰπέ μοι πράγ-* 63
*ματα ἡμῖν αὐτοῖς παρέχομεν καὶ ὀνειρώττομεν καὶ περὶ τῆς σκιᾶς
μαχόμεθα καὶ παρὸν ἡμῖν τῆς ἡσυχίας ἀπολαύειν, ἣν οὗτοι καλῶς
ποιοῦντες παρασκευάζουσιν, τούτοις τε ἐνοχλοῦμεν οὐδὲν δεομένοις
καὶ αὐτοὶ κακῶν ἐπισπάστων ἐπιθυμοῦμεν, ὥσπερ οὐκ ἔχοντες
τοῖς ἀγαθοῖς ὅ τι χρησώμεθα; τίς γὰρ οὐκ ⟨ἂν⟩ ἀμφιγνοήσειεν* 64
*τὸν τρόπον, ὃν νῦν τοῖς ἡγεμόσι προσφερόμεθα; εὐνοϊκῶς μὲν γὰρ
οἶμαι καὶ πιστῶς. τί δὲ οὔ; τίνες μὲν οὖν μᾶλλον ἡμῶν; ἀλλ᾽ ὁμι-
λοῦμέν γε αὐτοῖς οὐκ οἶδ᾽ ὅπως αὐθάδειαν τῇ κολακείᾳ κεραν-
νύντες. ὁπόταν γὰρ πλείω μὲν ἕκαστοι θεραπεύειν αὐτοὺς ἀξιῶσιν
ἢ 'κεῖνοι δέονται, χρόνον δὲ τάττωσιν ὅσον χρὴ μένειν παρ᾽ ἑαυ-
τοῖς, ἀπειλοῦντες ὡς, εἰ μὴ πείθοιντο, οὐκ ἀνέξοιντο, πάντα δ᾽
ὑπισχνῶνται καὶ ἑκοῦσι καὶ ἄκουσιν ὑπηρετήσειν, χρῆσθαι δ᾽ αὐ-*
534 J *τοῖς μόνοις ἢ μάλιστά γε προστάττωσιν, κυρίως δὲ μὴ δεῖν οἴωνται*
790 D *ποιεῖν ὅ τι γιγνώσκοιεν, τί τις εἶναι φῇ τὸ τοιοῦτον ἢ δυοῖν πραγ-
μάτων ἀνομοίων κρᾶσιν, ἧς ἄρξασθαι οὐ θαυμαστότερον ἢ μὴ
βουλομένους παύσασθαι φανεροὺς γενέσθαι; ἄρχουσι μὲν γὰρ τῶν
τοιούτων οἱ φαυλότατοι δή που, καταπαύουσι δ᾽ οἱ βέλτιστοι.
ὥστ᾽ ἐκείνοις μὲν προσέχειν ἐθέλειν διὰ τέλους, ἡμῖν δὲ μηδ᾽ ὅσον
τὸ μέρος νέμειν, πῶς οὐχ ἅπασ᾽ ἂν εἴη συμφορά; θαυμάζω δ᾽* 65
*ὅτι σεμνύνεσθε μὲν οὐχ ἥκιστα τοῖς ναοῖς καὶ τοῖς ἀγῶσιν, οὓς
κοινοὺς νομίζετε, ὑπὲρ δὲ αὐτῶν τούτων διεστήκατε. καίτοι ὅταν*

---

2 post *ὅστις* desiderat e. g. *θεωρούμενος* Rsk.²; oratori structura paulo liberior condonanda 5 *ὅποι* DU 6 *βέλτιον* UT 7 *ὑμῖν* U 11 *χρησόμεθα* EDU *ἂν* add. Laur. 60, 20 (inde Junt., edd.) 12 *νῦν* om. ED, placet *μὲν* om. T 13 *οἶμαι καὶ πιστῶσ* DUT: *οἶμαι πιστῶσ* AE; fides erga regentes subditorum benevolentia *δὲ* AT: *δαὶ* EDU 15 *αὐτοὺς* om. T, revera suspectum *ἀξιῶσιν*] *ιῶ* in ras. U², *ἀξιοῦσιν* D a corr. 17 *ὡσ εἰ μὴ πείθοιντο ὡσ οὐκ ἀνέξονται* E 18 *ὑπισχνῶνται* AT: *ὑπισχνοῦνται* EDU² (*νοῦν* in ras.; U¹ incertum) *ἑκοῦσι καὶ* EDU: *ἑκοῦσιν ἃ καὶ* AT *αυτοῖσ μόνοισ* ADU (at *μο* U¹ in ras.) T, *αὐτοῖσ νόμοισ* E 19 *κυρίως* scripsi: *κυρίουσ* O *οἴονται* ED 20 *γινώσκοιεν* DU 21 *ἄρξασθαι οὐ* scripsi: *οὐκ ἄρξασθαι* O; at cf. *ἢ μὴ* et ratiocinationem: consentaneum perditos esse auctores petulantiae, repressores bonos; illos adhuc audistis, at hi veri consiliorum moderatores: ergo non tam mirum vos fecisse initium petulantiae, quam finem nunc nolle facere 22 *βουλομένοισ* D 24 *ἡμῖν*] oratori 25 *ἅπασα ἂν εἴη* U, tertium *α* s. l. add. U², ut vid.: *ἅπασ μὲν εἴη* A pr. m. (tum ipsa corr.), *ἅπασα μὲν εἴη* EDT

οἷς ὡς κοινοῖς ἀγάλλεσθε, ὑπὲρ τούτων ἐρίζητε, ὑπὲρ τοῦ λοιπὸν ταὐτὰ φρονήσετε; ἐγὼ μὲν γὰρ οἶμαι τούτῳ τό τε κοινὸν καὶ τὸ ἴδιον κεχωρίσθαι καὶ τὸν τῶν σοφῶν λόγον τοῦτο βούλεσθαι, ὡς ἄρα χρὴ κοινὰ πάντ' εἶναι τοῖς μέλλουσιν ὡς κάλλιστα πράξειν. οὗ μὲν γὰρ χωρίς τι ἕκαστος κέκτηται, καὶ τὸ συμφέρον χωρὶς ἑκάστου, ἐκ δὲ τούτου στάσεις καὶ μάχαι καὶ διαφοραί· τὸ γὰρ 'οὐ σὸν τοῦτο, ἀλλ' ἐμὸν' ἄρχει πάσης [τῆς] φιλονικίας· οὗ δ' ἅπαντες κοινὰ τὰ ὄντα ἡγοῦνται, κοινὴν περὶ αὐτῶν καὶ τὴν γνώμην ἔχουσιν.

66 *Ὑμεῖς τοίνυν ὥσπερ ἐλέγχους ταύτας κατὰ τῆς στάσεως τὰς ἐπωνυμίας ποιούμενοι κοινὰ μὲν τὰ βουλευτήρια, κοινοὺς δὲ τοὺς νεὼς καὶ τοὺς ἀγῶνας, κοινὰ δὲ πάνθ' ὡς εἰπεῖν τὰ μέγιστα προσειρήκατε. καίτοι πῶς οὐκ ἀνάγκη θάτερα ἁμαρτάνειν; εἰ μὲν γὰρ ὀρθῶς ἐπὶ τούτοις φιλοτιμεῖσθε κοινοῖς οὖσι, πῶς οὐκ αἰσχύνεσθαι χρὴ διὰ ταῦτ' ἐρίζοντας; εἰ δ' οὐδέν ἐστιν αὐτῶν σεμνόν,*
67 *πῶς εἰκὸς μέγ' ἐπ' αὐτοῖς φρονεῖν; οἶμαι γάρ, εἰ μέχρι νῦν τοῦθ'* 791 D
ὑμᾶς ἐλελήθει καί τις ἐξευρὼν παρέδειξεν, ὡς προσήκει τι τούτων καὶ τοῖς ἄλλοις, καὶ οὐ τῶν ἐχόντων ἐστὶ μόνον, ἀλλὰ πάντων κοινὰ ὥσπερ χρήματα, καὶ οὐκ ἔνεστ' ἀποκλῆσαι τοὺς ἄλλους τῆς ἐπ' αὐτοῖς φιλοτιμίας, εἰκότως ἂν ἅπαντας παύσασθαι τῆς διαφορᾶς. τὸ δ' αὐτοὺς εἰδότας, αὐτοὺς ὀνομάζοντας φιλοτιμουμένους 535 J
τῇ προσρήσει τὰς τῆς ὁμονοίας ἀφορμὰς εἰς τὴν στάσιν ἐκτρέπειν, καὶ ταῖς τῶν ὀνομάτων εὐφημίαις εἰς δυσχέρειαν τῶν πραγμάτων καταχρῆσθαι καὶ νοσεῖν ἐκ τούτων ἐξ ὧν εἰκὸς ἦν ἀπαλλάττεσθαι, τίς οὐκ ἂν φαίη παραπλήσιον εἶναι, ὥσπερ ἂν εἴ τινες ἐκ τῶν φαρμάκων τῶν πρὸς σωτηρίαν παρεσκευασμένων μὴ ὅτι βέλτιον
68 *ἀπαλλάττοιεν, ἀλλὰ καὶ διαφθείροιντο; μηδαμῶς, ὦ χρηστοί. τῷ μὲν γὰρ αὔξειν ἐθέλειν τὰς αὑτῶν πατρίδας καὶ τὰ ὑπάρχοντα κοσμεῖν οὐδ' ἂν εἷς νεμεσήσειεν, ὃ δὲ τούτῳ πρόσεστιν ἀηδίας ἀφελεῖν ἔγωγε συμβουλεύω. ἔσται δὲ τοῦτο εἴπω βούλεσθε πῶς; ἀλλ' ὅπως ἀκούσεσθε εὐμενῶς· ἐάν, ὦ μακάριοι, τοῦ θαυμάζειν τοὺς λίθους ἀνῆτε μικρόν τι καὶ νομίσητε πλείονος ἀξίους ὑμᾶς αὐτοὺς τῶν οἰκοδομημάτων καὶ πιστεύσητε ἀληθὲς εἶναι τὸ παλαι⟨ὸν⟩ τοῦτο* (Alcae. frg. 23 B[4].), *ὡς ἄρα οὐ τείχη οὐδὲ ᾠδεῖα οὐδὲ*

1 *ἀγάλλεσθε*[αι] D pr. m. *ἐρίζετε* D 5 *τι* Rsk.: *τισ* O 7 *πάσησ* DU (correcti sine dubio): *πάσησ τῆσ* AET *φιλονεικίασ* O 8 *κοινὴν καὶ περὶ αὐτῶν τὴν* U 10 *ἡμεῖσ* E 12 *ὠσ ἂν εἰπεῖν* T 19 *καὶ* om. U *ἔνεστιν* E *ἀποκλεῖσαι* O, cf. ad or. XXVI § 108 20 *ἐπ' αὐτῆσ* D *ἅπαντεσ* T 21 prius *αὐτοὺς*] *αὖ τουσ* A a. ras. ET 24 *ἦν εἰκὸσ* T 27 *τῷ* U (ci. Rsk.): *τὸ* AEDT 28 *αὐτῶν* AEDT 33 sq. *παλαιὸν* Canter: *πάλαι* O

στοαὶ οὐδὲ ὁ τῶν ἀψύχων κόσμος αἱ πόλεις εἶεν, ἀλλ' ἄνδρες
αὑτοῖς εἰδότες θαρρεῖν. τοῦτο δ' ἐστὶν οὐ τὸ τῶν πλησίον εἰκῇ 69
καταφρονεῖν οὐδὲ τὸ πάντ' αὐτοὺς ἔχειν οἴεσθαι, πόθεν; ἀλλὰ τὸ
μικρὸν δὴ καὶ ἁπλοῦν τὸ εὖ φρονεῖν. οἱ γὰρ τοῦτ' ἔχοντες ἐν ταῖς
γνώμαις ἥκιστα μὲν εἰς τείχη καὶ λιμένας καταφεύγουσιν, ἥκιστα
δὲ χρημάτων καὶ στοῶν καὶ πάσης ἐπακτοῦ φιλοτιμίας προσδέον-
792 D ται, ἴσασιν δ' ὅτι κἂν ὑπαίθριοι σκηνῶνται, οὐδέν εἰσι φαυλό-
τεροι Βαβυλωνίων μεθυόντων εἴσω πυλῶν. πάντων δὲ κάλλιστον
ὑπάρχει πρὸς εὐθυμίαν αὐτοῖς· οὐ γὰρ ἡγοῦνται προσθήκην αὑτοὺς
εἶναι τῶν ὑπαρχόντων, ἀλλὰ πάνθ' ὅσα ἂν κτήσωνται δεύτερα
ἑαυτῶν εἶναι νομίζουσιν. καὶ μὴν ἐκεῖνα μὲν τὰ καλλωπίσματα 70
καὶ δαπάνης καὶ χρόνου καὶ τῆς παρὰ τῶν βαναύσων βοηθείας
προσδεῖται, τοῦτο δ' ἐν μέσῳ πᾶσι πρόκειται τοῖς δυνατοῖς ἰδεῖν
καὶ οὐδὲν δεῖ πραγματείας, ἀλλ' ἀπόχρη βουληθεῖσιν ἔχειν τἀγα-
θόν. δεῖ δὲ τοὺς ὀρθῶς βουλευομένους τῶν μὲν πολεμίων πάντως
ἐθέλειν κρατεῖν, τῶν δ' ἐπιτηδείων εἰδέναι ὅτε καιρὸς ἡττᾶσθαι.
536 J οὐ γὰρ ἅπασα νίκη καλὴ οὐδ' ἐκ θεῶν ἀνθρώποις παραγίγνεται· 71
μεστὴ δὲ καὶ ἡ τραγῳδία τῶν ταῦτα παραινούντων. ὁ μέν γέ τις
αὐτῶν που λέγει (TGF. adesp. 40 N²)·

φίλων γὰρ ἄρξεις μὴ κρατῶν ὅσον θέλεις,

ὁ δ' αὖ φησι (Soph. Ai. 1353)·

κρατεῖς τοι τῶν φίλων ἡσσώμενος.

Δημοσθένης δὲ ἐπιστέλλων Ἀθηναίοις περὶ τῆς ὁμονοίας (ep. 3, 45)
τὴν μὲν ἐν τοῖς τοιούτοις ἧτταν καλὴν καὶ προσήκουσαν ἔφη νίκην
παρὰ τοῖς εὖ φρονοῦσι κρίνεσθαι, λέγων ἣν γονέων υἱεῖς ἡττῶνται,
εἰ καὶ πολῖται συγχωροῦσιν ἀλλήλοις. ἐὰν οὖν καὶ ὑμεῖς τού- 72
τοις τοῖς λογισμοῖς ἐθελήσητε χρήσασθαι καὶ πρῶτον μὲν αὐτοὶ
γνώμης οὕτως ἔχητε ὥστ' ἀντ' ἐραστῶν ἀλλήλοις καταστῆναι, ἐν-
θυμηθέντες ὡς οὐδ' ὅστις κάλλιστος ἑαυτοῦ πώποτ' ἠράσθη, ἀλλ'
ἑτέρου του, ἔπειτα δὲ καὶ τοῖς προεστηκόσι καὶ πολιτευομένοις

---

2 αὐτοῖσ A a. corr. EU 3 (οὐ)δὲ τὸ πάντ — 4 φρονεῖν οἱ om. E, ut legatur καταφρονεῖν οὐ γὰρ τοῦτ' 6 ἐπεισακτοῦ DU 7 κἂν] καὶ E 8 Βαβυλωνίων μεθυόντων] cf. Herodot. I 191 9 αὑτοὺς] αὐτοὺσ O 17 παραγίνεται EDU 18 τῶν DU: om. AET 22 τῶν AT: om. EDU ἡττώμενοσ EDUT, νικώμενος Soph. 24 τοῖσ τοιούτοισ AT (Demosth.): τούτοισ EDU 26 εἰ scripsi: ὃ O; i. e. λέγων εἰ πολῖται συγχωροῦσιν τὴν αὐτὴν ἧτταν ἀλλήλοις, ἣν — ἡττῶνται; particulae μὲν v. 24 respondet δὲ p. 52, 7; in traditis pro ὃ καὶ ci. καὶ οἱ Canter, pro ἣν ci. ἢν et ὃ del. Rsk. (servata quam correxi prava post λέγων interpunctione) 26 ἐὰν] apodosin reddit p. 52, 5 30 καὶ ⟨τοῖς⟩ πολιτευομένοις Rsk., cf. ad 52, 1

*παρ' ἑκάστοις ὑμῶν παραστῇ ἐπ' ἀδείας ταῦθ' ὑμᾶς κατεπ-
ᾴδειν, καὶ τὸν αὐτὸν τρόπον ὅνπερ νῦν τὰ πρὸς τὴν φιλονικίαν* 793 D
*ἐξάγοντα πάνθ' εὑρίσκουσι καὶ λέγειν καὶ πράττειν, οὕτω τοῦ λοι-
ποῦ περὶ τῆς φιλίας καὶ τῆς ὁμονοίας τῆς πρὸς ἀλλήλους ὑμῶν
φιλοτεχνεῖν, ἴσως ἂν ὥσπερ ἄλλο τι πρᾶγμα τῆς προσηκούσης
μελέτης τυγχάνον καὶ τοῦθ' ὑμῖν ἀκριβωθείη τε καὶ συμμείνειεν*
73 *ὡς εἰπεῖν ἐν τῷ τῆς εὐχῆς ῥήματι. νῦν δ' οὕτως ἀλογίστως
διακείμεθα ὥστε ὑφ' ὧν μὲν οὐδ' ὁτιοῦν χρηστὸν πείσεσθαι προσ-
δοκῶμεν, ὑπὲρ τούτων ἐρίζομεν καὶ μαχόμεθα, ὧν δ' ἐξῆν ἡμῖν
ἐπιεικείᾳ χρωμένοις ἀπολαύειν παρ' οὐδὲν ποιούμεθα, καὶ ταῦθ',
ὥς γ' ἐγὼ μέμνημαι, καὶ τοῦ κρατίστου τῶν βασιλέων καὶ πάντας
αὖ παιδείᾳ παρελθόντος αὐτοῦ διαρρήδην περὶ τούτων ἐπιστεί-
λαντος τὸ κατ' ἀρχὰς εὐθὺς καὶ ὑποσχομένου τούτους βελτίστους
καὶ ἀρίστους κρινεῖν, οἵτινες ἂν τῆς ὁμονοίας ἄρχωσιν ἑκόντες*
74 *εἶναι. νῦν δ' ὅταν μὲν σεισμὸς ἤ τις κίνδυνος καταλαμβάνῃ, γνω-
ρίζομεν ἀλλήλους καὶ συνευχόμεθα καὶ διὰ τοὺς ἑτέρους ἅτεροί
φασι σῴζεσθαι, ὥστε πολλὴν ἄξιον εἶναι τοῖς κινδύνοις χάριν εἰ-
δέναι· ἐπειδὰν δὲ ἐφ' ἡμῶν αὐτῶν γενώμεθα καὶ τοῦ πράττειν
ἃ βουλόμεθα, αὐτοὶ καθιστάμεθα ἡμῖν αὐτοῖς ἀντὶ τῶν σεισμῶν
καὶ οὔτε ἡσυχίαν ἄγειν οὔτε κοινόν τι φρονῆσαι δυνάμεθα, ὥσπερ* 537 J
*δὲ [ἐν] τρυτάνῃ φορτίων ἐξαιρεθέντων ἄνω καὶ κάτω κινούμεθα τὴν
διὰ κενῆς· οὕτως ἔοικέ τι καὶ τρυφῆς ἐνεῖναι τῷ πράγματι.*
75 *Οὐ παύσεσθε, ὦ θαυμάσιοι, καὶ γνώσεσθε ὅτι ταῦτα μὲν οἷς
προσκείμεθα εἰ καὶ πολλοῦ τινος ἄξια, ἀλλ' οὖν θνητὰ καὶ τῆς
δευτέρας μερίδος, γνώμη δὲ ἀγαθὴ πάντων οἰκειότατον τοῖς κρείτ-
τοσιν, ἧς οὐκ ἐλάχιστον μέρος τὸ πρὸς φιλίαν ἐπιτηδείως ἔχειν;
μὴ γὰρ οἴεσθε ἐν μὲν ταῖς πολιορκίαις τὸ διεσπάσθαι ταῖς φυλα-
καῖς ἁπάντων ἀλυσιτελέστατον εἶναι, ἐν δὲ ταῖς πολιτείαις [καὶ* 794 D
ταῖς πρὸς ἀλλήλους ὁμιλίαις] τὰ πολλὰ μέρη λυσιτελεῖν, ἀλλὰ τὴν
76 *ἁρμονίαν εἴπερ που κἀνταῦθα κρατεῖν. οὗτος ὁ τῶν πόλεων κό-*

---

1 *παραστῇ* D: *παραστῇτ'* AEU (-*τε*) T *ἐπ' ἀδειασ* AEUT: *ἐσ ἐπαδειασ* D (*ἐσ* ex -*τε* praecedente factum, cf. U); *παραστῇ τὸ ἐπ' ἀδείας τὰ αὐτὰ ὑμῖν* Rsk. 2 *τὴν* om. DU *φιλονεικίαν* O 6 *συμμείνειεν*] prius *ει* in ras. A[r] 7 *δὲ* U 8 *ὑφ' ὧν*] dicit titulos *πρώτη* (*δευτέρα κτέ.*) *Ἀσίας* 12 *αὖ* del. Rsk.; dictum acsi esset *κρατίστου ῥώμῃ καὶ ἀρετῇ — κρατίστου δ' αὖ παιδείᾳ αὐτοῦ*] ipse rescripsit M. Aurelius, non proconsulem rescribere iussit *ἐπιστεί-λαντοσ* AEU: *ἀποστείλαντοσ* DT 13 *τὸ — εὐθὺς*] statim inter (prima) initia (regni) 14 *κρίνειν* AEDUT[2] s. l. c. *γρ.* (corr. Rsk.[2]): *εἶναι* T[1] *ἄρξωσιν* Thom. Mag. p. 125, 1 21 [*ἐν*] *τρυτάνῃ* Wil.: *ἐν τρυτάνῃ* O 22 *τρυφῆς*] cf. § 64 24 *προκείμεθα* T 26 *ἧς*] *οἷσ* EU 27 *ταῖς φυλακαῖς* iure suspectum Kaibelio 28 *καὶ ταῖσ — ὁμιλίαισ* ATU, om. ED, seclusi

*σμος ἀληθινός, τοῦτο μέγιστον φυλακτήριον, τοῦτο σχῆμα κάλλιστον.
ταῦτ᾽ ἐστὶν ἄνω βλεπόντων, οὐκ εἰς ὀρύγματα καὶ πέτρας, ταῦθ᾽ ὡς
ἀληθῶς ἑωρακότων τὴν φύσιν, οὐ τὴν τῶν λίθων οὐδὲ τῶν ξύλων,
ἀλλ᾽ ὑφ᾽ ᾗ πάντα ἄγεται, ταῦτα δ τῆς θείας πολιτείας μέρος
ἡμῖν ἐπιβάλλει μετειληφότων, ἐπεὶ καὶ τὸν πάντα οὐρανὸν καὶ
κόσμον, ὅς τὸ κάλλιστον ἁπάντων σχῆμα καὶ πρόσρημα εἴληφεν,
μία δή που γνώμη καὶ φιλίας δύναμις διοικεῖ· καὶ μετὰ ταύτης* 77
*ἥλιός τε πορεύεται τὴν αὑτοῦ χώραν φυλάττων δι᾽ αἰῶνος καὶ
σελήνης φάσματα καὶ ἀστέρων φορὰ χωρεῖ καὶ ὡρῶν περίοδοι καὶ
τάξεις ἑκάστων πρὸς ἄλληλα καὶ ἀποστάσεις τε αἱ καθήκουσαι
καὶ πάλιν ἁρμονίαι φυλάττονται, νικώσης τῆς ὁμολογίας, διαφορᾶς
δὲ οὐδεμιᾶς ἐνούσης οὐδὲ ἐγγιγνομένης, ἀλλὰ τῷ θεσμῷ πάντων
συγκεχωρηκότων καὶ μιᾷ γνώμῃ περὶ παντὸς τοῦ προσήκοντος χρω-
μένων. ὥστ᾽ εἰ τὸ μιμεῖσθαι τοὺς κρείττους εὖ φρονούντων ἐστίν,
εὖ φρονούντων ἂν εἴη καὶ τὸ ὡς οἷόν τε μάλιστα ἕν τι τοὺς σύμ-
παντας αὑτοὺς ἡγεῖσθαι. ὑπάρχει δ᾽ ὑμῖν καὶ τῶν ἀνθρωπείων* 78
*παράδειγμα ἐν ὀφθαλμοῖς τὸ μέγιστον, οἱ πάντα ἄριστοι βασιλεῖς,
οἷς πολλῶν καὶ μεγάλων ὑπαρχόντων κάλλιστον εἶναι δοκεῖ ἡ πρὸς*
795 D *ἀλλήλους ὁμόνοια καὶ σπουδή. ἐκεῖνοι μέντοι πασῶν πόλεων ἄρ-*
538 J *χοντες καὶ μειζόνων καὶ ἐλαττόνων ἁπάσας κεκοίνωνται. καίτοι
πῶς οὐκ ἄτοπον μακαρίζειν μὲν ἑαυτοὺς ὑπὸ τοιούτων ἀρχομένους,
τούτους δ᾽ εἰς ὅσον ἔξεστι μὴ ἐθέλειν μιμεῖσθαι; καὶ μὴν βασιλεῖς* 79
*μὲν ἄριστ᾽ ἂν ἄγοιεν τὰ τῶν ἀνθρώπων πράγματα τοῖς τῶν ὅλων
κυρίοις ὁμοιοῦντες ἑαυτοὺς τοῖς θεοῖς, πόλεις δ᾽ ἄριστ᾽ ἂν ἄγοιντο
ἐγγυτάτω τῆς τῶν ἀρχόντων γνώμης ἰοῦσαι. ἡμῖν δ᾽ ὅσῳ καὶ δια-
φερόντως τῶν ἄλλων ὑπάρχει τιμᾶσθαι καὶ ὑπὸ τῶν βασιλέων
καὶ ὑπὸ τῶν κατ᾽ ἐνιαυτὸν ἐπισκόπων ἀφικνουμένων — ὅθεν γὰρ
ἠρξάμην, ἐνταῦθα καὶ λήξω —, πῶς οὐ καὶ τὴν πρόνοιαν εἰκὸς
εἶναι πλείω τοῦ μή τι φαίνεσθαι ποιοῦντας ὃ [μὴ] τούτοις ἂν
δόξειεν οὐ καλῶς ἔχειν; μηδαμῶς. ἀλλὰ καὶ τῶν θεῶν ἕνεκ᾽ αὐτῶν
καὶ τῶν θείων βασιλέων καὶ πάντων τῶν ὄντων καλῶν καὶ νενο-
μισμένων βουληθῶμεν καταστῆναι καὶ μίαν ταύτην εἰ οἷόν τ᾽ εἰπεῖν*

---

2 *καὶ* om. EDU[1]; cf. p. 50, 34   4 *ᾗ*] *ἧς* Canter   *ὃ* om. E   6 *σχῆμα καὶ*|| desinit E   8 *ἥλιόσ τε* AT: *ὁ ἥλιόσ τε* D, *ὅ τε ἥλιοσ* U   *αὐτοῦ* UT a. corr.   10 *τάξισ* A   *τε* om. T   12 *ἐγγινομένησ* DU   16 *αὐτοὺς* O   20 *ἁπάσας* scripsi: *ἁπάσαις* O; cf. or. XXVII § 31 et ad sententiam ibid. § 24 sqq.   21 *αὑτοὺσ* U[2], *αὐτοὺσ* DU[1]   22 *μὴ ἐθέλειν μὴ μιμεῖσθαι* D   24 *τοῖς* abesse vult Wil.; *τοῖς θεοῖς* postpositum: *λέγω δὲ τοὺς θεούς*   *δὲ* D, item v. 25   28 *ἠρξάμην*] § 11; cf. etiam § 62   29 *μὴ* seclusi; *δὴ* corr. Rsk.[2]   30 *ἕνεχ᾽ αὑτῶν* A (alterum ʽ A[r])   32 *εἰ*] *ὡσ* U

φιλονικίαν φιλονικῆσαι πρὸς ἀλλήλους, οἵτινες ἄρξουσι πρῶτοι
τῆς ὁμονοίας καὶ οἵτινες πλείω καὶ σαφέστερα τῆς εἰς τοὺς ἑτέ-
80 *ρους ἀρετῆς ἔργα ἀποδείξονται. Ἐγὼ μὲν οὖν καὶ βούλομαι*
ταῦτα καὶ προσδοκῶ, καὶ τοὺς λόγους τούτους εἰρῆσθαί μοι δεξαί-
μην ἂν μᾶλλον ἢ τὰ πλεῖστα καὶ μέγιστα τῶν οἰκοδομημάτων
ἀνεστακὼς ὑμῖν εἶναι, πλὴν ἱερῶν λέγω· ὑμεῖς δὲ ἂν μὲν πείθη-
σθε, ἔργῳ δῆλον ποιήσετε ὅτι ὑμῖν οὐδέν, τοῖσδε ⟨δὲ⟩ ἡμάρτηται
ἀποκνήσασιν μέχρι τούτου μνησθῆναι περὶ τούτων πρὸς ὑμᾶς· ἂν
δὲ ἑτέρως, ὃ μὴ γένοιτο, σχῆτε, καλὴν αὐτοῖς τὴν ἀπολογίαν ποιή-
σετε· δόξουσι γὰρ ὀρθῶς σεσιωπηκέναι, συνειδότες ὡς ὑμῶν μὲν
οὐδένα βελτίω ποιήσειν ἔμελλον, αὐτοὶ δ' ἅπασιν ὑμῖν προσκρού-
σειν. ὥστ' ἀμφότεροι φιλοτιμηθῶμεν· κἀμοί τε [πρὸς ὑμᾶς] εἰρή- 796 D
σθω μετὰ πάσης εὐνοίας ἅμα καὶ ἀνδρείας τὰ βέλτιστα, ὑμεῖς τε
ὅτι οὐ μάτην ταῦτ' ἐστὶ λέγειν πρὸς ὑμᾶς, ἀλλ' ἴστε χρῆσθαι
τοῖς τὰ βέλτιστα συμβουλεύουσιν, τοῦτ' ἐπιδείξατε.

XXIV.

(44) ΡΟΔΙΟΙΣ ΠΕΡΙ ΟΜΟΝΟΙΑΣ. I 824 D I 557 J

Εἰ μὲν οὕτως εἶχον, ὦ ἄνδρες Ῥόδιοι, τὸ σῶμα, ὡς ἐγώ τε ἂν ἐβουλόμην καὶ ὑμεῖς συνεύξασθε, αὐτὸς ἂν ὑμῖν διαβὰς εἰς λόγους ἦλθον πολλῶν εἵνεκα· ἐπεὶ δ' ἴσως καὶ πρὸς ὑμᾶς ἀφῖκται λόγος ὡς διακείμεθα, ὑπὲρ μὲν τῶν κατ' ἐμαυτὸν τοῖς θεοῖς ἐπιτρέπω, δι' οὓς καὶ τοῦτον ἐσώθην τὸν χρόνον· πρὸς δὲ ὑμᾶς ὑπόλοιπον ἦν πέμψαι τὸ βιβλίον καὶ τοῦτον τὸν τρόπον συγγενέσθαι

Libri ASDUT = O

---

1 *φιλονεικίαν φιλονεικῆσαι* O 7 *οὐδὲν ἢ τοῖσδε* DU ⟨*δὲ*⟩ add. Laur. 60, 20 (inde Junt.); *τοῖσδε* advocatos singularum civitatum digito monstrat, qui in concilio aderant 8 *πρὸσ ὑμᾶσ περὶ τούτων* DU (Thom. Mag. p. 69, 2) 12 *πρὸς ὑμᾶς* seclusi, e v. 14 interpolatum *εἰρήσθω* DU: *εἰρῆσθαι* (ω supra) A pr. m., *εἰρῆσθαι* T 13 *ἀνδρίασ* U Subscr. *περὶ τῆσ ὁμονοίασ ταῖσ πόλεσιν* A

Titulum om. D 17 *ἂν ἢ ἐβουλόμην* A[1], *ἂν ἧι ἐβουλόμην* A[r] (ex archetypi *ἐβουλ.* (η supra)) *συνεύξοισθε* T, *συνεύξεσθε* A[2] (aut A[r]); *συνεύξασθε*, sc. in litteris, quibus Rhodii oratorem ut insulam visitaret invitaverant (Wil.) 18 *ἕνεκα* U *ἐπειδὴ δὲ ἴσωσ* D 20 *καὶ εἰσ τοῦτον* D (ci. Rsk.[2]) 21 *τὸ* del. U[2] *τοῦτον — πρώτην*] cf. ad tit. or. XXV

τὴν πρώτην. εἰκότως δ' ἂν οὐ περίεργος νομιζοίμην ἐν πατρίδος 2
μοίρᾳ τὴν πόλιν ὑμῶν ἄγων· Ἑλλήνων τε γὰρ οὐκ εἰς ἐσχάτους
δοκοῦντα τελεῖν παντὸς τοῦ Ἑλληνικοῦ κήδεσθαι νομίζειν αὑτῷ
προσήκειν οὐ μάταιος ὁ λογισμός, τῶν τε πρὸς ὑμᾶς ἰδίᾳ μοι δι-
καίων ὑπαρχόντων οὐδ' ὑμεῖς ἐπιλέλησθε, ἀνθ' ὧν καὶ λέγειν καὶ
πράττειν ὁτιοῦν ἀξιῶν ὑπὲρ ὑμῶν δικαίως ἂν συγγνώμης τυγχά-
558 J νοιμι. ὃν μὲν οὖν τρόπον διετέθην ἐπὶ τῇ περὶ τὸν σεισμὸν συμ- 3
φορᾷ καὶ ὁποῖόν τινα ἐμαυτὸν παρέσχον τοῖς πρεσβεύσασιν ὑμῶν
εἰς Αἴγυπτον κατ' ἐκείνους τοὺς χρόνους, παρ' αὐτῶν κάλλιστ'
ἂν πύθοισθε· ἀγγελλομένων δέ μοι πολλῷ δεινοτέρων, εἰ οἷόν τε
εἰπεῖν, τῶν νῦν, ὅτι ἀπιστεῖτε ὑμῖν αὐτοῖς καὶ διῄρησθε καὶ ταρα-
χὰς οὐ προσηκούσας ὑμῖν ταράττεσθε, οὔθ' ὅπως χρὴ πιστεύειν
οὔθ' ὅπως ἀπιστεῖν εἶχον. οἵ τε γὰρ ἀγγέλλοντες ὑμέτεροι πο-
λῖται καὶ τὰ ἄλλα τῶν ἀξιοπίστων, καὶ καθ' ὑμῶν τὸ παραδέξα-
825 D σθαι ῥᾳδίως τοιαύτας αἰτίας οὐκ ἐνῆν. εἰ μὲν οὖν περιῆν Τέρ-
πανδρος ὁ Λέσβιος, ἐκεῖνον ἂν ὑμῖν συνευξάμην ἐλθεῖν· ἐπεὶ δὲ
λόγῳ ψιλῷ δεῖ πείσαντα καταστήσασθαι τὰ πράγματα, ἐμαυτοῦ
τὸ ἀγώνισμα ποιοῦμαι.

Πρῶτον μὲν οὖν ἐκεῖνο ἐνθυμήθητε ὅτι ὑπὲρ μὲν ἄλλου τινὸς 4
πράγματος οἷόν τέ ἐστι καὶ τοὺς ἐναντίους λόγους διελθεῖν, ὑπὲρ δὲ
τῆς ὁμονοίας οὐδεὶς πώποτε ἠμφεσβήτησεν τὸ μὴ οὐ μέγιστον εἶναι
τῶν ἀγαθῶν ταῖς πόλεσιν. ἀλλ' ὑπὲρ μὲν τῶν πολιτειῶν αὐτῶν καὶ
τῶν ἐν αὐταῖς νομίμων χωρὶς ἕκαστοι φρονοῦσιν, τὸ δ' ἐν ἁπάσῃ
[τῇ] πολιτείᾳ μηδὲν ἐναντιώτερον εἶναι στάσεως μηδ' ὅ τι μᾶλλον
τοῖς καθεστηκόσι λυμαίνεται, τουτὶ δ' ὡσπερεὶ μιᾷ φωνῇ νενίκηκεν.
καίτοι πῶς οὐκ ἄτοπον περὶ αὐτοῦ μὲν τούτου πάντας συμφρονεῖν,
ὡς καλὸν ἡ ὁμόνοια καὶ σωτήριον, ταύτης δὲ ἀμελήσαντας ἐρίζειν
[ἀλλήλοις] ἀξιοῦν καὶ ταῦτα ἀνήνυτα, καὶ τὰ μηδενὶ τῶν ἄλλων Ἑλ-
λήνων ἢ βαρβάρων ἀγνοεῖν ἔχοντα καλῶς, ταῦτα ἐκφυγεῖν Ῥοδίους;
οὐ μὴν οὐδ' εἰδέναι μὲν φάσκειν, ἑκόντας δὲ ὀλιγωρεῖν τῆς σωτη-
ρίας ἀνθρώπινον. ἥδιστα δ' ἄν μοι δοκῶ τοῦτο ἐπιτιμηθῆναι, ὡς 5

---

3 αὐτῷ O 10 πολλῷ DUT: πολλῶν AS οἷόν τ' S 11 ὅτι SDU²: ὅτ' ATU¹ 13 iunge τε — καὶ καθ' (14) 14 καὶ τἄλλα SD 15 τοιαύτας ῥᾳδίως U 16 ὑμῖν om. D συνευξαίμην D 18 τὸ] τοῦτο D 19 καὶ om. U 21 ἠμφισβήτησεν O; cf. p. 44, 22 23 τῇ secl. Kaibel (τὸ δὲ πάσῃ πολιτείᾳ Rsk.) monens dativum ad ἐναντιώτερον mente facile suppleri, praesertim cum vv. μηδ' ὅτι — λυμαίνεται subsequantur; pro ἁπάσῃ ci. ἅπασι Wil. 25 ὡσπερεὶ ATU: ὥσπερ ἐν D, ὥσπερ S 26 συμφρονεῖν ἅπαντας D 27 δ' S 28 ἀλλήλοις SDUT², om. AT¹, seclusi 29 ταῦτ' D 30 οὐ μὴν SDT: καὶ // μὴν A, καὶ μὴν U ἑκόντα D 31 τοῦτ' SD

ἀρχαῖα λέγων καὶ οὐδ᾽ ὁτιοῦν καινὸν εὑρηκώς. πῶς γὰρ οὐκ ἄτοπον
τῷ μὲν λέγοντι μέμφεσθαι ὡς λίαν γνώριμα καὶ παλαιὰ καὶ πᾶσι
δοκοῦντα συμβουλεύοι, αὐτοὺς δὲ μὴ τολμᾶν χρῆσθαι τοῖς οὕτω
φανεροῖς, ἀλλὰ μὴ μόνον πρὸς αὐτοὺς στασιαστικῶς ἔχειν, ἀλλὰ
καὶ παντὶ τῷ μέχρι τούτου χρόνῳ διαφέρεσθαι; ἐγὼ δὲ οὔτε τὸν
σύμβουλον οὔτε τοὺς χρωμένους ἡγοῦμαι τοῦτο δεῖν σκοπεῖν, τὸν
μὲν ὅπως ἐρεῖ ταῦτα ἃ μηδείς, τοὺς δὲ ὅπως ἀκούσονται ταῦτα 826 D
ἃ μὴ πρότερον, ἀλλ᾽ ὅ τι μέλλει κοινῇ συνοίσειν, τοῦτο καὶ λέγειν 559 J
προαιρεῖσθαι. οὐδὲ γὰρ ἐν ταῖς τοῦ σώματος χρείαις τοὐθ᾽ ἡμῶν
ἕκαστος ἐσπούδακεν, ὅπως τι καινὸν ἀκούσεται, ἀλλ᾽ οὗτος ἄριστος
ἰατρὸς ὅστις ἂν ὑγιεῖς ποιεῖν ἐπίστηται· οὐδ᾽ ἔσθ᾽ ὅστις ὑμῶν
ἀγανακτήσει, ἐὰν διὰ τῶν αὐτῶν σωθῇ δι᾽ ὧν τις ἤδη καὶ πρό-
6 τερον. οὐ μὴν ἀλλ᾽ ἔγωγε βουλοίμην ἂν ὥσπερ κἀνταῦθ᾽ ὑμῖν
ἔχειν ἡγοῦμαι χαρίσασθαι τῷ τι καὶ πλεῖον ἂν εἰπεῖν ὧν οἱ πρὸ
ἡμῶν τοῖς ὁμοίοις ἐγκεχειρηκότες, οὕτω καὶ ὑμᾶς ὑμῖν αὐτοῖς ἐθε-
λῆσαι χαρίσασθαι καὶ μὴ μόνον τὸν χρόνον τοῦτον, ὃν νῦν ἀκροᾶ-
σθε τούτου τοῦ λόγου, ταὐτὰ φρονῆσαι περὶ τῶν λεγομένων [ἀλλὰ
καὶ ἐν τοῖς μετὰ ταῦτα] — † πείσεσθε γὰρ σαφῶς αὐτῷ, εὖ οἶδα
ἐγώ, τὴν ὑμετέραν δεξιότητα καὶ φιληκοΐαν —, ἀλλὰ καὶ περὶ τῶν
πρὸς ὑμᾶς αὐτοὺς μιᾷ γνώμῃ τὸ λοιπὸν χρῆσθαι καὶ τὴν ἔργῳ
7 πίστιν ὡς ἥσθητε τῷ λόγῳ προσθεῖναι. Οἶμαι δὲ ἅπαντας ἂν
ὑμᾶς συμφῆσαι ὥσπερ τῶν ἐν τοῖς δικαστηρίοις λόγων τούτους
ἀληθεστάτους ἡγεῖσθε, ὧν ἂν πλεῖστοι καὶ γνωριμώτατοι μάρτυρες
ὦσιν, οὕτως καὶ τῶν εἰς συμβουλὴν ἡκόντων, οἷς ἂν πλεῖστοι καὶ

---

1 *ἀρχαῖον* D *γὰρ* AT et certo S^{1}: *οὖν* D et in ras. et S^{2} et U^{2} 2 *καὶ πάλαι|πᾶσι* S^{1} 3 *συμβουλεύοι* ASU: *συμβουλεύει* D, *συμβουλεύειν* T 4 *αὐτοὺσ* AS(brevi ras. praecedente)DU^{1} 5 *διαφέρεσθαι χρόνω* D *δ᾽* S 7 *δ᾽* et *ταῦθ᾽* D *ἀκούσωνται* S 8 *καὶ λέγειν καὶ προαιρεῖσθαι* T (Junt., unde *καὶ λέγειν καὶ ⟨ἀκούειν⟩ πρ.* Rsk.) 9 *ἡμῶν ἕκαστος*] *ἕκαστοσ ὑμῶν* D 12 *τις* om. SU 14 *πλέον* S *ἂν* om. U 15 *οὕτωσ* D 16 *ἀκροᾶσθαι τοῦ λόγου τούτου* D (cf. *τὸν χρόνον τοῦτον*) 17 *ταὐτὰ* p. corr. et S et U: *ταῦτα* O *ἀλλὰ — ταῦτα* ADUT, om. S, secl. iam Canter; frustra def. Schmid, Philolog. 1889 (I), 378 18 *πείσεσθε* DUTA p. corr.: *πείσεσθαι* S (A a. corr., ut vid.) *γὰρ*] *ἀτὰρ* D *σαφῶσ αὐτῶ* ADUT, *αὐτῶ σαφῶσ* S; verba corrupta necdum emendata; pro *αὐτῷ* ci. *τοῦτο(, εὖ — ἐγὼ τὴν)* Wil. (ut *πείσεσθε* sit 'afficiemini'); e. g. proposuit *(ἐν)δείξεσθε γὰρ σαφῶς τούτῳ, εὖ — ἐγώ, τὴν* Kaibel; *σαφῶς* fort. glossema ad *εὖ* 19 *ἀλλὰ δὴ καὶ* D, *ἀλλὰ δεῖ καὶ* U (A^{2}) 20 *τὸν λοιπὸν* (sc. *χρόνον*, v. 16) Rsk., inutiliter 22 *τῶν ἐν δικαστηρίω λόγων* D (Thom. Mag. p. 270, 19) 23 *ἡγεῖσθαι* DU *πλεῖστοι καὶ γνωριμώτατοι* (v. 25) *μάρτυρεσ ὦσι τούτοισ* T^{1} omissis verbis *μάρτυρεσ ὦσιν — σπουδαιότατοι*, quibus non repletis (ut desint in T) tantum *γνωριμώτατοι* in *σπουδαιότατοι* corr. T^{2} 24 *ὦσιν*] *εἶεν* D (Thom. Mag. p. 271, 2) *οὕτω* U *οὕτωσ ἂν καὶ* D *οἷς*] *ὧν* U

σπουδαιότατοι μάρτυρες ὦσιν, τούτοις μάλιστα χρῆναι πιστεύειν.
τοῦτο τοίνυν εἰς Ὅμηρον τὸν κοινὸν τῶν Ἑλλήνων σύμβουλον καὶ
προστάτην ἀνενέγκατε, ὃς ἐποίησεν τὸν σοφώτατον τῶν τότε Ἑλ-
λήνων τῇ Ναυσικάᾳ συνευχόμενον ἔτι οὔσῃ κόρῃ ἄνδρα τε καὶ οἶκον
καὶ ὁμοφροσύνην ὀπάσαι τοὺς θεοὺς αὐτοῖς·

827 D οὐ μὲν γὰρ τοῦδε κρεῖσσον καὶ ἄρειον,
ἢ ὅθ᾽ ὁμοφρονέοντε νοήμασιν οἶκον ἔχητον
ἀνὴρ ἠδὲ γυνή· πόλλ᾽ ἄλγεα δυσμενέεσσιν,
χάρματα δ᾽ εὐμενέτῃσι· μάλιστα δέ τ᾽ ἔκλυον αὐτοῦ (ζ 182 sqq.).

καίτοι μὴ νομίζετε ἑτέρως μὲν ἂν μίαν οἰκίαν καλῶς οἰκῆσαι, 8
ἑτέρως δ᾽ ἂν πόλιν τὴν πᾶσαν, ἀλλ᾽ εἰ μία τῶν καθ᾽ ἕνα ἐστὶν
οἰκιῶν σωτηρία τὸ ταὐτὰ φρονεῖν, πολὺ μᾶλλον τὰς πόλεις οὕτω
δεῖν ἔχειν, ὅσῳ μιᾶς μὲν οἰκίας διαστάσης εὐκόλως ἴασις εὑρί-
σκεται, πόλεως δὲ οὐδὲ ζητεῖν ῥᾳδία γίγνεται· καὶ μιᾶς μὲν οἰ-
560 J κίας εὖ τε καὶ χεῖρον πραττούσης μικρὸν τὸ διαφέρον τοῖς ἅπα-
σιν, κοινῇ δὲ εὐθενοῦντας καὶ τοῖς ἰδίοις οἴκοις ἄμεινον πράττειν
εἰκός ἐστιν. εἰ τοίνυν καὶ τοῖς μέλλουσιν οἰκήσειν οἰκίαν ἤδη
συνεύχεσθαι καιρὸν ἡγεῖτο ὁ σύμβουλος περὶ τῆς ὁμονοίας, ἦ που
τοῖς γε ἐκ παλαιοῦ πόλιν οἰκοῦσι καὶ ταύτην οὕτως ἐπιφανῆ πάντα
τὰ ἄλλα δεύτερα τούτου ποιεῖσθαι προσήκει. Εἶεν. τριχῇ γὰρ δὴ 9
διαστησώμεθα καὶ θεωρήσαντες μίαν οἰκίαν ἐκ πόλεως πρῶτον,
εἶτα εἰς ἄνδρα ἕνα ἀναβῶμεν τῷ λόγῳ καὶ σκεψώμεθα, ποῖός τις
ᾧ τις οὐκ ἂν αἰσχύνοιτο ὁμοιούμενος. ἀλλ᾽ ἐνταῦθα καὶ μάλιστα
ἂν κατίδοιμεν τὸ διαπεφυκὸς τῆς ὁμονοίας ἀγαθόν. τίς γὰρ οὕτως 10
ἔξω τοῦ φρονεῖν ἢ [τίς] οὕτως ἄπειρος τῶν ἐν τῇ φύσει, ὅστις

---

2 *προεπιστάτην* A 4 *ἔτ᾽* D 5 *αὐτῇ* U^1 6 *τοῦδε* et *τοῦ γε* libri Hom. 7 *ἔχοιτον* U 8 *πολλὰ* ASUT 9 *εὐμενέτησιν* S *δέ τ᾽*] *δ᾽ ἔτ᾽* DT *αὐτοί* U, ex Homero corr. 10 *μὲν|μίαν* T in confinio paginarum (fol. $189^{r\,v}$) *μίαν ἂν* proponit e schedis Canteri $Rsk.^2$ *οἰκῆσαι καλῶσ* DU 11 *ἂν*] *αν* Rsk. 13 *διαστασισ* D *εὐκόλως ἴασις εὑρίσκεται* $ADUTS^2$ mg.: *δύο τὰ μέρη* S^1 (quae del. S^2) 14 *οὐδὲ ζητεῖν* scripsi: *οὐδ᾽ εὑρεῖν* O (ex *εὑρίσκεται* praecedente natum) 15 *τὸ διαφέρον* ST: *ὄφελοσ* ADU 16 *εὐθαινοῦντασ* A^1 (corr. A^r), *εὐσθενοῦντασ* D 17 *μέλλουσι συνοικήσειν* T ante *ἤδη* ras. 3 litt. S 19. 20 *τοῖσ γε — οἰκοῦσι — ποιεῖσθαι προσήκει* SDT: *τούσ γε — οἰκοῦντασ — νομιστέον αὐτοῖσ* A, *τοῖσ γε — οἰκοῦσι — νομιστέον αὐτοῖσ* U, add. mg. *ποιεῖσθαι προσήκει* U^2; *αὐτοῖσ* evincit auctorem interpretamenti *τοῖσ — οἰκοῦσι* legisse *τἄλλα* SD ad *εἶεν* A^r (aut A^1) mg. minutissimis litteris *εἶναι,* quod cum praecedentibus iunctum voluit 22 *ἄνδρα ἕνα* T 23 *αἰσχύνοιτο* DUS^2 (*-οιτο* in ras.): *αἰσχύναιτο* AT (et fort. S^1) *μάλιστ᾽* D 24 *τὸ διαπεφευγὸσ* TU^2 25 *τίς* seclusi: *τίσ οὕτωσ* D, *τίσ* ASUT; etiam *οὕτως* post *τις* abesse vult Wil. *φύσει*] humanae naturae

*ἂν τὸν εἰκῇ καὶ ῥᾳδίως μεταβαλλόμενον καὶ μηδέποτε ἐν ταὐτῷ
μένοντα μηδὲ ἃ γνοίη φυλάττοντα [ἀντὶ τοῦ διὰ τέλους χρηστοῦ
καὶ βεβαίου] προέλοιτ' ἂν εἰς χρῆσιν; οἷον τίς ἂν ἢ κηδεῦσαι τῷ
τοιούτῳ [πρὸ τοῦ ἑτέρου] βούλοιτο ἢ συμβαλεῖν ἢ συσκηνῶσαι
ἤ τι τῶν κοινῶν ὁπόσαι πράξεις κατ' ἀνθρώπους μετασχεῖν,* 828 D
*ὅστις μηδ' αὐτὸς οἶδεν ὃ βούλεται, ἀλλ' ὥσπερ εὔριπος ἄνω
καὶ κάτω φέρεται, πολεμῶν καὶ στασιάζων αὐτὸς ἑαυτῷ; οὔκ-
ουν ὅ γ' ἐναντίος τούτῳ νικᾷ πᾶσι τοῖς κριταῖς, ὅστις ἁπλοῦς
γενναῖος ἀψευδὴς ταὐτὰ γιγνώσκων περὶ τῶν αὐτῶν, ὁμονοῶν ὡς*
11 *οἷόν τε μάλιστα αὐτὸς αὑτῷ; πῶς οὖν οὐκ ἄτοπον δυοῖν ἀνδροῖν
ὑποκειμένοιν, τοῦ μὲν κατὰ τὴν στασιάζουσαν πόλιν, τοῦ δὲ ὡς
δεῖ τὴν ὁμονοοῦσαν ἔχειν, τὸν μὲν ὡς ἀνίατον κακίζοντας, τῷ δὲ
ὡς ἀρίστῳ τιθεμένους μὴ διασώσασθαι τὸ εἰκός, ἀλλ' ᾧ τις ἀπεύ-
ξαιτ' ἂν μὴ συντυχεῖν, [πῶς χρὴ] τοῦτον εἰς τὰ κοινὰ φανῆναι*
12 *μιμουμένους; καὶ μὴν οὐδὲν ὄνειδος τοῖς ἰδιώταις οὕτως προσήκει
φεύγειν ὡς πόλει κοινῇ· ὅσῳ γὰρ μεῖζον τὸ σχῆμα καὶ ὅσῳ πλείους
οἱ συνεισόμενοι, τοσούτῳ μᾶλλον καθαρεύειν ἁπάντων εἰκός ἐστι
τῶν αἰσχρῶν. χωρὶς δὲ τούτων οὐδὲ ὁ κίνδυνος παραπλήσιος·
ἰδιώτης μὲν γὰρ οὐχ ἑστὼς τὴν γνώμην οὐδὲν μᾶλλον αὐτόχειρ
αὑτοῦ γίγνεται, ἀλλ' ὅσον δοκεῖν εἶναι φαῦλος, τοσοῦτον ζημιοῦται·
πόλις δὲ διεστῶσα πρῶτον μὲν διπλῆν φέρεται τὴν ἄνοιαν, ἔπειθ'
ἃ ποιεῖ πάσχουσα ἀναφαίνεται, καὶ τὴν δίκην ἐπ' αὐτῶν δίδωσι* 561 J
13 *τῶν πραγμάτων. ἅ μοι δοκεῖ καὶ Ἡσίοδος προορώμενος τὰς ἔρι-
δας πάσας ..... πόρρωθεν κωλύειν, ἥτις μὴ πρὸς ἔργον παρακαλεῖ·*

---

1 *τὸν*] *τῶν* S^1 2 *ἀντὶ τοῦ* — 3 *βεβαίου* seclusi; *ἀντί*, quo interpretamentum arguitur, om. SD 4 *πρὸ τοῦ ἑτέρου* seclusi, glossema eiusdem interpretis ac v. 2 *συσκηνῶσαι* A: *συσκην*^{η}*ῶσαι* T pr. m., *συσκηνῆσαι* SDU 5 *τῶν κοινῶν ὁπόσαι* U: *τῶν πᾶσι κοινῶν ὁπόσαι* AT, *τῶν πασῶν ὁπόσαι* SDT^1 mg. 7 *οὐκοῦν* O (edd.) *ἐναντίωσ* T a. ras. 9 *ταῦτα* S a. corr. *γινώσκων* SDU 10 *αὐτῷ* a. corr. et S et T, *ἑαυτῷ* D 11 *ὑποκειμένων* D^1 12 *ἀνίατον* AT: *γρ. ἀνόνητον* mg. T^1, *ἀνόητον* SUD^2, *ἀνοητὶ* D^1, cf. v. 21 *ἄνοιαν* 31 *ὡς* om. S^1 *τιθεμένουσ* DUTA^2: *πει*^{τι}*θ*^{ε}*ομενουσ* S^1 (corr. S^2), *τιθεμένοισ* A^1 *ἂν ἀπεύξαιτο μὴ* S 14 *πῶς χρὴ* Rsk. suspectum, expunxit D^2, seclusi 15 *οὐδὲν*] *οὐδὲ* D *οὕτω* SDUT 17 *συνεισόμενοι* A^1S^1U: *συνοισόμενοι* A^rDTS^2 *ἁπάντων* om. U, fortasse recte 20 *αὑτοῦ*] *αὐτοῦ* AU^1, *αυτοῦ* S, *οὗτοσ* D *γίνεται* U^1 21 *διπλῆ* D *φέρεται*] *ται* in ras. S^2 *τὴν ἄγνοιαν* A 22 *ἐπ'* DUT et in ras. S^1: *ἀπ'* A 24 lacunam indicavi; e. g.: *προορώμενος τὰς ἔριδας ⟨δύο γενέσθαι φάναι, καὶ τὴν μὲν προτρέπουσαν ἐπ' ἔργα καλὰ ὡς ἀγαθὴν ἀνθρώποις ἐπαινεῖν, τὴν δὲ καὶ ἄνδρας ἅπαντας κελεύειν καὶ πόλεις⟩ πάσας πόρρωθεν κτέ.*; Hesiod. OD. 11—24 *πόρρωθεν παραινεῖν κωλύειν* D *παρακαλῇ* S^1

εἰκότως. οὐ γάρ ἐστιν οὐ σίδηρος, οὐ χαράκωμα, οὐχ ὅπλον
οὐδὲν φοβερὸν ταῖς πόλεσιν, ἂν εὖ φρονεῖν ἐθέλωσιν μόνον· ἀλλὰ
829 D *καὶ ταῦτα ὑπὸ τῆς ἀνοίας καθ' αὑτῶν ἰσχυρὰ ποιοῦσιν οἱ πολλοί.*
τὰ μὲν τοίνυν ἄλλα παροφθέντα ἐπίκαιρον ποιεῖ τὴν ζημίαν καὶ
οὐ πάσαις ταῖς ψήφοις ἡμάρτηται, τὸ δ' ἐπ' ἀλλήλους τρέπεσθαι
καὶ τὸ τὴν ἐπὶ τῇ κοινῇ σωτηρίᾳ κατοικίαν γενομένην ταύτην δια-
λύοντας καὶ διασπῶντας τὰ αὑτῶν εὖ τίθεσθαι νομίζειν ἑκάστους
ἐξαίρει πᾶσαν ἀνθρώπων ἄνοιαν· τοσοῦθ' ὑπερβάλλει. Καὶ μὴν 14
οὐδὲ Σόλωνος ἔξω τοῦ καιροῦ ποιεῖν ἄν μοι δοκῶ μνησθείς, ἄλλως
τε καὶ οὗ νόμων καὶ πολιτείας ἐξετασμός. ἐκεῖνος τοίνυν ἐν τοῖς
ἐλεγείοις (frg. 5 B[4].) *διεξιὼν περὶ τῶν αὐτῷ πεπολιτευμένων ἐπὶ*
τούτῳ μάλιστα πάντων σεμνύνεται, τῷ καταμῖξαι τὸν δῆμον πρὸς
τοὺς δυνατούς, ὅπως ἂν μιᾷ γνώμῃ τὴν πόλιν οἰκῶσιν, μηδέτεροι
πλεῖον ἰσχύοντες ἢ κοινῇ συμφέρει. καίτοι τοῦτ' ἔστιν οὐ μόνον
προτρέποντος εἰς ὁμόνοιαν, ἀλλὰ καὶ δεικνύντος ὅπως αὐτὴν κτᾶ-
σθαι προσήκει. καὶ τί δεῖ καθ' ἑκάστους λέγειν; οὐ γάρ ἐστιν 15
οὐ ποιητής, οὐ νομοθέτης, οὐ ῥήτωρ, ὅστις ὡς ἔπος εἰπεῖν ἄλλοθέν
ποθεν ἄρχεται, οὐδ' ἄλλο τι μᾶλλον πρεσβεύει τῆς πρὸς ἀλλήλους
φιλίας καὶ πίστεως· εἰκότως καὶ ἀναγκαίως. εἰ γὰρ τῶν συμμάχων
οὗτοι πιστότατοι καὶ ἀναγκαιότατοι οἵτινες ἂν τὸν αὐτὸν ἐχθρὸν
καὶ φίλον νομίζωσιν, ἦ που σφᾶς γε αὐτοὺς ὡς ἐχθροὺς προσορᾶν
830 D *οὐ σωτήριον. τίσι γὰρ καὶ χρῆσθαι τῶν ἔξω δυνατὸν τοὺς αὑτοῖς*
οὐκ ἔχοντας; γνοίη δ' ἄν τις καὶ τῇ προσηγορίᾳ τεκμαιρόμενος, 16
μόνον γοῦν τοῦτο νόσημα πόλεως κέκληται. καίτοι πῶς οὐκ ἄτο-
πον τῶν μὲν ἐν τοῖς σώμασιν ἀρρωστημάτων, ἃ μέρει τινὶ λυμαί-
νεται, τοσαύτην πρόνοιαν ἔχειν [ὥστε τάχιστα παύεσθαι], τῶν δὲ
ἀπολλύντων δημοσίᾳ τὰς πόλεις μὴ τὴν ταχίστην ἀπαλλαγὴν ζη-

---

1 *οὐ* post *ἐστιν* corr. ex *ἰ* S[2] 2 *εὖ φρονεῖν*] cf. ad p. 41, 4 *ἐθέλουσιν* A[1], corr. A[2] 3 *ἰσχυρὰ καθ' αὑτῶν* D 6 *τῇ* AS: om. DUT 7 *αὐτῶν* ADT, *αυτῶν* S[1] 8 *ἐξαίρει*] *ὑπεραίρει* Rsk., cf. Thom. Mag. p. 119, 19; *ἐξαίρει πᾶσαν — ἔννοιαν* Lex. Vindob. p. 71, 6; 93, 12 10 *ἐξετασμόσ* AUT: *ἐξετασμόσ ἐστιν* SD 11 *αὐτῷ* O 13 *μηδὲ ἕτεροι* A[1] (corr. A[2]) S (*μὴ δὲ*) 14 *ἢ*] *ᾗ* A[1]T 17 *οὐ ῥήτωρ οὐ νομοθέτησ* D, cf. § 24 *Λυκούργου λόγων καὶ νόμων* 18 *ἄρχεται*] *ἄ* in ras. S[2] *ἄλλο τι μᾶλλον πρεσβεύει παρὰ τῆσ* D, *ἄλλο τι πρεσβεύει τῆσ* ASUT; ΑΛΛΟΤΙΜΑΛΛΟΝ genuinam esse lectionem (in D fortasse coniectura inventam: 'subaudi *μᾶλλον*' Rsk.) non tam grammatica quam sententia evincit; *παρὰ* interpretamentum alius lectionis: voluit interpres *ἄλλο τι — παρὰ τὴν — φιλίαν* 19 *συμμαχούντων* D 20 *οἵτινεσ τὸν αὐτὸν ἂν* T 21 *γε* om. D 22 *οὐ σωτήριον* dubito an non genuina; languent *καὶ χρῆσθαι*] *κεχρῆσθαι* T *δυνατῶν* DT *αὐτοῖσ* A[1] (corr. A[r])D 24 *γοῦν*] *γὰρ* D 26 *ὥστε — παύεσθαι* seclusi monente Kaibelio e sanae sententiae ratione *ὥστε ⟨ὡς⟩ τάχιστα* flagitari; cf. p. 62, 20. 64, 28 *δ'* D

τεῖν, ἀλλ᾽ ὅπως ὅτι πλεῖστα γενήσεται, καὶ τῶν μὲν ἀκουσίων 562 J
ἀποτροπὰς αἰτεῖν τοὺς θεούς, οἷον λιμοῦ καὶ λοιμοῦ καὶ τῶν
τοιούτων, ἃ δὲ μείζω μὲν τούτων κακοῖ, τῷ δ᾽ εὖ φρονεῖν ἔστι
17 θεραπεῦσαι, ταῦτα μὴ βούλεσθαι; πότερον οὖν οὐδ᾽ εὔχεσθαι
φήσετε ὑπὲρ τῆς ὁμονοίας; τί ποτ᾽ οὖν ἄλλο ὑμῖν αὐτοῖς ἀγαθὸν
συνεύξεσθε; ἀλλὰ νὴ Δία τοῦτό γε ποιεῖν προθύμως; οὐκοῦν ἄτο-
πον τοὺς μὲν θεοὺς ἐνοχλεῖν, αὐτοὺς δὲ μὴ βούλεσθαι πράττειν
18 ἅ γ᾽ ἐφ᾽ ὑμῖν εἶναι δοκεῖ τοῖς θεοῖς αὐτοῖς; καὶ μὴν εἴ γε τοῖς
σώμασιν αὗται βαρύταται τῶν νόσων καὶ πλείστης δέονται τῆς
ἐπιμελείας, αἵτινες ἂν τῶν ἐντὸς ἅψωνται, πῶς οὐ καὶ πόλει ταῦτ᾽
εἶναι τῶν ἀτυχημάτων ἔσχατα χρὴ δοκεῖν, ὑφ᾽ ὧν εἴσω φθείρεται;
ἢ πολεμίους μὲν εἴσω τείχους παρελθόντας φοβερωτέρους κρίνο-
μεν, αὐτοὺς δὲ ἐν μέσῃ τῇ πόλει πολεμεῖν ἀλλήλοις μικρόν τι
19 νομιοῦμεν εἶναι; καὶ μὴν οὐδ᾽ ἐκεῖνον ἀποδέξομαι τὸν λόγον, ὡς
ἄρα στάσις ἐμφύλιος τοσούτῳ πολέμου χαλεπώτερον, ὅσῳ πόλεμος
εἰρήνης. ὁρῶ γὰρ πόλεμον μὲν εἰρήνης πολλάκις αἱρετώτερον συμ-
βαίνοντα, στάσιν δὲ ὁμονοίας οὐδέποτε. πολεμήσασι μὲν γὰρ ἤδη
πολλοῖς συνήνεγκεν καὶ εἰς χρημάτων κτῆσιν καὶ πρὸς δόξαν καὶ πρὸς
ἰσχὺν καὶ πάνθ᾽ ὅσ᾽ ἂν εἴποι τις, στάσει δὲ καὶ μίσει πρὸς ἀλλή-
λους χρώμενοι οὐδένες πώποτε ⟨οὐδὲ⟩ τῶν ὄντων ἀγαθῶν ἀπώναντο·
τοσοῦτ᾽ ἀπέσχον τοῦ προσκτήσασθαί γε ἕτερα. συνελόντι δ᾽ εἰ- 881 D
πεῖν εἰρήνης μὲν ὑπαρχούσης τοσούτῳ χεῖρον στασιάζειν ἢ πολε-
μεῖν ἐπαρθῆναι, ὅσῳ χεῖρον ἑαυτοὺς κακῶς ποιεῖν ἢ ἑτέρους. ἐν
πολέμῳ δὲ τὸ αὐτὸ τοῦτο τοσούτῳ χεῖρον, ὅσῳ πόλεμος εἰρήνης.
20 καὶ μὴν οὐ νῦν μὲν δοκεῖ, πρότερον δ᾽ οὐκ ἐδόκει τῶν κακῶν ἔσχα-
τον εἶναι. . . . . . καὶ τοῦτο τοσούτῳ γὰρ μετριώτερον στάσεως

---

1 γενήσεται ποιεῖν καὶ D 3 κακοῖ AT[1]: κακὰ (οἱ superscr.) U pr. m., κακὰ SDT[2] mg. c. γρ. 4 οὐδ᾽] μὴ δ᾽ U 5 ὑπὲρ] ὑπὸ T ὑμῖν ἑαυτοῖσ S 8 εἶναι om. D θεοῖσ αὐτοῖσ. καὶ μὴν SUT: θεοῖσ αὐτὰ καὶ μὴν A, θεοῖσ. αὐτίκα μὴν D 10 ταῦτα S 13 ἀλλήλοισ μικρόν τι νομιοῦμεν εἶναι AT[1]U, inter ἀλλήλοισ et νομιοῦμεν εἶναι lacuna 6—8 litt. relicta D: ἀλλήλοισ. ἀδεὲσ τῶ κοινῶ νομίζει τις S et addunt mg. T[2]U[1], cf. ad v. 25 14 'neque ea mihi probatur ratio, ex qua tanto perniciosiorem discordiam civilem bello esse autumant, quanto pace bellum' 19 ὅσ᾽ ἂν] ὅσα U[1] 20 οὐδὲ add. Kaibel 21 ἑτέρασ A[1], corr. A[2] 24 δὲ] γὰρ U τοσοῦτο S 25 καὶ μὴν οὐ νῦν μὲν δοκεῖ πρότερον δ᾽ οὐκ ἐδόκει SDUT[1] mg. et A[r] (nisi quod δὲ δόκει reliquit, quod in δ᾽ οὐκ ἐδόκει corr. A[2]): καὶ μὴν οὐ νῦν μὲν ἄδεια πολλή, πρότερον δ᾽ ἐδόκει (δὲ δόκει A) A[1]T, hausit interpres sua e p. 63, 5 26 καὶ τοῦτο A: om. SDUT; indicavi lacunam; argumentum fuerit: immo discordia semper visa est semperque videbitur esse amentia, quae liberam civitatem dedeceat; adeo enim indigna viris liberis est, ut proavi nostri, qui maxime sua libertate superbiebant, vel tyrannidem interdum praestabiliorem discordia civili duxerint, idque recto usi iudicio

ἡ τυραννίς, ὅσῳ πρῶτον μὲν κουφότερον εἷς κακῶς ποιῶν πόλιν
ἢ πάντες κύκλῳ, ἔπειτα ἐλευθερῶσαι μὲν πόλιν ὥστε στασιάζειν
οὐδεὶς πώποτε εὖ φρονῶν ἠξίωσεν, ὑπὲρ δὲ τοῦ μὴ στασιάζειν
τυράννους ἤδη τινὲς ἐξεπίτηδες ἐστήσαντο. καὶ μετὰ μέν γε τυράννου καὶ νόμους θεῖναι τῶν νομοθετῶν αὐτῶν ἤδη τινὲς (Plat.
leg. IV 710 DE) εἶπον προφέρειν, στάσει δ' ἢ συστῆναι τὸ πρῶτον
563 J ἢ συμμεῖναι πολιτείαν οὐδενὶ πώποτ' ἔδοξεν ἐγχωρεῖν. καὶ μὴν 21
τυραννούμεναι μὲν τῶν πόλεων ἤδη τινὲς εἴς τε μέγεθος καὶ κατασκευὴν ἐπέδοσαν, στάσει δὲ οἵτινες οὐκ ἐφθάρησαν οὐκ ἂν ἔχοιμεν εὑρεῖν. καίτοι πῶς εἰκὸς τοῖς μὲν τοὺς τυράννους ἀποκτιννύουσιν δωρεὰς προειρηκέναι, τοῖς δὲ τὰς στάσεις καταλύουσιν μηδὲ ὅσον
πείθεσθαι βούλεσθαι; ὑμεῖς τοίνυν σεμνύνεσθε ὡς ὄντες ἐλεύ- 22
θεροι καὶ τὴν δημοκρατίαν οὕτως ἐπαινεῖτε ὥστε μηδ' ἂν ἀθάνατοι δέξαισθε γενέσθαι, εἰ μή τις ὑμᾶς ἐπὶ ταύτης ἐάσει μένειν τῆς πολιτείας. καίτοι πῶς οὐκ ἄλογον αὐτὴν μὲν οὕτω τιμᾶν, ταύτῃ δ' ἐπηρεάζοντας μὴ θέλειν συνιέναι, καὶ μοναρχίαν μὲν εἴ τις κατασκευάζοιτο, πικρῶς ἂν ἔχειν, ὃ δὲ τούτου τοσούτοις ὅσοις εἶπον δέδεικται χαλεπώτερον, τοῦτο αὔξειν ἑκόντας, καὶ μηδ' ἐκεῖνο δύνασθαι λογίσασθαι ὡς οὐκ ἔστιν ὅπως, εἰ ταῦθ' οὕτω πρόεισιν,
832 D οὐ κινδυνεύσετε ἀποστερηθῆναι τῆς δοκούσης ταύτης ἐλευθερίας· κἂν μὴ ἑκόντες ἐπιτρέψητε, ἄλλος ἀφίξεται ὅστις ὑμᾶς σώσει πρὸς βίαν, ὡς οὔτ' ἀγνοεῖν τὰ τοιαῦτα τοῖς ἄρχουσι θεσμὸς οὔτ' ἐν μηδενὶ ποιεῖσθαι λόγῳ. ὥστε εἰ μηδενὸς ἄλλου χάριν, τοῦ γ' ὄντες ἐλεύθεροι ποιεῖν ὅ τι βούλεσθε, τῶν νυνὶ τούτων ἀπόστητε, ἵνα μὴ φοβῆσθε ἅμα ὅσον νῦν θαρρεῖτε καὶ φιλοτιμίαν ἀρχαίαν
ἀποβάλητε. Ἔστι δὲ τοῦ παρεληλυθότος χρόνου τοῦτ' ἀπο- 23
λαύειν, παραδείγμασι τοῖς γνωριμωτάτοις χρωμένους εἰς τὰ παρόντα· καὶ ταῦτα πρὸς μὲν ἄλλους τινὰς διεξιέναι μειρακιῶδες ἂν ἦν ἴσως, πρὸς δὲ ὑμᾶς καθαρῶς ὄντας Ἕλληνας καὶ τεθραμμέ-

1 ποιῶν τὴν πόλιν D 6 προφέρειν] συμφέρειν DU στάσιν U 7 συμμεῖναι πολιτείαν ASD: συμβῆναι πολιτείαν T, συνεῖναι πολιτεία (= -είᾳ) U 8 κατασκευὴν] cf. § 45, or. XXVII § 13 9 αἵτινεσ DU, cf. p. 62, 3 10 τοὺς om. D 11 προηιρηκέναι A[1], corr. A[r] 14 δέξαισθε ATU[1]: δέξασθαι SDU[2] εἰ μή τισ ἐπὶ ταύτησ ὑμᾶσ ἐάσῃ μένειν D μένειν ἐάσει U 15 αὐτὴν] ταύτην S 16 συνεῖναι O (i. e. συνεῖναι); συνιέναι Canter 18 τοῦτ' D 19 εἰ ταῦθ'] ἐνταῦθ' D 20 κινδυνεύσετ' D 21 ἀποστερηθῆναι — ἐλευθερίασ om. S[1], add. S[2] mg. ἐπιτρέψητε ADU ('mihi consilianti tanquam medico', cf. ἄλλος — σώσει): ἐπιστρέψητε ST 22 θεσμὸσ ASD: θέμισ UT οὔτε A 23 γε D 25 φοβεῖσθ' D καὶ SD: καὶ μὴ ATU 28 sq. ἂν ἦν ἴσωσ AD: ἂν ἴσωσ ἦν S, ἂν ἴσωσ UT; ἦν suspectum

24 νους ἐκ παίδων ἐν τούτοις οὐκ ἄχρηστον. τοῦτο μὲν τοίνυν εἰς τὴν
τῶν Λακεδαιμονίων πόλιν ἀποβλέψατε, ὁμόφυλον ὑμῖν οὖσαν, ἣ
μέχρι μὲν ἐστασίαζεν, οὐδενὸς τῶν προσοίκων βελτίων ἦν, ἀλλὰ
καὶ πολεμοῦσα ἡττᾶτο, ὡς λέγεται, τὰ πολλά· ἐπεὶ δὲ κατέστη
διὰ τῶν Λυκούργου λόγων καὶ νόμων, ἡγεῖτο τῶν Ἑλλήνων καὶ
25 κατὰ πόλεις καὶ κοινῇ. αὖθις δὲ τὸ τῶν Ἀθηναίων θεωρήσατε,
οἳ στασιάζοντες μὲν οὔτε σφίσιν αὐτοῖς οὔτε ἑτέροις ἐδύναντ' εἶναι 564 J
χρήσιμοι, ἐπεὶ δὲ τῶν τυράννων ἀπαλλαγέντες ὡμονόησαν πρὸς
ἀλλήλους, οὐ μόνον τὴν πόλιν, ἀλλὰ καὶ τὴν Ἑλλάδα ἠλευθέρωσαν
ἐν τοῖς μεγίστοις καιροῖς. παραλαβόντες δὲ τὴν ἀρχήν, ἕως μὲν
μίαν γνώμην εἶχον, ἀντεῖχον μικροῦ δεῖν ἅπασιν ἀνθρώποις καὶ
κατὰ γῆν καὶ κατὰ θάλατταν, ἐπεὶ δὲ διέστησαν, τὰ μὲν τείχη
26 κατέσκαψαν, τὰς δὲ ναῦς παρέδοσαν. καὶ τοῦτο τοσοῦτον ἀτύχημα
ἀτυχήσας ὁ δῆμος ἐκπεσὼν καὶ κατελθὼν αὖθις, ἐξὸν αὐτῷ τιμω-
ρήσασθαι τοὺς ἐπαναστάντας καὶ πρὸς οὓς παρετάξατο, ὁμονοεῖν
εἵλετο, τὴν κοινὴν τῆς πόλεως σωτηρίαν προτέραν τῶν ἰδίων ἐγ- 833 D
κλημάτων ποιησάμενος. καὶ γάρ τοι πάλιν εἰς τὰ πράγματ' εἰσ-
ῆλθεν καὶ προὔστη τῶν Ἑλλήνων σχεδὸν ἐν μέρει πάντων. το-
σοῦτο κακὸν ἡ στάσις ταῖς πόλεσιν καὶ τοσοῦτ' ἀγαθὸν τὸ
27 θέλειν ὡς τάχιστα παύσασθαι. εἰ δὲ δεῖ καὶ τῶν ὑμετέρων προ-
γόνων Ἀργείων ἀναμνησθῆναι, λέγεται καὶ τούτους ταραχθέντας
ἐν ἀλλήλοις, Ἀθηναίων πρέσβεων ἀφικομένων ὡς αὐτοὺς καὶ δι
δαξάντων ὡς αὐτοὶ τὰ σφέτερ' αὐτῶν ἔθεντο, ὑπακοῦσαι καὶ τὴν
28 στάσιν ἐκποδὼν ἀνελόντας πάλιν εἰς ταὐτὸν ἐλθεῖν. νῦν τοίνυν,
ὦ ἄνδρες Ῥόδιοι, παρὰ πασῶν τῶν πόλεων τούτων χρὴ νομίζειν
πρεσβείαν κοινὴν ἥκειν ὡς ὑμᾶς ἐπὶ τὰς διαλύσεις προκαλουμένην,
προηγορεῖν δὲ ἡμᾶς συνδεομένους ἃ νομίζομεν πάντῃ βέλτιστα
29 ὑμῖν εἶναι. καὶ μὴν οὐ ταὐτόν γε τοῖς Ἀθηναίοις ὑμᾶς ποιῆσαι
δεῖ οὐδὲ τοῖς ἐφ' ὑμᾶς δανεισαμένοις συνεκτῖσαι τάλαντα ὅσα δή,
σημεῖον τῆς πίστεως, ἀλλ' ἀζήμιος ἡ σωφροσύνη πρόκειται τού-
των τε ὧν εἶπον ἐνθυμουμένοις καὶ μηκέτι εἰς πόλιν μίαν ἢ δευ-
τέραν βλέπουσιν, ἀλλ' εἰς τὰ κοινὰ τῶν Ἑλλήνων πράγματα καὶ

---

1 ἐν om. T 2 ἡμῖν A 3 οὐδενὸς] οὐδεμιᾶς Laur. 60, 20 (inde Junt.) βελτίω S^1 6 δὲ καὶ τὸ U 7 οὔθ' S, οὔτ' D ἐδύναντο T 10 τὴν ἀρχήν ATU: τὴν ἀρχὴν τῶν ἑλλήνων SD 11 εἶχον] εἶναι D 12 posterius κατὰ om. A 13 παρέδοσαν sic O 15 παρετάξαντο UT 17 πράγματα SDU 19 κακόν ἐστιν ἡ στάσισ D αἱ στάσεισ U 20 ἐθέλειν S 21 λέγεται κτέ.] nescio quo haec spectent; ad Thuc. V 61 relata vult Wil. τούτοισ ταραχθέντεσ T 23 σφέτερα αὐτῶν εὖ ἔθετο (sic) D 27 ὑμᾶσ D 29 ὅσα] ὡσ ὃν S 31 τε] δε S, at τ s. l. add. pr. m., γε T μήκετ' εἰσ μίαν ἢ δευ-τέραν πόλιν βλέπουσιν D

πάσας τὰς πόλεις τὰς Ἑλληνίδας, αἷς οὔτε φάλαγγες ὁπλιτῶν
ἐναντίων οὔθ' ἱππέων πλῆθος οὔτε ἄλλο οὐδὲν τῶν δοκούντων
εἶναι φοβερῶν, ἀλλ' ἡ κατ' ἀλλήλων στάσις καὶ ἀπιστία καὶ τὸ
μήτε κοινῇ ταὐτὸν φρονεῖν μήτ' αὖ καθ' ἑκάστους ὑγιαίνειν αἴτιον
τῆς τοσαύτης μεταβολῆς ἐγένετο. καὶ μηδεὶς ὑμῶν ἐν ἀδείᾳ ποι- 30
565 J εἰσθω τὸ τοὺς καιροὺς ἑτέρους εἶναι, ἀλλ' ἐκεῖνο κοινὸν ἐνθυ-
834 D μείσθω κατὰ πάσης στάσεως, ὅτι τῶν παρόντων ἀγαθῶν ἀεὶ
πέφυκεν ἀποστερεῖν. χωρὶς δὲ τούτων, ὦ ἄνδρες Ῥόδιοι, καὶ ἡ
συμφορὰ μείζων, ἐπὶ τοιούτων καιρῶν ἐν οἷς φόβος μὲν οὐδεὶς
οὐδὲ κίνδυνος, εὐδαιμονίας δὲ ἀπολαύειν ὁπόσης τις βούλεται πάρ-
εστιν; εἰ τὸ ἐπιβάλλον ἐφ' ὑμᾶς μέρος ὥσπερ θεωρικοῦ προήσεσθε
ἐξεπίτηδες. μέχρι μὲν γὰρ διειστήκει τὰ τῶν Ἑλλήνων, εἰκὸς ἦν 31
. . . . . συνοίσειν καὶ τοὺς μὲν ταῦτα, τοὺς δὲ ἐκεῖνα ὑμῶν αἱρεῖ-
σθαι. νῦν δὲ τίς ἢ στάσεως ἀφορμὴ ἢ ῥᾳστώνης οὐκ ἐξουσία;
οὐ κοινὴ μὲν ἅπασα γῆ, βασιλεὺς δὲ εἷς, νόμοι δὲ κοινοὶ πᾶσι,
πολιτεύεσθαι δὲ καὶ σιωπᾶν καὶ ἀπαίρειν καὶ μένειν ἄδεια ὁπό-
ση⟨ν⟩ τις βούλεται; τί οὖν δεῖ κακῶν ἐπεισάκτων ἢ μανίας τοῖς
πᾶσι περιττῆς;

Ἀλλὰ γὰρ οὐχ ὡς ἔσχατον ἡ στάσις τῶν κακῶν δεῖξαι 32
χαλεπώτερον, ἀλλ' ὅπως αὐτῆς ἀπαλλάξεσθε, τοῦτ' ἴσως ἔρ-
γον εὑρεῖν. οὐ γὰρ ἀγνοίᾳ τοῦ συμφέροντος ἁμαρτάνειν μοι δο-
κεῖτε τοσοῦτον, ὅσον, εἰ οἷόν τε εἰπεῖν, ἀπονοίᾳ τινὶ καὶ τῶν
διαφορῶν ἡττώμενοι. λέγω δὴ [κεφάλαιον] πρῶτον μὲν ὀργὴν
ἅπασαν ἀπελθεῖν ἐκποδὼν ὥσπερ ἐκ πολιορκίας τὰ ἑαυτῆς ἔχου-
σαν, ὡς οὐ τῷ θυμῷ κάλλιστα τὰ πράγματα κρίνεται· ἔπειτα
φθόνον καὶ πλεονεξίαν ἑκατέρωθεν περιελεῖν· φθόνον μὲν λέγω

1 φάλαγκεσ D 2 οὔτ' ἄλλ' οὐδὲν D 3 εἶναι om. D, et fortasse delendum 4 ταυτὰ D αὖ] αὖθισ D 6 τὸ SDA²U²: τῷ AU¹T¹ ἐνθυμείσθω] ἡγείσθω D 9 ἐπὶ τοιούτων — 10 πάρεστιν · εἰ (εἰσ D) τὸ SDU²: εἰ τοιούτων — πάρεστι, τὸ ATU¹ 11 ἐπιβάλλον ἐφ' ὑμᾶς] e Demosth. XVIII 254 13 lacunam suspicatus est Rsk.; argumentum fuerit: consentaneum erat ⟨vos credidisse cum altero utero facere vobis⟩ e re fore 16 σιωπᾶν] sc. ut homo privatus 17 ὁπόσην Rsk.: ὁπόση O 20 χαλεπώτερον scripsi: χαλεπώτατον O (defendit Kaibel); χαλεπόν ci. Rsk. αὐτῆς] αὐτ' A¹ (αὖτ' Aʳ) ἀπαλλάξασθε D τοῦτο ἔργον εὑρεῖν ἴσωσ D 22 τ' D διαφορῶν ἡττώμενοι A: διαφορῶν ἑκίντεσ ἡττώμενοι SDUT, ἑκόντεσ ob oppositum οὐκ ἀγνοίᾳ v. 21 additum 23 κεφάλαιον seclusi, cf. συνελόντι p. 64, 2 πρῶτον μὲν om. A, quorum in locum κεφάλαιον cessit 24 ὥσπερ ἐκ πολιορκίας scripsi: ὡσπερεὶ πολιορκίασ A, ὡσπερεὶ πολιορκίαν TU² ὡσπερεὶ πολιορκία U¹, ὥσπερ ἐν πολιορκίᾳ SD; comparatio haec (urbis expugnatae) causa facta est, ut etiam v. 26 περιελεῖν (cf. p. 64, 16) diceret; ἑκατέρωθεν: 'duarum partium' quas statim ipsis nominibus appellat, cf. p. 64, 7

τῶν ἐλαττόνων τοῖς μείζοσι, πλεονεξίαν δὲ εἰς τοὺς ἥττους τῶν
μειζόνων· συνελόντι δὲ εἰπεῖν οἰκίας σχῆμα καὶ τύπον μιμήσα-
33 σθαι. τί δὴ τοῦτ' ἐστίν; εἰσὶν ἄρχοντες ἐν οἰκίᾳ πατέρες παίδων
καὶ δούλων δεσπόται. πῶς οὖν οὗτοι καλῶς οἰκοῦσιν; ὅταν οἱ
μὲν ἄρχοντες μὴ πάντ' ἐξεῖναι νομίζωσιν ἑαυτοῖς, ἀλλ' ἑκόντες 835 D
ὑφαιρῶσι τῆς ἐξουσίας, οἱ δ' ὅ τι ἂν δοκῇ τοῖς κρείττοσιν ὡς
ἐξὸν δέχωνται. ἄνευ δὲ ταύτης τῆς ἑκατέρωθεν εὐγνωμοσύνης οὐ
34 ῥᾴδιον εὑρεῖν οἰκίαν ἥτις σωθήσεται. τοῦτο τοίνυν καὶ ἐπὶ τὰ
κοινὰ τῆς πόλεως πράγματα ἀγαγεῖν ἔμοιγε δοκεῖ νῦν, λογι-
ζομένους τοὺς μὲν ἀξιοῦντας εἶναι κρείττους, ὅτι ἂν τοὺς ἥττους
ἑκόντες διαφθείρωσιν, τῇ σφετέρᾳ λυμαίνονται φιλοτιμίᾳ — τὸ 566 J
γὰρ εἶναι τοὺς ἥττους κέρδος τοῖς κρείττοσιν, εἴπερ ἕξουσιν ὧν
ἔσονται κρείττους .... δεικνύναι —, τοὺς δὲ ἀπολειπομένους ἢ ταῖς
οὐσίαις ἢ κατὰ τὴν ἄλλην τύχην, ὅτι τοῖς μείζοσιν ἐὰν ἐπηρεάζωσιν,
τῇ σφετέρᾳ λυμαίνονται σωτηρίᾳ πολὺ μᾶλλον ἢ εἰ τὸ τεῖχος
35 ἑκόντες καθῄρουν. νόμος γάρ ἐστιν οὗτος φύσει κείμενος ὡς ἀλη-
θῶς ὑπὸ τῶν κρειττόνων καταδειχθείς, ἀκούειν τὸν ἥττω τοῦ
κρείττονος. κἄν τις ἐλευθερίας σύμβολον ποιῆται τὸ διαφθείρειν
τὸν νόμον, αὑτὸν ἐξαπατᾷ καὶ ποιεῖ παραπλήσιον, ὥσπερ ἂν εἰ
κοινῇ πάντες ἄνθρωποι τοῖς θεοῖς φθονήσαντες εἶτα μὴ νομί-
36 ζοιεν. εἰ δέ τις ὑμῶν τῷ πολλὰ καὶ δεινὰ πεπονθέναι, πρὶν
λαβεῖν δίκην, οὐκ ἀνεκτὸν ἡγεῖται καταλύσασθαι, πρῶτον μὲν αὑτῷ
τοὔμπαλιν διάκειται. εἰ γὰρ τοσούτων καὶ τηλικούτων κακῶν ἡ
στάσις αἰτία γίγνεται ὥστ' ἀβίωτον νομίζειν, εἰ μή τις ὁπωσοῦν
δίκην λήψεται, πῶς οὐ φεύγειν κράτιστον ἀπ' αὐτῆς; ἔστι γὰρ
εὖ φρονούντων ὧν μὲν εὐφραινόντων πεπείρανται μὴ θέλειν ἀφί-
στασθαι, ἃ δ' οὕτως σκληρὰ καὶ ταραχώδη καὶ πανταχοῦ μεστὰ
ἀηδίας εὑρήκασι, τούτων ὡς τάχιστα παύεσθαι, μὴ τὸ κακὸν τοῦ
κακοῦ φάρμακον ἡγουμένους, ἀλλὰ νομίζοντας μνήμην καὶ λήθην

---

2 δ' SD μιμήσασθαι D, μιμήσασθε^{αι} S pr. m.: μιμήσασθε AUT 3 τί δὲ τοῦτ' D τί δὴ καὶ τοῦτ' U 5 μὴ] οὐ U 6 ὑφαιρῶσι DUS^2 (υ in ras., S^1 incertum): ἀφαιρῶσι AT δοκῇ] ῇ in ras. S^2 7 δέχωνται ADŪT^2 (ων in ras.): δέχονται S (et certo T^1) 8 τοῦτο SD: τουτοὶ A^{r}TU, τοῦτο εἰ, ut videtur, A^1 9 apud ἀγαγεῖν aegre careo pronomine ὑμᾶς 10 τοὺσ ἥττουσ add. U^2 mg. 12 ἐξουσιῶν A^1 (corr. A^2); futura (ἕξουσιν — ἔσονται) elegantiae: Krüger, Gr. Gr. § 53, 7, 1 13 lacunam indicavi: ad sententiam ὡς πλείστους (vel καλλίστους) desideratur δεικνύναι om. S (lacuna amplior) 15 sq. τεῖ-χοσ|καθήρουν S^1 18 ποιῆται] η in ras. S^2 τὸ φθείρειν U 22 αὑτῷ UTA^2, αυτῶ S^1, αὐτὰ A^1 23 τοὔμπαλιν] ὔμ in ras. A^2, A^1 incertum 25 δίκη D 27 οὕτω DUT 28 εὕρηται S παύεσθαι S: παύσασθαι ADUT, cf. p. 62, 20 29 νομίζοντας] ας infra ras. corr. U^2, νομίζοντεσ D

δύο προσρήματα ἐναντίω δυοῖν ἐναντίοιν εἶναι πραγμάτοιν, καὶ
δεῖν τὰ μὲν χρηστὰ τῇ μνήμῃ σημειοῦσθαι, τὰ δὲ φαῦλα τῇ λήθῃ
παραγράφεσθαι. ἐπειθ᾽ ὅταν καὶ παντάπασιν ὁ θυμὸς προσίστη- 37
836 D *ται, τὸν ἀρχαῖον ἀντίπαλον παραλαμβάνοντας αὐτοῦ δεῖ τὸν λο-*
γισμὸν ὡδὶ λέγειν πρὸς αὑτούς· ʽἡμεῖς ἐσμὲν Ῥόδιοι, κἄν τις ἡμῖν
Ἑλλήνων ἢ βαρβάρων εὐγενείας ἀμφισβητῇ, βουλοίμεθ᾽ ἂν αὐτοῦ
κρατεῖν. οὐκοῦν ὅτε τοῦτο βουλόμεθα, ἡ πατρὶς ἡμῖν σωστέα
κοινῇ, ἵν᾽ ἔχωμεν ἐφ᾽ ᾗ φρονοῦμεν· οὐκοῦν στασιαζόντων μὲν ἀπόλ-
λυται, μιᾷ δὲ γνώμῃ χρησαμένων ἅμα καλλίων καὶ μείζων γίγνεται.
τί οὖν ἡμᾶς αὐτοὺς καταλύομεν;᾽ ταῦτα εἷς ἕκαστος εἰ πρὸς αὑτὸν
εἰπεῖν ἐθελήσειεν, οὐ δώσει χώραν τοῖς παροξυσμοῖς. πῶς γὰρ 38
567 J *οὐχ ὡς ἀληθῶς ἄτοπον εἰς μὲν τοὺς ὑπὲρ τῆς πατρίδος λόγους*
πάντας ἂν ὡσαύτως ἔχειν, εἰ δεήσειεν, εἰς δ᾽ αὐτὸ τὸ σῶσαι τὴν
πατρίδα καὶ τῇ τῶν λόγων εὐφημίᾳ περὶ αὐτῆς ἔχειν χρῆσθαι μὴ
τολμᾶν ταὐτὸν φρονῆσαι, ἀλλ᾽ ἔργῳ μὲν ἀπολλύειν, λόγῳ δὲ κο-
σμεῖν, καὶ τὴν Κλεομένους τοῦ Λακωνικοῦ δίκην ἀναμένειν, ὃς τὸ
αὑτοῦ σῶμα κατεχόρδευσεν ἐκ ποδῶν ἀρξάμενος; ἢ τί πρὸς θεῶν 39
οἴεσθε [εἰ] τοῦτον ἕκαστος προθέμενοι τὸν ὅρον, ὅταν τοὺς ἐχ-
θροὺς ἐκποδὼν ποιήσητε, τότε σωφρονήσειν; ἆρ᾽ ἄλλο τι λείπε-
σθαι ἢ τοσούτων ἀνδρῶν καὶ γυναικῶν ἕνα καὶ μίαν λειφθῆναι,
καθάπερ τοὺς ἐκ τοῦ κατακλυσμοῦ λέγουσιν; καὶ τί τῶν γυναικῶν
διοίσετε τῶν τὸν Πενθέα διασπασαμένων, ὅταν αὐτοὶ τὸ κοινὸν
σῶμα τῆς πόλεως ταῖς ὑμετέραις αὐτῶν χερσὶ διασπάσησθε; δεῖ 40
δὲ τοὺς μὲν πεπονθότας τὰ μὲν συμβεβηκότα καιρῷ τινι καὶ τύχῃ

---

1 *προσρήματα ἐναντίω* (ε, α supra lin.) U, corr. U[2], *προσρήματα ἐναντία* S *πραγμάτων* A 4 *δεῖ* deletum vult Wil., ne appositio *τὸν λογισμὸν* a verbis, quibus subiuncta est, separata sit; cf. ad p. 53, 24 5 *αὐτοὺσ* AD a. corr. U[1]T *ὑμεῖσ ἐσμὲσ* D *ὑμῖν* D 7 *βουλόμεθα* A p. ras. SDTU (at *ο* in ras. U[2]): *βουλώμεθα* A a. ras. 8 *ἔχωμεν — φρονοῦμεν* S: *ἔχωμεν — φρονοῖμεν* U, *ἔχοιμεν — φρονοῦμεν* D, *ἔχοιμεν — φρονῶμεν* AT[1] (*φρονοῖμεν* T[2]) 9 *καλλίω* A[1] (corr. A[r]) S[1] *μείζων τι γίγνεται* D *γίνεται* S 10 *ὑμᾶσ* D *ταῦθ᾽* D *αὑτὸν* AT *αυτὸν* S, *ἑαυτὸν* D 13 *εἰσ αὐτὸ δὲ τὸ* S 16 *δίκην* scripsi (cf. v. l. p. 66, 4): *νίκην* O; cf. Herodot. VI 75. 84 17 *αὑτοῦ* ST, *ἑαυτοῦ* U 18 *εἰ* secl. Wil. *τῶν ὅρων* D 19 *ποιήσητε* ASU[1]T: *ποιήσηται* DU[2]; activum quod optimi libri testantur, apud *ἐκποδών* a scriptoribus serioribus (e. g. Polybio) interdum exhibitum *σωφρονήσειν* Rsk.[2]: *σωφρονῆσαι* ASUT, *σωφρονίσαι* D 20 an *μίαν ⟨ἂν⟩ λειφθῆναι?* *λειφθῆναι* |||||||· *καθάπερ* D, c. 3 litt. eras. 22 *πενθέασιν ἀσπασαμένων* D 23 *δεῖ δὲ τοὺς κτἑ.*] ʽqui mala perpessi sunt, tribuunto ea fortunae adversae, idque pro summo habento solacio, quod fortunae illi (*τούτου*) licet ea adscribere neque oportet tribuere ipsorum peccatis᾽; at cf. ad p. 66, 1

δοῦναι, τούτου δὲ μηδὲν μεῖζον κέρδος ἡγεῖσθαι, τοὺς δὲ αὖ δεδρακότας οἷς μὲν ἔπραξαν αἰσχύνεσθαι ⟨καὶ⟩ μὴ φιλοτιμεῖσθαι, τῷ 837 D
δὲ ἑκόντας ὑπάρξαι τῆς ὁμονοίας λῦσαι τὰ πρότερα, ἀποχρῶντα μισθὸν ἐκείνων θεμένους τὸ μὴ δοῦναι δίκην, νομίσαντας λαμβάνειν.

41 *Ἡγοῦμαι δὲ τοσαῦτα ἐνεῖναι κακὰ τῇ στάσει ὥσθ᾽ ὑπὲρ μὲν ἄλλου τινὸς εἴ τις βούλοιτο ἀποτρέπειν, προσήκειν ὅσα βλάπτοι λέγειν, ὑπὲρ δὲ τούτου πᾶν τοὐναντίον λυσιτελεῖν σιωπᾶν μᾶλλον ἢ κινεῖν τὴν μνήμην ὧν ἕκαστοι πεπόνθασιν, ὅστις μὴ τοὐναντίον οὗ βούλεται μέλλει ποιήσειν. ἀλλ᾽ οὓς γε ὑπὲρ τοῦ ἑτέρου τις ἂν εἰπεῖν ἔχοι λόγους τῆς ὁμονοίας, εἰσὶ μὲν ἤδη μυρίων, ὅμως δὲ χρὴ τοὺς ἐπῳδοὺς μιμήσασθαι, οἳ τὰς αὐτὰς φωνὰς φθεγγό-*
42 *μενοι πολλάκις οὕτως ἀνύτειν δοκοῦσιν. μόνη μὲν γὰρ τὰς ἐκ Διὸς ὥρας βεβαιοῖ, μόνη δὲ ἅπαντα ἐπισφραγίζεται, τὰ μὲν κατὰ τὴν χώραν γεωργίαις κοσμοῦσα καὶ τῶν τε ὑπαρχόντων ἐπικαρπίας καὶ ἑτέρων κτῆσιν διδοῦσα, τὰ δ᾽ ἐν τῇ πόλει κατ᾽ εὐχὴν ἄγουσα, δι᾽ ἣν γάμοι τε ὡραῖοι καὶ ἐκδιδόναι καὶ λαμβάνειν εἰς οὕς τις βούλεται καὶ ὅθεν βούλεται, καὶ παίδων τροφαὶ καὶ παιδεία κατὰ τοὺς πατρίους νόμους, καὶ ὑπὲρ γυναικῶν ἄδεια καὶ πίστις συμβολαίων καὶ ξένων ὑποδοχαὶ καὶ θεῶν θεραπεῖαι καὶ πρόσοδοι* 568 J
καὶ χοροὶ καὶ θυμηδίαι, ἔτι δὲ ἐκκλησίαι καὶ βουλευτήρια, ⟨ἃ⟩ θεῶν ἡ πρεσβυτάτη συνάγει Θέμις, καὶ πένησιν ἀφορμαὶ βίου καὶ πλουσίοις ἀπόλαυσις τῶν ὄντων, καὶ πρεσβύταις γηροκομηθῆναι καὶ νέοις ἐν κόσμῳ ζῆν, καὶ τὸ λεγόμενον δὴ τοῦτο πάντα κοινά, ὥσπερ
43 *τὸ τοῦ ἡλίου φῶς, ὑφ᾽ ᾧ σῳζόμεθα. καίτοι πῶς οὐκ ἄλογον τῶν* 838 D
μὲν πολιτευομένων τούτους μάλιστα ἐπαινεῖν οἵτινες ἂν πλείστας ὑμῖν τὰς εὐφροσύνας παρασκευάζωσιν, ἢ θεάματα ἀνευρίσκοντες

---

1 *κέρδοσ* (β) *μεῖζον* (α) T[1], *μεῖζον* (β) *κέρδοσ* (α) U, *β α* add. U[2] *ἡγεῖσθαι*] *αἰτεῖσθαι* Wil.; ut non necessarium, ita fortasse verum *δ᾽* SD 2 *καὶ* addidi *τῷ*] *τὸ* T 4 *δίκην*] *νίκην* S[1] *νομίσαντας*] *ἐθελήσαντασ* D, *γρ. θελήσαντασ* U[2] mg. 6 *τοσαῦτ᾽* SD 7 *βλάπτει* DU 8 *λέγει* U[1] 11 *τῆς ὁμονοίας* cave temptes (*μόνη* 13. 14) *μὲν*] *γὰρ* U *μυρίων* A a. ras.: *μυρίοι* SDUTA p. ras. (*μυρίοι οἱ εἰρηκότες* Rsk.) 12 *αὐτὰς*] *αὐτῶν* D 13 *ἀνύττειν* AS[1] 14 *ἐπισφραγίζεται*] *αι* in ras. S[2] 15 *γεωργίαισ*] *ισ* in ras. A[r] *τε* om. U[1] 18 *τροφαὶ*] *αι* in ras. U[2], *τροφὴν* A (-HN ex archetypi ΤΡΟΦΗ with ΑΙ superscript) 19 *πίστεισ* D 20 *θεραπεία* AU[1]; cf. or. XXVII § 14 21 *ἃ* U (ci. Canter): om. ASDT 22 *πλουσίω* S[1], ut videtur 23 *πρεσβύταισ* D: *πρεσβύτη* SUT *πρεσβήτηι* A *γηρωκομηθῆναι* A[r]SDUT *καὶ τοῖσ νέοισ* D 24 *δὴ πάντα τοῦτο* S[1] 25 *ὑφ᾽ ᾧ* om. A[1] (mg. /), add. A[2] mg. (ΦΩCΥΦΩΙC) 26 *ἂν πλείστασ τὰσ ἀφορμὰσ παρασκευάζωσιν* U, *γρ. ὑμῖν τὰσ εὐφροσύνασ* U[2] mg.

ἢ χρήματα νέμοντες ἢ κοσμοῦντες ἑνί γέ τῳ τρόπῳ τὴν πόλιν,
αὐτοὺς δὲ τοσούτων ἀγαθῶν ἑκόντας ἀποστατεῖν, ὥσπερ ἄλλοις
τισίν, ἀλλ᾿ οὐχ ὑμῖν αὐτοῖς λυμαινομένους; δεῖ τοίνυν ὥσπερ ζω- 44
γράφου τινὸς εἰκόνας ἀμφοῖν προτεθεικότος βλέποντας ἐναλλὰξ
εἰς ἑκατέραν [ἢ καὶ ποιητοῦ τινος διηγουμένου], ὡς ἡ μὲν εὐσχή-
μων καὶ εὐπαγὴς καὶ εὔχρους καὶ εὔχαρις καὶ ὁμολογοῦσα ἑαυτῇ
διὰ πάντων ἀκριβῶς ἐκ θεῶν ἥκουσα ἐπὶ γῆν, ἡ δ᾿ ἑτέρα θεα-
μάτων πάντων πικρότατον, τὴν μὲν κεφαλὴν ὑπτία, τὰ δὲ χείλη
πελιδνή, τοὺς δὲ ὀφθαλμοὺς διεστραμμένη, ἐξῳδηκυῖα, δάκρυσι
νεορράντοις ἀεὶ συνεχομένη, τὼ χεῖρε ἀκρατής, τὸ ξίφος εἴσω
πρὸς τὸ στῆθος φέρουσα, ἐπὶ λεπτῶν τῶν ποδῶν καὶ σκολιῶν
αἰωρουμένη, περὶ δὲ αὐτὴν ὥσπερ δίκτυον ἐν κύκλῳ ζόφος καὶ
σκότος, ὑφ᾿ ὧν τὰ πολλὰ μνήμασιν ἀνθ᾿ ἱερῶν ἐνδιαιτᾶται·
πρὸς ταῦτα χρὴ βλέποντας οὕτω τὴν αἵρεσιν ποιεῖσθαι, δοκιμά-
ζοντας ἐπὶ σχολῆς ὁποτέρᾳ βέλτιον συνεῖναι. καὶ μὴν ἅπασι 45
889 D μὲν ἀνθρώποις τοῦ παντὸς ἄξιον σπουδάζειν ὑπὲρ τῆς ὁμονοίας·
ὅσῳ δὲ ὑμῖν μάλιστα τῶν ἄλλων οὐ πολλοῦ λόγου δεῖξαι, οἵ τὸ
μὲν ἀρχαῖόν ἐστε Δωριεῖς ἐκ Πελοποννήσου, μόνοι δὲ εἰς τοῦτον
τὸν χρόνον Ἕλληνες διὰ παντός, Ἡρακλείδαις δὲ καὶ Ἀσκληπιάδαις
ἀρχηγέταις καὶ βασιλεῦσι κέχρησθε. πρὸς δὲ τούτοις ἡ πόλις ὑμῶν
καλλίστη τῶν Ἑλληνίδων διὰ πάσης τῆς κατασκευῆς. καίτοι δεινὸν

---

1 ἑνί γέ τῳ (τῶι A) τρόπῳ AU; ἑνί γε τρόπω T, ἁμωσγέπωσ SD (cf. Schmid p. 76) 2 αυτοὺσ S[1] (αὐτ. S[2]) ἀποστατεῖν AT ἀποστ^{ερ}ατεῖν U pr. m., ἀποστερεῖν SD 3 λυμαινομένοισ U[1] 4 προστεθεικότοσ D βλέποντεσ U, βλέποντοσ D εἰσ ἑκατέραν ἐναλλὰξ D 5 εἰσ ἑκάτερον AT p. corr. (corr. pr. m.) ἢ καὶ — διηγουμένου seclusi: verba post ἑκατέραν ADUT, post προτεθεικότος S; incerta sedes, inconcinna dictio (deest quod vv. βλέποντας κτἑ. respondeat), ipsa brevis sententiae comprehensio v. 14 evincunt glossema (fort. ad ὡς explicandum inventum) 6 εὔχρωσ SDU[2]; cf. v. l. p. 3, 22 9 διεστραμμένη UT: ἀπεστραμμένη ASD post διεστραμμένη add. διεφθαρμένη A ἀκρατῶσ D 10 δάκρυσι νεορράντοισ SDUTA[2] mg. c. γρ.: δάκρυσιν ἀρρήτοισ A[1]; δάκρυα ἄρρητα, si quid, sunt lacrimae nefandae, quae non ob bonam causam diffunduntur; quod huius non est loci συνεχομένη] συγχεομένη dubitanter Rsk. in litteris (J. J. Reiskes Briefe ed. Foester p. 454; cf. J. J. Reiskens Lebensbeschreibung p. 459) 12 αἰωρουμένη A[1]U: ἑωρουμένη A[2]T[1], αἰρομένη D αἰρομένη T[2] mg. U[1] mg. c. γρ. κύκλῳ] ὧ S 13 ὑφ᾿ ὧν] sc. σκότους καὶ ζόφου 14 ταῦτα] ἃ SD οὕτω καὶ τὴν U δοκιμάζοντεσ T 15 ὁπότερα (-οτέρα A[r]) A[1] βελτίω A βελτίων U[1] συνεῖσαι D 18 μόνοι — 20 κέχρησθε] Rhodii nusquam Macedonum vel Aegyptiorum dicionis erant, deinde sub imperio Romano libera civitas: ergo semper Graeci, non Macedones nec Aegyptii (nec Romani). Ad Ἡρακλείδαις spectat et ἀρχηγέταις et βασιλεῦσι (Hom. *B* 653 sqq.), ad Ἀσκληπιάδαις solum βασιλεῦσι (or. XXXVIII § 13) 19 δὲ] τε Rsk.[2] 20 ἀρχηγοῖσ U καὶ om. D ὑμῶν DUT: ἡμῶν A, ὑμῖν S; delendum censeo

τῶν μὲν σωμάτων τῶν καλῶν καὶ τοῖς ἀλλοτρίοις πλείω τὴν πρόνοιαν εἶναι, ὑμᾶς δὲ τῶν ὑμετέρων αὐτῶν καλῶν μὴ φείδεσθαι. 569 J
46 *ἐνθυμήθητε δὲ ὅσην φιλοτιμίαν ὑμῖν ἔχει τὰ ὑπὸ τῶν ποιητῶν εἰς ὑμᾶς εἰρημένα, ὧν ἐγὼ τοὺς λόγους ὑπερβὰς τῆς Ὁμήρου μόνης μαρτυρίας μνησθήσομαι. ἔχει δὲ αὕτη πῶς;*

οἳ Ῥόδον ἀμφενέμοντο διὰ τρίχα κοσμηθέντες,
Λίνδον Ἰηλυσόν τε καὶ ἀργινόεντα Κάμειρον (*B* 655 sq.).

δάκνομαι μὲν ἔγωγ' ἤδη πρὸς τὸ ῥῆμα, σκοπῶν ὡς ἀναξίως αὐτοῦ διακείμεθα, οὐδενὶ κόσμῳ νῦν ἀγόμενοι. τὰ δὲ λοιπὰ ποῖ' ἄττα τῆς μαρτυρίας;

τριχθὰ δὲ ᾤκηθεν καταφυλαδόν, ἠδὲ φίληθεν
ἐκ Διός, ὅς τε θεοῖσι καὶ ἀνθρώποισιν ἀνάσσει (*B* 668 sq.).

47 *ἐνθυμεῖσθ' ὅτι πάντα σχεδὸν εὐφημήσας εἰς τοὺς Ἕλληνας ὁ ποιητὴς τὰ μέγιστα τῶν ἁπάντων ὑμῖν ἀνέθηκεν. πότερον οὖν στασιάζοντες καὶ τεταραγμένοι καὶ ὑμᾶς αὐτοὺς μισοῦντες μᾶλλον ἂν εἶναι θεοφιλεῖς ἡγεῖσθε καὶ τὰ παρὰ τοῦ ποιητοῦ βεβαιοῦν ἢ δι'*
48 *εὐνομίας καὶ ὁμονοίας ἄγοντες τὴν πόλιν; εἶεν. θεοφιλεῖς δὲ ὄντες πότερον στασιάζειν καὶ ταράττεσθαι καὶ κατάραις ἐχθρῶν συζῆν μᾶλλον ἂν οἴεσθε ἢ τοὐναντίον ὡς αἱ τῶν σωφρόνων εὐχαὶ πράττειν, τιμᾶν μὲν τοὺς θεούς, γνωρίζειν δὲ ἀλλήλους, εὐθενεῖν* 840 D
δὲ τοῖς ἅπασιν; οὐκοῦν ἐπειδὴ δι' ἀμφοτέρων ἡ μὲν στάσις ὑμῶν ἀλλότριον καὶ θεοῖς ἐχθρόν, ἡ δὲ ὁμόνοια μόνον σωτήριον φαίνεται, προσήκει δήπουθεν ὡς ἐν χρημάτων λογισμῷ τὸ συμβαῖνον
49 *δέχεσθαι. καὶ μὴν οὐδ' ἐκεῖνο εὔλογον, τοὺς μὲν προγόνους ὑμῶν τριχῇ πρότερον μεμερισμένους συνελθεῖν εἰς ταὐτὸ ὑπὲρ τῆς πρὸς ἀλλήλους πίστεως καὶ μίαν ἐξ ἁπασῶν πόλιν οἰκῆσαι, ὑμᾶς δὲ ἐκ μιᾶς πόλεως πολλὰς ἀποφῆναι τῷ διῃρῆσθαι. ὑπερβολὴ δ' ἂν γένοιτο, εἰ τριχῇ μὲν οἰκοῦντες ἓν καὶ ταὐτὸ φρονοῦντες ἐδείκνυσθε,*

---

3 *τὰ ὑπὸ* SDUT p. ras.: *τά θ' ὑπὸ* AT a. ras. 4 *λόγουσ* ATU[1]: *ἄλλουσ* SDU[2] *μαρτυρίασ μόνησ* S 5 *δὲ οὕτως πως* aut *δὲ αὕτη ⟨οὕτως⟩ πως* Rsk.[2] 7 *ἰήλυσσόν* D, ut Homeri Vindob. *ἀργεινόεντα* AS *Κάμιρον* Aristidi non tribuendum videtur 9 haereo in *διακείμεθα* (pro *διάκεισθε*), at fort. tolerandum *νῦν* AU: *τὰ νῦν* SDT *ποῖα ἄττα* A (deest spiritus) ST 11 *ἠδ' ἐφίληθεν* AU 13 *εἰς* om. U (quare in antecedentibus *πάντασ* corr. U[2]) 14 *ἀνέθηκε(ν)* SUT pr. m. in ras.: *προσέθηκε(ν)* ADT a. ras. 16 *ἡγῆσθε* U[1] *τα*] *τὸν ἔπαινον* D 19 *ἂν μᾶλλον* D *οἴεσθε*] immo *ἕλοισθε*; *οἴεσθε ⟨χρῆναι⟩* Canter 20 *εὐσθενεῖν* D 22 *ἐχθρὸν* DS: *ἐχθρὰ̀* (" = *-ὸν*) T pr. m., *ἐχθρὰ* AU *σωτήριον* AT: *σωτήριον τῇ πόλει* SDU 23 *ὡσ* AT: *ὥσπερ* SDU 25 *ταυτὸν* D 26 *ἀλλήλουσ πίστεωσ* AT, at s. l. *ὁμονοίασ καὶ* add. T[1] (aut T[2]), *ἀλλήλουσ ὁμονοίασ καὶ πίστεωσ* SDU; 'pro fide quam vobis invicem habebatis' *ἐξ ἁπασῶν*] sc. *συνῳκισμένην*, quod e *συνελθεῖν* suppleveris 28 *ἐδείκνυσθ'* A

ὁμοῦ δ᾽ ὄντες ἀλλήλοις πολεμήσετε. οὐκ αἰσχύνεσθε τὸν Ἥλιον, 50
ὃς τοῖς μὲν ἄλλοις θεατής ἐστι τῶν γιγνομένων, ὑμῶν δὲ καὶ
ἀρχηγέτης; οὐχ ἕκαστος ὑμῶν τὴν παροῦσαν ἡμέραν ἡγήσεται
ταύτην πρώτην εἶναι τῇ νήσῳ τῆς γενέσεως, ὅτ᾽ ἐκ τῆς θαλάττης
570 J ἀνῄει δῶρον τῷ θεῷ; οὐχ ὅπως μὴ τῶν ἱεροσύλων φαυλότερος
φανεῖται λυμαινόμενος τῷ κλήρῳ τοῦ θεοῦ φροντιεῖ; οὐ τὰς χεῖρας
ἄρας ἄνω σὺν αἰδοῖ καὶ δέει συγγνώμην αἰτήσει τῶν μέχρι τοῦδε
ἡμαρτημένων τοὺς θεούς; ἀλλ᾽ ὥσπερ ἐν σκοτομαίνῃ φθείρεσθε 51
τὴν ἱερὰν τοῦ Ἡλίου πόλιν νεμόμενοι. ἢ νομίζετε τοὺς σὺν Ὀδυσσεῖ
Κεφαλλῆνας οὕτως ἐναγεῖς εἶναι τοῦ θεοῦ δόξειν ὡς ὑμᾶς, εἰ
διαπορθήσετ᾽ αὐτῷ τὴν πόλιν; καὶ μὴν εἰ καὶ τοῦτο δεῖ προσθεῖ-
ναι, κἀκεῖνοι μέχρι μὲν τῆς ἀρίστης γνώμης ἠκροῶντο καὶ ὡμο-
841 D νόουν, ἀπείχοντο τῶν βοῶν καὶ ἐσῴζοντο· ἐπεὶ δὲ διέστησαν, ἀπώ-
λοντο πλὴν ἑνὸς τοῦ τὰ βέλτιστα συμβουλεύοντος. ἀποβλέψατε 52
δὴ καὶ πρὸς τοὺς τρίποδας τοὺς ἐν Διονύσου τουτουσί — πάντως
δὲ χαίρετε αὐτοὺς προσορῶντες —· ἆρ᾽ οὖν ποτ᾽ ἂν οὗτοι στα-
θῆναι δοκοῦσιν ὑμῖν τῶν χορῶν ἐν αὐτοῖς μαχομένων; ἢ τοῦτό γε
εὔδηλον ὅτι κἂν εἰ μὴ τἀναντία μηδ᾽ ἄλλος ἄλλο τι, ταὐτὰ δὲ
ῥήματα, μὴ κατὰ ταὐτὸν ⟨δ᾽⟩ ἅπαντες ᾖδον, φεύγειν λοιπὸν ἦν
αὐτοῖς; καὶ μὴν οὐδεὶς χορὸς ἀσύμφωνος οὕτως ἄωρον θέαμα ὡς
ὁ Ῥοδίων δῆμος μὴ ταὐτὸν φθεγγόμενος. εἶεν. οἱ δὲ τοὺς λη- 53
στὰς ἐκεῖνοι καταδιώξαντες καὶ τὰ νεώρια κοσμήσαντες τοῖς ἐμ-
βόλοις καὶ ταῖς μεγάλαις ἐκείναις τριήρεσιν, ἃς ἡμεῖς εἴδομεν
πρὸ τοῦ σεισμοῦ, πρὸς θεῶν, εἰ μὴ Τυρρηνοῖς μηδὲ τοῖς πλοίοις
τοῖς λῃστικοῖς, ἀλλ᾽ αὐτοῖς κατὰ ναῦν ἐμάχοντο, ἆρ᾽ ἄν ποτε τῆς
θαλάττης ἦρξαν ἢ τοὺς κόσμους τούτους εἰσήγαγον εἰς τὴν πόλιν
ἢ φιλοτιμεῖσθαι τοῖς ἐξ αὐτῶν ἐπὶ τοῖς ἔργοις τούτοις κατέλιπον;
ἀλλ᾽ οἶμαι περὶ σωτηρίας ἂν αὐτοῖς πρότερον ἐγένετο. εἶτα 54

1 δ᾽ ἰόντεσ ἀλλήλουσ D 4 ταύτην] ταύτῃ Rsk.; potius τῆς γενέσεως deleverim 6 φανῆται S[1] 8 σκοτομαίνηι A: σκοτομήνῃ SDUT; cf. or. XXII § 11 φθείρεσθαι AS a. corr. (corr. S[1]); ludit in σκοτομαίνῃ et Ἡλίου ('quanquam — incolitis') 9 νεμόμενοι] λυμαινόμενοι T 10 κεφαλῆνασ S[1]DU τοῦ θεοῦ δόξειν ASUT, τῶ θεῶ δόξαι D 11 διαπορθῆσαι ταυτῶι, ut videtur, A[1] (corr. A[2]) αὐτὸ D 13 ἀπώλλοντο D 14 συμβουλεύσαντοσ D: συμβουλεύοντοσ ASUT; praecedit ἡ ἀρίστη γνώμη (v. 12) 17 αὐτοῖσ SDUT μαχόμενοι D 19 μὴ κατ᾽ αὐτὸν S[1]T δ᾽ add. Rsk. 21 ὁ τῶν ῥοδίων D 22 καταδιώξαντεσ SD: διώξαντεσ AUT ἐμβόλοις] συμβόλοισ D ἐμβόλοις — 23 εἴδομεν] cf. or. XXV § 4; locorum similitudo praeter ceteras causa fuerit, ut Aristidi or. XXV addiceretur 24 Τυρρηνοῖς] cf. or. XXV § 4; Athen. Mitth. 1895, 223 τοῖς om. A 25 λῃστρικοῖσ D, cf. ad p. 73, 8 αὐτοῖσ O 26 θαλάσσησ DT 27 τοῖσ] τοὺσ A[2] αὐτῶν AT κατέλιπον τούτοισ D 28 περὶ τῆσ σωτηρίασ UT ἐγένετο] ἐμέλετο Canter

ἐν νηὶ μὲν στάσις οὐχὶ σωτήριον, ἐν δὲ πόλει καὶ ταύτῃ περιρρύτῳ
φθείρειν ἀλλήλους συνεζευγμένους σῶφρον ἢ τὰ Λεσβίων καὶ τὰ
Μυτιληναίων κακὰ μιμεῖσθαι Ῥοδίους ὄντας; ἀλλὰ πολλῷ βέλ-
τιον ἦν ἐκείνους τῆς ὑμετέρας εὐνομίας ἐπιθυμήσαντας δρᾶσθαι
55 *ἢ τῆς ἐκείνων δυστυχίας ὑμᾶς ὑπομεῖναι μιμητὰς γενέσθαι. καί-*
τοι πρέποντα μὲν ἄν τις ἔχοι καὶ πρὸς ἐκείνους εἰπεῖν καὶ ἱκνού-
μενα· 'ἄνδρες Λέσβιοι, ποῖ προήχθητε; οἵ φατε μὲν τὴν νῆσον
ἅπασαν ὑμῖν εἶναι μουσικὴν καὶ τούτου τὴν Ὀρφέως κεφαλὴν αἰ- 571 J
τιᾶσθε, αὐτοὶ δὲ οὐκ αἰσχύνεσθε οὕτως ἀμούσως διακείμενοι; καὶ 842 D
κιθαρῳδοῖς μέν ποτε τοὺς Ἕλληνας ἐνικᾶτε, τῷ δὲ ὑπὲρ ὑμῶν
αὐτῶν μὴ δύνασθαι βουλεύσασθαι κινδυνεύετε ἡττᾶσθαι καὶ πάν-
των ἀνθρώπων; καὶ πρότερον μὲν παρ' ὑμῶν ἑτέρωσε βαδίζοντες
ἔπαυον τὰς στάσεις, νῦν δὲ οὐδὲ παρ' ὑμῖν αὐτοῖς ὑμᾶς αὐτοὺς
γνῶναι δύνασθε;' ταῦτ' ἔμοιγε δοκεῖ τις ὀρθῶς ⟨ἂν⟩ καὶ ὑπὲρ
56 *αὐτῶν εἰπεῖν νουθετῶν. οὐ μὴν ἀλλ' ἐκείνοις μέν, ὡς ἔοικεν, ἐκ*
παλαιοῦ τὸ ἄλογον τοῦτο τῆς δυστυχίας συνείμαρται καὶ πολλάκις
ἠλέγχθησαν οὐχ ὡς δεῖ διακείμενοι, ὑμῖν δὲ οὐδαμόθεν προσήκει
τὸ νόσημα, οὓς ἡμεῖς ὅτε καὶ ἦμεν παρ' ὑμῖν, τότε ἑωρῶμεν κἂν
ταῖς ἐκκλησίαις οὐ μόνον μιᾷ φωνῇ χρωμένους, ἀλλ' εἰ οἷόν τ'
εἰπεῖν καὶ ἑνὶ ῥήματι ὡς τὸ πολύ· 'ὀρθῶς' γὰρ καὶ 'στεφανοῦ' καὶ
τοιαῦθ' ὑμῖν ἤρκει καὶ τοὔνομα τοῦ δημηγοροῦντος ἀνειπεῖν
ἐνίοτε· γάνυσθαι δὲ ἦν ὁρῶντα καὶ ἀντὶ τῆς χειροτονίας τῷ νεύ-
ματι τῆς κεφαλῆς χρωμένους, ὥστε μόνους ἄν τις ὑμᾶς ἔφη δι'
57 *αἰῶνος ἄγειν ἐκεχειρίαν. ὧν οὐκ ἄξια πυνθάνομαι τὰ νῦν, οὐδὲ* 843 D
μικρόν τι καὶ ἄγνωστον τοῦ ῥυθμοῦ παραλλάττοντα· λυπηρὸν δέ
μοι κἀκεῖνο, εἰ τοῖς μὲν ἐκ γενετῆς ὀνόμασιν οὕτω σφόδρα ἑλλη-

---

1 *ἐν δὲ τῇ πόλει* D 2 *λεσβίων δεῖ καὶ* U *καὶ τὰ* ASDU: *καὶ* T 2 *μιτυληναίων* UTA^2, *μιτηληναίων* DS 8 *ὑμῖν ἅπασαν* D 9 *δ'* SD *καὶ*] an *κἂν*? 10 *δ'* D *ἡμῶν* D 11 *κινδυνεύεθ'* D *καὶ* om. D 13 *οὐδὲ*] *οὐ* T *παρ' ὑμῖν αὐτοῖς* om. S *αὐτοὺς* om. D 14 *ἂν* hic inserui, post *τισ* add. Laur. 60, 20 (inde Junt. edd.), *καὶ ὑπὲρ αὐτῶν ⟨καὶ ὑπὲρ ἄλλων⟩* Rsk.; at *ὀρθῶς καὶ ὑπὲρ αὐτῶν* unam quasi notionem efficiunt 'vere et (quia) pro illorum salute'; idem *καὶ* v. 6 17 *ἠλέχθησαν* S^1 *δεῖ* STD^1 s. l.; om. A^1, *ἐπαγγέλλονται* UA^2 *ἡμῖν* AS 18 *οὓσ*] *ὡσ* S *ὅτε καὶ* transposui: *καὶ ὅτε* O *τόθ'* D *κἂν*] 'vel' in comitiis, ubi maximus tumultus esse solet 20 *καὶ 'στεφανοῦ'* Wil., qui acclamationes agnovit: *καὶ στεφάνου* ASDT, *καὶ ἀντὶ στεφάνου* U; ceterum cf. Dio. Prus. Rhod. § 110 21 vv. *καὶ — ἐνίοτε* suspecta mihi post *καὶ τοιοῦθ'* 22 *γάννυσθαι* DUT 23 *ἂν — ἔφη*] irrealem in modum dicta, quia oratio ad Rhodios missa est discordes, qui manus non iam continerent (sed rem manibus gererent); ludit in *ἐκ(χ)ε-χειρία* *τις*] *τι* D

25 *ἀπαραλάττοντα* S^1 i. e. ΠΛ̀ΑΤΤΟΝΤΑ

νίζοντες ἐφαίνεσθε, ὥστ' οὐδὲν ἦν εὑρεῖν ὡς ἔπος εἰπεῖν παρ'
ὑμῖν ὄνομα ὅ τι μὴ Δώριον ἀπὸ τῶν ὑμετέρων ξένων ἀρξάμενον,
ἐν δὲ τῇ πολιτείᾳ τὴν πάτριον ἁρμονίαν καὶ τὴν ἀληθῶς Δωριστὶ
μεθέντες κακῶν ξενικῶν καὶ πᾶσι μᾶλλον ἢ ὑμῖν προσηκόντων
κληρονομήσετε. Μηδαμῶς, ὦ ἄνδρες καλοί τε καὶ ἀγαθοί· ἀλλ' 58
ἐνθυμηθέντες τὸ πάλαι τοῦτο ᾀδόμενον, ὅτι τῶν μὲν ἡμαρτημένων ἔνθεν καὶ ἔνθεν οὐκ ἔστ' ἀνελεῖν οὐδέν, ἀλλ' ἔχει πέρας οἷον ὁ καιρὸς ἤνεγκεν, ἀκεσταὶ δὲ τῶν ἀγαθῶν φρένες, ὡς ὁ τῶν Ῥοδίων φησὶν ἐπαινέτης (Hom. *N* 115), *καὶ τὸ μὲν ἐξ ἀρχῆς ἀναμαρτήτους φῦναι θεῶν καὶ τῶν ἐπὶ γῆς οὐδ' εἰς ἕνα ἡμῶν ἀφικνούμενον, τὸ δὲ τοῖς εὖ λέγουσιν ἐθελῆσαι πεισθῆναι πρέπον ὑμῖν, καὶ τῷ θεῷ μάλιστ' ἂν οὕτω χαρίζεσθαι νομίσαντες, ᾧ τὸ ῥῆμα τοῦτο ὁ ποιητὴς καθιέρωκεν ὄντι θαλαττίῳ, 'ὅς τε θεοῖς ἐπιπεί-*
572 J *θηται'* (Hom. *A* 218), *καὶ πρὸς τούτοις λυσιτελέστερον μὲν εἶναι*
844 D *δουλεύειν ἢ κακῶν ἐφόδιον τὴν ἐλευθερίαν ἔχειν, ... ὅμως δ'*
εἶναι δέος μὴ καὶ τούτου στερηθῆτε· μέγιστον δὲ πάντων, ἱερὰ 59
καὶ τάφους αἰσχυνθέντες καὶ τὸ τῆς Ῥόδου μέχρι τούτου ζηλωτὸν ὄνομα παύσασθε τοῦ σεισμοῦ τούτου, ὃς ὑμῖν πανταχοῦ συμπεριέρχεται καὶ μὴ δευτέρων σχετλιωτέρων δεῖσθε, ἀλλὰ γένεσθε ἐν ὑμῶν αὐτῶν, ἵνα ἡμεῖς τε ἐφ' ὑμῖν ὡς ἑταίροις ἀγαθοῖς φιλοτιμώμεθα καὶ ὑμεῖς ἐφ' ἡμῖν ὡς οἵοις πείθειν ὅτου καιρὸς ἀεί.

---

2 *ὑμετέρων* U: *ἡμετέρων* ASDT *ξένων*] fuit in civitate Rhodiaca certum quoddam ius *ξενίας*, quod peregrinis non aliter ac ius *μετοικίας* vel *πολιτείας* Rhodii factis populi scitis condonabant; cf. IGI. I 49, 50. 383 (Rhodiorum); 762. 766 (Lindiorum); exaggerare oratorem Rhodiorum Dorismum patet *ἀρξάμενον* DU (ci. Rsk.[2]): *ἀρξάμενα* AST 3 *τὴν ὡσ ἀληθῶσ* SU, *ὡσ* postea inseruit T[1] 6 *ᾀδόμενον*] Pind. O. II 15 sqq. contulit Kaibel 7 *ἔνθε καὶ ἔνθε* D *οὐδέν* U: *οὐδένα* ASTD 8 *οἷον καὶ ὁ* D *ἀγαθῶν αἱ φρένεσ* DU *ὁ τῶν*] *ὄντων* A a. ras. 10 *καὶ τῶν*] *τῶν δ'* D Simonidis frg. 5, 10 sqq. B.[4] exprimit *οὐδ' εἰσ ἕνα* (*εἰσ οὐδένα* D) *ἡμῶν* (*ὑμῶν* U) *ἀφικνούμενον* SDUT (cf. Simonid. l. c. v. 17): *οὐδεὶσ ἀναμάρτητοσ* A, interpretamentum 11 *λέγουσι θελῆσαι* D 12 *χαρίζεσθαι*] *αι* in ras. S[2], *χαρίσασθαι* D *νομίσαντες* aptius post *καὶ* legeretur (respondet *ἐνθυμηθέντες* v. 6); fortasse inter verba supplevit interpres quod mente ex *ἐνθυμηθέντες* suppletum orator voluit *ᾧ*] *ὅ* D 13 *τοῦθ'* D *ὄντι*] *ὅτι* A *τε* AU: *κε* ST (Hom.), *κεν* D; at *τε* etiam Eunap. p. 56 Boiss., ubi nunc *γε*, dedisse videtur 15 *ἢ* om. A[1] (add. mg. A[2]) lacunam indicavi; desunt e. g. ⟨*ἀνάξιον δὲ εἶναι ἀνδρῶν φρονούντων ἐφ' ἑαυτοῖς ἄλλο τι περὶ πλείονος ποιεῖσθαι ἢ ἐπ' ἐλευθερίας διάγειν*⟩, ita ut *τούτου* v. 16, quod nunc sensu caret, suam habeat explicationem; Aristides significat quae p. 61, 20 minatus erat 16 *τούτου*] *τοῦδε* D 19 *δευτέρων σχετλιωτέρων*] cf. ad or. XX § 23 *δεῖσθε* Laur. 60, 20 (inde Iunt. edd.): *δέεσθε* O 20 *ἵν'* D 21 ante *ὅτου* ras. 1—2 litt. T *αἰεὶ* A[r]UT Subscr. *ῥοδίοισ περὶ ὁμονοίασ* AT

XXV.

ANONYMI

(43) ΡΟΔΙΑΚΟΣ. I 797 D I 539 J

Ἄνδρες οἱ περιλειπόμενοι Ῥοδίων, τῶν μὲν συμβεβηκότων
οὔτε ἐπιλαθέσθαι ῥᾴδιον οὔτε μεμνημένους μετρίως φέρειν. μὴ
γὰρ ὅτι ὑμῖν, οἵ ποτε εὔχεσθε Ῥόδον οἰκεῖν, ἀλλὰ καὶ τοῖς ὅλως
τελοῦσιν εἰς Ἕλληνας, τίς ἂν μείζων συμφορὰ τῆς παρούσης
2 γένοιτο, τοῦ κόσμου τοῦ κοινοῦ γένους ἀπολωλότος; μάλιστα δ'
ἄν τις στενάξειεν ἐνθυμηθεὶς ὅτι πρόσθεν μὲν τοῦτο μέγιστον
εἰπεῖν ἦν περὶ τῆς πόλεως διαλεγόμενον, ὅτι παρὰ μὲν τοῖς
ἄλλοις λόγους ἐστὶν ἀκοῦσαι καὶ τροπαῖον τι λοιπὸν ἰδεῖν καὶ
μνῆμα καὶ κρήνην, καὶ δεικνυσιν ὁ περιάγων ἐν ἀμυδροῖς τοῖς
γνωρίσμασιν, οὑτοσὶ μὲν Σεμέλης θάλαμος, οὑτοσὶ δὲ Ἁρμονίας,
ἢ Λήδας, ἤ τι τῶν τοιούτων, παρ' ὑμῖν δὲ μόνοις γενόμενον ἦν
ἰδεῖν ἀκριβῶς, οὐκ ἀκοῦσαι τὴν πόλιν ἥτις ἦν. ὥσπερ γὰρ ἀρτίως
ἀπειργασμένης ἅπαντα ἐφαίνετο, ὥστ' εἶναι τὸ πρᾶγμα μὴ θρήνῳ
προσεοικός, ἀλλ' ἔκπληξιν καὶ ζῆλον ἅπασιν ἔχον τοῖς ὁρῶσιν.
3 Εἰσπλέοντι μὲν εὐθὺς λιμένες τοσοῦτοι καὶ τηλικοῦτοι, προβλῆσι
λίθοις εἰς τὸ πέλαγος ἐξανεστηκότες, οἱ μὲν τοὺς ἀπ' Ἰωνίας, οἱ 798 D
δὲ τοὺς ἀπὸ Καρίας δεχόμενοι, οἱ δὲ τοὺς ἀπ' Αἰγύπτου καὶ
Κύπρου καὶ Φοινίκης, ὥσπερ ἄλλος ἄλλῃ πόλει πεποιημένος εἰς
ὑποδοχήν. ἐπικείμενα δὲ τοῖς λιμέσι τὰ νεώρια ὅσα καὶ οἷα ἦν,
ὅτε τῆς θαλάττης ἐκρατεῖτε, καὶ οὐδὲν ἐλάττω παρὰ τὸν χρόνον
οὐδ' εἰκάζειν ἀναγκάζοντα ὅπου ποτ' ἦν ἄρα, ἀλλ' αὐτὰ ὁρώμενα

Libri SDUT = O

Titulum om. D. Ab Aristide abiudicavi orationem. Aristides ipse or. XXIV § 1 τοῦτον — τὴν πρώτην testatur orationem Ῥοδίοις περὶ ὁμονοίας primas esse litteras, quas ad Rdodios daret; atqui 'Rhodiacum' ante or. XXIV scriptum esse necesse est, quia item ipse orator or. XXIV § 3 (cf. § 53; 59) narrat se eo tempore, cum Rhodus terrae motu eversa est, in Aegypto degisse: Aristidis igitur si esset 'Rhodiacus', fieri non potest, quin oratorem in posteriore (XXIV) priorem orationem consilio tacuisse sumamus; at tertio ipse orator adest. Animi erga Rhodios propensitatem probare studet (or. XXIV § 3): quod qua re facilius meliusve facere ei licuisset quam memorato 'Rhodiaco'? at ad legatorum Rhodiacorum testimonium, quibuscum in Aegypto convenerat, refugit: ergo haec qui scripsit, 'Rhodiacum' non scripserat. Accedit quod in ipsa oratione haud pauca inveniuntur, quae ab Aristidis indole et arte adhorrent; cf. ad p. 73, 12; 74, 12. 14; 78, 21; 79, 10

4 μείζω S[1] 6 πρόσθε S[1] τοῦτο — 7 μὲν add. S[1] mg. 13 ἀπειργασμένοισ T
15 προβλῆσι] η in ras. T[2], προβλίσι D 21 εἰκάζειν ἀναγκάζειν ἀναγκάζοντα D

ἐκπλήττοντα. ὧν καὶ τὰς στέγας εἴ τις ἄνωθεν κατεθεάσατο,
εἴκασεν ἂν πεδίῳ κρεμαστῷ τινι. τριήρεις δὲ ἐπὶ τούτοις ὑπῆρχεν 4
ἰδεῖν δικρότους καὶ τρικρότους καὶ εἰς ἑπτὰ καὶ εἰς ἐννέα στοίχους,
540 J *τὰς μὲν πλοΐμους, τὰς δ' ἀποκειμένας ὥσπερ ἐν ταμιείῳ· ὧν*
εἴ τις ἐβούλετο πλεῖν ἡντινοῦν καθελκύσας, ἐξῆν. .... ἑτέρων
ἐμβόλους χαλκοστόμους, τοὺς μὲν περὶ τοὺς λιμένας, τοὺς δὲ ἐν
τοῖς ἄνω τόποις τῆς πόλεως μεμερισμένους σὺν πολλοῖς καὶ
λαμπροῖς λαφύροις, τοὺς μὲν ἀπὸ τοῦ Τυρρηνῶν ληστικοῦ, τοὺς
δ' ἀπὸ τῶν ἔργων τῶν σὺν Ἀλεξάνδρῳ, τοὺς δ' ὁπόθεν αὐτῶν
ἕκαστος εἰσῆκτο εἰς τὴν πόλιν. τεμένη δὲ θεῶν καὶ ἱερὰ καὶ ἀγάλ- 5
799 D *ματα τοσαῦτα μὲν τὸ πλῆθος, τηλικαῦτα δὲ τὸ μέγεθος, τοιαῦτα*
δὲ τὸ κάλλος, ὥστ' ἄξια εἶναι τῶν ἄλλων ἔργων χαριστήρια, καὶ
ὡς μὴ εἶναι διακρῖναι τί τις αὐτῶν μᾶλλον θαυμάσειεν· ὧν γε
καὶ ἓν τὸ τυχὸν ἱκανὴν ⟨ἂν⟩ ἑτέρᾳ πόλει φιλοτιμίαν εἶχεν. ἐπὶ δὲ
τούτοις εἰκόνας μὲν χαλκᾶς πρὸς ἁπάσας τὰς ἐν τῇ λοιπῇ Ἑλλάδι,
γραφὰς δὲ τέχνης πάσης ἄλλας ἀλλαχοῦ τῆς πόλεως ἀνακειμένας,
καὶ κόσμους τοὺς μὲν μόνους ὄντας ἐνταῦθα, τοὺς δὲ καλλίστους·
καὶ τὴν μὲν ἀκρόπολιν πεδίων καὶ ἀλσῶν μεστήν, τῆς δ' ἄλλης 6
πόλεως οὐδὲν ἕτερον ἑτέρου ὑπερέχον, ἀλλὰ διαρκῆ καὶ ἴσην τὴν
κατασκευὴν οὖσαν, ὡς γένοιτ' ἂν οὐ πόλεως, ἀλλὰ μιᾶς οἰκίας.
ἀγυιὰς δὲ ἐξ ἀρχῆς εἰς τέλος διηνεκεῖς, ἥκιστα ἀξίας καλεῖσθαι
στενωπούς· λαμπρὰν δὲ λαμπρῶς ἀποτεταμένην πανταχῇ τὴν
πόλιν. τὸ δὲ ἐπὶ πᾶσι καὶ πρὸ πάντων θαῦμα καὶ ὀφθαλμοῖς 7
κόρον οὐκ ἔχον, τὸν τῶν τειχῶν κύκλον καὶ τῶν ἐγκαταμεμιγμένων
πύργων τὸ ὕψος καὶ κάλλος, ἀντὶ λαμπτήρων τοῖς προσπλέουσιν
ὄν, ὥστ' εἶναι μόνον τοῖς εἰς Ῥόδον καταίρουσι καὶ προσορῶσι
μείζοσιν εὐθὺς τὴν γνώμην γίγνεσθαι. τὸ δὲ πάντων κάλλιστον,
οὐκ ἀπηρτημένον τὸν κύκλον τοῦτον τῆς ἄλλης πόλεως οὐδὲ κενὸν
οὐδὲν ἐν μέσῳ ποιοῦντα, ἀλλὰ προσεχῆ τῇ πόλει ὥς τε στέφανον
κεφαλῇ περιθέοντα. μόνην δὲ ἦν εἰπεῖν τὴν Ῥόδον καὶ κατ' 8

---

2 *ὑπῆρχεν ἰδεῖν*] hinc pendent omnes accusativi usque ad v. 30 3 *στοίχουσ* SDU p. corr.: *στίχουσ* U a. corr. T 4 *πλωίμουσ* U *ταμείω* D 5 lacunam indicavi *ἑτέρων* ST: *ἑτέρων δ'* DU (interpolati) 6 *χαλκοστόμουσ* UT: *χαλκοστόμουσ · χαλκοπρῴρουσ* SD (-*ρωρ*-) 8 *λαμπροῖσ τοῖσ λαφύροισ* D *τοὺσ* (*οῖσ*) *μὲν* — *τοὺσ* (*οῖσ*) *δὲ* — 9 *τοὺσ* (*οῖσ*) *δὲ* S pr. m. *ληστικοῦ* U (corr. Pierson ad Moer. p. 450): *ληστρικοῦ* SDT, cf. v. l. p. 69, 25 9 *δ' ὁπόθεν* Büchner, Philolog. 1891, 184: *δ' εἴ ποθεν* O 12 *ἄλλων ἔργων*] quae praeter illa modo enumerata (v. 8—10) Rhodii ediderant facinora, *cetera* dicit, usus significatione parum laudabili; ci. *καλῶν* (vel *παλαιῶν*) Wil. 14 *φιλοτιμία* U[1] *ἂν* addidi; ceterum cf. Dion. Prus. Rhod. § 146 sqq. 15 *πρὸς*] cf. Stein ad Herod. II 35, Weil ad Demosth. XX 31 18 *δὲ* | *ἄλλησ* D 29 *ὥστε* O: *ὥσπερ* Laur. 60, 20 (inde Junt. edd.)

*οἰκίαν καὶ κοινῇ τετειχίσθαι. ἐῴκει γὰρ αὐλῆς ἕρκει τὰ τείχη
καὶ τοσοῦτον ἐδύνατο παρὰ τὴν εἴσω πόλιν, ὅσον ὁρίζειν αὐτήν,
ἐπεὶ τῇ γε ἀξίᾳ πάντ᾽ ἦν ἴσα. ὡς δ᾽ εἰπεῖν, ἓν ἀπῆν τῶν ἀρ-* 541 J
*χαίων, τὸ ναυμαχεῖν· ἡ δ᾽ ἄλλη πᾶσα πόλις καθαρὰ καθαρῶς
ἐσῴζετο· καὶ μόνον εἶπες ἂν αὐτὴν παρακεχωρηκέναι τῆς ἡγεμονίας
νοῦν ἔχουσαν, αὐτὴν δ᾽ εἶναι τὴν ποτὲ οὐκ ὄνομα ἄλλως, ἀλλ᾽* 800 D
αὐτὴν ἥπερ ἦν.

9 *Νῦν δὲ οἴχεται μὲν κάλλη λιμένων, πέπτωκε δὲ στεφάνων ὁ
κάλλιστος, ἱερὰ δὲ ἀγαλμάτων ἔρημα καὶ βωμοὶ θυσιῶν, κενοὶ δὲ
δρόμοι καὶ θέατρα ἀνδρῶν· οἱ δὲ νεώσοικοι ποῦ γῆς ἢ θαλάττης
ἐγένοντο οὐδ᾽ ἂν εἷς εἰκάσειε τῶν οὐκ εἰδότων πρόσθεν· ὁ δ᾽ εἰ-
κόνων ἀμφοτέρων ἀμύθητος ἀριθμὸς ὁμοῦ ταῖς πέτραις καὶ τοῖς
λειψάνοις τῶν διαφθαρέντων σωμάτων ἀναπέφυρται καὶ διέσπαρ-
ται· οἴχεται δ᾽ ἐλέφας καὶ χρυσὸς τῆς τέχνης δεύτερος· οἱ δ᾽ ἀνέ-
χοντες τὰ λάφυρα ἑκασταχοῦ τοῖχοι τῷ κόσμῳ συναπολώλασιν·
ὅσα δ᾽ ἦν ξίφη καὶ δόρατα τῶν λαφύρων, ταῦτα ἀπὸ μὲν τῶν
πολεμίων δεῦρο ἐκομίσθη, ἐν δὲ τοῖς κακοῖς ἐνταῦθα προσλελύ-
μανται τοὺς παραπίπτοντας, ὡς ἂν μάλιστα λάβοι συμφορᾶς περι-
ουσίαν. ἡ πόλις δὲ ἐν οἰκοπέδου μοίρᾳ λέλειπται, παρὰ τοσοῦτον
οὐκ ἰσόπεδος, ὅσον οἱ τὴν μνήμην τοῦ πάθους ἀνακινοῦντες ἀν-*
10 *ίσχουσι λίθοι. τοσοῦτον δ᾽ ὑπερβέβληκεν ἡ ταύτης συμφορὰ πάνθ᾽
ὅσα Ἑλληνικὰ ἀκοῇ παρειλήφαμεν, ὥσθ᾽ ὧν μὲν ἀρτίως ἐμεμνήμην,
αὐτά γε δή που ταῦτα βασίλεια δυναστῶν καὶ θάλαμοί τινες δεί-
κνυνται, καί τινα καὶ τῶν πόλεων ἔτι λείπεται μέρη, καὶ φαίης
ἂν ἐλάττους ἐκ μειζόνων αὐτὰς γεγονέναι· ἐνταυθοῖ δὲ οὐδ᾽ ὅσον
τὸν περιάξοντα ἐνοικῆσαι λείπεται. κἀκεῖ μὲν ἂν μνῆμα καὶ τρό-*

---

2 *ἠδύνατο* T   post *αὐτὴν* si minus inter verba, at certe mente supplendum *πρὸς τὰ ἔξω*   3 *γε* om. U[1]   4 *ναυμαχεῖν* fort. interpretamentum (cf. p. 81, 10) verbi genuini, e. g. *θαλαττοκρατεῖν*, quod ad sententiam necessarium; *ναυκρατεῖν* Canter; ʽni desiisset civitas (in) mari pugnare (regnare), antiqua illa Rhodus esset; ipsius enim urbis splendor servatus est tam egregie, ut urbs non videatur esse civitatis armis coactae cedere (ideoque bello contritae)ʼ   8 *οἴχεται πάντα μὲν* U   12 *ἀμφοτέρων*] sc. deorum hominumque; balbutit   14 *δὲ|ἀνέχοντεσ* D   *χρυσὸς τῆς τελειοτάτης τέχνης οὐ δεύτερος* Schmid, Philolog. 1889 (I), 378, sententiam corrumpens: ʽars quae in illis monumentis conspicua erat, maioris etiam pretii erat quam pretiosissima illorum materiesʼ; simile dicendi artificium apud Aristidem non memini me legisse   18 *λάβη* D   *ὡς — περιουσίαν* corrupta; *λάβοιεν* Canter; *περιουσίαν ἡ πόλις. ⟨αὐτὴ⟩ δὲ* Rsk.; deest subiectum velut *τὸ πρᾶγμα*   19 *οἰκοπέδου* scripsi (ʽareae devastataeʼ: Polyb. XV 23, 10 *πόλεως οἰκόπεδον ἔρημον*): *σκοπέλου* US[1] mg. T[1] mg. c. *γρ.* (ΟΙΚΟΠΕΔΟΥ: ΣΚΟΠΕΛΟΥ), *σκύλου* SDT; ludit in vv. *οἰκόπεδον* et *ἰσόπεδος*   21 *τοσοῦτο* UT   22 *μὲν* s. l. add. T[1]   24 medium *καὶ* om. T

παιον ἴδοις, ἐνταυθοῖ δὲ οὐδὲ τάφος μεμένηκεν ἀθῷος τῆς ἐπη-
ρείας, ἀλλὰ καὶ ἔξω καὶ ἔνδον ὁμοίως πέπραγεν ἡ πόλις, καὶ γέ-
801 D γονεν ἀντὶ μνήματος αὐτὴ τοῖς πολίταις. ἀντὶ δὲ τοῦ προσπλέ-
οντας καὶ πελαγίους καθορᾶν τὴν πόλιν ἐπιβάντας δεῖ ζητεῖν τί
ἕκαστον ἦν, ὅρος ἄωρον βλέποντας ἀντὶ πόλεως· τοσοῦτον τὸ παραλ-
λάττον αὐτῇ παρ' αὐτὴν καὶ τὰ τῶν ἄλλων ἀτυχήματα συμβέβηκεν·
542 J ὥστε συγγνώμη πᾶν καὶ λέγουσιν καὶ ποιοῦσιν ὑμῖν. ἀλλὰ καὶ 11
τούτων οὕτως ἐχόντων φέρειν χρή, τὸν παλαιὸν λόγον ὀρθῶς ἔχειν
νομίσαντας, ὅτι τὰ μὲν γεγονότα οὐκέτ' ἂν ἄλλως ἔχοι, οὐδ' εἰ
πάντα μὲν αἰτιώμενοι καὶ κακίζοντες τὴν τύχην λέγοιτε, πάντα δὲ
ὑμᾶς αὐτοὺς τρόπον ἀθυμίᾳ διαφθείροιτε· τὸ δὲ ταῦτα εἰς ὅσον
ἐστὶ καλῶς ἐνεγκεῖν κέρδος οὐ μικρὸν ὡς ἐν τοιούτοις. ἐστὲ δὲ 12
οὐκ ἀτυχημάτων ἐνδεεῖς, ὥστε προστιθέναι τούτοις, ἀλλ' ἀφαι-
ροῦντες μᾶλλον τῶν συμβεβηκότων καὶ τῆς ἐγχωρούσης ἀεὶ πορι-
ζόμενοι ῥᾳστώνης ἀφορμὰς εὖ φρονοῖτ' ἂν καὶ ποιοῖτε ἃ δεῖ. εἰ-
δέναι τε χρὴ Ῥοδίους ὄντας ἔτι ὁπόσοι ποτὲ καὶ λέλειφθε, καὶ
τοῦτο τὸ σεμνὸν καὶ τίμιον εἰς Ἕλληνας καὶ βαρβάρους ὄνομα
προσαφῃρημένην ὑμᾶς τὴν τύχην οὐδέν, εἰ φρονοῦντες ἄξια φαί-
νοισθε. καιρὸς δὲ νῦν εἴπερ ποτέ, ὦ ἄνδρες Ῥόδιοι, σῶσαι μὲν 13
ὑμᾶς αὐτοὺς ἐκ τῶν περιεστηκότων, βοηθῆσαι δὲ τῷ γένει τῆς
802 D νήσου, στῆναι δὲ πρὸς τὴν τύχην λαμπρῶς, ἐνθυμηθέντας ὑμῶν
τὸν τοῦ πολίτου κυβερνήτου λόγον, ὃς ἔφη χειμαζομένης αὐτῷ τῆς
νεὼς καὶ καταδύσεσθαι προσδοκῶν τοῦτο δὴ τὸ θρυλούμενον 'ἀλλ'
ὦ Ποτειδάν, ἴσθι ὅτι ὀρθὰν τὰν ναῦν καταδυσῶ'· ὡς οὐδὲν ἂν
πράξας ἀγεννὲς οὐδὲ ταπεινὸν οὐδ' ἐν τοῖς παροῦσιν, ἀλλὰ πάντα
ἂν τὰ αὑτοῦ πληρώσας πρότερον ἢ κακῶς ἀπολούμενος· ὡς τοῦ
μὲν ἀπολέσθαι καὶ καταδῦναι τὴν ναῦν τὴν τύχην κυρίαν οὖσαν

---

1 ἴδοις] οι in ras. U^2, ἴδησ D 3 αὐτὴ Rsk.: αὕτη O τοῦ UTS^2: τοὺσ S^{1}D 5 ἦν ἄωρον βλέποντασ· ὅροσ D; lusus ineptus, cf. λέγοντες οὐ λέγοντες p. 77, 5, quibus meliora ἀθέατα θεάματα p. 80, 10 τοσοῦτον — 7 ὑμᾶς] cf. Aristid. or. XIX in fine 6 καὶ τὰ] κατὰ D 7 πᾶν DU: ἂν ST 8 τὸν παλαιὸν λόγον] cf. Plat. leg. XI 934 A al. 18 οὐδέν (·) εἰ φρονοῦντεσ ἄξια φαίνοισθε S^1 mg. c. γρ. T^1 mg. c. γρ. U (nisi quod οὐδ' ἐν et φαίνεσθε U^1, corr. U^2): οὐ δεῖ φρονοῦντασ ἄξια φαίνεσθαι ST, οὐ δεῖ φρονοῦν ἄξια φαίνεσθε D 21 ἐνθυμηθέντας] ασ in ras. T^1, ἐνθυμηθέντεσ (α supra ε) S pr. m. 22 τοῦ πολίτου ⟨ὑμῶν τοῦ⟩ κυβερνήτου Rsk. (τοῦ solum add. Schmid Philol. 1889 [I], 378; at cf. or. XVII § 8 τοῦ πολίτου ποιητοῦ) 23 καταδύσεσθαι] in εσ aliquid correctum T, prius σ add. U^2 θρυλλούμενον DU 24 πότειδαν TU (-δὰν): ποτιδὰν SD ὅτι deleto ci. καταδύσων Valckenaer ad Eurip. Hipp. 196; cf. Haupt, Opusc. II 319 sq. 25 οὐδ' ἐν Rsk.: οὐδὲν O 26 τὰ αὑτοῦ Junt., ταὐτοῦ S^1 ταῦτοῦ D τἀυτοῦ TUS^2 ἀπολλούμενοσ D

ἀεί, τοῦ δὲ ἃ χρὴ πρᾶξαι πρὸ τούτου οὐκέτ᾽ ἐν ἄλλῳ τὴν ἀπαί-
τησιν, ἀλλ᾽ αὐτὸν αὑτῷ τινα τοῦτο ὀφείλοντα, καὶ οὗ μόνου κύ-
14 ριός ἐστιν, οὐχὶ δέον προλιπεῖν ἔτι ζῶντα. ὑμεῖς τοίνυν μὴ πε-
πτωκυῖαν τὴν πόλιν ἔτι μᾶλλον [ἐπι]καταβάλητε, ταπεινότητα τῷ
καιρῷ προσθέντες, ἀλλ᾽ ἐπειδήπερ κατέδυ πληγεῖσα, ὑμεῖς οἱ λοι-
ποὶ μένετε ἐν ὑμῶν αὐτῶν. καὶ γὰρ αἰσχρὸν καὶ οἴκοθεν ἔστ᾽
ἔχον τὸ ἔγκλημα, ἑνὸς ἀνδρὸς ἀγεννεστέραν φανῆναι τὴν πόλιν
ὑμᾶς τουτουσί, καὶ μὴ δεῖξαι τοῦθ᾽ ὅτι καὶ δυστυχοῦντες ἴστε ὑμᾶς
15 αὐτούς. οὕτω καὶ παρ᾽ ἀξίαν ταῦτα πεπονθέναι δόξετε. καλὸν 543 J
μὲν γὰρ οἶμαι [κἂν] τοῖς ὅπλοις νικᾶν, καὶ ναυμαχοῦντας τρόπαια
ἱστάναι πολεμ⟨ί⟩ων ἔχει φιλοτιμίαν καὶ τῆς ἐπὶ τοῖς τοιούτοις
σπουδῆς οὐκ ἄξιον τοὺς ἀγαθοὺς ἄνδρας ἐξίστασθαι, ὧν καὶ οἱ
ὑμέτεροί ποτε ὄντες πρόγονοι μεγάλην εἰκότως καὶ θαυμαστὴν 803 D
δικαίως δόξαν ἐκτήσαντο· ἐπεὶ δὲ πᾶσαί τε ὑποθέσεις τῶν τοιού-
των ἀγώνων ἐξήκουσι καὶ τὰ τῶν νῦν καιρῶν ἕτερον ἀγῶνα ἀπαιτεῖ
16 παρ᾽ ὑμῶν, τοῦτον ὑποστῆναι δεῖ. καὶ πολὺ τοῦθ᾽ ὑμῖν ἐνδο-
ξότερον καὶ κάλλιον ἐκείνων τῶν ἀγώνων, ἀντιτάξασθαι τῇ τύχῃ
καὶ ταύτης στῆσαι τρόπαιον, εἰ καὶ σφόδρα ὑμῖν ἐνήλατο τὴν
πρώτην. τῆς μὲν γὰρ ἐκεῖ νίκης οὐδεὶς τηλικοῦτός ἐστιν ὅστις
ἐστὶ κύριος διὰ τέλους, ἀλλ᾽ ὁ δαίμων τὸ πλεῖστον ἔχει μέρος,
τῆς δὲ ἐνταῦθα ἡ γνώμη κυρία. ταύτην οὖν δείξατε ἔχοντες οἵαν
χρὴ καὶ μὴ πάντ᾽ ἐλάττους τῆς τύχης γένησθε, ἀλλ᾽ ἀγωνίσασθε
17 πρὸς αὐτὴν νῦν, ἐπειδήπερ ἔμπροσθεν οὐκ ἐξῆν. . . . . . εἰ μὲν
γὰρ ἔχομεν ἀξίως ἀποδύρασθαι, κἂν ἁπάσας τὰς ὑπολοίπους τοῦ
βίου νύκτας καὶ ἡμέρας συνάψωμεν, τοῦτο ποιῶμεν — ἄξιον γὰρ
Ἑλλάδι — ἀνακαλέσαντες οὐκ εἰς τρὶς μόνον, ἀλλὰ καὶ μυριάκις
18 Ῥόδον οὕτω πεπραγυῖαν. νῦν δὲ τίς οὕτως ἢ λόγος ἐστὶν ἰσχυρὸς

---

2 *αὐτὸν αὐτῷ* D *μόνον* DU 4 *ἐπικαταβάλητε* O, seclusi *ἐπι-* (cf. Schmid p. 227) 5 *κατέδυ* U: *προκατέδυ* SDT (*προ-* e praecedente *-περ* natum); aliter p. 78, 18 6 *ἔ/στ᾽* T 7 *φανῆναι*] *ἀναφῆναι* Rsk. 9 *καὶ*] *γὰρ* vel *δὲ* Rsk. 10 *μὲν* om. T *κἂν* seclusi; *καὶ* praefert Wil. 11 *πολεμίων* scripsi (cf. oppositum *ταύτης* v. 18): *πολέμων* SDU, *ἐκ πολεμίων πολέμων* T, utrumque del. Ddf. *ἔχειν* D 18 *ἐνήλατο*] Soph. O. T. 257 *ἐνήλαθ᾽ ἡ τύχη* 19 *γὰρ* om. U¹ 23 lacunam indicavi; argumentum fuerit: 'tales vosmet ipsos praestare oportet. Et in hoc habebitis id auxilii, quod nemo est, quem vestri non misereat, neque erit, qui non magnitudine cladis commotus consolari vos cupiat; quorum e numero me ipsum esse scitote. At qui id in tam inaudita fortunae atrocitate probe fiat?'; tradita integra habet Wil. 25 *ἄξιον γὰρ Ἑλλάδι*] Aristoph. Ach. 8 26 *ἀνακαλέσαντες* Kaibel (idem distinxit locum; fuit punctum post *ποιῶμεν*): *ἀνακαλέσαι* (*ἀνακλαῦσαι* S¹ mg. U²) *γε* (S²: *με* S¹) SDUT; cf. p. 10, 15; 28, 4 27 *οὕτωσ* D (at ex *οὗτοσ* corr. pr. m.)

*ἢ σοφιστὴς ἄκρος ἢ διαρκής, ὅστις ἂν ἀξίως καταθρηνήσειε τὰ
παρόντα, μὴ πολλοστὸν μέρος ὧν οἴεται λέγειν παραλιπών, ἀλλ'
ἑξῆς ἅπαντα; τοῦτο γάρ ἐστι καὶ πάντων ἀτοπώτατον, ὅτι
ὀδυρόμενοι τὰ συμβεβηκότα καὶ διεξιόντες ὡς ἀνυπέρβλητα τὰ
πλεῖστα αὐτῶν παραλείπομεν καὶ οἰόμεθα λέγειν οὐ λέγοντες. τίς* 19
*γὰρ ἂν ἢ τὰς συμφορὰς εἴποι πρὸς ἀξίαν τὰς καινὰς ταύτας καὶ
ἀτόπους καὶ πέρα πάσης κακῶν φορᾶς γεγονυίας, ἢ τὴν ἀκμὴν
αὐτὴν τοῦ περιστάντος ὑμᾶς πράγματος; τίς δ' ἂν ἔτι σωφρονοίη
τῆς σχετλίας ἐκείνης μεσημβρίας μνησθείς, ἐν ᾗ τὸ κακὸν πρῶτον
ἤρχετο καὶ κατῄει, ἡνίκα εἱστήκει μὲν ἡ θάλαττα καραδοκοῦσα τὸ
μέλλον, ὥσπερ ἄλλον τινὰ χειμῶνα μέγαν καὶ ἀνήκεστον προσδε-*
804 D *χομένη, σιγὴν δ' εἶχεν ἅπας ὁ ἀήρ, ὥσπερ προσδοκῶν τὸ ἐσό-*
544 J *μενον, καὶ ὄρνιθες καὶ πάντα ἡσύχαζεν ἐπὶ τῷ μέλλοντι, ὑπέκειτο
δ' ἄρα ἡ πόλις τοιούτῳ παθήματι καὶ ἐπὶ ταύτην πᾶς ὁ σεισμὸς
ἠρτύετο· ὁ δὲ Ἥλιος τελευταῖα δὴ τότε ἐπέλαμπε τὴν ἑαυτοῦ πόλιν,
καὶ παρῆν ἐξαίφνης πάντα ὁμοῦ τὰ δεινά. Ὑπανεχώρει μὲν ἡ* 20
*θάλαττα καὶ πᾶν ἐψιλοῦτο τῶν λιμένων τὸ ἐντός, ἀνερριπτοῦντο
δὲ οἰκίαι καὶ μνήματα ἀνερρήγνυντο, πύργοι δὲ πύργοις ἐνέπιπτον
καὶ νεώσοικοι τριήρεσι καὶ νεῷ βωμοῖς καὶ ἀναθήματα ἀγάλμασι
καὶ ἄνδρες ἀνδράσι [καὶ πύργοι λιμέσι] καὶ πάντα ἀλλήλοις. ἐν
ὅσῳ δὲ ἀνὴρ ἄγκυραν εἰς ἀπόπλουν ἀνῃρεῖτο, μεταστραφεὶς οὐκέτι
εἶχεν ἰδεῖν τὴν πόλιν, ἀλλ' ἐγίγνετο πάντα ὁμοῦ, οἱ λιμένες ἐπὶ
ξηροῦ, ἡ πόλις ἐν κόνει, δρόμοι κατ' οἰκίας ἐκ στενωπῶν εἰς στενω-
ποὺς [ἐξ οἰκιῶν], θάνατοι κατ' οἰκίας, ἐν ἱεροῖς, ἐν θύραις, ἐν
πύλαις. ἔξω μὲν τὰ μνήματα ἀνερρίπτει τοὺς κειμένους, ἔνδον* 21
*δὲ ἐκρύπτοντο οἱ τελευτήσαντες· τῶν δ' ὥσπερ τὰ εὐκταῖα ἀνα-
θήματα χεῖρες ἐπ' ἄκρων τοίχων, τῶν δὲ πόδες, τῶν δ' ἄλλο τι
λείψανον ἑωρᾶτο· καὶ οὐδὲ ταῦθ' ἕκαστα ἐνῆν εἰκάσαι τίνων λεί-
πεται. καὶ οἱ μὲν τὰς ἑαυτῶν φεύγοντες οἰκίας ἐν ταῖς ἑτέρων* 22

---

3 *καὶ ⟨τὸ⟩ πάντων* Laur. 60, 20 (inde Junt. edd.) 6 *συμφορὰσ* TU: *σφαγὰς* SD *εἴπῃ* D 7 *φορᾶσ* DS²U p. ras.: *φθορᾶσ* S¹TU a. ras. 8 *περι|στάντοσ* U 9 *ἐκείνησ||||||||μεσημβρίασ* T 12 *εἶχεν*] *ἦγεν* Rsk.² *ὁ* om. U 13 *ἡσύχαζεν* scripsi: *ἡσύχαζον* O; cf. v. l. v. 18 et p. 82, 9 *ὑπέκειτο*] cf. p. 85, 29 14 *δὲ* UT 16 *ὑπανεχώρει* SU²: *ἐπανεχώρει* DU¹T 18 *ἀνερρήγνυντο* T *πύργοις* corruptum esse vidit Wil., proposuit *λιμέσιν* (cf. v. 20); an *μεταπυργίοις*? 20 *καὶ πύργοι λιμέσι* seclusi 21 *ἀνῃρεῖτο* scripsi: *ἀνήρητο* SUT, *ἀνήρτητο* D *μετασταφεὶσ.||οὐκέτι* S, *ρ* post *στ* s. l. add. S²; Hegesiae frg. (apud Agatharchidem, Phot. bibl. p. 446ᵃ 31) *ἐκ μυριάνδρου πόλεως ἐξῆλθον, ἐπιστραφεὶς δ' οὐκέτ' εἶδον* contulit Kaibel 22 *ἐγίνετο* O 23 *κατ' οἰκίας*] *εἰς οἰκίας* Rsk. 24 *ἐξ* ST: *ὡσ ἐξ* DU *ἐξ οἰκιῶν* seclusi, ut sit sententia: aedificiis collapsis plateae in areis (per areas) factae, ut iam vici singuli inter se iungerentur *οἰκιῶν θάνατοικίασ* S 26 *τελευτήσοντες* malim 28 *ἕκαστον* D

ἀπώλλυντο, οἱ δ' ἐν ταῖς ἑαυτῶν ὑπ' ἐκπλήξεως μένοντες, οἱ δὲ
ἐκθέοντες ἐγκαταλαμβανόμενοι, οἱ δὲ ἀπολειφθέντες ἡμιθνῆτες,
οὐκ ἔχοντες ἐξαναδῦναι οὐδὲ αὐτοὺς ῥύσασθαι, κακῶν ἐπιθήκην
τὸν λιμὸν προσελάμβανον, καὶ τοσοῦτον κερδαίνοντες, ὅσον γνῶναι
τὴν πατρίδα οὐκ οὖσαν, ἐπαπώλλυντο. τῶν δὲ διέκρινε τὰ σώ- 805 D
ματα ἡ τύχη, καὶ τὰ μὲν ἡμίσεα εἴσω θυρῶν ἀπείληπτο, τὰ δ'
ἡμίτομα ἔξω προὔκειτο. καὶ τούτοις ἕτερα αὖ προσενέπιπτε σώ-
23 *ματα, σκεύη, λίθοι, ὅ τι ἑκάστῳ φέρων ὁ σεισμὸς ἀνέμιξεν. οἱ*
μὲν προσεδόκων . . . . ., οἱ δὲ τοὺς οἰκείους ἐζήτουν, οἱ δ' οὐκ
εἶχον πότερ' αὑτοὺς ἢ τοὺς ἑαυτῶν ὀδύρωνται· οἱ δὲ ἀπῴμωζον
τὴν πόλιν, οἱ δὲ ἐνεπίμπραντο, ὁμοῦ τῶν ὀρόφων καὶ τῶν ἑστιῶν
γενομένων· οἱ δὲ παῖδας ἐξαρπάζοντες αὐτοὶ κατελαμβάνοντο, οἱ
24 *δὲ ἑαυτοὺς ἐπαπεκτίννυον. ὁ δὲ κῶμος ἦν ἄγριος τοῦ τότε ἀρί-*
στου. οἱ μὲν οὐ πρὸ πολλοῦ κληθέντες νυμφίοι ἔκειντο εἰς οὐδὲν 545 J
καλὸν ᾄσαντες τὸν ὑμέναιον, οὐ ῥᾴδιον γνῶναι πότερ' αὐτοὶ δυστυ-
χεῖς, ἢ ἃς ἠγάγοντο· οἱ δὲ ἀπὸ θαλάττης ἀναβεβηκότες τὴν πα-
τρῴαν ἑστίαν ἀπιστοτέραν τῆς θαλάττης εὗρον· οἱ δὲ ἐπ' ἀν-
αγωγὴν σπεύδοντες τελευταῖα δὴ τότε οἴκοθεν ἀνήγοντο, προκατα-
25 *δύσης αὐτοῖς τῆς πατρίδος. κατεῖχε δὲ ὁμοῦ σεισμὸς θαλάττης,*
νέφος, κτύπος, οἰμωγαί, πάταγος πτωμάτων, γῆς ἐκφυσήματα.
οἶμαι γὰρ οὔτε τοὺς ὑπὲρ Αἴγυπτον καταρράκτας οὔτε τὴν τῆς
ἔξω θαλάττης ῥαχίαν οὔτε σκηπτοὺς πυρφόρους οὐθ' ὅ τι πλεῖστον
ἠχεῖ κατ' ἀνθρώπους τῷ τότ' εἶναι κακῷ καὶ κτύπῳ παραβαλεῖν,
ὃς ἐξ ἁπάντων εἷς ἠγείρετο συμμιγής, τὴν ἀπροσδόκητον καὶ ἄχα-
ριν συναυλίαν πληρῶν, ἐφ' ᾗ Ῥόδος ἐξωρμήκει· συνενήνεκτό τε

---

3 *αὐτοὺσ* a. corr. et S et D *κακὸν* D 4 *καὶ* DU[2] (*ἢ* aut *κ̓* U[1]): om. ST *κερδάναντες* Rsk., recte, ut videtur 7 *αὖ*] *ἂν* T 9 post *προσεδόκων* in S plus quam tertia versus pars libera relicta (usque ad versus finem), id quod scriba facere solet, si quid in exemplo suo legere non potuit; lacunam indicavi; desunt e. g. ⟨*τοὺς ἀπολειφθέντας*⟩ 10 *πότερ' αὐτοὺσ* O (corr. T inc. m., fort. pr.) *τοὺσ αὐτῶν* U *ὀδύρωνται* T p. corr.: *ὀδύρονται* O 11 *ἐνεπίμπραντο*] *ἐν* corr. S[2] (S[1] incertum), *ἐνε/πίμπραντο* T, fuit *μ* 13 *ἐπαπεκτίννυον* T a. corr. D p. corr. S[2]: *ἐπαπεκτείννυον* D a. corr. T p. corr., *ἀπεκτείννυον* U, *ἐπαπεκτείνυον* S[1] *ὁ δὲ κῶμος — ἀρίστου* memoriam noti cuiusdam prandii continent; fortasse ante *κῶμος* lacuna *τοῦ / / ἀρίστου* S, *τότε* nescio an non fuerit 17 *ἐπ' ἀναγωγὴν* corr. ex *ἐπ' ἀγωγὸν* T[1] 18 *ἀνηγάγοντο* S a. corr. *προκαταδύσης*] sc. *πρὶν αὖθις κατάγεσθαι* 20 *νέφος* scripsi ('caligo'; cf. p. 80, 14): *νεφέλη* O, *νεφέλησ* S[2] (Baroc. 136; *νεφελῶν* ci. Rsk.) 21 *Αἴγυπτον* Rsk.: *αἰγύπτου* O; non dubium quin vv. *τοὺς — καταρράκτας* inter causas fuerint, cur Aristidi orationem vindicarent; adde Aristid. or. XVIII § 7 memorare *τὸ τῆς Ῥόδου πτῶμα* 23 *κακῷ*] immo *πατάγῳ* 24 *ἄχαρι* S 25 *τε*] iungit sententias *ὁμοῦ* 19 — *συμμιγής* 24 et *συνενήνεκτο* — 79, 3 *δεῖπνα*

εἰς ταὐτὸν νεκροὶ βωμοί, στέγαι κόνις, αἷμα ἔπιπλα, ὄροφοι θε-
806 D μέλια, οἰκέται δεσπόται, μέλη σώματα εἰκόνες, σφαγαὶ τάφοι
δεῖπνα. οἱ μὲν ⟨ἐν⟩ τοῖς σώμασι τῶν φιλτάτων σκηνοῦντες ἐλάν- 26
θανον αὐτούς, οἱ δὲ ἐζήτουν τὰ λοιπὰ ἑαυτῶν οἱ μὲν πόδας, οἱ
δὲ χεῖρας, οἱ δ' ὅ τι ἕκαστος ἐπηρώθη τοῦ σώματος, οἱ δὲ καὶ
συνέθαπτον ταῦτα τοῖς οἰκείοις, οἱ δ' ὑπὸ τῶν ἑκατέρωθεν ἐμπε-
σόντων συσχεθέντες ἠνείχοντο, οἱ δὲ πρότερον κατωρύχθησαν ἢ
ἀπέθανον· πᾶν δὴ κακῶν εἶδος καὶ ἅ τις μηδεπώποτε ἐπενόησεν,
τότε πρῶτον εἰσῆλθεν. εὔξασθαι δ' οὐκ εἶχον οἱ λοιποὶ πότερα
ὅπως σωθῶσιν ἢ ὅπως ἀποθάνωσι⟨ν⟩. ποῖοι ταῦτα κήρυκες ἢ 27
τίνες ποιηταὶ καταθρηνήσουσιν ἀξίᾳ τῇ φωνῇ; τίς ἀρκῶν διηγή-
σασθαι; ποῖον γὰρ πάθος ὀξύτερον, εἰ δὲ βούλει, μακρότερον,
ποίαν πόλιν Ἑλληνίδα ἢ βάρβαρον ἐν τῷ παντὶ χρόνῳ κατέλαβε
τοιοῦτον; ὅτε ἀνατραπεῖσα μὲν ἡ πόλις ἔκειτο θᾶττον ἢ ναῦς
καταδῦσα πώποτε, ἡμέραι δὲ καὶ νύκτες ἐπιλαμβάνουσαι τοὺς μὲν
ὅσον ἐμπνεῖν ζῶντας ἀνέφαινον τραυματίας [τῶν λοιπῶν τοῖς πλεί-
546 J στοις], τοὺς δὲ τελευτήσαντας σεσηπότας, οὐδ' ὁτιοῦν ἔχοντας ἀκρι-
βὲς τῶν μελῶν, ἀλλ' ὡς ἑκάστου τι ἀφεῖλεν ἢ προσέθηκε τὸ πτῶμα.
πυραὶ δ' ἀήθεις ἐκαίοντο ὁμοίως νύκτα καὶ ἡμέραν, ταῖς πρόσθεν 28
ἱερομηνίαις ἀντίστροφοι· ἀντὶ δὲ χρυσείων καὶ ἀργυρείων μετάλλων
διώρυχος τοὔδαφος τῆς πόλεως παρεῖχε καὶ εἰς μῆνας ἐκκαθαίρειν
807 D τοὺς κειμένους. καὶ πρότερον μέν, ὦ Ζεῦ, τὰς φονικὰς δίκας ἔξω

2 σώματα scripsi: σωμάτων O; primum quinque posuit paria, quorum cuiusque membrum alterum alteri oppositum, deinde bis ternas iunxit res diversissimas 3 ἐν add. Canter 4 αὐτοὺσ O 7 ἠνείχοντο S², ἀνείχοντο S¹T: συνείχοντο DU (at συ in ras. U²); fortasse corruptum; ἤγχοντο Rsk. 9 εἰσῆλθεν S¹, praeter εῖ, quod S²: εἰσεῖδεν DUT 10 ἀποθάνωσι O ποῖοι] qua usus arte (§ 18) ad describendum ipsum terrae motus momentum profectus est, eandem adhibet (cf. Aristid. or. XXII § 1), ut transitum faciat ad describendum tempus, quod terrae motum proxime insecutum est, rerumque Rhodiacarum statum (§ 27—33); talia Aristidis ab arte abhorrent; similem in modum pluriens orationis auctor quisquis fuit peccavit: cf. p. 72, 13 sq. ∾ 83, 20 sq. 28; 73, 14 ∾ 87, 9; 76, 13 ∾ 86, 14 sq.; 78, 21 sq. ∾ 82, 27 sq.; 81, 21 ∾ 89, 14; 82, 10 ∾ 83, 24 (ad h. l. cf. Aristid. XIX § 4). 85, 24; 82, 26 ∾ 84, 11; 83, 17 sq. ∾ 89, 22 sq.; 85, 25 ∾ 86, 26 sq.; 88, 25 sq. ∾ 89, 8; praeterea e. g. λογιζομένους 82, 3. 85, 24 (cf. 89, 13), item positum ἐπισταμένους 89, 27; τοίνυν 84, 23; 85, 1. 8; cf. ad p. 81, 9; 88, 3; 90, 30; nauseam movent descriptiones miseriarum Rhodi; denique cf. ad p. 82, 24; 87, 6; 91, 1 14 τοιοῦτο SDT 15 καταδῦσα SDU: κατέδυ T; καταδῦσα, sc. ἀνετράπη 16 τῶν — πλείστοις, in quibus haeseram, del. Wil. 19 δὲ D ἐκαίοντο sic O; in glossemate p. 80, 4 κάειν (ubi καίειν U²) retinendum 20 χρυσείων — ἀργυρείων DUS²T p. corr.: χρυσίων — ἀργυρίων S¹T a. corr. μετάλλων abesse malim 21 διώρυχος scripsi: διωρυχῆσ SUT, διορυχῆσ D, cf. v. l. p. 5, 13 22 φο/νικὰσ S, ι eras.; de re cf. Dion. Prus. Rhod. § 122

*πυλῶν ἐδικάζετε, ὡς οὐδὲ καταψηφίσασθαι θάνατον ἐντὸς τείχους
εὐσεβῶς ἔχον ὑμῖν, νυνὶ δὲ ἐπὶ μιᾶς ἡμέρας τοσούτων ὄλεθρον ὁ
δαίμων κατέγνω ἅμα τ᾽ εἴσω πόλεως καὶ σὺν αὐτῇ [καὶ τούτους
ἐν αὐτῇ κάειν ἠναγκάζεσθε οἱ λοιποί], καὶ τὴν ἄβατον τοῖς ἀνδρο-*
29 *φόνοις πόλιν ταφὴν τῶν ἀπολλυμένων ἑκάστῳ κατέστησεν. καὶ τὰ
μὲν πρόσθεν λεγόμενα ταῦτα [μυθολογήματα] ἦν, ὅτι τήνδε τὴν
νῆσον οὖσαν ὑπὸ τῇ θαλάττῃ καὶ κεκρυμμένην Ἡλίῳ δῶρον ἀνεῖ-
σαν θεοί, τὰ δὲ νῦν εἰς τοὐναντίον περιέστηκε διηγεῖσθαι, ὅτι ἥδε
ἡ πόλις κατὰ γῆς ἔδυ καὶ ἀπῆλθεν ἐξ ἀνθρώπων, ὄντος ὑπὲρ γῆς
Ἡλίου, καὶ ἐπεῖδεν Ἥλιος ἐν Ῥόδῳ τὰ ἀθέατα θεάματα ἑαυτῷ.*
30 *καὶ Ὅμηρος* (B 670) *μὲν πλοῦτον ἔφη καταχέαι τὸν Δία τῇ νήσῳ
καὶ τοῖς περὶ Τληπόλεμον προγόνοις ὑμῶν, καὶ Πίνδαρος* (O. VII 90)
*παραλαβὼν ὖσαι χρυσὸν νεφέλην ξανθὴν ἐπιστήσαντα. νῦν δὲ
οἷα κατέχεε δῶρα ὁ δαίμων, οἷον νέφος ἔστησεν ὑπὲρ τῆς πόλεως,
ὡς ἀνάξια μὲν ἐκείνων τῶν πρότερον, ἀνάξια δὲ ὑμῶν καὶ τοῦ τῆς*
31 *πόλεως σχήματος. καὶ νῦν Κάρπαθον μὲν καὶ Κάσον καὶ ἄλλας
νήσους οἰκουμένας ἔστιν ἰδεῖν, οὐδὲν ἐχούσας ὅ τι εἴπωσι καὶ παρ᾽* 808 D
*ὧν φόρον ἐκλέγειν ὑμῖν πρὸ τοῦ μικρὸν ἦν, καὶ ἄλλα πολίσματα
ὑπόψαμμα [λυπρὰ] καὶ ἀμφισβητήσιμα· Ῥόδος δέ, ὦ Ζεῦ καὶ
πάντ᾽ ἐφορῶν Ἥλιε πλὴν Ῥόδου, νῦν οὐδαμοῦ, ἀλλ᾽ ὥσπερ οἱ
τοὺς μύθους λέγοντες, διηγεῖσθαι δεῖ τοῖς ἐπιγιγνομένοις τοὺς παρ᾽
ἡμῶν παραλαμβάνοντας, ὡς ποτὲ ἦν καὶ Ῥόδος ἀντιπέρας Καρίας
πόλις ὥρᾳ καὶ μεγέθει περιφανής, καὶ τὸν τόπον δεικνύειν ὡς*
32 *τὸν Ἰαλύσου καὶ Καμείρου νῦν. καὶ τὸν μὲν τῶν Ἁλι⟨εί⟩ων* 547 J
ἀγῶνα ποιήσετε, καὶ τὸ χωρίον μεμένηκε σῶν οὗ ποιήσετε· ἡ δὲ 809 D
*ἐπώνυμος αὕτη τῆς νύμφης τοῦ θεοῦ σχῆμα ἀκτῆς μετείληφεν.
καὶ πάλαι μὲν τὰ ἐκ τῶν γυναικῶν τῶν ἀποκειραμένων μηχανή-
ματα ἐδείκνυτε τοῖς ἐπιδημοῦσι καὶ θαυμαστὸν ἦν, νῦν δὲ αὐτὴν
τὴν πόλιν ἐν τοιαύτῃ θέᾳ λείπεται παριστάναι [δεικνύναι] τοῖς*

---

2 *νυνὶ* Rsk.: *κοινῇ* SDU, *κοινῶς* T *τοσούτων* U²: *τοσοῦτον* O 3 *καὶ — οἱ λοιποί* seclusi, quibus vv. insequentia explicantur 5 *καὶ* T: om. SDU 6 *μυθολογήματα* seclusi 7 *καὶ* T: om. SDU *ἀνῆσαν* S¹ 10 *ἥλιοσ* SD: *ὁ ἥλιοσ* UT *τὰ ἀθέατα*] illa non spectanda ipsi spectacula; cf. v. 20 et Aristid. or. XVIII § 7 (v. 17. 18) *ἑαυτῷ*] *ἐν αὐτῷ* (vel *αὑ-*) D a. corr. 13 *ὗσε* D 16 *καὶ Κάσον* Canter: *καὶ καύκασον* SD et certo T¹, *καῖσον* UT² 19 *λυπρὰ* seclusi, glossema 22 *ὑμῶν* U 24 *καμήρου* S; cf. ad p. 68, 5 *Ἁλιείων* Cobet, Nov. Lect. p. 332: *ἁλίων* O, quamquam etiam *Ἅλεια* et *Ἁλείων* tituli IGI. I 58, 19; 12, 4 25 posterius *ποιήσετε* UTS²: *ποιήσεται* S¹D 26 *νύμφης*] Rhodi 27 *τῶν γυναικῶν — μηχανήματα*] ad Demetrii Poliorcetae obsidionem rettulit Rsk., sed nihil apud rerum scriptores inveni 29 *τοιαύτῃ θέᾳ*] 'sc. *ἀποκεχαρμένην*' Rsk. *παριστάναι* [*δεικνύναι*] scripsi: *παριστᾶν καὶ δεικνύναι* O; *δεικνύναι* glossema ad *παριστάναι* e v. 28 petitum

εἰσαφικνουμένοις, ... θέατρον καὶ βουλευτήριον καὶ πίνακας
ἡμιρραγεῖς καὶ σκοπέλους ἀντὶ πύργων, δεικνύντας οἰκτρὰ τῆς
ὀνομαστῆς ποτε Ῥόδου τὰ λείψανα. μεγέθους δὲ ἑτέρων πόλεων 33
εἰς τὸ μέσον λεγομένου οὔτε ἀντιλαβέσθαι ἐξέσται οὔτε μὴ ῥήγνυ-
σθαι σιωπῶντα· ἁπλῶς δ' εἴσεσθε μὲν οἵας πόλεως στέρεσθε,
810 D *ὁποίας δέ, οὐχ ἕξετε δεικνύναι, καὶ ἐπὶ μέν γε τοῦ νῦν παρόντος*
χρόνου τοὺς εἰδότας πρότερον τῶν Ἑλλήνων ⟨ἔστ'⟩ ἐπιμαρτύρασθαι,
ἐπειδὰν δὲ καὶ τούτους ἡ προσήκουσα μοῖρα ἀπαγάγῃ, τί δὴ λοι-
πὸν πλὴν ἐρήμην ὀφλεῖν, ὅ φασιν, γνωριζομένους, ὦ δαίμονες, οὐκ
ἀπὸ τῶν ναυμαχιῶν οὐδ' ἀπὸ τῶν λιμένων τε καὶ νεωρίων οὐδ'
ἀπὸ τοῦ κόσμου τοῦ κατὰ τὴν πόλιν, ἀλλ' ὅτι μέγιστα τῶν Ἑλλή-
νων ἠτυχήσατε· καὶ δεήσει Ῥόδου μεμνημένους μὴ γαυριᾶν, ἀλλὰ
θρηνεῖν: μόνοις δὲ οἷς ὑμεῖς πεπόνθατε νῦν καὶ οἱ πρὸ ἑξακο-
σίων ἐτῶν ἄνδρες ἔνδοξοι συνηδίκηνται καὶ οἵ γε μηδὲν τῇ πόλει
προσήκοντες ....· κοσμοῦντες γὰρ τὴν πόλιν τοῖς ἑαυτῶν ἔργοις
ἀντεκοσμοῦντο τῇ μνήμῃ.

Ταῦτα τοίνυν τὰ οὕτως δεινὰ καὶ παραμυθίαν οὐκ ἔχοντα, 34
ὡς ἂν δόξαι τις, ἐνεγκεῖν δεῖ, μάλιστα μὲν δὴ καὶ πρῶτον κατ'
αὐτὴν τὴν τῆς ἀνάγκης συμβουλὴν καὶ τοσούτῳ μᾶλλον, ὅσῳ δα-
κρύων χώραν παρελήλυθεν· ἃ γὰρ οὐκ ἔστι κατ' ἀξίαν ὀδύρεσθαι,
πῶς οὐκ ἀναγκαῖον ἀπαλγήσαντας ἐὰν καὶ τοῦτο δὴ τὸ λεγόμενον
μύσαντας φέρειν; ἔτι δὲ τὰ μὲν φαῦλα τῶν ἀτυχημάτων οὐδὲν 35
δεῖται μεγάλης τῆς πρὸς αὐτὰ παρασκευῆς, τὰ δὲ μείζονα ἀνάγκη
μεγάλως καὶ φέρειν, οὐχ ἁπλῶς λέγω μεγάλως, ἀλλὰ φρονήματι.
548 J *ὥσπερ γὰρ πρὸς τοὺς μείζους τῶν πολέμων πλείονος δεῖ καὶ τῆς*
παρασκευῆς, τοὺς δ' ἐλάττους κἂν ἀπὸ φαυλοτέρας διαφέροι τις,
οὕτως καὶ τῶν δεινῶν ὅσα ὑπερβέβληκεν μεγάλης δεῖται τῆς τῶν
παθόντων ῥώμης πρὸς αὐτά. δεῖ δὴ κατὰ κράτος αὐτοῖς ἀνθίστα- 36

---

1 lacunam indicavit Rsk.; argumentum fuerit: ⟨inter medias ruinas triste exsurgentia unica⟩ theatrum q. s.; nec theatrum dirutum erat neque curia (p. 87, 4) 5 *οἵας*] *ὁποίασ* D 7 *εἰδότας*] *ἰδόντας* Rsk., at cf. p. 83, 7 *ἔστ'* addidi (*ἐπιμαρτύρεσθε* ci. U[2]) 8 *δὴ*] *δεῖ* D 9 *ὄφλειν ὅ φασι γνωριζομένουσ* UT: *ὄφλειν* (-*λειν* in ras. S[2]) · *γνωριζομένουσ* SD; fuit ΟΦΛΕΙΝΟΦΑCΙΝ, unde *ν* paragogicum addidi *ὦ δαίμονες*] non Aristideum 13 *πρὸ*/ T *ἑξακοσίων*] Rhodiorum civitas a. 408 a. Chr. n. condita, oratio haec a. c. 150 p. Chr. scripta (cf. or. XXIV § 3) 15 lacunam indicavi; sententia inde a v. 13: una hac clade qua vos estis affecti nunc, affecti simul sunt et ii qui ante hos sescentos annos urbem condiderunt et ii qui, quamvis Rhodii non essent, ⟨tamen vos per tot saecula colebant⟩; etenim dum munificentiae suae operibus urbem ornant, rursus ipsi ornabantur gloria atque memoria (huius munificentiae), quae nunc periere 19 *συμβολὴν* T 20 *ὀδύρεσθαι* S: *ὀδύρασθαι* DUT 24 *λέγω, ἀλλὰ μεγάλῳ φρονήματι* ci. Kaibel 26 *δ'*] *δὲ* D 27 *οὕτω* U

σθαι καὶ παντὶ τῷ θυμῷ παρεσκευασμένους τὸν ἀγῶνα τοῦτον
ἀγωνίζεσθαι, εἴπερ μὴ μέλλει τις καταληφθεὶς παρενεχθήσεσθαι, 811 D
λογιζομένους ὅτι πρότερον μὲν οἱ τὰς εἰκόνας καὶ τοὺς ἀνδριάντας
ὁρῶντες τὴν τῶν πεποιηκότων ἐκεῖνα τέχνην ἐθαύμαζον, νῦν δὲ
τὴν ὑμετέραν ἅπαντες θαυμάσονται γνώμην, ἐὰν καὶ χωρὶς τούτων
φαίνησθε φρονοῦντες ἐφ᾽ ὑμῖν αὐτοῖς. ὅλως δὲ ὥσπερ τὸν χρυσὸν
ἡ βάσανος δείκνυσιν, οὕτω τοὺς ἄνδρας τοὺς ἀγαθοὺς κρίνουσιν
αἱ συμφοραί· καὶ ὑμᾶς πάντα ταῦτα ὁποῖοί τινές ἐστε δείξει νῦν
ὁ σεισμός, ὁ ἐμπρησμός, ἅπαντα ὅσα ἠκολούθησεν ἑνὶ τῷ πρώτῳ
37 κακῷ. καίτοι παράδοξον ποιῶ· δεόμενος γὰρ παραμυθίας αὐτὸς
τῆς ἐφ᾽ ὑμῖν, ὑμᾶς κατέχειν ἀξιῶ· ὅ μοι καὶ αὐτὸ δικαίως ἂν συλ-
λαμβάνοι πρὸς τὸ πείθειν. τοὺς γὰρ συμπεπονθότας ταῖς γνώμαις
ἡγοῦμαι καὶ συμβούλους ἀξιοπίστους εἰκότως ἂν τοῖς εὖ φρονοῦσιν
εἶναι· ὧν γὰρ τὰ αὐτὰ ἅπτεται, καὶ φροντίζειν τούτους εἰκὸς περὶ
τούτων καὶ λέγειν ἐπ᾽ εὐνοίᾳ καὶ τὸ δυνατὸν πρώτῳ τούτῳ βε-
βαιοῦν, τῷ παραπλησίως διακειμένους ὅμως ἀξιοῦντας φέρειν
38 φαίνεσθαι. ἡγοῦμαι δ᾽ ἔγωγε καὶ τὸ τηλικαῦτα ἀτυχεῖν οὐ τοῖς
μικροτάτοις τῶν ἀνθρώπων ἀποκεῖσθαι οὐδὲ τοῖς οὐκ ἔχουσιν
ὅθεν πέσωσιν, ἀλλὰ τοῖς δυναμένοις δέξασθαι τοῦτο τὸ μέτρον
τῆς συμφορᾶς. ἀλλ᾽ οἴεσθε Σερίφου πρὸς θεῶν ἢ Σύμης ταυτησὶ 812 D
τὸ πτῶμα τοῦτο ἢ τινος ἄλλης τῶν πολλῶν καὶ ἐν κύκλῳ νήσων;
Ῥόδος οἶμαι τοσούτων καὶ τηλικούτων εἶχε στερηθῆναι. ὑμῖν δὲ
ἄμφω τὰ ἄκρα ὁ δαίμων ἀπένειμεν· ἀρετῇ τε γὰρ καὶ δυνάμει
καὶ κατασκευῇ πόλεως ὑπερεβάλεσθε τῶν ἄλλων τὰς φανεράς, ἐπεὶ
δὲ ἔδει καὶ τῶν ἐναντίων πεῖραν λαβεῖν, ὡς οὐκ ἔδει, ἐξίσωσε καὶ
ταῦτα ἡ τύχη τοῖς ἄνω πλεονεκτήμασι, μέγιστα δὲ ἔχοντες μεγίστων
39 ἐξεπέσετε. ὥσπερ δὲ Ἡσίοδος ἔφη (Th. 703) τοῦ οὐρανοῦ καὶ τῆς 549 J
γῆς συμπεσόντων μέγιστον ἂν γενέσθαι κτύπον, ὡς τοῦτο ὂν μέ-
γιστον τῶν ἀφ᾽ ὑψηλοῦ πτῶμα, οὕτω τῶν ἐν γῇ Ῥόδος πεσοῦσα
μέγιστον ἤχησε καὶ εἰς πλείστους ἡ αἴσθησις αὐτῆς ἀφίκετο καὶ
Ἕλληνας καὶ βαρβάρους, καὶ τούς γε Ἑλλήνων καὶ βαρβάρων ἄρ-
χοντας αὐτούς· οὐ γὰρ ἄλλο γε οὐδὲν ἢ ἀποκεκόσμηται πᾶσα ἡ
40 θάλαττα καὶ χηρεύει τὸ λοιπὸν ὧν ἥκιστα ἐχρῆν. ὥστ᾽ εἰκότως

2 μέλλει DU²: μέλλη S, μέλλοι TU¹ 3 λογιζομένη D πρότερον] πρῶ-
τον U 5 ἡμετέραν SD 8 πάντασ D 9 ἠκολούθησαν T 10. 11 αὐτὸσ
τῆσ] αὐτῆσ T¹ 11. 12 συλλαμβάνη D 15 τὸ δυνατὸν] miseriam ferri posse
τούτω πρώτω D 16 τῷ] τοὺσ D 20 σύμησ in lacuna a S¹ relicta supple-
vit S² 24 ὑπερεβάλεσθε sic O ἐπεὶ — 25 λαβεῖν] item Aristid. or. XX § 15;
de necessitate, quae inter Aristidis et auctoris 'Rhodiaci' artem intercedit, cf. ad
p. 69, 22; 75, 5; 79, 10; 80, 10; 83, 10. 23; 84, 5. 11; 88, 4; 90, 18 25 οὐκ]
οὖν ci. Kaibel; fort. recte, cf. [Aristid.] or. XXX § 9 27 ἐξεπέσατε S¹T

πλείστους καὶ τοὺς συναχθομένους ἔχετε. οὔτε γὰρ ἀφανὲς τὸ
πρᾶγμα διὰ τὸ μέγεθος οὔτ' ἔστιν ὅστις ὑμῖν ἐφησθήσεται. πάν-
των γὰρ κοινοὶ ξένοι καὶ φίλοι, πολλῶν δὲ καὶ σωτῆρες ἦτε, ἀγαθοὶ
μὲν ἡγεμόνες καὶ προπομποὶ τῶν παραπλεόντων ἐπ' ἀμφότερα
τὴν νῆσον, ὧν ἐποίησεν Ὅμηρος ἐν μύθῳ Φαιάκων ἡδίους καὶ
λαμπρότεροι, ὀνομαστοὶ δὲ καὶ τοῖς ἐπ' ἐσχατιαῖς γῆς. ὥστε καὶ 41
τοῖς οὐκ εἰδόσι τὴν πόλιν παρὰ τῶν εἰδότων ἀκούουσιν, εἰ καὶ
τἄλλα καθ' ἡδονὴν βεβιωμένα αὐτοῖς εἶχον λέγειν, τοῦτο γοῦν ἓν
οὐκ ἐλάχιστον δοκεῖν ἐνδεῖν, ὅτι μὴ εἶδόν πω Ῥόδον. καὶ δῆτα
813 D καὶ ἀπορήσαι τις ἂν ποτέροις νῦν μᾶλλον ἄξιον ὀδύρασθαι, πό-
τερον τοῖς ἀθεάτοις τῆς πόλεως ἢ τοῖς ὡμιληκόσιν. οἱ μὲν γὰρ
ἐστέρηνται τοῦ καλλίστου θεάματος, οἱ δ' ὧν εἶδον τοῦ μεγίστου,
ὅσον δ' ἐκέρδαναν, τοσοῦτον ἐζημίωνται· οὐ γὰρ ἀγνοοῦσιν ἡλίκον
τι χρῆμα ἀπόλωλεν. ᾗ καὶ μάλιστα χρὴ προθυμηθῆναι εὐκόλως 42
καὶ γενναίως τοῖς παροῦσι χρήσασθαι, ὅτι πολλοὺς θεατὰς καὶ
μάρτυρας τοῦ πῶς αὐτὰ διοίσετε ἔχετε, οἷς καλῶς ἔχον ἐστὶ καὶ
Ῥοδίων ἔργον ἐνδείξασθαι τῆς εὐγενείας τὴν περιουσίαν, ὅτι κἂν
δεκάκις τὰ τείχη πέσῃ, τὸ γοῦν ἀξίωμα τῆς πόλεως οὐ πεσεῖται,
ἕως ἂν εἷς λείπηται Ῥοδίων, ἀλλ' ἑστήξει καὶ μενεῖ σῶν· ἵνα μὴ
συνάχθωνται μᾶλλον ἢ θαυμάζωσιν ὑμᾶς, μηδὲ ἐπὶ θρήνῳ με-
550 J μνῶνται τῆς πόλεως, ἀλλ' ἐπὶ ζήλῳ τῶν λειφθέντων, μηδ' ὑμᾶς
ἐκεῖνοι παραμυθῶνται πέμποντες, ἀλλ' ὑμεῖς ἐκείνους, τὸ πάτριον
τοῖς Δωριεῦσι σῴζοντες φρόνημα, ὃ νῦν ἐν ὑμῖν μόνοις ἢ μάλιστά
γε ἐδείκνυτο τῶν Ἑλλήνων. Καὶ ἔγωγε εἰ μὴ λίαν παράδοξα 43
ἐρεῖν ἔμελλον, ὑμᾶς ἂν πρέσβεις ἐκέλευσα πέμπειν πανταχοῖ τῆς
Ἑλλάδος, τοὺς παραμυθησομένους ἑκάστους καὶ κελεύσοντας μὴ
κατοικτείρειν ὑμᾶς, ὡς οὐ πάτριον τῇ Ῥόδῳ καὶ ὑμῖν Ῥοδίοις
οὖσι θρηνεῖσθαι μᾶλλον ἢ ζηλοῦσθαι· καὶ τῶν περιόντων τούτων
πρέσβεων καὶ αἰτούντων ἑτέρους ἕτερα οὐδὲν ⟨ἂν⟩ ἀτιμοτέρα τῇ

2 ἔστιν Rsk.: ἦν O 3 κοινοὶ καὶ ξένοι D 6 καὶ post δὲ om. U ἐσχατιᾶσ DU 7 παρὰ δὲ τῶν U (εἰδότων ⟨δ'⟩ Canter, 'quod necesse non est' Rsk.²) 8 βεβιωμένα αὐτοῖσ Laur. 60, 20 (inde Junt. edd.), αὐτοῖσ βεβιωμένα U: βεβιωμένων αὐτοῖσ T, βεβαιωμένων (-βιωμένων corr. S²) αὐτοῖσ S¹D 9 μὴ] cf. μηδεπώποτε p. 79, 8 10 καὶ ἀπορήσαι — 14 ἀπόλωλεν] cf. Aristid. or. XXII § 12 14 εὐκόλως prope γενναίως sententiae non aptum, respondent v. 16 καλῶς ἔχον — 17 εὐγενείας 19 λείπηται TS²D a. corr.: λίπηται S¹UD p. corr. 20 θρήνω sic O 23 ὃ νῦν κτἑ.] cf. Aristid. or. XXIV § 57 24 γε] ὀλίγοισ U² in ras. arctiore 25 ἐκελεύσατε D πανταχῇ DU 26 κελεύσοντασ TU p. corr.: κελεύοντασ SD (non U a. corr.) 27 ὂν post πάτριον add. Rsk.; at cf. Sonny, ad Dion. Chrys. analecta p. 180, praeterea oratorem alludere ad Tyrtaei (frg. 15, 6 B.⁴) οὐ γὰρ πάτριον τᾷ Σπάρτᾳ monet Wil. 28 περιιόντων O; cf. v. l. p. 9, 23 29 ἂν addidi

πόλει κατ' ἐμὴν δόξαν αὕτη ἦν ἡ πρεσβεία· ἀναγκαῖα μὲν γὰρ καὶ 814 D
ταῦτα οἶμαι καὶ χρείαν ἔχοντα — τίς δ' ἂν ἐπιτιμήσειε; — πέμ-
πειν ἑτέρους ἑτέρωσε [ἐπαγγέλλειν], ὥσπερ πολίταις ἅπασι τοῖς
Ἕλλησιν εἰσφορὰς κοινὰς ἐπιτάττοντας· καί μοι ταῦτα συνδοκεῖ.
οὐ μὴν ἀλλὰ καὶ εἰς αὐτὰ ταῦτα τὸ σχῆμα ἐκεῖνο συντελοῦν ἦν.
τίς γὰρ οὐκ ἂν ἐθαύμασε; τίς δ' οὐκ ἂν ἐπήρκεσε; τίς δ' οὐκ ἂν
αὐτὸς αὐτῷ χαρίζεσθαι μᾶλλον ἢ ὑμῖν εἶναι τὸ τοιοῦτον ἐνόμισεν;
44 ἀλλ' εἰ μὴ περιπέμπειν ταύτην τὴν πρεσβείαν ἔνεστι μηδ' ἐγχωρεῖ,
πρὸς ὑμᾶς αὐτοὺς χρὴ ταῦτα διαπρεσβεύσασθαι, ἵνα καὶ τὸ τρίτον
ἀποδῶτε οἷς ἀρτίως (§ 38) εἶπον δυοῖν, καὶ μὴ οὗ μάλιστα δεῖ μόνον
ἐλλίπητε. μέγιστοι τῶν Ἑλλήνων μέγιστα ἐπλήγητε· ἄριστα ἐνεγ-
κεῖν ταῦτα δεῖ, ἵνα πανταχοῦ τῶν μεγίστων τετυχηκυῖα ἡ πόλις
φαίνηται, καὶ ἐξ ἀρχῆς εἰς τέλος παραπλησίως ᾖ πράττουσα, καὶ
δύο τοῖς ἄκροις προσήκουσιν ὑμῖν ἓν τὸ μέσον συγκαταληφθῇ καὶ
τὰ νῦν δοκοῦντα εἶναι δεινὰ καὶ ἀνήκεστα, ὑπὲρ ὑμῶν γένηται. ὅσῳ
45 γὰρ ἂν κρείττους αὐτῶν φανῆτε, τοσούτῳ πλέον εὐδοκιμήσετε. φασὶ
δὲ καὶ οἱ ποιηταὶ (Hom. Ω 527) περὶ τῶν ἡρώων, ὡς ἄρα οἷς μὲν αὐ-
τῶν ἀνέμιξε τὸν βίον ὁ θεός, ἀγαθῶν καὶ κακῶν μοῖραν ἐναλλάξας,
τούτοις μὲν εὐκλήροις ἀπέδωκεν εἶναι, οἷς δ' ἂν τὴν τῶν κακῶν
καθάπαξ δῷ, τελέως ἀπέκναισεν. ὡς τήν γε τῶν ἀγαθῶν διηνεκῆ
[διὰ τέλους] κτῆσιν οὐκ οὖσαν ἀνθρώποις, ἀλλ' ὄντας διπλοῦς τοὺς 551 J
βίους τῶν ἀνθρώπων, τοὺς μὲν ὅλως ἐν κακοῖς, τοὺς δ' ἀναμίξ. 815 D
46 ὑμᾶς τοίνυν τῆς τῶν ἀγαθῶν μοίρας πρῶτον ἠξίωσε καὶ ἐπὶ πλεῖ-
στον. τοῦτο γὰρ δὴ καὶ μέγιστον ὑμῖν εἰς παραμυθίαν ἔστω, ὅτι
οἷς μὲν ἐπρωτεύετε εἰς πολὺν ἀντέσχε χρόνον, καὶ καθ' ἡμέραν
ἑκάστην ἔπραττεν ἡ πόλις ἀξίως αὑτῆς, τὸ δ' ἀτύχημα μιᾶς ἡμέ-
47 ρας, † οὐχ ὅλης δὲ καὶ ὥρας, ἐὰν ὑμεῖς εὖ φρονήσητε, ἐγένετο. μὴ

---

1 ἀναγκαῖα γὰρ οἶμαι καὶ ταῦτα καὶ χρείαν U 3 καὶ ante ἐπαγγέλλειν add. s. l. et S^2 et U^2 ἐπαγγέλλειν seclusi; ἐπαγγέλλοντας mavult Kaibel 5 τὸ σχῆμα ἐκεῖνο] quod orator modo commendavit ἦν] irrealis (sine ἄν), qui dicitur (cf. v. 6—8): συνδοκεῖ, 'esto, mihi quoque placet legatos mittere'; quod si non placuisset, quantam futuram fuisse creditis omnium admirationem, quanto maiora et plura dona et auxilia (ἐπήρκεσε — χαρίζεσθαι, cf. Aristid. or. XX § 17)? 6 τίς δ' — τίς δ'] cf. p. 21, 8. 9, γὰρ — γὰρ 7 αὐτῶ S^1 8 παραπέμπειν D 9 τρίτον] v. 11 ἄριστα ἐνεγκεῖν 10 δυοῖν] v. 11 μέγιστοι et μέγιστα ἐπλήγητε 11 μέγιστοι — μέγιστα — μεγίστων] idem postea Aristid. or. XIX § 1 12 ταῦτα ἐνεγκεῖν U 14 συγκαταληφθῇ SU: συγκαταλειφθῇ DT αὐτῶν DUTS² mg., om. S^1, suspectum 20 διὰ τέλους secl. Ddf.: διηνεκῆ διὰ τέλουσ SUT, διὰ τέ-λουσ διηνεκῆ D 21 οὖσαν τοῖσ ἀνθρώποισ U 22 τοὺσ δ' ἀναμίξ UT: om. SD 25 ἀντέχεσθε D (sic), ἀντέσχετε U 26 αὐτῆσ U p. corr.: αὑτῆσ O 27 οὐχ ὅλησ δὲ καὶ ὥρασ corrupta; sententia fuit: 'unius diei, neque eius totius. quid? horae unius'; e. g. ci. ἡμέρας οὐχ ὅλης, ⟨οὐχ ὅλης⟩ δὲ καὶ Kaibel

τοίνυν ὑμεῖς αὐτὸ παντὸς τοῦ χρόνου ποιήσητε, μηδ' εἰς πλέον
ἐκτείνητε τὸν σεισμὸν ἢ ἐν ὅσῳ τότε ἐπαύσατο. καὶ γὰρ ἄτοπον
μέμφεσθαι μὲν τῇ τύχῃ καὶ δυσχεραίνειν τὰ συμβεβηκότα ὡς ὑπερ-
βάλλοντα, ἃ δὲ ὁ σεισμὸς παρῆλθε, ταῦτα αὐτοὺς προσθεῖναι.
τίνων οὖν κύριος ἦν ὁ σεισμός; καὶ τίνος ἐστὲ νῦν ὑμεῖς; ὁ μὲν 48
τῶν οἰκιῶν καὶ τῶν τειχῶν καὶ τῶν σωμάτων καταρρῖψαι καὶ δια-
φθεῖραι, ὑμεῖς δὲ τοῦ λογισμὸν τοῖς συμβεβηκόσιν ἀντιθεῖναι. μὴ
τοίνυν ἀνάσχησθε τοῦτο ὑμῶν ἐξελθὸν μηδὲ συμπεσοῦσαν τοῖς
ἄλλοις καὶ τὴν γνώμην, ἵν' ὅνπερ τρόπον πρότερον οἱ ναῦται κατ-
αίροντες καὶ ἀναγόμενοι ὡς ἐκ πλείστου καὶ ἐπὶ πλεῖστον τὴν
πόλιν καὶ τὸν τῶν τειχῶν κύκλον ἑώρων, τοῦτον νῦν οἱ ταῦτα δυνά-
μενοι βλέπωσιν ἑστηκὸς τῇ πόλει τὸ φρόνημα καὶ ἴδωσιν ὅτι τοῦτο
οὔτε σεισμὸς οὔτ' ἐμπρησμὸς οὔτε χρημάτων στέρησις, οὐκ ἀφαί-
ρεσις οἰκιῶν, οὐκ ἄλλο οὐδὲν οὔτε καθῄρηκεν οὔτε μὴ καθέλῃ ποτέ,
οὔτε σεσύληκεν οὔτε μὴ συλήσῃ ποτέ. ἂν τοῦτο ἑστηκὸς ᾖ, Ῥόδος 49
ἕστηκεν τοῖς ὀρθῶς ὁρῶσιν, ἐπεὶ καὶ αὐτὰ τὰ τείχη καὶ τὰ νεώρια
816 D καὶ τοὺς ἄλλους κόσμους τοὺς μετὰ τούτων φρόνημα ἄνδρες ἔχοντες
ἐκτήσαντο καὶ λογισμοὺς οἵους χρὴ περὶ πραγμάτων, καὶ ἦν ταῦτα
ἀναθήματα τῆς ἐκείνων τῶν ἀνδρῶν γνώμης, οἳ ζήλου καὶ τῆς ἐπὶ
τοῖς καλοῖς φιλοτιμίας ἕνεκα πάντας μὲν πόνους ᾠήθησαν, πάντας
δὲ κινδύνους ὑποστῆναι δεῖν, ἐξ ὧν ἔπλευσαν μὲν ἅπασαν ὅση
πλόιμος θάλατταν, ἠγωνίσαντο δὲ καὶ καθ' αὑτοὺς καὶ ἐν συμ-
552 J μαχίαις πολλοὺς καὶ μεγάλους καὶ ἐνδόξους ἀγῶνας. ὧν ἀξίους
εἶναι δεῖ, λογιζομένους, εἰ καὶ παράδοξον εἰπεῖν τὴν πρώτην, ὅτι
καὶ ῥᾷον ὑμῖν ἐστιν ἤπερ ἐκείνοις τὸ τελεῖν, ὅσα χρὴ τελέσασθαι·
οὐ γὰρ ἀποστόλους πέμπειν οὐδὲ ἐξόδους ἐξιέναι δεῖ νῦν, οὐδ'
ἐναντία θεμένους τὰ ὅπλα τοῖς ἰσχύουσι κινδυνεύειν, οὐδ' ἐκλεί-
ποντας τὴν πατρίδα ἄλλοτε ἀλλαχοῖ φέρεσθαι τῆς θαλάττης, χει-
μῶσι καὶ ἐχθροῖς τοῖς μὲν οὖσι, τοῖς δ' ἐσομένοις ὑποκειμένους,

---

8 τοῦτο] τοῦτον (sc. λογισμὸν) Rsk., at τοῦτο i. q. τὸ λογισμὸν ἀντι-θεῖναι ἐξελθὸν scripsi: ἐξελθεῖν O; cf. v. l. p. 91, 7 9 ὅπερ D; ad rem cf. § 7 11 τοῦτον e Baroc. 136 rest. Rsk.: τοῦτο O 13 ἀφαιρέσεισ S¹ 14 οὔτε μὴ DU: οὔτε οὐ μὴ T οὔτε | μὴ S (οὐ fuisse non crediderim) ποτε· | | | | οὔτε S (fort. οὔτε iteratum erat) 16 ὁρῶσιν] φρονοῦσιν U, add. mg. γρ. ὁρῶσιν U¹ καὶ ante αὐτὰ om. D 18 ἐκτήσαντο O: ἐστή-σαντο S² mg. U² 22 πλώιμοσ U, cf. v. l. p. 73, 4 (Lobeck ad Phryn. p. 614 sq.) θάλασσαν SD: θάλασσα UT 25 ἐξῆν τὸ τελεῖν Kaibel: τότε ἔχειν O; τελεῖν ὅσα χρὴ τελέσασθαι propter medium τελέσασθαι poetae esse iudicaveris; de aoristo post praesens τελεῖν usurpato cf. Plat. Charm. 158 E ὅπῃ οἴῃ βέλτιον ἂν σκέψασθαι, ταύτῃ σκόπει (Kaibel) 28 ἀλλαχῇ DU θαλάσ-σησ O (-ττησ Baroc. 136) 29 δὲ UT

ἀλλ' οἴκοι μένοντας καὶ τὴν ὑμετέραν αὐτῶν καρπουμένους σωφρο-
νεῖν· οὐ γὰρ καὶ ἡ νῆσος ἔδυ κατὰ τῆς θαλάττης, ὥστε μὴ εἶναι
50 Ῥοδίων τοῖς λοιποῖς οὗ στῶσι. Τοῖς δ' ἀβίωτον ἡγουμένοις,
εἰ μὴ ἐν τοσαύτῃ καὶ τοιαύτῃ διάξουσι τῇ πατρίδι οἵᾳ πρόσθεν,
ἐκεῖνο λέγω, καὶ μηδεὶς τραχυνθῇ πρὸς τὸν λόγον. ἦν χρόνος, ἡνίκ'
οὔπω Ῥόδος ἦν ἡ πόλις αὕτη· ὡς μὲν οἱ ποιηταί φασιν, οὐδὲ ἡ
νῆσος αὕτη, ἀλλ' ἦν ταῦτα θάλαττα ψιλή ποτε, ἀλλ' ἔγωγε οὐ
τοῦτο λέγω, ἀλλ' ἐπὶ τῶν πρὸ Λυσάνδρου δή που χρόνων τοῦ
Λακεδαιμονίων ναυάρχου σχεδὸν πάντες ἐπίστασθε ὅτι οὔπω συνῴ-
κιστο ὑμῖν ἡ πόλις, ἀλλ' ἦν τῆς νήσου μόνον τὸ ὄνομα, πόλις δὲ οὐκ
ἦν πω Ῥόδος οὐδ' ᾠκεῖτο ὑπ' οὐδένων, ἀλλὰ τὰς παλαιὰς ᾤκουν
τρεῖς, ἅσπερ καὶ Ὅμηρος (B 656) κατέλεξεν, οἱ κατ' ἐκείνους τοὺς 817 D
χρόνους Ῥόδιοι. συνελθόντες δ' ὕστερον ἀπὸ πασῶν τῶν πόλεων
μίαν ταύτην οὐ πᾶσι καλοῖς ἄρα τοῖς οἰωνοῖς ᾤκισαν, ἧς μέγα καὶ
θαυμαστὸν τὸ ὄνομα καὶ σχῆμα καὶ κάλλος καὶ ὅ τι τις βούλεται
51 λέγων οὐχ ἁμαρτήσεται. δύο τοίνυν οὗτος ὁ λόγος δύναταί μοι·
ἓν μέν, ὦ ἄνδρες Ῥόδιοι, ὑποθέσθαι τοῖς λογισμοῖς ὑμᾶς ἐπ'
ἐκείνων εἶναι τῶν χρόνων, ἡνίκ' οὔπω τὴν πόλιν εἴχετε, καὶ φέρειν
μετριώτερον· ἕτερον δὲ καὶ τὸ πᾶν, μηδὲ νῦν ἀπογνῶναί πω τὰ
παρόντα μηδ' ἀπειπεῖν, παραδείγματι τῷ τῶν προγόνων χρω-
μένους, ὅτι κἀκεῖνοι γνώμην ἣν δεῖ λαβόντες οὖσαν ἐξ οὐκ οὔσης
ἀπέφηναν τὴν πόλιν καὶ μεγάλην γε ἐξ οὐδεμιᾶς καὶ θαυμαστὴν
ἐξ ἀφανοῦς τὴν πρώτην· ⟨ὅ⟩που δὲ ἀνεκτὸν ἐστερημένοις τοιαύτης 558 J
πόλεως ζῆν, μὴ πρὸς ἀνίαν ψιλὴν καταχρήσασθαι, ἀλλ' εἰς ἐπαν-
όρθωσιν τρέψαι τῶν συμβεβηκότων, ἥτις ἂν οὖν δυνατὴ φαίνηται.
52 καίτοι πολὺ ῥᾴων ὑμῖν ἡ ἀνάληψις τῆς πόλεως, ἐὰν ὀρθῶς σκο-
πῆτε, ἢ ἐκείνοις ὁ ἐξ ἀρχῆς οἰκισμός. οἱ μὲν γὰρ οὐδ' ἡντινοῦν
ἔχοντες ἀφορμὴν παρὰ τοῦ τόπου, οὐ λιμένας, οὐκ εἰκόνας, οὐ
κόσμους, οὐ λίθους, ὡς εἰπεῖν, ἐν πολλῇ βουλῇ καὶ ἀπορίᾳ κατα-
στάντες, οἶμαι, πρῶτον ποῖ ποτε τῆς χώρας οἰκήσουσιν, οὕτω
ταύτην ἀπέδειξαν, καὶ τὸ μέγιστον ἁπάντων, πρὸς οὐδὲν ὑπάρχον 818 D
παράδειγμα, ἀλλ' εὑρόντες αὐτοὶ καὶ προθέντες πρῶτοι καθάπερ
53 ὡς ἀληθῶς παράδειγμα πόλεως. ὑμᾶς δὲ οὔτε ζητῆσαι νῦν οὐδὲν

1 σωφρονεῖν] σωφροσύνην D 2 θαλάττησ | μὴ εἶναι T 6 ὡς μὲν] ὥς γε Rsk., at respondet ἀλλ' ἔγωγε 14 μέγα καὶ θαυμαστὸν τὸ traieci: τὸ μέγα καὶ θαυμαστὸν O; cf. p. 76, 13 19 καὶ τὸ πᾶν] sc. δύναταί μοι (v. 16) 22 ἀπεφήναντο τὴν U γε Rsk.²: τε O 23 τὴν πρώτην] 'initio'; post ἀνεκτὸν (probato ὅπου) traici mavult Wil., quo facto cadentis orationis numeri minus placent ὅπου scripsi (mutata interpunctione): ποῦ O; pendent infinitivi καταχρήσασθαι — τρέψαι ab eo quo 19. 20 ἀπογνῶναι — ἀπειπεῖν 24 καταχρήσασθε S¹ (in mg. /) 25 οὖν scripsi: οὖσα O

δεῖ περὶ τῶν ὅλων καὶ εἴ τινα λείπεται τῶν ἀρχαίων παραβοηθεῖ·
πολλὰ δὲ ταῦτά ἐστι πρὸς τὸ πᾶν, εἰ καὶ παντάπασιν ὀλίγα ὡς
πρὸς τὰ πάντα. οὔτε γὰρ λιμένας προχοῦν ὑμᾶς οὐδὲν δεῖ νῦν
οὔτε βουλευτήριον οὔτε θέατρον ἀνοικοδομεῖν οὔτε ἄλση φυτεύειν.
εἰσὶ δὲ καὶ εἰκόνες λοιπαί τινες ἐν πίναξι καὶ τῶν χαλκῶν ἔργων
ὅσον δεῖγμα καὶ τὸ μέγα ἄγαλμα καὶ τὸ ἡμέτερον τουτὶ χωρίον,
ἐν ᾧ πολλὰ δὴ πολλάκις μεθ' ὑμῶν ἠγωνισάμεθα. ὧν εἰ καὶ
ὑμεῖς καταφρονεῖτε καὶ τὸ μηδὲν τὰ λοιπὰ κρίνετε, πρὸς τὰ ἀρ-
χαῖα ἀναφέροντες, ἠγάλλοντ' ἂν εὖ ἴστε ἕτεραι πόλεις εἰ καὶ μέρος
παρ' αὐτοῖς ἦν τι. καὶ μὴν οὐδὲ παράδειγμά γε ὑμᾶς δεῖ μετα-
πέμπεσθαι οὐδ' ὑπερόριόν τινα ζηλῶσαι, ἀλλ' ἀπὸ τῆς Ῥόδου
τὴν Ῥόδον ἐκ παλαιᾶς νέαν ποιῆσαι. ἔτι δὲ οἱ μὲν ἐν πολέμοις 54
τε καὶ ταραχαῖς, καὶ οὔτε αὐτοὶ πάνυ τι τὴν ἡσυχίαν ἄγειν δυνά-
μενοι τῆς τε ἄλλης Ἑλλάδος πάσης ἄνω καὶ κάτω φερομένης,
πλέοντες ὁμοῦ καὶ στρατευόμενοι ᾤκιζον τὴν πόλιν, ὥσπερ τινὲς
φρούριον ἢ στρατόπεδον ἐκτειχίζοντες ἐπὶ στρατείας. ὑμεῖς δὲ 55
ἐπὶ πολλῆς μὲν εἰρήνης καὶ βαθείας ἡσυχίας, ἣ τὰ πάντων ἀνθρώ-
πων καλῶς ποιοῦσα ηὔξηκε πράγματα, πολλῶν δὲ καὶ συλλαμ-
βανόντων ὑμῖν, οὐ μόνον οὐ κωλυόντων, ἕξετε τῶν Ἑλλήνων πολλοὺς
554 J *[συνεπιλήψεσθαι] . . . ., ὥσπερ ἔρανον κοινὸν τῷ γένει πληροῦν-*
819 D *τας, τοὺς μὲν ἀποδιδόντας ὑμῖν εὐεργεσίας ἀνθ' ὧν ἔτυχον αὐτοὶ*
δεηθέντες ποτέ, τοὺς δὲ τὸ τῆς τύχης ἄδηλον ἐν ὑμῖν εὖ τιθε-
μένους, τοὺς δ' αὐτὸ τοῦτο δεῖγμα ἐκφέροντας φιλοκαλίας καὶ
μεγαλοπρεπείας τὸ ὑμῖν εἰς τὰ παρόντα συνεισενεγκεῖν. μέγιστον 56
δὲ πάντων [ἀνθρώπων] ⟨ἡ παρὰ τοῦ⟩ ἄρχοντος ἐλπίς, ᾧ μάλιστα

---

3 *προσχοῦν* S² (quod e Baroc. 136 rec. Ddf.); *προχοῦν*: moles aggeresque in mare pertinentes extruere, quibus portus contineantur, cf. Panath. I p. 207, 15 Ddf. 6 vv. *ἄγαλμα — ἡμέτερον* add. S¹ mg.; *ἄγαλμα*: Colossum, qui dicebatur, significat; *ἡμέτερον — χωρίον*: falso de villa Rhodiaca quadam oratoris (quem dicunt Aristidem) interpretantur; est auditorium, in quo cum hominibus sui generis (*ἡμέτερον*), qui sunt oratores, sese declamasse dicit, quodque inter ipsa haec verba digito (*τουτί*) monstrat: Rhodi orationem declamat rhetor quisquis fuit, Aristides in Aegypto degebat 7 *ὧ δὴ πολλὰ* D 10 *γε* om. U 11 *οὐδ'* Ddf.: *οὐθ'* O nonne *ζηλῶσαι ⟨πόλιν⟩, ἀλλ'*? 13 *τι*] *τοι* U 14 *ἄλλησ ἁπάσησ ἑλλάδοσ* D 18 *εὔξησε* T 19 *ἕξετε* Ddf. (*ἕξεσθε* Rsk.): *ἐξέσται* O (ad quod v. 16 *ὑμῖν δὲ* ci. U²) 20 *συνεπιλήψεσθαι* seclusi (propter *συλλαμβανόντων* intolerabile); extrudit quod fuit in lacuna, quam indicavi, participium e. g. *συμβαλλομένους*; neque enim participia *ἀποδιδόντας — τιθεμένους — ἐκφέροντας* referenda ad *ὥσπερ — πληροῦντας*, quia comparatio et ipsa apta esse debet e notione ea, cui subiecta erant illa participia; ceterum cf. Demosth. XXVII 213 an *κοινὸν ⟨ἐν⟩ τῷ γένει*? 25 *ἀνθρώπων* seclusi *ἡ παρὰ τοῦ* addidi; quibus omissis, cum *πάντων* ad *ἄρχοντος* relatum esset, e v. 17 *ἀνθρώπων* inculcatum; cf. Aristid. or. XIX § 12 *ἡ δὲ παρ' ὑμῶν* (Caesarum) *ἐλπὶς λείπεται*; si *δὲ ⟨ἡ παρὰ τοῦ⟩ πάντων ἀνθρώπων*

χρὴ δοκεῖν εἶναι διὰ σπουδῆς ὡς ἂν οἷόν τε ῃ τὴν πόλιν ἀναλα-
βεῖν, ὡς μὴ τὸ κάλλιστον αὐτῷ τῶν κτημάτων ἀτίμως ἐπὶ γῆς
κέοιτο μηδὲ σκόπελοι καὶ κόνις τὰ Ῥόδου πράγματα εἴη τὸ λοιπόν.
57 Ἐνθυμεῖσθαι δὲ χρὴ καὶ τῶν παλαιῶν. ἔστι μὲν ὡς ἀληθῶς ἀναί-
σθητον τὰ ὑμέτερα ἀντεξετάζειν τοῖς ὡντινωνοῦν — ὅπερ γὰρ εἶπον
(§ 33 sqq.), τὸ μόνον τὰς συμφορὰς ἐπικουφίζον οὐκ ἔστιν ἐν τοῖς
παροῦσι, παράδειγμα —, ὅμως δ' εἰ καὶ μὴ τηλικούτων ἐστερή-
θησάν τινες, μηδ' οὕτω πολυειδεῖ κακῷ περιέπεσον, ἀλλ' οὖν
πολλαὶ δὴ πόλεις αἱ μὲν ἀναστάτων τῶν ἐχόντων αὐτὰς γενομένων
ἐρημίᾳ κατελύθησαν, αἱ δὲ κατεσκάφησαν, αἱ δὲ ἐνεπρήσθησαν·
58 ὧν ὅσα γνωριμώτατα ἐκλέγοντας ἐνθυμεῖσθαι χρὴ καὶ λέγειν πρὸς
ὑμᾶς αὐτούς, ὅτι ἑάλω μὲν Ἴλιος, ἡ δυνατωτάτη τῶν ἐν τῇ Ἀσίᾳ
πόλις κατ' ἐκείνους τοὺς χρόνους, ἀλλ' ὅμως οἰκεῖται νῦν Ἴλιος,
καὶ ταῦτα δίς, ὥς φασιν, ἁλοῦσα, ἅπαξ μὲν ὑπὸ Ἡρακλέους, δεύ-
τερον δὲ ὑπὸ Ἑλλήνων κοινῇ τῷ θρυλουμένῳ πολέμῳ· φασὶ δέ
τινες καὶ τρίτον ἐν τοῖς κάτω καιροῖς. οἰκοῦνται δὲ Θῆβαι, δὶς 820 D
καὶ αὗται κατασκαφεῖσαι καὶ τῶν ἐν ἡλικίᾳ πάντων διαφθαρέν-
των· ὃ ἐνταῦθα οὐκ ἠκρίβωσεν ὁ σεισμός, εὖ ποιῶν κατὰ γοῦν
59 τοῦτο τὸ μέρος. ὑμῖν δὲ ὡς ἐν δεινοῖς καὶ τούτοις τηλικούτοις
κινδυνεύει τοῦτο καὶ ἀνεκτότατον συμβεβηκέναι· οὐ γὰρ πολέμῳ
ληφθεῖσα ὑμῶν ἡ πόλις οἴχεται οὐδ' ἀνδρῶν χείρων φανεῖσα, οὐδ'
ἔστησεν ἀπ' αὐτῆς τρόπαιον οὐδεὶς οὐδ' ἀπὸ τῶν ὑμετέρων ἀνα-
θημάτων τὰ παρ' αὐτῷ τις ἱερὰ κοσμήσει, ὥσπερ ὑμεῖς τοῖς ἔξω-
θεν λαφύροις τὴν ὑμετέραν αὐτῶν πόλιν κατεκοσμήσατε, ἀλλ' ὥσπερ
ἀνὴρ ἐν ἀκμῇ τελευτήσας τὸν βίον αὐτὴ καθ' αὑτὴν οἴχεται θειο-
τέραν λαβοῦσα τὴν τελευτήν, καὶ οὔτε αἰχμάλωτος ἧκται Ῥαδίων 555 J
οὐδεὶς οὔτε καθῄρηται Ῥόδος, ἀλλ' ἀνθήσασα εἰς ὅσον ἐξῆν ἐξαίφ-
60 νης ἠφάνισται. καίτοι τοὺς τοιούτους τῶν θανάτων οὐδὲ ἰδίᾳ ἐπὶ
τῶν ἀνδρῶν ἀδόξους εἶναι συμβέβηκεν· ἀλλ' Ἀμφιάραος δὺς κατὰ
[τῆς] γῆς ὁμοῦ τῷ ἅρματι σεμνὸς ἥρως ᾄδεται, καὶ ὁ δεξάμενος

---

fuisset, legeremus *τὸ δὲ μέγιστον*; neque dirimenda *μέγιστον δὲ πάντων ἄρχοντος*] Pii imperatoris

1 vv. *ὡς — ῃ̃* ad *ἀναλαβεῖν* trabenda *τήν τε πόλιν* U 3 *κέοιτο — εἴη*] apud Aristidem genuinum *κέηται — ῃ̃* correxissem 4 *καὶ τῶν* S¹DT: *καὶ τὰ τῶν* US²; *ἐνθυμεῖσθαι*, ut *μιμνήσκεσθαι*, genetivum adscivit etiam supra apud Aristid. p. 62, 30. 31 *μὲν* in ras. U² 6 *τὰς συμφορὰς* om. S¹, add. S² mg.; non delendum: imitatur Demosth. XXIII 70 *ἐπεκούφισαν — τὰς συμφοράς* 7 *παράδειγμα* spurium videtur 9 *ἀναστάντων* D 12 et 13 *ἴλιοσ* DU: *ἴλιον* ST 15 *θρυλλουμένω* DU 16 *καὶ τὸ τρίτον* D *κάτω*] a. 86 a. Chr. n., Fimbria urbem expugnante (Strab. XIII 594) 17 *αὐταὶ* Rsk.: *αὗται* O 21 *ἡμῶν* ST¹ 23 *αὐτῶ* O (*αυτ-* S¹, *αὐτ-* S²) *ὥσπερ — 24 κατεκοσμήσατε*] cf. § 4. 9 25 *κατ' αὐτὴν* T 30 *τῆσ* SDT, om. U (et Monac. 432 unde) secl. Rsk.²

821 D τόπος τέμενος εἶναι ἀνεῖται τὸ λοιπὸν αὐτῷ. κινδυνεύω δὲ 61
εἰπεῖν ὅτι καὶ τοῦτο εἰς ἐγκώμιον τῇ πόλει συντετέλεκεν. περὶ
μὲν γὰρ τῆς Λακεδαιμονίων πόλεως ἔχομεν λέγειν ὡς οὐ διεγένετο
ἀπόρθητος καὶ περὶ τῶν ἄλλων ἐστὶ τὸ μέλλον ὑποπτεῦσαι· πολλὰ
δὲ τοῖς περιοῦσι κινδυνεύεται καὶ πολλοὶ παρ᾽ ἀξίαν ἤδη καὶ παρὰ
πᾶσαν προσδοκίαν ὑπὸ τῶν τυχόντων ἐσφάλησαν, οἱ πρὶν ἐνταῦθα
ἐλθεῖν ἀκραιφνὲς καὶ κρεῖττον ἁπάσης ἐλπίδος τὸ φρόνημα ἔσῳ-
ζον· αὕτη δὲ βεβαίως ἀήττητος οἴχεται, ὥσπερ ἀνὴρ ἀθλητὴς ἐν 62
ταῖς εὐτυχίαις καταλύσας τοὺς πόνους, καὶ τὴν ἔμπροσθεν ἀκμὴν
καὶ δύναμιν καὶ λαμπρότητα ἐπεσφραγίσατο τῇ τελευτῇ. οὐ γὰρ
εὖ πράξασα, εἶτα χεῖρον ἔπραξεν, οὐδ᾽ ἀεὶ κατὰ μικρόν, ἕως ἀπέσβη,
ἀλλ᾽ οὖσα μὲν ἦν μεγίστη, πρότερον δ᾽ εἰς τὸ μηκέτ᾽ εἶναι κατῆλ-
θεν ἢ τῆς ὑπαρχούσης ἀξίας ὑφεῖλεν. ἃ χρὴ λογιζομένους μήτε 63
ὑπερασχάλλειν τῷ συμβεβηκότι μήτ᾽ ἀπαλγήσαντας ἐᾶν, ἀλλ᾽ ἐκεῖνο
ὁρᾶν, ὅτι ὥσπερ ἐκ τῆς μεγίστης εὐτυχίας εἰς τοὔσχατον ἦλθεν,
οὕτως οὐδὲν ἀπεικὸς καὶ οὕτως πεπραγυῖαν ἀναστῆναι πάλιν καὶ
προσδέχεσθαι τὴν ἐπὶ θάτερον τῆς τύχης ἤδη μεταβολήν, ὅσῳ καὶ
συνηθέστερον τῇ πόλει τὸ εὖ πράττειν τοῦ κακῶς. καὶ τοῦ μὲν
θεοφιλὴς εἶναι πολλὰ καὶ πάλαι καὶ νῦν ἐξενήνοχε δείγματα, τοῦ
δὲ ἐναντίου τοσοῦτον ἀφέστηκεν ὅσον πλεῖστον ἐξῆν. δι᾽ ἃ 64
πάντα χρὴ καὶ τὸ συμβεβηκὸς ἐνεγκεῖν ὡς πραότατα καὶ τῶν δευ-
τέρων ἐρρωμένως ἀντέχεσθαι καὶ τὸν λόγον βεβαιῶσαι ὅτι οὐκ
οἰκίαι καλῶς ἐστεγασμέναι οὐδὲ λίθοι τειχῶν εὖ δεδομημένοι οὐδὲ
στενωποί τε καὶ νεώρια ἡ πόλις, ἀλλ᾽ ἄνδρες χρῆσθαι τοῖς ἀεὶ
822 D παροῦσι δυνάμενοι, καὶ μὴ νομίζειν οὕτω τινὰ εἶναι συμφορὰν
556 J ἰσχυράν, ἧς μὴ καὶ λύσιν ἔστιν εὑρεῖν, μηδ᾽ οὕτως μικρὰς ἔχειν
ἀφορμάς, δι᾽ ὧν οὐκ ἄν τις καὶ τῶν μεγίστων περιγένοιτο, ἐπισταμένους ἀκοῇ, ὅτι Ἀθηναίων τῆς ἡγεμονίας στερηθέντων καὶ τὰ 65
τείχη ταῖς ἑαυτῶν χερσὶ κατασκαψάντων καὶ τοσοῦτον μεταπε-

---

1 *ἀνεῖται* scripsi: *δύναται* O 3 *τῆσ τῶν Λακεδαιμονίων* D 9 *τὴν μὲν ἔμπροσθεν* S[1] (*μὲν* expunxit inc. m.) T *τοὺς πόνους* iure suspecta Kaibelio 11 *χείρων* S[1] post *μικρὸν* mente *χεῖρον ἔπραξεν* supplendum *ἀπέβη* S[1] 12 *ἦν καὶ μεγίστη* U 13 *ὑφεῖλεν* corruptum videtur; *ὑφῆκεν* ci. Kaibel 14 *ἀπαλγήσαντασ* T: *ἀπαλγήσαντασ ῥαθυμήσαντασ* SDU; cf. p. 81, 21 16 *καὶ οὕτω* U 18 *συνηθέστερον τῆσ τύχησ* S (aberrante scriba ad *θάτερον*), *τῆσ τύχησ* expunctis *τῇ πόλει* add. S[1] mg. 21 *πραότατα*] *τατα* in ras. U[2] ut. vid., *πραότητα* D 22 *ὅτι οὐκ κτέ.*] cf. p. 50, 34 23 *δεδομημένοι*] *δεδο* et *μη* a diversis manibus rec. corr. S[2], ut *δεδμημένοι* S[1] fuisse confidam; *δομέω* novicium me mirum habet in oratione, in qua ex verbis sola *εὔκληρος* 84, 19 et *ἡμιρραγής* 81, 2 revera notabilia; neque enim poetica notanda neque *τρικρότους* prope *δικρότους* 73, 3 24 *τε* om. U 26 *ἧσ*] *οἷσ* D *οὕτω* UT

σόντων ἐκ τῆς ἀρχαίας εὐδαιμονίας, ὥστε ἐπὶ τριάκοντα αὐτῶν εἶναι δεσπόταις καὶ τοῖς ἐκ Λακεδαίμονος φρουροῖς, ἑβδομήκοντα ἄνδρες οἱ πρῶτοι συστάντες καὶ Φυλὴν καταλαβόντες τοσοῦτον αὖ μεταβαλεῖν ἐποίησαν ἅπαντα τὰ πράγματα, ὥστε κατέσχον μὲν τὸν Πειραιᾶ, κύριοι δὲ τῶν λιμένων κατέστησαν, ἔσωσαν δὲ καὶ ἑαυτοὺς καὶ τοὺς ἑαυτῶν, τὴν πόλιν δὲ ἐκομίσαντο καὶ τὴν πάτριον πολιτείαν, τὰς Λακεδαιμονίων φρουρὰς ἀπαλλάξαντες· ἐξ ὧν καὶ περὶ αὐτῆς βουλεύσασθαι καὶ περὶ τῶν ἄλλων Ἑλλήνων ἐδυνήθη πάλιν ἡ πόλις καὶ τὰ τείχη περιβαλέσθαι καὶ τὴν ἀρχὴν τῆς θαλάττης ἀναλαβεῖν δι' ἑνὸς ἀνδρὸς φυγάδος Κόνωνος, ὃς ὅτε αἱ τριήρεις αὐτοῖς ἀπώλοντο ἐν Αἰγὸς ποταμοῖς, μόνος ἐξ ἁπάντων
66 *ἀποδρὰς ᾤχετο. εἰ τοίνυν μήτε Θρασύβουλος ἀπέγνω τὰ πράγματα μηδὲ ἐνεθυμήθη, τί δὴ εἶεν ἑβδομήκοντα ἄνθρωποι πρὸς τὴν Λακεδαιμονίων ἀρχὴν καὶ τὴν κατέχουσαν τύχην τότε κοινῇ τὴν Ἑλλάδα — πάντες γὰρ ὁμοίως ὑπεκεκύφεσαν αὐτοῖς —, μήτε ὁ Κόνων ἀδυνάτων ἐρῶν ᾔσθετο, ὅτε οὐδ' ὁτιοῦν ἔχων πλὴν τοῦ σώματος ἔγνω τὰ τείχη πάλιν τῇ πόλει στῆσαι καὶ τὴν ἀρχὴν ἀνανεώσασθαι, πῶς οὐκ εὔδηλόν ἐστιν ὅτι γνώμῃ καὶ φρονήματι καὶ καρτερίᾳ ψυχῆς τὰ πολλὰ τῶν πραγμάτων, ἀλλ' οὐ τῷ πλή-*
67 *θει τῶν ὑπαρχόντων κρίνεται; τί δὲ δεῖ λέγειν τὴν παλαιὰν ἔκλειψιν αὐτῶν τῆς πόλεως, ὅτε ἐξεπίτηδες αὐτὴν προήκαντο τοῖς βαρ-* 823 D
βάροις ἐμπρῆσαι καὶ ἱερὰ καὶ τάφους τοὺς ἐν τῇ χώρᾳ, ⟨καὶ⟩ τὴν ἐν Σαλαμῖνι βουλὴν ὑπὲρ τῶν Ἑλλήνων καὶ ὧν ἐκ τούτων ἔτυχον; οὐδεὶς γὰρ ταῦτά γε Ἑλλήνων οὐδὲ βαρβάρων ἀγνοεῖ, ἥκιστα δὲ ὑμεῖς, ὅσῳ καὶ παιδείᾳ πλεῖστον ἁπάντων προέχετε. καὶ νῦν μέν
68 *γε ὑμεῖς χρῆσθε τούτοις παραδείγμασι. Γιγνομένων δὲ καὶ ὑμῶν* 557 J
ἀνδρῶν ἀγαθῶν ἕτεροι μνημονεύσουσιν ἐν τοιούτοις καιροῖς καὶ παράδειγμα ὑμᾶς καὶ τὰ ὑμέτερα πρὸς αὐτοὺς καὶ τὰ ἑαυτῶν θήσονται πράγματα, ὥστε καὶ τῆς παρὰ τοῖς οὖσι δόξης ἕνεκα καὶ τῆς παρὰ τοῖς ἐπιγιγνομένοις καὶ τὸ μέγιστον τῆς ὑμετέρας αὐτῶν ἕνεκεν σωτηρίας ἄξιον φιλοτιμηθῆναι καὶ τάξαι καὶ ὑμᾶς αὐτοὺς

---

1 *αὐτῶν* O 8 *αὐτῆσ* DUT, sine spir. S[1] (*αὑ-* S[2]) 10 *δι' ἀνδρὸσ ἑνὸσ φυγάδοσ* T 11 *ἀπώλοντο ἑνὸσ φυγάδοσ μόνοσ* S, postea expunxit *ἑνὸσ ἀνδρὸσ* et *ἐν αἰγὸσ ποταμοῖσ* add. S pr. m. in mg. interiore; ergo *ἀνδρὸσ ἑνὸσ* varia lectio archetypi ST 13 *δὴ* scripsi: *δ' ἂν* O 14 *τότε τύχην* D 15 *ὑπεκεκύφεσαν* scripsi: *ὑποκεκύφεσαν* O 16 *ὅτε οὐδ'*] *οὔτε οὐδ'* T 18 *ὅτι — κρίνεται*] cf. Aristid. or. XXIV § 32 21 *αὐτὴν* UT: *αὐτῶν* (*ην* superscr.) S[1], *αὐτῶν* D 22 *χώρα καὶ τὴν* U[2]: *χώρα τὴν* O; *χώρᾳ, ⟨τί⟩ τὴν* Rsk. 24. 25 *δὲ καὶ ὑμεῖσ* D 27 *μνημονεύουσιν* D *ἐν τοῖσ τοιούτοισ* U 28 *αὐτοὺσ*] *αὑτοὺσ* S[1]DT 31 *ἕνεκεν* ST: *ἕνεκα* DU, anonymo illud condonandum *καὶ* ante *ὑμᾶσ* om. T

ἐν τῷ τῶν ἀπὸ μικρῶν τῶν λοιπῶν μεγάλα τὰ ἀρχαῖα ἀναλαβόντων
ἀριθμῷ. ταῦτα καὶ τοὺς τετελευτηκότας ὑμῶν νομίζετε δεῖσθαι 69
πατέρας καὶ ἀδελφοὺς καὶ τοὺς ἄλλους οἰκείους καὶ ἱκετεύειν πρὸς τῆς ἑαυτῶν μνήμης καὶ τοῦ λοιποῦ τῆς πόλεως ἐδάφους, εἴ τι χαρίζεσθαι βούλεσθε αὐτοῖς, μὴ περιιδεῖν τὸ τῆς Ῥόδου καθάπαξ ὄνομα ἀπελθὸν ἐξ ἀνθρώπων, ἀλλ' ἐπαμῦναι καὶ ἀναστῆσαι καθ' ὅσον δύνασθε. ἀνισταίητε δὲ εὐτυχεστέροις καὶ βελτίοσι τοῖς συμβόλοις, Ζεῦ καὶ πάντες θεοί.

I 321 D
I 197 J

XXVI.
(14) ΕΙΣ ΡΩΜΗΝ.

Ἔθος τοῖς πλέουσι καὶ ὁδοιποροῦσιν εὐχὰς ποιεῖσθαι καθ' ὧν ἂν ἕκαστος ἐπινοῇ· ποιητὴς μὲν οὖν ἤδη τις εἶπε σκώψας εὔξασθαι 'κατὰ χρυσόκερω λιβανωτοῦ', ἡμεῖς δέ, ὦ ἄνδρες, παρὰ τὴν ὁδὸν τὴν ἐνταῦθα καὶ τὸν πλοῦν εὐχὴν ταύτην ἐποιησάμεθα, οὐκ ἄμουσον οὐδ' ἐκμελῆ οὐδ' ἄπο τῆς τέχνης, εἰ σωθείημεν, προσερεῖν ἐν τῷ μέσῳ τὴν πόλιν. κατὰ ἰσομετρήτου μὲν οὖν εὔξα- 2

Libri S (cuius in locum p. 96, 27, — 100, 5 cedit B) DUT = O

2 in orationis conclusione adhortationem ponit huic loco solemnem, simul tanquam in oratione iudiciali parentes inducit, ut pro oratoris causa dicant, prosopopoeia usus, denique verbis bene ominatis orationem claudit; ita orator qui artis praecepta bene percepit, non percepit artis esse artem tegere. Auctorem divinari non licet; qui quamvis in arte haud pauca cum Aristide communia (cf. ad p. 82, 24) habeat, tamen Aristidis imitator non est; neque enim verendum ne quis orationem pro commentatione scholastica habeat: ergo auctor eiusdem est scholae rhetoricae (Pergamenae puta; cf. ad p. 89, 23), unde Aristides ortus est; magistrum fortasse uterque imitatur. Facit hoc ad artem Aristidis recte iudicandam 7 *ἀπελθὸν* DS p. corr.: *ἀπελθῶν* S a. corr., *ἀπελθὸν* (*εῖν* suprascr.) U pr. m. *ἀπελθεῖν* T, cf. p. 85, 8 7 *ἀνασταίητε* UT *δὲ* om. U¹ Subscr. *ῥοδιακόσ* ST

Titulus: *εἰσ ῥώμην* SUT (Thom. Mag. quater), om. D; *Ἀριστείδου Ῥώμης ἐγκώμιον* Ald. et (praeter primam vocem) editores; finxit sibi Aldus titulum nullo libro traditum (qui eum tradunt Monac. 555 et Bodl. Misc. 189 m. rec. ex ipsa Aldina pendent); *ἐν τῷ Ῥωμαϊκῷ* [*νόμῳ*] Menand. Epid. p. 195 W. (p. 360 Sp.) 10 *ποιητὴσ μὲν οὖν* S (at *οὖν* postea, ut vid., pr. m. inseruit) U (Thom. Mag. p. 78, 10): *ποιητὴσ μὲν* DT 11 *κατὰ χρυσόκερω λιβανωτοῦ*] victimae cornibus inauratis; CAF. III p. 546 n. 784 K. (cf. I p. 593 n. 913), ubi perperam etiam *εὔξασθαι* poetae vindicatur 12 *οὐκ* — 13 *ἐκμελῆ*] cf. p. 92, 10 14 *ἐν τῷ μέσῳ*] cf. or. XXXIII § 22 *κοσμῆσαι τὴν πόλιν ἐν τῷ μέσῳ* *οὖν* om. D

σθαι τῇ πόλει λόγον οὐκ ἐνῆν, ἀλλ' ὡς ἀληθῶς εὐχῆς αὖ προσε-
δεῖτο ἑτέρας· ἴσως μὲν [οὖν] καὶ μείζονος δυνηθῆναι τοιοῦτον ἆραι
λόγον, ὅστις παρισώσεται τοσῷδε ὄγκῳ πόλεως· προσερεῖν γε μὴν 322 D
ὑπεσχόμεθα, ὅπως ἂν δυνώμεθα, ἐπειδή γε καὶ ἄλλοι τὰ ἰσομέ-
3 τρητα σφίσιν αὐτοῖς ἰσομέτρητα ποιοῦσιν αὖ καὶ τοῖς θεοῖς. ἀλλ',
ὦ ἄνδρες, οἱ τῆς μεγάλης ἔνοικοι πόλεως, εἴ τι μέτεστιν ὑμῖν 198 J
προνοίας μὴ ἐμὲ ψεύσασθαι τὴν εὐχήν, συνάρασθε τῷ τολμήματι,
ἵνα τῶν ἐγκωμίων πρῶτον ἀρχόμενοι καὶ τοῦτο ἔχωμεν λέγειν, ὅτι
εὐθὺς μὲν τοιούτοις ἀνδράσιν ἐντυχεῖν ἦν, ὑφ' ὧν τις, 'κἂν ἄμουσος
ᾖ τὸ πρὶν' κατ' Εὐριπίδην (frg. 663 N.²), ἐμμελής τε καὶ δεξιὸς
εὐθὺς γίγνεται καὶ δύναται λέγειν καὶ περὶ τῶν μειζόνων ἢ κατ'
4 αὐτόν· τὴν δὲ πόλιν ᾄδουσι μὲν πάντες καὶ ᾄσονται, τοσούτῳ δὲ
ἐλάττω ποιοῦσιν ἢ σιωπῶντες, ὅσῳ παρὰ μὲν τὴν σιωπὴν οὔτε
μείζονα οὔτ' ἐλάττονα ἔστι ποιῆσαι τῆς οὔσης, ἀλλ' ἀκέραιος τῇ
γνώσει μένει, οἱ δὲ λόγοι τοὐναντίον οὗ βούλονται ποιοῦσιν· ἐπαι-
νοῦντες γὰρ οὐ δεικνύουσιν ἀκριβῶς ὃ θαυμάζουσιν, ἀλλ' ὥσπερ
ἂν εἴ τις ζωγράφος σῶμα καλὸν καὶ περίβλεπτον ἐπιχειρῶν δεῖξαι
διὰ τέχνης, εἶτα ἀπολείποιτο, πᾶς τις ἂν δή που φαίη λυσιτε-
λεῖν μὴ γράφειν, ἀλλὰ αὐτὸ ἰδεῖν ἐᾶν, ἢ μὴ δεικνύειν ⟨γε⟩ αὐτοῖς
ἐπὶ τὸ χεῖρον μιμούμενον, ὡς δὲ καὶ περὶ ταύτης μοι δοκεῖ τῆς
5 πόλεως ἔχειν· ἀφαιροῦσιν οἱ λόγοι τὰ πολλὰ τῶν θαυμάτων καὶ
ποιεῖν δοκοῦσί μοι παραπλήσιον ὥσπερ ἂν εἴ τις στρατιᾶς πλῆ-
θος ἐξαγγεῖλαι βουλόμενος, οἷον τῆς Ξέρξου, καὶ πάνυ δὴ θαυ-
μάζων, εἶτα λέγοι μυρίους ἢ δισμυρίους στρατιώτας ἰδεῖν, ἵππον
δὲ τόσην καὶ τόσην, οὐδὲ πολλοστὸν μέρος τοῦ παντὸς λέγων ἐν
οἷς θαυμάζει.
6 Ἡ γὰρ δὴ πρώτη λόγου δύναμιν ἐξελέγξασα οὐκ ἐπὶ πᾶν ἀφ- 323 D

1 αὖ εὐχῆσ D an προσεδεῖτ' ⟨ἂν⟩? 2 οὖν secl. Wil. μείζονος] sc. ῥήτορός ἐστιν ἢ ἐμοῦ, cf. v. 11 3 γε s. l. add. S¹ 4 ἐπειδή γε κτἑ.] cf. Panath. I 152, 21 sqq. Ddf. 7 συνάρασθε τῷ τολμήματι] cf. Schmid p. 152 8 πρῶτον hic om., post τοῦτο add. U ἀρχόμενοι DU: ἀρχώμεθα ST 9 μὲν] incolae urbis laudantur, opponitur (δὲ v. 12) ipsius urbis laudatio 10 ᾖ] ἦν D a. ras. κατ' εὐριπίδην τὸ πρὶν U 11 εὐθὺς spurium videtur (cf. v. 9) γίνεται D καθ' αὐτὸν Ddf. 12 τοσοῦτο U 13 ἐλάττω DU: ἐλάττ/ S, ἔλαττον T 14 οὔτε U 15 οὗ] ἢ T 18 εἶτ' U ἀπολίποιτο T ἂν φαίη δήπου D 19 ἀλλὰ scripsi: ἀλλ' ἢ O γε add. Wil. (qui in vv. antecedentibus tradita def.) αὐτοῖσ O; suspectum Wil., εὐθὺσ ci. Rsk.² ('nullo modo, nunquam ostendere'); αὐτοῖς redit κατὰ σύνεσιν ad πᾶς τις v. 18 22 στρατείασ S¹T 23 θαυμάζων T: θαυμάζειν SDU 24 λέγει U ἢ δισμυρίους om. D 27 πρώτη ⟨τὴν τοῦ⟩ λόγου Rsk.² ἀφικνουμένην DU¹T: ἐφικνουμένην S² (ἐ- in ras.) U² (Marc. 428), cf. p. 7, 4. 21; XXXII § 4; at illud etiam or. XXXIX § 1 (ubi eadem sententia)

ικνουμένην ἥδε ἐστί· περὶ ἧς μὴ ὅτι εἰπεῖν κατὰ τὴν ἀξίαν ἔστιν,
ἀλλ' οὐδ' ἰδεῖν ἀξίως αὐτήν, ἀλλ' ὡς ἀληθῶς Ἄργου τινὸς παν-
όπτου, μᾶλλον δὲ τοῦ κατέχοντος αὐτὴν πανόπτου θεοῦ δεῖ. τίς γὰρ
ἂν τοσάσδε ὁρῶν κορυφὰς κατειλημμένας ἢ πεδίων νομοὺς ἐκπεπο-
λισμένους ἢ γῆν τοσήνδε εἰς μιᾶς πόλεως ὄνομα συνηγμένην, εἶτα
199 J *ἀκριβῶς κατεθεάσατο; ἀπὸ ποίας τοιαύτης σκοπιᾶς; ὅπερ γὰρ ἐπὶ* 7
τῆς χιόνος Ὅμηρος ἔφη (*M* 282—4), *χυθεῖσαν αὐτὴν 'ὑψηλῶν ὀρέων*
κορυφὰς καὶ πρώονας ἄκρους' καλύπτειν 'καὶ πεδία λωτεῦντα καὶ ἀν-
δρῶν πίονα ἔργα, καί τ' ἐφ' ἁλὸς πολιῆς', φησί, 'κέχυται λιμέσιν τε
καὶ ἀκταῖς', τοῦτο ἄρα καὶ ἥδ' ἡ πόλις· καλύπτει μὲν ἄκρους πρώονας,
καλύπτει δὲ τὴν ἐν μέσῳ γῆν, καταβαίνει δὲ καὶ μέχρι θαλάττης,
οὗ τὸ κοινὸν ἀνθρώπων ἐμπόριον καὶ ἡ κοινὴ τῶν ἐν γῇ φυομένων
διοίκησις· ὅπου δέ τις αὐτῆς γίγνοιτο, οὐδέν ἐστι τὸ κωλῦον ὁμοίως
εἶναι ἐν μέσῳ. καὶ μὲν δὴ οὐδ' ἐπιπολῆς γε κέχυται, ἀλλ' ἀτεχνῶς 8
πολὺ ὑπὲρ τὸ παράδειγμα ἐπὶ πλεῖστον ἄνω ἥκει τοῦ ἀέρος, ὡς
εἶναι μὴ χιόνος καταλήψει τὸ ὕψος προσεικάσαι, ἀλλὰ μᾶλλον αὐ-
324 D *τοῖς τοῖς πρώοσι. καὶ ὥσπερ τις ἀνὴρ πολὺ νικῶν τοὺς ἄλλους*
μεγέθει τε καὶ ῥώμῃ οὐκ ἀγαπᾷ μὴ καὶ ἄλλους ὑπὲρ αὑτὸν ἀρά-
μενος [*φέρειν*], *ὡς δὲ καὶ ἥδε ἐπὶ τοσαύτης γῆς ᾠκισμένη οὐκ*
ἀγαπᾷ, ἀλλ' ἑτέρας ἰσομετρήτους ὑπὲρ αὑτὴν ἀραμένη φέρει ἄλλας
ἐπ' ἄλλαις. ὡς ἄρα ἐπώνυμον αὐτῇ τοὔνομα καὶ οὐδὲν ἀλλ' ἢ
ῥώμη τὰ τῆσδε. ὥστ' εἴ τις αὐτὴν ἐθελήσειε καθαρῶς ἀναπτύξαι
καὶ τὰς νῦν μετεώρους πόλεις ἐπὶ γῆς ἐρείσας θεῖναι ἄλλην παρ'
ἄλλην, ὅσον νῦν Ἰταλίας διαλεῖπόν ἐστιν, ἀναπληρωθῆναι τοῦτο
πᾶν ἄν μοι δοκεῖ καὶ γενέσθαι πόλις συνεχὴς μία ἐπὶ τὸν Ἰόνιον
τείνουσα. τοσαύτη δὲ οὖσα, ὅσην ἐγὼ μὲν οὐδὲ νῦν ἴσως ἀρ- 9
κούντως ἐνεδειξάμην, ὀφθαλμοὶ δὲ ἄμεινον μαρτυροῦσιν, οὐχ ὥσ-
περ ἐπὶ τῶν ἄλλων εἰπεῖν ἔστιν, ἐνταῦθα ἕστηκεν, οὐδ' ὅ τις

---

4 *ὁρῶν* scripsi: *ὀρῶν* O; 'si quis — contemplaretur, tamen (finita contemplatione) accurate contemplatus non esset: neque enim est arx tantae altitudinis, ut omnia inde spectare liceat' 6 *κατεθεάσατο* S¹DT: *καταθεάσαιτο* US²; ante *ἀπὸ* distinxit Rsk. 9 *λιμέσι* O (*-ν* add. T m. recentiss.) 10 *ἥδε* U *πρόωνασ* S, idem *πρόωσι* v. 17 11 *μέσῳ*] add. mg. *γρ. κεφαλαίῳ* U² 14 *οὐδ* UT: *οὐ* / *δ'* S, *οὐκ* D 15 *παράδειγμα*] sc. Homericum illud an *πλεῖστον ἀνήκει*? 16 *καταλήψει*] *κατακαλύψει* scribendum videtur 18 *αὐτὸν* O 19 *φέρειν* seclusi, cf. v. 20 *ᾠκισμένη* / S 20 *αὐτὴν* O 22 *τῆσδε* scripsi: *τῇδε* O; comparationi athletae convenit personae significatio, non loci 23 inter *θεῖναι* et *ἄλλην* ras. sex litt. S 24 *διαλεῖπόν* Rsk.: *διάλοιπόν* O 25 *δοκῇ* U *τὸν*] *τὸ* D 27 *ἐνεδειξάμην* Rsk.: *ἐνδειξαίμην* O (*ἂν ἐνδειξαίμην* Junt.) *δ'* S 28 *ἔστιν*, Wil. (verisimiliora reddens Canteri *ἐπὶ τῶν ἄλλων* ⟨*ἔστιν*⟩ *εἰπεῖν, ὡς*): *,ὡσ* O; *ἄλλων,* ⟨*οὕτω καὶ ἐφ' ἑαυτῆς παρέχει*⟩ *εἰπεῖν* Rsk.; cf. § 29

(Thuc. I 10) εἶπεν περὶ τῆς Ἀθηναίων καὶ Λακεδαιμονίων πόλεως, λέγων τῶν μὲν τὸ μέγεθος διπλάσιον ἢ κατὰ τὴν δύναμιν, τῶν δὲ πολὺ τῆς δυνάμεως ἔλαττον ἂν φανῆναι τὸ μέγεθος — ἀπείη δὲ τὸ βλάσφημον τοῦ παραδείγματος —, τοῦτο ἄν τις φαίη καὶ περὶ τῆσδε τῆς πάντα μεγάλης, ὡς ἄρα οὐκ ἀκόλουθον τὴν δύναμιν τῷ τοσούτῳ μεγέθει κατεσκευάσατο· ἀλλ' ἔστιν εἰς μὲν τὴν ὅλην 200 J ἀρχὴν βλέψαντα [μηκέτι] τὴν πόλιν θαυμάζειν, πολλοστὸν μέρος 325 D τῆς ἁπάσης ἄρχειν νομίσαντα γῆς, εἰς δ' αὐτὴν τὴν πόλιν καὶ τοὺς τῆς πόλεως ὅρους ἰδόντα μηκέτι θαυμάζειν, εἰ ὑπὸ τοσαύτης ἄρχεται πᾶσα ἡ οἰκουμένη.

10 ὅπερ γάρ τις ἔφη τῶν λογοποιῶν περὶ τῆς Ἀσίας, λέγων ὅσην ὁ ἥλιος πορεύεται, ταύτης πάσης ἄρχειν ἄνδρα ἕνα — οὐκ ἀληθῆ λέγων, εἰ μὴ πᾶσαν Λιβύην καὶ τὴν Εὐρώπην ἐξαίρετον ἐποιεῖτο τῶν ἡλίου δυσμῶν τε καὶ ἀνατολῶν —, τοῦτο νῦν ἐξενίκησεν ἀληθὲς εἶναι, τὴν ἴσην τε ἡλίου πορείαν εἶναι ⟨καὶ⟩ κτῆσιν ὑμετέραν καὶ τὸν ἥλιον διὰ τῆς ὑμετέρας πορεύεσθαι. οὐ γὰρ σκόπελοι θαλάττιοι οὐδὲ Χελιδόνεαι καὶ Κυάνεαι τὴν ὑμετέραν ἀρχὴν ὁρίζουσιν οὐδὲ ἵππου δρόμος ἡμερήσιος ἐπὶ θάλατταν, οὐδ' ἐπὶ τακτοῖς ὅροις βασιλεύετε, οὐδ' ἕτερος προαγορεύει 326 D μέχρι οὗ δεῖ κρατεῖν, ἀλλ' ἡ μὲν θάλαττα ὥσπερ ζώνη τις ἐν μέσῳ τῆς οἰκουμένης ὁμοίως καὶ τῆς ὑμετέρας ἡγεμονίας τέταται.

11 περὶ δὲ αὐτὴν αἱ ἤπειροι ʻμεγάλαι μεγαλωστὶʼ κέκλινται, πρὸς ὑμᾶς ἀεί τι ⟨τῶν⟩ ἐνθένδε πληροῦσαι. ἄγεται δὲ ἐκ πάσης γῆς καὶ θαλάττης ὅσα ὧραι φύουσιν καὶ χῶραι ἕκασται φέρουσιν καὶ ποταμοὶ καὶ λίμναι καὶ τέχναι Ἑλλήνων καὶ βαρβάρων· ὥστε εἴ τις ταῦτα πάντα ἐπιδεῖν βούλοιτο, δεῖ αὐτὸν ἢ πᾶσαν ἐπελθόντα τὴν οἰκουμένην οὕτω θεάσασθαι ἢ ἐν τῇδε τῇ πόλει γενόμενον. ὅσα γὰρ

---

2 τῶν μὲν — τῶν δὲ] τῆς μὲν — τῆς δὲ Rsk. 7 μηκέτι seclusi 8 αὐτὴν τὴν] αὖ τὴν Rsk.[2] (prob. Wil., servato μηκέτι v. 7); mihi sententia est: imperium (solum) si respexeris, urbem miraberis, minutulam partem toti orbi imperare ratus; sin ipsam urbem spectaveris, non iam dices mirum esse eam tantam vel totius esse orbis dominam 10 τις] Aeschines Socraticus in ʻAlcibiadeʼ dialogo, cf. pro Quatt. II p. 294, 2 Ddf. (C. F. Hermann, de Aesch. Socr. rell. p. 22) 12 μὴ Rsk.: δὴ O τὴν] cf. locos exscriptos Herm. 1885, 499. 502 14 τε] τοῦ in ras. S pr. m.; τὴν ἴσην i. q. τὴν αὐτήν πορεία (i. e. πορείᾳ) U 15 prius καὶ add. Canter (prob. Rsk.[2]) ἡμετέραν — ἡμετέρασ D 16 pacis Cimoneae condiciones, quales Aristides (cf. etiam Panath. I p. 277, 6 sqq. Ddf.) tradit, apud unum nunc Demosthenem (XIX 273) leguntur; Himer. or. II 29 ex Aristidis Panathenaico pendere spoponderim (ἀποσχήσεις: ἀφέξειν) θαλάσσιοι SDT 17 οὐδ' ἵππου DU 18 προσαγορεύει μέχρισ D 21 μεγάλοι μεγαλωστὶ] Hom. Π 776, Σ 26, ω 40 κέκλινται] ιν in ras. T[2] (κέκληνται Laudian. 11) 22 τῶν addidi; cf. p. 95, 11 23 φύουσι O ἕκαστα D φέρουσι / S, φέρουσι UT: φέρουσαι D; ceterum cf. ad or. XXX § 24 24 tertium καὶ] τε καὶ U 25 πάντα S: om. DUT

παρ᾽ ἑκάστοις φύεται καὶ κατασκευάζεται, οὐκ ἔστιν ὡς οὐκ ἐν-
ταῦθα ἀεὶ καὶ περιττεύει. τοσαῦται δ᾽ ἀφικνοῦνται δεῦρο κομί-
ζουσαι ⟨πάντα⟩ παρὰ πάντων ὁλκάδες ἀνὰ πᾶσαν μὲν ὥραν, πᾶσαν
δὲ φθινοπώρου περιτροπήν, ὥστ᾽ ἐοικέναι τὴν πόλιν κοινῷ τινι τῆς
γῆς ἐργαστηρίῳ. φόρτους μὲν ἀπ᾽ Ἰνδῶν, εἰ βούλει δὲ καὶ τῶν 12
εὐδαιμόνων Ἀράβων, τοσούτους ὁρᾶν ἔξεστιν ὥστε εἰκάζειν γυμνὰ
τὸ λοιπὸν τοῖς ἐκεῖ λελεῖφθαι τὰ δένδρα καὶ δεῦρο δεῖν ἐκείνους
ἐλθεῖν, ἐάν του δέωνται, τῶν σφετέρων μεταιτήσοντας· ἐσθῆτας
201 J δὲ αὖ Βαβυλωνίους καὶ τοὺς ἐκ τῆς ἐπέκεινα βαρβάρου κόσμους
πολὺ πλείους τε καὶ ῥᾷον εἰσαφικνουμένους ἢ εἰ ἐκ Νάξου ἢ Κύ-
θνου Ἀθήναζ᾽ ἔδει καταίρειν τῶν ἐκεῖ τι φέροντας· γεωργίαι δὲ
327 D ὑμῶν Αἴγυπτος, Σικελία, Λιβύης ὅσον ἥμερον. κατάπλοι δὲ καὶ 13
ἀπόπλοι οὔποτε λείπουσιν· ὥστε εἶναι θαυμάσαι μὴ ὅτι περὶ τοῦ
λιμένος, ἀλλὰ καὶ περὶ τῆς θαλάττης, ὅτι περ † ἐξαρκεῖ ὁλκάσιν.
ἀτεχνῶς δὲ ὅπερ Ἡσίοδος ἔφη περὶ τῶν τοῦ Ὠκεανοῦ περάτων,
εἶναι τόπον οὗ συντετρῆσθαι πάντα εἰς μίαν ἀρχήν τε καὶ τελευ-
τήν, [εἰς αὐτὴν συντέτρηται, καὶ] πάντα ἐνταῦθα συμπίπτει, ἐμ-
πορίαι ναυτιλίαι γεωργίαι μετάλλων καθάρσεις, τέχναι ὁπόσαι εἰσί
τε καὶ γεγένηνται, πάντα ὅσα γεννᾶται καὶ φύεται. ὅ τι δ᾽ ἂν μὴ
ἐνταῦθα ἴδῃ τις, οὐκ ἔστι τῶν γενομένων ἢ γιγνομένων· ὥστε μὴ
εἶναι ῥᾴδιον διακρῖναι πότερα ἡ πόλις ὑπερέχει πλεῖον [εἰς] τὰς
πόλεις τὰς οὔσας ἢ ἡ ἀρχὴ τὰς ἀρχὰς τὰς πώποτε γενομένας.

Ἐρυθριῶ δῆτα, εἰ τοσούτων καὶ τηλικούτων εἰρημένων, εἶτα 14
μὴ † ἔχοντος τοῦ λόγου φανοῦμαι μεμνημένος ἢ βαρβαρικῆς τινος

2 τοσαῦται S¹ a. corr. DT: τοσαῦτα US¹ p. corr. 3 πάντα addidi; obiectum ad κομίζουσαι reddendum erat 4 ὥστε DT 6 ἀρράβων D, ἀραβίων T 10 εἰ om. D Κύθνου Canter: κύδνου O 11 Ἀθήναζε ἔδει Rsk. (praetuli -ζ᾽ ἔδει): ἀθήναζε δεῖ O an ἐκεῖ⟨θεν⟩? 12 κατάπλοι — λείπουσιν] cf. or. XXVII § 6 δὲ om. S¹ 14 θαλάσσησ T vv. ὅτι — ὁλκάσιν certo corrupta, fortasse delenda; neque περ post ὅτι neque ὁλκάσιν sine articulo neque omnino ὁλκάσιν (cf. v. 3; desideratur τοῖς πλέουσιν) tolerandum 15 Ἡσίοδος] Th. 738 sq. (cf. 809 sq.), Schoemann Opusc. II 327 sq. 17 vv. εἰς — καὶ seclusi; εἰς ταύτην ⟨πάντα⟩ συντέτρηται Rsk.², cui adstipulatur Wil., nisi quod ⟨πάντα⟩ addito carere mavult; τελευτήν, ἐνταῦθα (pro εἰς ταύτην) συντέτρηται Kaibel, ubi propter anaphoram facile e membro posteriore suppletur πάντα, quod apud εἰς ταύτην desideraverim ἐμπορίαι om. U 18 καθάρσεις Rsk.: κάθαρσισ O 20 ἴδοι U γενομένων] γεννωμένων D 21 πότερον T πλείω U¹ εἰς seclusi; quanquam non video unde originem duxerit vox interpolata; pro πλεῖον εἰς ci. πλείονι Aldus (prob. Rsk.²), cf. ὅσῳ p. 96, 5; πλεῖον εἰς ⟨μέγεθος⟩ Rsk.¹ 24 vv. μὴ ἔχοντος τοῦ λόγου corrupta necdum emendata; εἶτα ⟨προβαίνειν⟩ μὴ ἔχοντος Rsk., μὴ ἑλόντος Jacobs Lect. Stob. p. 155; ipse εἶτα μειονεκτοῦντος τοῦ λόγου temptavi

ἀρχῆς ἢ Ἑλληνικῆς δυνάμεως, καὶ δόξω τοὐναντίον ποιήσειν τοῖς
Αἰολεῦσι ποιηταῖς. ἐκεῖνοι μὲν γὰρ ἐπειδάν τι βούλωνται τῶν
καθ᾽ αὑτοὺς φαυλίσαι, μεγάλῳ αὐτὸ παρέβαλον καὶ παρ᾽ ἀρχαίοις
περιφανεῖ, ἡγούμενοι μάλιστα ἂν οὕτως ἐξελέγξαι· ἐγὼ δὲ τὰ ὑμέ-
τερα οὐκ ἔχων ἐπιδεικνύειν ἄλλως ὅσῳ ὑπερέχει, παραβαλῶ μικροῖς
ἀρχαίοις· πάντα γὰρ ὑμεῖς καὶ τὰ μέγιστα μικρότατα ἀπεφήνατε
ταῖς ὑπερβολαῖς. ἐπεὶ ἐγὼ μὲν τὰ μέγιστα ἐκλέξας ἐρῶ, ὑμεῖς δ᾽
ἴσως γελάσεσθε ἐπ᾽ αὐτοῖς.

15 *Τοῦτο μὲν δὴ τὴν Περσῶν ἀρχὴν σκεψώμεθα, ἣ πάνυ ποτὲ* 328 D 202 J
ἐν τοῖς Ἕλλησιν ἐβεβόητο καὶ μέγαν παρέσχε τὸ ἐπώνυμον καλεῖ-
σθαι τὸν ἔχοντα αὐτὴν βασιλέα — τὰς γὰρ πρὸ αὐτῆς φαυλοτέρας
οὔσας ἐάσω —· καὶ πάντα ἴδωμεν ἑξῆς, τό τε μέγεθος καὶ τὰ
γιγνόμενα ἐπ᾽ αὐτῆς. δεῖ γὰρ οὖν καὶ τοῦτο συνεξετάζειν, ὅπως
αὐτοί τε ἀπέλαυον ὧν ἐκέκτηντο καὶ τοὺς ἀρχομένους παρεσκεύ-
16 *αζον. πρῶτον μὲν τοίνυν, ὅπερ νῦν ὑμῖν τὸ Ἀτλαντικὸν πέλαγος*
δύναται, τοῦτ᾽ ἦν ἁπλῶς τότε τῷ βασιλεῖ ⟨ἡ⟩ θάλαττα· ἐνταῦθα
ὡρίζετο αὐτῷ ἡ ἀρχή, ὥστε Ἴωνας καὶ Αἰολέας ἐν πέρασι γῆς
εἶναι τῆς ἐκείνου· εἰς δέ γε τὴν Ἑλλάδα διαβῆναί ποτε ἐπιχειρήσας
ὁ τῶν ἀπὸ ἡλίου ἀνίσχοντος μέχρι δυομένου βασιλεὺς τοσοῦτον
ἐθαυμάσθη, ὅσον μεγάλως ἠτύχησεν· καὶ τοῦτο ἐπίδειγμα ἐποιή-
σατο τῆς αὑτοῦ λαμπρότητος, ὅτι πολλῶν καὶ μεγάλων ἔσχε στερη-
θῆναι. ὁ δὴ τῆς μὲν Ἑλλάδος τοσοῦτον ἀποσχὼν τοῦ κρατῆσαι,
Ἰωνίαν δὲ ἔχων ἐν ἐσχατιαῖς, ᾗ που οὐκ εἰς δίσκου φορὰν λέλειπται
τῆς ὑμετέρας ἀρχῆς ἢ ὅσον τόξευμα ἐξικνεῖται, ἀλλὰ τῷ ἡμίσει 329 D
17 *παντὶ τῆς οἰκουμένης καὶ πρός ⟨γ᾽⟩ αὐτῷ τῇ θαλάττῃ. οὐ τοίνυν*
οὐδὲ μέχρι τούτων τῶν ὅρων ἐκεῖνός γε κυρίως ἀεὶ βασιλεύς, ἀλλ᾽
ὅπως ἢ Ἀθηναῖοι δυνάμεως ἢ Λακεδαιμόνιοι ἔχοιεν τύχης, νῦν
μὲν ἕως Ἰώνων καὶ Αἰολέων καὶ θαλάττης βασιλεύς, πάλιν δὲ
οὐκέτι Ἰώνων οὐδὲ ἕως θαλάττης, ἀλλ᾽ ἄχρι Λυδῶν, οὐχ ὁρῶν
θάλατταν ἐκ τῶν πρὸς ἑσπέραν Κυανέων, ἀτεχνῶς ὥσπερ ἐν παι-

---

1 ante *δυνάμεωσ* c. quinque litt. eras. D *δόξω* Rsk.: *δοκῶ* O 2 *Αἰολεῦσι ποιηταῖς*] LGF. III p. 704 n. 55 B[4] 3 *μεγάλῳ αὐτὸ*] *μεγάλῳ τῳ* ci. Kaibel *παρέβαλλον* T *ἀρχαίοις* scripsi: *ἀρχαίῳ* O; *παρ᾽ ἀρχαίοις* etiam ad *μεγάλῳ* trahendum, cf. v. 5 *μικροῖς ἀρχαίοις* 4 *μάλιστ᾽* U *ἐξελέγξαι* Bergk l. c.: *ἐξελέγξειν* O 10 *παρέσχε τὸ* SU[1] et U[2] mg. c. *γρ.*: *παρέσχετο* DU[2] (inter verba) T 12 *τε* S: om. DUT 13 *ἐπ᾽*] *ὑπ᾽* U[1] 14 *ἀπέλαβον* D a. ras. 15 *ὑμῖν* UT: *ἡμῖν* SD 16 *ἡ* add. Rsk. ('mare mediterraneum') 21 *αὐτοῦ* O 23 *ἐσχατιαῖς* Rsk.: *ἐσχάταισ* O 25 *γ᾽* add. Ald. *αὐτῷ* Wil.: *αὐτῇ* O 27 *ἔχοιεν* usque ad p. 100, 5 *πλὴν* desunt nunc in S duobus foliis excisis 29 *οὐδὲ*] *οὐδ᾽* U 30 *ἐν*] *ἐκ* D

δων παιδιᾷ βασιλεὺς ὢν ἄνω μένων, πάλιν κατιὼν τῶν συγχωρη-
σόντων βασιλεύειν δεόμενος. ἐδήλωσε δὲ ἡ σὺν Ἀγησιλάῳ δύναμις
καὶ πρὸ ἐκείνου ἡ τῶν σὺν Κλεάρχῳ μυρίων, ἡ μὲν ἕως Φρυγίας
ὡς δι' οἰκείας διελθοῦσα, ἡ δὲ ὑπὲρ τὸν Εὐφράτην ὡς δι' ἐρημίας
ἀφικομένη. ἅ γε μὴν ἀπέλαυον τῆς ἀρχῆς κατὰ τὴν Οἰβάρου 18
330 D σοφίαν, ὅς πρῶτος εἰπεῖν λέγεται Κύρῳ δυσχεραίνοντι τὴν πολλὴν
203 J πλάνην δεῖν αὐτὸν καὶ ἀνάγκην εἶναι πανταχοῖ περιφοιτᾶν τῆς
ἀρχῆς ἑκόντα τε καὶ ἄκοντα, εἰ μέλλοι βασιλεύειν, δρῶντα εἰς τὴν
βύρσαν, ὡς ἐφ' ἃ μὲν αὐτῆς βαίνοι, ταπεινὰ ἐγίγνετο καὶ τῆς γῆς
ἔψαυεν, ἀφ' ὧν δὲ ἀπαλλάττοιτο, αὖθις ἀνίστατο καὶ πάλιν πα-
τοῦντος ἐταπεινοῦτο — μετανάσται τινὲς βασιλεῖς καὶ Σκυθῶν τῶν
νομάδων τοσοῦτον διαφέροντες, ὅσον οὐκ ἐφ' ἁμαξῶν περιῄεσαν,
ἀλλ' ἐφ' ἁρμαμαξῶν, [νομάδες τινὲς βασιλεῖς καὶ πλάνητες] διὰ
τὴν ἀπιστίαν καὶ τὸν φόβον τῆς ἐν ταὐτῷ καθέδρας πιέζοντες
ὡς ἀληθῶς ὥσπερ τινὰ βύρσαν τὴν ἑαυτῶν χώραν καὶ τούτῳ κρα-
τοῦντες νῦν μὲν Βαβυλῶνα, πάλιν δὲ Σοῦσα, εἶτα Ἐκβάτανα, οὐχ
ὅπως ἂν ἀεὶ κατέχειν εἰδότες οὐδὲ τημελοῦντες ὥσπερ νομεῖς.
καὶ γὰρ τοιαῦτα ἦν ὡς ἀληθῶς, ὥσπερ ἀπιστούντων μὴ αὐτῶν 19
εἶναι τὴν ἀρχήν. οὐ γὰρ ὡς οἰκείων ἐφρόντιζον, οὐδὲ ηὖξον εἰς
331 D κάλλος καὶ μέγεθος οὔτε τὰς πόλεις οὔτε τὰς χώρας, ἀλλ' ὥσπερ
οἱ εἰς μὴ προσήκοντα ἐμπεσόντες αἰσχρῶς καὶ κακῶς ἀνήλισκον,
τοῦτο ζητοῦντες, ὅπως ⟨ὡς⟩ ἀσθενεστάτων ἄρξουσι, καὶ ὥσπερ
ὑπὲρ μιαιφονιῶν ἁμιλλώμενοι πρὸς ἀλλήλους ὁ δεύτερος ἀεὶ τὸν
πρότερον κατὰ τοὺς πεντάθλους ὑπερβαλεῖν ἐπειρᾶτο. καὶ ἦν

1 ὢν om. U in confinio paginarum (fol. 293^{rv}) μένων] μὲν T τῶν — δεόμενος] precibus adibat eas civitates Graecas, quae ipsum regnare concessurae essent 2 ἀγηλασίω BT 5 post ἀρχῆς mente suppleri ταῦτά ἐστι iubet Rsk.; οἵ γε pro ἅ γε ci. Canter; certum est oratorem ipsum et anacoluthon (quanquam p. 98, 3. 6 demonstrativum ad ἅ quasi redditum vult) admisisse et verbum apud μετανάσται v. 11 omisisse; utrumque enim eidem consilio inservit, ut oratio figuratior et vividior fiat οἰβούρου BT; non dubito quin hanc quam unus de Oebare tradit historiam ex Aeschinis Socratici dialogo Aristides hauserit 7 πανταχῇ B δεῖν — ἀνάγκην εἶναι] respondent v. 8 ἑκόντα — ἄκοντα μέλλει D 9 βαίνει D 12 διαφέροντες dubitanter Rsk., recepi: διέφερον O; cf. ad v. 5 13 ἁρμαμαξῶν UT: ἁρμαξῶν B, ἅρμα ἁμαξῶν D νομάδες — πλάνητες seclusi, glossema ad v. 11 spectans 14 ἐν ταὐτῷ] ἐνταῦθα D 17 ἂν ἀεὶ κατέχειν corrupta; suspicor fuisse ὅπως διακατέχειν, quo in ὅπως ἂν κατέχειν corrupto ἀεί additum sententiae necessarium; ἀνατεὶ Schmid, Philol. 1889, (I) 376, quae sententia vv. οὐδὲ — νομεῖς subest νομεῖς] cf. Sonny, Ad Dion. Chrys. anal. p. 149 κατέχειν BT (cf. Lobeck ad Phryn. 772): κατέχοιεν DU 18 αὐτῶν DUT, αὐτὸν B 19 ηὖξον U: ηὔξουν BDT 21 εἰς μὴ] μὴ εἰσ D προσήκοντα Marc. 428 (Ald. Junt. edd.): προσήκοντασ O 22 ὡς addidi ἄρξουσι Junt.: ἄρξωσι(ν) O 23 τοῦ πρότερον B

ἀγώνισμα ὡς πλείστους ἀποσφάξαι καὶ ὡς πλείστους ἀναστάτους
ποιῆσαι οἴκους καὶ δήμους καὶ ὅρκους ὡς πλείστους ψεύσασθαι.
20 *ταῦτά τε δὴ τῆς περιβλέπτου δυνάμεως ἀπέλαυον καὶ ἃ τούτοις αὖ*
παρέπεσθαι ⟨ὁ⟩ φύσεως νόμος διέταξε, μίση καὶ ἐπιβουλὰς ἐκ τῶν
οὕτω διατιθεμένων καὶ ἀποστάσεις καὶ μάχας ἐν ἀλλήλοις καὶ
21 *συνεχεῖς ἔριδας καὶ ἀπαύστους φιλονικίας. αὐτοὶ μὲν δὴ ταῦτα*
ἀπέλαυον, ὥσπερ ἐκ κατάρας μᾶλλον ἄρχοντες ἢ κατ' εὐχήν, οἱ δὲ
ἀρχόμενοι πάντα ἃ τοὺς ὑπὸ τοιούτων ἀρχομένους ἀνάγκη, σχεδὸν
δέ τι καὶ προείρηται (§ 19). *φοβερὸν μὲν γὰρ ἦν γονεῦσι παιδὸς*
εὐμορφία, φοβερὸν δὲ γυναικὸς ἀνδρί· ἔδει δὲ ἀπολωλέναι οὐ τὸν
πλεῖστα ἀδικήσαντα, ἀλλὰ τὸν πλεῖστα κεκτημένον. πόλεων δὲ 204
ἀναιρέσεις καὶ κατασκαφαὶ τότε πλείους ἢ νῦν ὀλίγου δέω λέγειν
22 *εἰσὶν οἰκισμοί. ῥᾷον δὲ ἦν πολεμοῦντα ἢ ὑπακούοντα σωθῆναι·*
ἐν μὲν γὰρ ταῖς μάχαις ῥᾳδίως ἡττῶντο, ἐν δὲ ταῖς ἐξουσίαις οὐ
μετρίως ὕβριζον· καὶ τοὺς μὲν θεραπεύοντας ὡς δούλους ὑπερεώ-
ρων, τοὺς δὲ ἐλευθέρους ὡς ἐχθροὺς ἐκόλαζον, ἐξ ὧν μισοῦντές
τε καὶ μισούμενοι διῆγον· καὶ γὰρ οὖν πολλάκις τοὺς ὑπηκόους
μᾶλλον τῶν πολεμίων ἐδεδοίκεσαν, τὰ πλείω διαλλακτῇ τῷ πολέμῳ 332
23 *χρώμενοι. αἴτιον δ' ἦν, οὔτε ἐκεῖνοι ἄρχειν ἠπίσταντο οὔτε οἱ*
ἀρχόμενοι τὸ ἀκόλουθον ἀπεπλήρουν. οὐ γὰρ ἔνεστιν ἄρχεσθαι
καλῶς, ὅταν κακῶς οἱ ἄρχοντες ἄρχωσιν. οὔπω γὰρ ἥ τε ἀρχὴ καὶ
τὸ δεσπόζειν διῄρητο, ἀλλ' ἦν ἴσον βασιλεὺς καὶ δεσπότης. οὔκουν
εἰκότως οὐδὲ ἐπὶ μεγάλα προῆλθον· οὐ γὰρ πρόεισιν οἴκου περαι-
τέρω τοῦτο τοὔνομα, ὅταν δ' εἰς πόλεις τε καὶ ἔθνη ἀφίκηται,
ῥᾳδίως παύεται.

24 *Ἀλέξανδρος δ' αὖ ὁ τὴν μεγίστην ἀρχὴν μέχρι τῆς ὑμετέρας*
κτησάμενος καὶ καταδραμὼν τὴν γῆν ὡς ἀληθῶς δὴ τοῦτο κτη-
σαμένῳ βασιλείαν μᾶλλον ἔοικεν ἢ βασιλεύσαντι. ὥσπερ γὰρ ἂν
εἴ τις ἰδιώτης συγκτήσαιτο μὲν γῆν πολλὴν καὶ ἀγαθήν, πρὶν δὲ
λαβεῖν ἀπ' αὐτῆς τοὺς καρποὺς τελευτήσειεν, ὡς δὴ κἀκείνῳ μοι

---

2 *ὅρκοις* Schmid l. c.; at cf. Hom. *Η* 351 *ὅρκια πιστὰ ψευσάμενοι* 3 *ταῦτα τελευτῆσ περιβλέπτου* B 4 *ὁ* add. Rsk. 5 *διατεθειμένων* Baroc. 136 (prob. Rsk.² Ddf.) 6 *φιλονεικίασ* O 7 *ἀπέλαβον* D, cf. v. l. 96, 14 8 *ὑπὸ τῶν τοιούτων* Baroc. 136 13 *ῥᾷον δὲ ἦν κτἑ.*] cf. Isocr. IV 152—155, [Xenoph.] Cyrop. VIII 8, 21 17 *ὑπηκόους* om. D 18 *ἐδεδοίκεισαν* BDT 21 *οὔπω γὰρ κτἑ.*] adde hunc locum iis quos contulit Mommsen, Röm. Staatsr. II 2³ 761 sq. 23 *οὐδ'* B 24 *οἴκου — τοὔνομα*] ludit in notione vocum *domus* et *dominus* (*δεσπότης*) 26 *μεγίστην* Kaibel, Herm. XX 498: *μεγάλην* O; tradita def. Wil. (cf. Rsk.) interpretatus: 'magnum illud, quod usque ad vestros fines pertineret' 27 *τοῦτο*] 'secundum illud (dictum)', ut solet, extra verborum structuram positum; aliunde non novi; *τοῦτο* secl. Rsk. 28 *γὰρ* om. DU 30 *δὴ*] *δὲ* Ald. Junt., prob. Ddf. coll. § 4. 8 or. XXI § 10; [Arist.] Lept. II 624, 2 Ddf., fort. recte

δοκεῖ συμβῆναι. προῆλθε μὲν γὰρ ἐπὶ πλεῖστον τῆς γῆς καὶ τοὺς 25
ἀντιστάντας ἅπαντας κατέστραπτο καὶ τῶν χαλεπῶν ἁπάντων
ἀκριβῶς ἀπέλαυσεν· καταστήσασθαι δ' οὐκ ἠδυνήθη τὴν ἀρχὴν
οὐδ' ἐπιθεῖναι πέρας τοῖς πεπονημένοις, ἀλλ' ἀπέθανεν ἐν μέσῃ
τῇ τῶν πραγμάτων πορείᾳ. ὥστε ἐκεῖνον μὲν μάχας ἄν τις φαίη
πλείστας κατορθῶσαι, βασιλεῦσαι δὲ ἐλάχιστα, καὶ γενέσθαι μὲν
ἀγωνιστὴν μέγαν περὶ βασιλείας, ἀπολαῦσαι δ' οὐδὲν ἄξιον τῆς
διανοίας καὶ τῆς τέχνης, ἀλλὰ παθεῖν παραπλήσιον ὥσπερ ἂν εἴ
333 D *τις τὸν Ὀλυμπικὸν ἀγῶνα ἀγωνιζόμενος καὶ κρατήσας τοὺς ἀντι-*
πάλους, εἶτα ἐπαποθάνοι τῇ νίκῃ, πρὶν εὖ καὶ καλῶς τῇ κεφαλῇ
205 J *τὸν στέφανον ἁρμόσαι. ποίους γὰρ νόμους ἑκάστοις διέθηκεν; ἢ* 26
ποίας συντάξεις διηνεκεῖς χρημάτων ἢ στρατιωτῶν ἢ νεῶν ἐποιή-
σατο; ἢ ποίᾳ συνήθει διοικήσει τὰ πράγματα ἤγαγεν αὐτομάτως
προϊούσῃ χρόνων τακταῖς περιόδοις; ποῖα πολιτεύματα ἐπολιτεύ-
σατο ἐν τοῖς ἀρχομένοις; ὃ δὲ καὶ μόνον ἄξιον τῆς ἑαυτοῦ φύσεως
ἔργον καὶ μνημεῖον κατέλιπεν, πρὸς Αἰγύπτῳ τὴν ἐπώνυμον πόλιν,
ταύτην εὖ ποιῶν ὑμῖν ᾤκισεν, ὅπως ἔχοιτε καὶ τῆς μεγίστης μετὰ
τὴν ὑμετέραν κρατοίητε. ὥστε Πέρσας μὲν κατέλυσεν ἄρχοντας,
αὐτὸς δὲ ἐγγύτατα οὐκ ἦρξεν. Ἐπεί γε μὴν ἐκεῖνος ἐτελεύτησεν, 27
εὐθὺς μὲν ἐσχίσθησαν εἰς μυρία οἱ Μακεδόνες, ἔργῳ δείξαντες
ὑπὲρ αὐτοὺς εἶναι τὴν ἀρχήν, κατέχειν δὲ οὐδὲ τὴν αὑτῶν ἔτι
ἐδύναντο, ἀλλ' εἰς τοῦτο τύχης ἀφίκοντο ὥστε ἠναγκάσθησαν τὴν
σφετέραν αὐτῶν ἐκλιπεῖν, ἵνα τῆς ἀλλοτρίας ἄρχωσιν, ὥσπερ ἐξῳ-
κισμένοι μᾶλλον ἂν κρατεῖν δυνάμενοι, καὶ ἦν ὥσπερ αἴνιγμα, Μακε-
δόνες οὐκ ἐν Μακεδονίᾳ, ἀλλ' οὗ δύναιντο βασιλεύοντες ἕκαστοι,
ὥσπερ φρουροὶ μᾶλλον τῶν πόλεων καὶ τῶν χωρίων ὄντες ἢ ἄρ-
χοντες, ἀνάστατοί τινες βασιλεῖς οὐχ ὑπὸ τοῦ μεγάλου βασιλέως,
334 D *ἀλλ' ὑφ' ἑαυτῶν αὐτοὶ γεγενημένοι, εἰ δὲ οἷόν τε εἰπεῖν, σατράπαι*
ἔρημοι βασιλέως. καίτοι τὴν τοιαύτην κατάστασιν πότερον λῃστείᾳ
μᾶλλον ἢ βασιλείᾳ προσεοικέναι φήσομεν;

---

2 *ἀντιστάτασ* D 3 *καταστήσασθαι* Marc. 428 (Ald.): *καταστῆσαι* O *ἐδυνήθη* U, at *ε* in ras. pr. m. 4 *πεπονημένοις*] *πενομένοισ* B 13 *συνήθει*] si verum, est: quae in administrationis publicae consuetudinem abiit ('i. q. *κυκλικὴ διοίκησις*' Wil.) 14 *χρόνων — περιόδοις*] cf. Panath. I p. 240, 5 Ddf. *χρόνου τακτὴ περίοδος* *ποῖα πολιτεύσατο ἐν* B 16 *μνημεῖον*] cf. p. 24, 6 17 *ἔχοιτε* Junt.: *ἔχητε* O 19 *αὐτὸς* Rsk.: *αὐτοῦ* O *ἐπεὶ κτἑ.*] cf. [Xenoph.] Cyrop. VIII 8, 2, ad rem quae congessit Kaibel, Herm. XX 497 sqq. 21 *αὐτοὺσ* BDT *δὲ* DU: *τε* ST *τὴν αὐτῶν* BDU[1] 22 *ἠδύναντο* Ddf., ut solet 24 *ἂν* scripsi: *ἢ* O; 'quasi extra patriam (deducti) facilius regnare possent' 25 *οὗ*] *οὖν* B 28 *σατράπαι ἔρημοι* DU: *ἐοικότεσ σατράπαισ ἐρήμοισ* BT; quod *ἐοικότες* sibi vult, iam in vv. *εἰ — εἰπεῖν* est 29 *καίτοι*] redit ad p. 98, 27 sq.

28 *Νῦν δὲ ὅροι μὲν δήπουθεν οὐ μεμπτοὶ τῆς ἀρχῆς ἐκτέτανται,
οὐδ᾿ ὥστε εἶναι μέτρῳ λαβεῖν τὸ ἐντὸς αὐτῶν, ἀλλ᾿ οὗ μὲν τότε
ὡρίζετο τοῦ Πέρσου ἡ ἀρχή, ἐντεῦθεν ἀρξαμένῳ βαδίζειν πρὸς
ἑσπέραν πολὺ πλείων ἐστὶν ἡ λοιπὴ τῆς ἐκείνου πάσης. ἐκφεύγει δὲ
ὑμᾶς οὐδέν, οὐ πόλις, οὐκ ἔθνος, οὐ λιμήν, οὐ χωρίον, πλὴν εἴ τινων
ἄρα ἀχρηστίαν κατέγνωτε· ἐρυθρά τε θάλαττα καὶ Νείλου καταρ-
ράκται καὶ λίμνη Μαιῶτις, ἃ τοῖς πρότερον ἐν πέρασι γῆς ἠκούετο,
ἴσα καὶ αὐλῆς ἑρκία τῇδε τῇ πόλει. ὃν γε μὴν ἠπίστουν τινὲς τῶν
λογοποιῶν μηδὲ εἶναι τὸ παράπαν Ὠκεανόν, μηδὲ περιρρεῖν τὴν γῆν* 206 J
(cf. Herodot. IV 36), *ποιητὰς δὲ εὑρόντας τοὔνομα ψυχαγωγίας ἕνεκα
εἰς ποίησιν θεῖναι, τοῦτον οὕτως καλῶς ἀνεύρετε ὥστε οὐδὲ ἡ ἐνταῦ-*
29 *θα νῆσος ὑμᾶς διέφυγε. τοσαύτη δὲ οὖσα καὶ τηλικαύτη τὸ μέγεθος
ἡ ἀρχὴ πολὺ μείζων ἐστὶ τῇ ἀκριβείᾳ ἢ τῷ κύκλῳ τῆς χώρας. οὐ
γὰρ Μυσοὶ τὴν βασιλέως ἔχουσιν οὐδὲ Σάκαι οὐδὲ Πισίδαι οὐδ᾿
ἄλλοι μέσοι, οἱ μὲν βίᾳ εἰσῳκισμένοι, οἱ δὲ ἀποστάντες, ληφθῆναι
δ᾿ οὐ δυνάμενοι, οὐδ᾿ ἀκούει μὲν* [*ἡ*] *βασιλέως* [*γῆ*], *ἔστι δὲ πάντων
τῶν ἔχειν αὐτὴν δυναμένων, οὐδὲ σατράπαι μάχονται πρὸς ἀλλή-
λους ὥσπερ οὐκ ὄντος αὐτοῖς βασιλέως οὐδὲ πόλεις αἱ μὲν πρὸς
τούτους, αἱ δὲ πρὸς ἐκείνους διίστανται, καὶ εἰς μὲν τὰς ἐκπέμ-
πονται φρουροί, ἐκ δὲ τῶν ἐκπίπτουσιν, ἀλλ᾿ ὥσπερ αὐλῆς περί-
βολος ἐκκεκαθαρμένος, ... οὕτως ἅπασα ἡ οἰκουμένη χοροῦ ἀκριβέ-* 335 D
*στερον ἓν φθέγγεται, συνευχομένη μένειν τὸν ἅπαντα αἰῶνα τήνδε
τὴν ἀρχήν· οὕτως καλῶς ὑπὸ τοῦδε τοῦ κορυφαίου* [*ἡγεμόνος*]
30 *συγκροτεῖται.* † *ὑπὸ πάντων δὲ πανταχοῦ ἴσον ἄρχεται* †, *καὶ οἱ
μὲν ἐν τοῖς ὄρεσι κατῳκισμένοι ταπεινότεροι τῶν ἐν τοῖς κοιλο-
τάτοις πεδίοις πρός γε τὸ μὴ ἀντιτάττεσθαι, οἱ δὲ τῶν πεδίων
τῶν εὐδαιμόνων κληροῦχοί τε καὶ οἰκήτορες ὑμέτεροι γεωργοί· ἤπει-
ρος δὲ καὶ νῆσος οὐδὲν ἔτι διακέκριται, ἀλλ᾿ ὥσπερ μία χώρα*

---

1 *μὲν*] *ὑμῖν* Rsk.; at respondet *δὲ* v. 12 et quod *ὑμῖν* valeret, valet iam *νῦν* 3 *ἀρξαμένω* BDUT m. recentiss.: *ἀρξαμένη* T^1; cf. § 80 et or. XXIV § 57 4 *ἐκφεύγειν* B 7 *καταράκται* T *τοῖς πρότερον*] cf. quae congessit Berger, Gesch. d. wiss. Erdkunde d. Griech. I 51—74 8 *αὐλῆς* Canter (cf. v. 20): *αὐτῆσ* STD (at *η* ex *οι* corr. pr. m.), *αὐτὴ* U *ὃν*] *ὃ* U 10 *δ᾿* U *εὑρόντας*] *ας* in ras. U^2 11 *οὕτω* U *ἐνταῦθα νῆσος*] cf. § 82 12 *τοσαύτη δὲ κτἑ.*] cf. [Xenoph.] l. c. § 1 (ad p. 99, 19) 13 *πολὺ μείζων*] *ὺ* et *΄ων* in ras. U^2 14 *βασιλέως*] *βασιλείαν* T 15 *οἱ δὲ* om. S^1 (item B) 16 *ἡ* et *γῆ* seclusi 21 lacunam indicavi, recte monent Reeiskio non bene consonare comparationes *αὐλῆς* et *χοροῦ* 23 *οὕτω* U *ἡγεμόνοσ συγκροτεῖται* SDT, *συγκροτεῖται ἡγεμόνοσ* U: *ἡγεμόνος* seclusi; de verbo cf. Schmid p. 151 24 vv. *ὑπὸ* — *ἄρχεται* corrupta necdum emendata; *πάντων* sc. *τῶν ἐν τοῖς ὄρεσι* — *πεδίοις* — *ἠπείροις* — *νήσοις*, cf. p. 101, 1 *ἅπαντα ὑπακούει* 28 *ἔτι διακέκριται* Rsk.: *ἐπιδιακέκριται* O; imitatur Thuc. I 49, 7 *καὶ διεκέκριτο οὐδὲν ἔτι*

συνεχὴς καὶ ἓν φῦλον ἅπαντα ὑπακούει σιωπῇ. πάντα δὲ ἐξ 31
ἐπιτάγματος καὶ νεύματος τελεῖται ῥᾷον ἢ τις ἂν χορδὴν ψήλειεν,
κἂν τι γενέσθαι δέῃ, ἀπόχρη δόξαι, καὶ πέπρακται. οἱ δὲ ἄρχον-
τες οἱ πεμπόμενοι ἐπὶ τὰς πόλεις τε καὶ τὰ ἔθνη τῶν μὲν ὑφ᾽
ἑαυτοῖς ἕκαστοι ἄρχοντές εἰσι, τὰ δὲ πρὸς αὐτούς τε καὶ πρὸς
ἀλλήλους ὁμοίως ἅπαντες ἀρχόμενοι, καὶ δὴ καὶ τούτῳ φαίη τις
ἂν αὐτοὺς τῶν ἀρχομένων διαφέρειν, ὅτι πρῶτοι δεικνύουσιν ὅπως
ἄρχεσθαι προσήκει· τοσοῦτος ἅπασιν ἐνέστακται φόβος τοῦ μεγάλου
207 J *ἄρχοντος καὶ τὰ πάντα πρυτανεύοντος. ὥστε μᾶλλον μὲν ἐκεῖνον* 32
εἰδέναι νομίζουσιν ἃ πράττουσιν ἢ σφᾶς αὐτούς, μᾶλλον δὲ δε-
δίασιν καὶ αἰδοῦνται ἢ τὸν δεσπότην ἄν τις τὸν αὑτοῦ παρόντα
καὶ ἐφεστηκότα καὶ κελεύοντα. οὐδεὶς δὲ ἐφ᾽ ἑαυτῷ τηλικοῦτον
φρονεῖ, ὅστις τοὔνομα ἀκούσας μόνον οἷός τ᾽ ἐστὶν ἀτρεμεῖν, ἀλλ᾽
ἀναστὰς ὑμνεῖ καὶ σέβει καὶ συνεύχεται διπλῆν εὐχήν, τὴν μὲν ὑπὲρ
336 D *αὐτοῦ τοῖς θεοῖς, τὴν δὲ αὐτῷ ἐκείνῳ περὶ τῶν ἑαυτοῦ. εἰ δέ τι*
καὶ μικρὸν ἐνδοι⟨άζοι⟩εν περὶ δίκας τε καὶ ἀξιώσεις ἢ κοινὰς ἢ
ἰδίας τῶν ἀρχομένων, εἴ τινες ἄρα ἄξιοι εἶεν, ὡς ἐκεῖνον εἰσπέμ-
πουσιν εὐθὺς ἐρωτῶντες τί δεῖ ποιεῖν, καὶ μένουσιν ἔστ᾽ ἂν ἀπο-
σημήνῃ, οὐχ ἧττον ἢ διδάσκαλον χορός. ὥστε οὐδὲν δεῖ φθείρε- 33
σθαι περιόντα τὴν ἀρχὴν ἅπασαν, οὐδὲ ἄλλοτε ἐν ἄλλοις γιγνό-
μενον τὸ καθ᾽ ἕκαστον βεβαιοῦσθαι, ὁπότε σφίσι τὴν γῆν πατοίη·
ἀλλ᾽ εὐμάρεια πολλὴ καθημένῳ πᾶσαν ἄγειν τὴν οἰκουμένην δι᾽
ἐπιστολῶν. αἱ δὲ μικρὸν φθάνουσι γραφεῖσαι καὶ πάρεισιν ὥσπερ
ὑπὸ πτηνῶν φερόμεναι. ὃ δὲ πάντων ⟨μάλιστα⟩ ἄξιον ἄγασθαί 34
τε καὶ θαυμάζειν καὶ χάριν ἐκτίνειν καὶ λόγῳ καὶ ἔργῳ, τοῦτο νῦν
εἰρήσεται. τοσαύτην μὲν γὰρ ἔχοντες τὴν ἀρχήν, οὕτω δ᾽ ἐγκρατῶς
καὶ κατὰ πολλὴν ἐξουσίαν ἄρχοντες, ἐκεῖνο καὶ πολὺ μάλιστα νενι-
κήκατε, ὃ παντελῶς ὑμῶν ἐστιν ἴδιον. μόνοι γὰρ τῶν πώποτε 36
ἐλευθέρων ἄρχετε, καὶ οὐ Καρία δέδοται Τισσαφέρνει οὐδὲ Φρυ-

---

5 *αὐτοὺσ* O (*αὐτούς* Junt.) 6 *τούτω* SD: $\overset{ω}{τοῦτο}$ U pr. m., *τοῦτο* T 8 *προσ-ήκει* U^1 a. corr.: *προσῆκεν* SDTU^1 p. corr. 11 *αὐτοῦ* D 13 *τε* D 15 *αὐτοῦ* O: *αὑτοῦ* U^2 (Rsk. Ddf.); 'pro Caesare deos, pro suis rebus Caesarem imprecatur' *περὶ*] *ὑπὲρ* U 16 *ἐνδοιάζοιεν* Rsk.: *ἐνδοῖεν* O; *περὶ*: 'quod attinet', sed dubito 17 *εἴ τινες*] *εἴ* ex *οἵ* corr. T^1 *εἰσπέμπουσιν* Kaibel (coll. Thuc. I 137, 3 *ἐσπέμπει γράμματα ὡς βασιλέα*): *ἐκπέμπουσιν* O; unde in antecedentibus *εἰ δέ του καὶ — πέρι, δίκας — εἰσπέμπουσιν* ci. Kaibel (at *πέρι* Aristidi coniectura obtrudere dubitaverim) 19 *ὥστε οὐδὲν* — 24 *φερόμεναι*] cf. § 18; fort. Hadriani imperium pervagantis memoriam cavillatur 20 *περιιόντα* O *οὐδ᾽* U 23 *ἐπιστολῶν* Ald.: *ἐπιστολῆσ* O, at cf. *αἱ δὲ* 24 *μάλιστα* add. Rsk.^{2} *ἄγασθαί*] medium *α* in ras. T^2 25 *ἐκτείνειν* S^1 a. corr.; *ἐκτίννειν* D *καὶ ἔργω καὶ λόγω* D 26 *γὰρ* om. D 27 *ἐκεῖνο*] *ἐκείνῳ* Rsk. 29 *τισσαφερνῃ*, cum *ει* super *ῃ*, D pr. m.

για Φαρναβάζῳ οὐδὲ Αἴγυπτος ἑτέρῳ, οὐδ' ὥσπερ οἶκος τοῦ δεῖνος
ἀκούει τὸ ἔθνος, ὅτῳ παρεδόθη δουλεύειν οὐδὲ αὐτῷ ὄντι ἐλευ-
θέρῳ, ἀλλ' ὥσπερ οἱ ἐν ταῖς κατὰ μίαν πόλεσιν, οὕτω καὶ ὑμεῖς
ὥσπερ ἐν μιᾷ πόλει πάσῃ τῇ οἰκουμένῃ πολιτευόμενοι τοὺς ἄρ-
χοντας καθίστατε [ἐπ' αὐτοῖς] οἷον ἐξ ἀρχαιρεσιῶν, ἐπὶ προστασίᾳ 337 D
καὶ προνοίᾳ τῶν ἀρχομένων, οὐκ ἐπὶ τῷ δεσπότας εἶναι· ὥστε
ὑποχωρεῖ μὲν ἄρχων ἄρχοντι, ὅταν αὐτοῦ ὁ χρόνος ἐξήκῃ, καὶ οὐδ'
ἂν ἀπαντήσειε ῥᾳδίως· τοσοῦτον ἀπέχει τοῦ διενεχθῆναι ἂν ὡς
37 *αὐτοῦ τῆς χώρας οὔσης. ἔκκλητοι δὲ ὥσπερ ἔφεσις ἐκ δημοτῶν* 208 J
εἰς ⟨τὸ⟩ δικαστήριον σὺν οὐκ ἐλάττονι τῶν δεξαμένων φόβῳ περὶ
τῆς κρίσεως ἢ τῶν ποιουμένων γίγνονται· ὥστε φαίη τις ἂν το-
σαῦτα ἄρχεσθαι τοὺς νῦν ὑπὸ τῶν πεμπομένων, ὁπόσα ἂν αὐτοῖς
38 *ἀρέσκῃ. πῶς οὖν ταῦτα οὐκ ἐν τοῖς ἐπέκεινα πάσης δημοκρατίας;*
οὔκουν ἐκεῖ ἔξεστι μετὰ τὴν ἐν τῇ πόλει ψῆφον ἐνεχθεῖσαν ἐλθεῖν
ἄλλοσε οὐδ' ἐπ' ἄλλους δικαστάς, ἀλλὰ στέργειν ἀνάγκη τοῖς ἐγνω-
σμένοις, εἰ μή τίς ἐστι μικρὰ πόλις, ὥστε προσδεῖσθαι δικαστῶν
ὑπερορίων . . . . . παρὰ τὴν ἀξίαν, ἢ καὶ διώκοντα μὴ κρατήσαντα
μηδὲ τῷ νενικῆσθαι· ἀλλὰ μένει δικαστὴς ἕτερος μέγας, ὃν οὔ- 338 D
39 *ποτε οὐδὲν ἐκφεύγει τῶν δικαίων. κἀνταῦθα δὴ πολλὴ καὶ εὐ-*
σχήμων ἰσότης μικροῦ πρὸς μέγαν καὶ ἀδόξου πρὸς ἔνδοξον καὶ
πένητος δὴ πρὸς πλούσιον καὶ γενναῖον [ἀγεννοῦς], καὶ τὸ τοῦ
Ἡσιόδου (OD. 5) *συμβαίνει·*

ῥέα μὲν γὰρ βριάει, ῥέα δὲ βριάοντα χαλέπτει

οὗτος ὁ δικαστής τε καὶ ἡγεμών, ὅπως ἂν τὸ δίκαιον ἄγῃ, ὥσπερ
πνεῦμα ἐν νηί, οὐ δή που πλουσίῳ μὲν μᾶλλον, πένητι δὲ ἧττον

---

3 *ὥσπερ* — 4 *πολιτευόμενοι*] miror comparationum abundantiam 5 *ἐπ' αὐτοῖς* seclusi; propter *πάσῃ — πολιτευόμενοι* ferri nequit 7 *ἐξήκῃ*] *ἐξί-κοι* D 8 *ἀπαντήσειε*] magistratus munere functus e provincia cedit, priusquam qui ei succedit provinciam intravit *τοσοῦτ'* SUT *ἂν* scripsi: *ἄγαν* O, dittographia (antecedunt ΑΙ) natum 9 *αὐτοῦ* T, *ὑπ' αὐτοῦ* DS^1, *ὑπ' αὐτῷ* US^2 *ἔφεσισ*] *ἐφέσεις* ci. Jebb (prob. Rsk.^{2}) 10 *τὸ* addidi; *εἰς δικαστήρια* Marc. 428 (Ald.) *σὺν — γίγνονται*] in his quoque comparationem persequitur, cf. Aristot. rp. Ath. 42, 1 *δεξαμένων*] *α* in ras. U^2 14 *ἐκεῖ*] sc. *ἐν ταῖς δημοκρατίαις* 17 lacunam indicaverunt Canter, Rsk.; proposuit *ὑπερορίων, ⟨ἐνταῦθα δ' οὐκ ἔστιν ἀνάγκη ἡσυχάζειν ἁλόντα⟩ παρὰ τὴν ἀξίαν — μηδὲ ⟨ἄχθεσθαι ἐπὶ⟩ τῷ νενικῆσθαι* Rsk.^{2}; aptiora videntur mihi: *ὑπερορίων, ⟨τῶν δὲ τῆς ὑμετέρας μετεχόντων πολιτείας μηδέν' ἀνάγκη στέργειν ἢ ἁλόντα ἐπὶ τῶν ἑκάστοτε δικα-στηρίων⟩ παρὰ τὴν ἀξίαν — κρατήσαντα [μηδὲ τῷ νενικῆσθαι]*; in lacuna *ἐπὶ — δικαστηρίων* vel tale quid fuisse necesse est: opponitur *δικαστὴς ἕτερος μέγας*; vv. *μηδὲ τῷ νενικῆσθαι* addidisse videtur interpolator, cum ad *κρατήσαντα* oppositum desiderari opinaretur. Ad sententiam cf. or. XXXV § 19 21 *ἀγεννοῦς* seclusi 23 *ῥέα* Hesiodi optimi: *ῥεῖα* O 24 *ὅπως*] *ὁπόσε* Rsk. 25 *που* US^2: *πω* S^{1}DT

χαριζόμενόν τε καὶ παραπέμπον, ἀλλ' ὅτῳ γένοιτο ἀεί, τοῦτον ὁμοίως ὠφελοῦν.

Δίειμι δὴ καὶ τὰ Ἑλληνικά, ἐπειδήπερ ἐνταῦθα ἐγενόμην τοῦ 40
λόγου, αἰσχυνόμενος μὲν καὶ δεδιὼς μὴ δόξω μικρολογεῖσθαι· οὐ μὴν ἀλλ', ὅπερ καὶ ἀρτίως εἶπον (§ 14), οὐχ ὡς ἴσα ἴσοις παραβάλλων δίειμι, ἀλλ' οὐκ ὄντων ἑτέρων παραδειγμάτων ἀναγκάζομαι τοῖς οὖσι χρῆσθαι . . . . . εἶτα καὶ γελοῖον τοῦτο μὲν αὐτὸ θαυμάζειν καὶ δεικνύειν, ὅτι οὐκ ἔστιν εὑρεῖν ἴσα τοῖς ὑμετέροις ἕτερα οὐδ' ἐγγύς, ἀλλὰ πάντα ὑπὸ τούτων ἀποκρύπτεται, περιμένειν δὲ τηνικαῦτα παρεξετάσαι, ὁπηνίκα ἴσων ἔχοιμεν μνημονεῦσαι· οὐκ οἶμαί γε δεῖν, ὅτι γε οὐδὲ θαυμαστὰ ὁμοίως ἂν ἦν, εἴ τινα εἴχομεν εἰπεῖν ὅμοια. καὶ μὴν οὐδ' ἐκεῖνό γε ἀγνοῶ, ὅτι ταῦτ' ἔτι φαυλότερα 41
209 J ὧν ἀρτίως ἐξήτασα περιβολῇ τε ἀρχῆς καὶ ὄγκῳ πραγμάτων φανεῖται [τὰ Ἑλληνικὰ τῶν Περσικῶν]· ἀλλὰ τὸ τοὺς μὲν βαρβάρους ταῖς περιουσίαις καὶ ταῖς δυνάμεσιν ὑπερβαλέσθαι, τοὺς δὲ Ἕλληνας σοφίᾳ καὶ σωφροσύνῃ παρελθεῖν, μέγα μοι δοκεῖ καὶ παν-
339 D τελὲς εἰς ἀρετῆς εἶναι λόγον καὶ παντὸς ἀγώνισμα λαμπρότερον.
τοῦτ' οὖν ἐρῶν ἔρχομαι, ὅπως ἐκεῖνοι καὶ πηλίκοις οὖσι τοῖς ἑαυ- 42
τῶν ἐχρήσαντο πράγμασι· κἂν φανῶσι πολὺ μικρότερα διασώσασθαι μὴ δυνηθέντες, δῆλον τὸ συνθησόμενον εἰς τὴν ψῆφον.
Ἔπραξαν μὲν γὰρ πᾶν ὑπὲρ ἀρχῆς καὶ ἡγεμονίας Ἀθηναῖοι καὶ 43
Λακεδαιμόνιοι, καὶ ἦν αὐτῶν ἡ δύναμις πλεῖν τὴν θάλατταν καὶ τῶν Κυκλάδων ἄρχειν καὶ τὰ ἐπὶ Θρᾴκης ἔχειν καὶ Πύλας καὶ Ἑλλήσποντον καὶ Κορυφάσιον· καὶ ταῦτ' ἦν ἡ δύναμις. καὶ ἔπαθον δὴ παραπλήσιον ὥσπερ ἂν εἴ τις σώματος ἐπιθυμῶν γενέσθαι κύριος ὄνυχάς τινας καὶ ἄκρα λάβοι ἀντὶ ὅλου τοῦ σώματος καὶ ταῦτα ⟨ἔχων⟩ ἔχειν οἴοιτο ἅπερ ἐβούλετο· ὡς δὲ κἀκεῖνοι ἡγεμονίας ἐπιθυμήσαντες νησίδια καὶ ἄκρας ἐπὶ θαλάττῃ καὶ λιμένας καὶ τοιαῦτα ἐξεκαρπώσαντο καὶ κατετρίφθησαν περὶ τὴν θάλατταν, ὀνειροπολήσαντες ἡγεμονίαν μᾶλλον ἢ κτήσασθαι δυνηθέντες.
γενόμενοι δὲ ὅμως ἐπὶ καιρῶν, ὥσπερ ἐν κλήρου περιόδῳ, ἐπι- 44
στάται τῶν Ἑλλήνων ἑκάτεροι οὐδ' εἰς μίαν, ὡς εἰπεῖν, γενεὰν διεσώσαντο τὴν τάξιν· οὔκουν ἀμέμπτως γε, ἀλλὰ τοῦτο δὴ τὸ λεγόμενον τὴν Καδμείαν νίκην ἐνίκων ἀλλήλους περὶ τῆς ἡγεμονίας,

3 καὶ om. U[1]   4 καὶ sic O   5 οὐχ ὡς transposui: ὡσ οὐκ O   7 χρήσασθαι DU   lacunam indicavi; fuerint e. g. ⟨ἡγούμενος δ' ἄτοπον⟩ εἶναι καὶ γελοῖον (cf. p. 107, 1); sine lacuna ἐπεὶ καὶ Wil., εἶτ' οὐ (-μνημονεῦσαι;) Rsk. 10 ἔχοιεν U   11 οτι] οὔτι Junt.   γε om. U   εἰπεῖν ἔχομεν (sic) D
14 τὰ — Περσικῶν seclusi   τὸ DU: primitus omissum add. S[1], om. T
15 δ' U   16 σωφροσύνῃ] φρονήσει D   27 ἔχων add. Rsk.   29 κατετρίφθησαν UT: κατερρίφησαν DS (at ρι in ras. S[2])   31 ἐν] ἐκ D   34 τὴν]

ὥσπερ οὐκ ἀξιοῦντες τοὺς ἑτέρους μόνους μισεῖσθαι ἀεὶ οἱ ἕτεροι, 45 *ἀλλ᾽ αὐτοὶ τοῦ μέρους μεταλαμβάνειν. τοῦτο μὲν γὰρ Λακεδαιμονίων εἷς ἡγεμὼν οὕτω διέθηκε τοὺς Ἕλληνας ὥστ᾽ ἀπαλλαγέντας ἀπ᾽ αὐτῶν ἑκόντας ⟨ἀσ⟩μένους ἑαυτοῖς ἑτέρους ἄρχοντας ζητῆσαι.* 340 D *δόντες δ᾽ ἑαυτοὺς Ἀθηναίοις, ὡς χρόνος οὐ πολὺς διῆλθε, μετέγνωσαν, οὔτε τῶν φόρων φέροντες τὴν ἀμετρίαν οὔτε τοὺς ἐπὶ τῇ τούτων προφάσει παρακλέπτοντας [αὐτοῖς], ἀνάσπαστοί τε γιγνόμενοι καθ᾽ ἕκαστον ἐνιαυτόν, Ἀθήνησι περὶ τῶν παρ᾽ ἑαυτοῖς ὑφέξοντες λόγον, κληρούχων τε σφίσιν ἐπὶ τὴν γῆν πεμπομένων* 210 J *καὶ παρὰ τοὺς φόρους ἀργυρολόγων, εἴ που χρεία κατάσχοι ἑτέρα·* 46 *προσέτι τάς τε ἀκροπόλεις ἐλευθέρας ἔχειν οὐ δυνάμενοι καὶ ἐπὶ τοῖς δημαγωγοῖς ὄντες τοῖς ἐκείνων, εὖ καὶ χεῖρον φρονοῦσιν ὁμοίως, στρατεύσασθαί τε ἀναγκαζόμενοι στρατείας οὐκ ἀναγκαίας ἐν ἱερομηνίαις καὶ ἑορταῖς πολλάκις, ὡς δ᾽ εἰπεῖν ἁπλῶς, οὐδὲν τηλικοῦτον τῆς προστασίας ἀπολαύοντες ἀνθ᾽ ὅτου ταῦτα ἄξιον ἦν* 47 *ὑπομεῖναι. δυσχεραίνοντες δ᾽ ἐκ τούτων τοὺς Ἀθηναίους οἱ πολλοὶ καὶ πρὸς τοὺς Λακεδαιμονίους πάλιν μεταστάντες τὸν αὐτὸν τρόπον ὅνπερ πρότερον ἀπ᾽ ἐκείνων πρὸς τοὺς Ἀθηναίους, [τὸν αὐτὸν τρόπον] ὑπ᾽ ἐκείνων πάλιν ἐξηπατήθησαν. προειπόντες* 341 D *γὰρ ὑπὲρ τῆς τῶν Ἑλλήνων ἐλευθερίας πολεμήσειν Ἀθηναίοις καὶ τούτῳ προσαγόμενοι τοὺς πολλούς, ἐπειδὴ καθεῖλον ἐκείνων τὰ τείχη καὶ κύριοι τῶν πραγμάτων καὶ τοῦ πάντα ποιεῖν ἐγένοντο, τοσοῦτον ὑπερεβάλλοντο ὥστε τυραννίδας ἐν πάσαις ταῖς Ἑλληνίσι* 48 *πόλεσι κατέστησαν, ἃς προσεῖπον εὐφήμως δεκαρχίας· καὶ μίαν καθελόντες τὴν Ἀθηναίων δυναστείαν πολλὰς τὰς παρ᾽ αὐτῶν ἀντεισῆγον, αἳ οὐκ Ἀθήνησιν οὐδ᾽ ἐν Σπάρτῃ διατελοῦσαι κακῶς*

articulus bene habet: cf. pro Quatt. II 190, 9; Leuctr. I 709, 31 Ddf.; Diod. XI 12

1 *οἱ* om. S[1]; sententia est: tanquam nollent alteros (adversarios) solos in odio apud Graecos esse, sed ipsi quoque vellent (odii illius) participes fieri 3 *εἷς*] Pausanias 4 *ἀσμένους* scripsi: *μόνους* O; ΕΚΟΝΤΑCACMΕΝΟΥC; *ἑκόντας* ad *ἀπαλλαγέντας*, *ἀσμένους* ad *ζητῆσαι* trahendum 5 *δ᾽ ἑαυτοὺσ* DU: *δὲ αὐτοὺσ* TS[2], *δὲ αὐτοῖσ* S[1] *ἀθηναῖοι* S[1] 7 *αὐτοῖσ* S[1]T: *αὐτοὺσ* DUS[2], seclusi *ἀνάρπαστοι* (*σπ* supra) U pr. m. *τε* S: *γε* DUT, deletum voluit Ddf.; *οὔτε — οὔτε — τε — τε* iungenda *γινόμενοι* O (at *ι* in ras. U[2], *γενόμενοι* Ald.) 8 *καθ᾽* SDU: *καὶ καθ᾽* T *τῶν*] *τὸν* T 9 *ὑφέξοντεσ λόγον* DUT: *λόγον* om. S[1], add. ante *ὑφέξοντεσ* S[2] (*λόγον ὑφέξοντες* Ald.) 10 *κατάσχῃ* D 18 *πρὸς τοὺς — ἐκείνων* om. SD (sec. Monac. 432 del. Rsk.[2]) 19 *τὸν αὐτὸν τρόπον* del. Ddf. sec. Baroc. 136 *ὑπ᾽* Rsk.: *ἀπ᾽* UT (qui hic = O) 21 *ἐκείνων* U[2]: *ἐκεῖνοι* O, *ἐκείνοις* Rsk.; cave deleas 22 *πάντα* scripsi: *ταῦτα* O, *ταυτὰ* S[2] (Junt.) 23 *ὑπερεβά/λοντο* S (*-βάλοντο* Ald.) 25 *αὐτῶν* DUT 26 *διατελοῦσαι* scripsi: *διὰ τέλουσ* O; *δι᾽ ἀγγέλων* Rsk. frustra: *Ἀθήνησιν — ἐν Σπάρτῃ*, non *Ἀθήνηθεν — ἐκ Σπάρτης* traditum

ἐποίουν τοὺς ἀρχομένους, ἀλλ' ἐν αὐτοῖς τοῖς σφετέροις ἕκασται
χωρίοις συνεχῶς ἱδρυμέναι καὶ οἷον συμπεπλεγμέναι. ὥστ' εἰ
ἀρχόμενοι τοῦ πολέμου προεῖπον τοῖς Ἕλλησιν ὅτι ὑπὲρ τούτου
πολεμήσουσιν Ἀθηναίοις, ὅπως μείζω καὶ πλείω σφᾶς ἐκείνων
κακὰ ἐργάσαιντο καὶ δείξαιεν ἐλευθερίαν αὐτοῖς ὄντα τὰ ἀπ' ἐκεί-
νων, μὴ ἂν αὐτοὺς ἄμεινον βεβαιῶσαι τὴν ἐπαγγελίαν. καὶ γὰρ 49
οὖν ἡττῶντο μὲν εὐθέως ἑνὸς φυγάδος, κατελείποντο δὲ ὑπὸ Θη-
342 D βαίων, ἐμισοῦντο δὲ ὑπὸ Κορινθίων, ἐπίμπλατο δὲ ἡ θάλαττα
τῶν ἁρμοστῶν ἐκπιπτόντων, ἅτε ἀναρμόστων καὶ οὐ κατὰ τοὔνομα
211 J ἐγκατασταθέντων τε καὶ ἐχόντων τὰς πόλεις. ἐπειδή τε τοῖς 50
ἐκείνων ἀδικήμασι καὶ τῷ μίσει τῷ διὰ ταῦτα εἰς αὐτοὺς παρὰ
τῶν Ἑλλήνων αὐξηθέντες Θηβαῖοι ἐκράτησαν αὐτοὺς [τὴν ἐν Λεύ-
κτροις μάχην], ὁμοῦ τε Λακεδαιμόνιοι ἐκποδὼν ἦσαν καὶ Θηβαίους
οὐδεὶς αὖ φέρειν ἐδύνατο μίαν μάχην εὐτυχήσαντας, ἀλλ' ἀπεφάνθη
λυσιτελοῦν ἔτι τὴν Καδμείαν [ἀν]έχεσθαι μᾶλλον ἢ κεκρατηκέναι
Λακεδαιμονίων ⟨Θηβαίους⟩· οὕτως ἐμισήθησαν. Καὶ ταῦτα 51
οὐ δή που κατηγορίας ἕνεκα κοινῆς τῶν Ἑλλήνων συνεσκευασάμην,
ὥσπερ ὁ θαυμαστὸς ἐκεῖνος ὁ τὸν Τρικάρανον ποιήσας — μήποτε
ἀνάγκη τοσαύτη γένοιτο —, ἀλλ' ἐκεῖνο ἐπιδεικνύναι βουλόμενος,
ὅτι οὔπω πρὸ ὑμῶν ἦν τὸ ἄρχειν εἰδέναι· εἰ γὰρ ἦν, ἐν τοῖς Ἕλ-
λησιν ἦν ἄν, οἳ πλεῖστον δή που τῶν γε ἄλλων σοφίᾳ διήνεγκαν·
ἀλλὰ καὶ τοῦτο ὑμέτερόν ἐστιν εὕρημα καὶ ὁμοῦ τοῖς ἄλλοις ἐπεισ-
ελθόν. ἐπεὶ τό γε λεχθὲν ἐπ' Ἀθηναίων κινδυνεύει καὶ περὶ
πάντων, εἴ τις εἴποι, τῶν Ἑλλήνων ἀληθὲς εἶναι, ἐπεὶ τοῖς μὲν

---

1 ἕκασται Rsk.: ἑκάστοισ SD, ἑκάστου UT; cf. p. 109, 15 4 σφᾶς] hic non relative, sed ad usum Herodoteum pro αὐτοὺς (cf. v. 5 αὐτοῖς) dictum (contra Schmid p. 20, qui σφεῖς Cobeti, Mnemos. IX 60, recte impugnat) 5 δείξαιεν UT: δεῖξαι SD τὰ om. S[1] τὰ ἀπ' ἐκείνων] quae ab illis passi essent 7 φυγάδος] Cononis κατελίποντο T[1] (Ald.) 8 ἐ/πίπλατο T, μ add. T[2] 10 τε] malim δὲ 12 αὐτοὺσ SD: αὐτῶν UT τὴν — μάχην seclusi, interpretamentum ad μίαν μάχην v. 14 14 ἐδύνατο] ε in ras. U[2] ἀλλ' ἀπεφάνθη λυσιτελοῦν ἔτι Wil.: ἀλλὰ τί ἐφάνθη λυσιτελοῦν; ἔτι O; ἀπεφάνθη: dictum putat esse Wil. notissimum (fort. e Tricarano haustum): sententia: 'sed apparebat magis esse Graecorum e re Cadmiam (Lacedaemoniorum praesidio) teneri quam Thebanos victores esse Lacedaemoniorum', unde cetera corrigenda 15 [ἀν]έχεσθαι Rsk. in paraphrasi (Wil.): ἀνέχεσθαι O 16 Θηβαίους addidi, quod subiectum mente suppleri nequit 18 Τρικάρανον] Theopompi ferebatur 19 βουλόμενος scripsi: βούλομαι O 20 ἡμῶν D[1] 22 εὕρεμα SU[2] ἐπεισελθὸν US p. ras. T[2]D p. ras. (-λθο sic): εἰσελθὼν S a. ras. T[1]D a. ras. (-λθω sic); ante hoc participium desidero ⟨ἐφ' ὑμῶν πρῶτον⟩, cf. p. 107, 26 sq. 109, 28 23 κινδυνεύει / S 24 post εἴποι requirit τἀληθὲς Rsk.[2], at sequitur ἀληθὲς εἶναι

ἄρχουσιν ἀντιστῆναι καὶ κρατῆσαι Πέρσας καὶ Λυδοὺς καὶ πλοῦς τε 343 D
καὶ πόνους ὑπενεγκεῖν ἀγαθοὶ παντὸς μᾶλλον ἦσαν, ἄρχειν δὲ αὐτοὶ
52 *ἔτι ἀπαίδευτοι ἦσαν, πειρώμενοί τε ἐσφάλλοντο. καὶ πρῶτον μὲν*
φρουροὺς εἰσέπεμπον εἰς τὰς πόλεις, οἳ τῶν μὲν ἐπιχωρίων ἑκά-
στων καὶ εἰς οὓς ἐπέμποντο οὐκ ἐλάττους ἀεὶ δήπουθεν ἦσαν·
ὑπόνοιαν δὲ ἐποίουν καὶ τοῖς μήπω φρουρουμένοις ὡς πάντα πρὸς
ἰσχὺν καὶ βίαν ἄγοντες. ἀμφότερα οὖν συνέβαινε, μήτε τὰς πόλεις
ἀσφαλῶς ἔχειν καὶ προσέτι μισεῖσθαι καὶ τὰ κακὰ τῆς ἀρχῆς ἀντὶ
τῶν τῆς ἀρχῆς ἀγαθῶν καρποῦσθαι, τὴν μὲν πλεονεξίαν οὐ βέβαιον,
53 *τὴν δὲ τῆς πλεονεξίας δόξαν ἰσχυρὰν ἔχοντας. ἔπειτα τί πρὸς*
τούτοις συνέβαινε; διασπωμένους ἀεὶ καὶ διαιρουμένους ἀσθενε-
στέρους τὰ οἴκοι γίγνεσθαι καὶ μὴ ἱκανοὺς τὴν ἑαυτῶν σῴζειν,
διὰ τὸ ζητεῖν τὴν ἑτέρων ἔχειν. οὔτ᾽ οὖν ὧν ἄρχειν ἐφίεντο ὑπερ-
βαλέσθαι τότε ἐδύναντο πλήθει τούτων ὧν ἔπεμπον, οὔθ᾽ ἑαυτοῖς
τὸ μένειν ἴσοις κατέλιπον, ἀλλ᾽ ἦσαν ἐλάττους μὲν ἔξω, ἐλάττους
δὲ οἴκοι, καὶ τὸ προϊέναι τὴν ἀρχὴν αὐτοῖς εἰς ἄπορον καθίστατο, 212 J
οὐκ ἔχουσι τὰ τελευταῖα δι᾽ ὅτων αὐτὴν καθέξουσιν· ὥστε τοὔμ-
παλιν ἔσπευδον ὧν ἐδέοντο. καὶ ἦν τὸ μὲν προχωρεῖν αὐτοῖς ἃ
ἐβούλοντο ἀμήχανον καὶ κατάρας ἐγγύς, τὸ δὲ μὴ προχωρεῖν κου-
φότερόν τε καὶ ἧττους ἔχον τοὺς φόβους· οὐδὲν γὰρ ἄλλο ἢ διοικι-
ζομένοις ἐῴκεσαν ἀντὶ ἀρχόντων καὶ πονοῦσιν ὑπὲρ τοῦ πονεῖν.
ἅμα γὰρ τῷ τέλει τὸ κεφάλαιον εὐθὺς ἐλάνθανε λυόμενον, καὶ
54 *πάλιν εἰς ταὐτὸ κατὰ τοὺς ποιητὰς κατῄει. ἔτι δ᾽ οὔτ᾽ ἰσχύειν*
αὐτοῖς συνέφερε τοὺς ἀρχομένους διὰ τὰς ἐπιβουλὰς οὔτ᾽ ἀσθενεῖς
εἶναι διὰ τοὺς παρὰ τῶν ἔξωθεν αὖ πολέμους καὶ ὅπως ᾖ τι πλέον 344 D
τῆς συμμαχίας, ἀλλ᾽ ἐπεπόνθεσαν πρὸς αὐτοὺς παραπλήσιον ὅπερ
οἱ ἐν ταῖς παιδιαῖς τῇ μὲν εἰς τοὔμπροσθεν ἄγοντες, τῇ δ᾽ εἰς
τοὔπισθεν ἀνθέλκοντες, οὐκ ἔχοντες ὅ τι χρήσονται, ἀλλ᾽ οἷον
εἶναί τε καὶ μὴ εἶναι αὐτοὺς βουλόμενοι, αὐτοὶ μεταχειριζόμενοί
55 *τε καὶ ἄγοντες, ὅποι σπεύδουσιν, εἰπεῖν οὐκ ἔχοντες. τὸ δὲ*

---

1 *Λυδοὺς*] si verum, auget quae narrat Herodot. I 15—22 *πλοῦς τε* scripsi: *πλοῦτον* O, cf. p. 103, 22; *πλουτῆσαι* vel *πλοῦτον ⟨κτήσασθαι⟩* Wil. ('e Thuc. III 38, ut videtur, nisi Tricarani') 10 *τί πρὸς*] *τὸ προσεχὲς* Rsk.; *τί* deleri voluit Ddf.; interpunxi post *συνέβαινε,* quae vox suspecta 11 *ἀσθενεστέρους ⟨τε⟩ τὰ* Rsk.[2] 15 *κατέλειπον* S *ἔξω* U, at ξ in ras. U[2] (*ἔξω* Ald. Junt.): *ἔσω* SDT 17 *αὐτὴν* Ald. 20 *ἧττον* U (*ἥττονας* Monac. 432) 21 *ἐῴκεσαν* DU: *ἐοίκεσαν* ST 23 *ποιητὰς*] qui Sisyphi fabulam narraverant 24 *τοὺς ἀρχομένους* Ald.: *συναρχομένουσ* S[1]D; *συναρχομένοισ* UT (*συνερχομένουσ* S[2]) 25 *αὖ* aut deleri aut ante *ἀσθενεῖς* poni iubet Rsk. 26 *ἐπεπόνθεισαν* D 29 *αὐτοὺς*] *αὑτοὺσ* SU *αὐτοὶ*] ipsi dum eos regunt et dirigunt, incerti sunt; pro *αὐτοὶ* ci. *ἀεὶ* Wil. 30 *ὅποι* Wil.: *ἐν οἷσ* O; *ἐφ᾽ οἷς* Rsk.

πάντων γελοιότατόν τε καὶ ἀτοπώτατον· ἐπὶ γὰρ τοὺς ἀφισταμένους αὐτῶν τοὺς λοιποὺς ἐν νῷ τὸ αὐτὸ ποιεῖν ἔχοντας ἠνάγκαζον ἰέναι, παραπλήσιον ποιοῦντες ὥσπερ ἂν εἰ αὐτοὺς τοὺς ἀφεστηκότας ἐφ' ἑαυτοὺς ἔπειθον ἰέναι, καὶ οὐκ ἐλογίζοντο τοὺς τῆς ἐκείνων ὄντας μερίδος τούτους ἐπ' αὐτοὺς ἄγοντες, οἷς οὐκ ἐλυσιτέλει δή που καθ' αὐτῶν καταδεικνύναι τὸ τοῖς ἄλλοις σπουδῇ βοηθεῖν. ὥστε κἀνταῦθα τοὐναντίον ἢ ἐβούλοντό τε καὶ συνέφερεν διεπράττοντο· βουλόμενοι γὰρ τοὺς ἀφισταμένους προσάγεσθαι 56
καὶ τοὺς παραμένοντας ἂν ἐποίουν ἀφίστασθαι. ἐδείκνυσαν γὰρ αὐτοῖς ὅτι μένοντες μὲν ἐπ' ἀλλήλους ὑπάρξουσιν αὐτοῖς, κοινῇ δ' ἅπαντες ἀποστάντες ἐλεύθεροι βεβαίως ἔσονται· οὐ γὰρ κατα-
345 D *λείψουσι τελευτῶντες δι' ὧν ληφθήσονται. ὥστε τοσούτῳ περὶ αὐτοὺς ἦσαν φαυλότεροι τῶν ἀπίστων συμμάχων, ὅσῳ οἱ μὲν καθ'*
213 J *ἑαυτοὺς ἕκαστοι ἀπεχώρουν, οἱ δὲ κοινὴν ἀπόστασιν ἐξ ὧν ἔπραττον εἰσηγοῦντο. Οὕτω τότε ἀρχῆς οὔπω τάξις ἦν, οὐδ' εἰδότες* 57
αὐτὴν ἐδίωκον, ἀλλὰ καίπερ μικρὰ καὶ οἷον ἐσχατιὰς καὶ κλήρους ἔχοντες οὐκ ἠδυνήθησαν οὐδ' αὐτὰ ταῦτα διασώσασθαι διὰ τὴν τοῦ ἄρχειν ἀπειρίαν τε καὶ ἀδυναμίαν, οὔτε φιλανθρώπως ἄγοντες τὰς πόλεις οὔτ' ἐγκρατῶς ἔχειν δυνάμενοι, βαρεῖς ἅμα καὶ ἀσθενεῖς ὄντες. τελευταῖον δ' οὖν γυμνωθέντες κατὰ τὸν Αἰσώπου κολοιὸν μόνοι πρὸς ἅπαντας ἐμάχοντο.

Τοῦτο μέντοι τὸ τοὺς πρόσθεν ἅπαντας, ὡς εἰπεῖν, ἀνθρώπους 58
διαφυγὸν ὑμῖν ἐτηρήθη μόνοις εὑρεῖν τε καὶ τελεώσασθαι· καὶ θαυμαστὸν οὐδέν. ὥσπερ γὰρ τῶν ἄλλων πραγμάτων ἐπὶ ταῖς ὕλαις ἀπαντῶσιν αἱ τέχναι, οὕτως ὅτε ἀρχὴ μεγίστη καὶ δύναμις διαφέρουσα συνέστη, τότ' ἐπ' αὐτῇ καὶ ἡ τέχνη συνετέθη τε καὶ συνεισῆλθεν, καὶ ἄμφω δὴ δι' ἀλλήλων ἐκρατύνθη· διὰ μὲν τὸ τῆς ἀρχῆς μέγεθος καὶ ἡ ἐμπειρία ἀναγκαίως περιεγένετο, διὰ δ' αὖ τὸ ἄρχειν εἰδέναι δικαίως ἅμα καὶ εἰκότως ηὔξησεν ἡ ἀρχή. τοῦτο 59

---

2 *αὐτῶν* O 6 *τοῖς ἄλλοις* parum distincte dictum: an *τοῖς Ἀθηναίοις*? *τοῖς ἄλλοις τὸ* traici vult Wil. 7 *κἀνταῦθα*] cf. p. 106, 17. 18 10 *ὑπάρξουσιν αὐτοῖσ* O; 'ipsis' (Atheniensibus) 11 *δ'*] *εὖ* D 13 *αὐτουσ* S[1]DT; *αὐτοὺς*: Athenienses, ut v. 14 *οἱ δὲ* 14 *ἀπεχώρουν*] i. q. *ἀφίσταντο* 15 *οὔπω ἀρχῆσ* U, superscriptis *β* et *α* transposuit U[1] (aut U[2]?) *οὐδὲ* S 16 *καίπερ* S[2]U[2] (ci. Rsk.): *καὶ περὶ* O; *καὶ περὶ μικρὰ — κλήρους ⟨σπουδὴν⟩ ἔχοντες* Rsk.[2] 17 *ἐδυνήθησαν* U, at *ε* in ras. U[2] 20 *δ' οὖν*] *οὖ* in ras. S[2], *δὲ* D (om. *οὖν*) *Αἰσώπου*] *αἰ* in ras. arctiore T[2]; Aesop. fab. 200. 201 H. (contaminatae Phaedr. I 3; Babr. 72 Schn.) 22 *τὸ τουσ* UT: om. D, *τὸ* S 23 *τε* SD: om. UT (hic in confinio pag., fol. 204[r v]) 27 *συνεισῆλθε* UT: *συνῆλθεν* SD (-*θε*) *ἄμφω δι' ἀλλήλων* U, ras. super *ι* 29 *ἅμα* Rsk.: *ἀλλὰ* O Thom. Mag. p. 43, 14 *τοῦτο*] *τὸ* Rsk. (quod e superiore *διὰ* aptum se velle notat Rsk.[2]); exspectarim *κἂν τούτῳ*

δὲ καὶ πολὺ μάλιστα πάντων ἄξιον ἰδεῖν καὶ θαυμάσαι τῶν περὶ
τὴν πολιτείαν [καὶ] τὴν τῆς διανοίας μεγαλοπρέπειαν, ὡς οὐδὲν 346 D
ἐοικὸς αὐτῇ τῶν πάντων. διελόντες γὰρ δύο μέρη πάντας τοὺς
ἐπὶ τῆς ἀρχῆς — τοῦτο δ' εἰπὼν ἅπασαν εἴρηκα τὴν οἰκουμένην
—, τὸ μὲν χαριέστερόν τε καὶ γενναιότερον καὶ δυνατώτερον παν-
ταχοῦ πολιτικὸν ἢ καὶ ὁμόφυλον πᾶν ἀπεδείξατε, τὸ δὲ λοιπὸν
60 ὑπήκοόν τε καὶ ἀρχόμενον. καὶ οὔτε θάλαττα διείργει τὸ μὴ εἶναι
πολίτην οὔτε πλῆθος τῆς ἐν μέσῳ χώρας, οὐδ' Ἀσία καὶ Εὐρώπη
διῄρηται ἐνταῦθα· πρόκειται δ' ἐν μέσῳ πᾶσι πάντα· ξένος δ'
οὐδεὶς ὅστις ἀρχῆς ἢ πίστεως ἄξιος, ἀλλὰ καθέστηκε κοινὴ τῆς
γῆς δημοκρατία ὑφ' ἑνὶ τῷ ἀρίστῳ ἄρχοντι καὶ κοσμητῇ, καὶ πάν-
τες ὥσπερ εἰς κοινὴν ἀγορὰν συνίασι τευξόμενοι τῆς ἀξίας ἕκα-
61 στοι. ὅπερ δὲ πόλις τοῖς αὑτῆς ὁρίοις καὶ χώραις ἐστίν, τοῦθ' 214 J
ἥδε ἡ πόλις τῇ πάσῃ οἰκουμένῃ, ὥσπερ αὐτῆς [χώρας] ἄστυ κοι-
νὸν ἀποδεδειγμένη· φαίης ἂν περιοίκους ἅπαντας ἢ κατὰ δῆμον 347 D
οἰκοῦντας ⟨ἄλλους⟩ ἄλλον χῶρον εἰς μίαν ταύτην ἀκρόπολιν συνέρχε-
62 σθαι. ἡ δὲ οὐδεπώποτε ἀπεῖπεν, ἀλλ' ὥσπερ τὸ τῆς γῆς ἔδαφος
φέρει πάντας, οὕτω καὶ ἥδε δέχεται μὲν τοὺς ἐξ ἁπάσης γῆς,
ὥσπερ τοὺς ποταμοὺς θάλαττα· κοινὸν δ' αὐτῇ καὶ τοῦτο πρὸς
τὴν θάλαττάν ἐστιν· οὔτε γὰρ ἐκείνη μείζων ὑπὸ τῆς ἐμβολῆς τῶν
ποταμῶν γίγνεται, ὡς συνειμαρμένου τούτου † σὺν αὐτοῖς εἰς ῥοῦν
αὐτὴν ἔχειν τὸ μέγεθος †, ⟨οὔτε⟩ τῇδε ὑπὸ μεγέθους οὐδὲν ἐπίδηλον·
ὥσπερ δὲ οἱ τοῖς κόλποις δεχόμενοι, πάντα οὕτως κρύψασα ἔχει,
63 ἐξιόντων καὶ εἰσιόντων ἴση οὖσά τε καὶ φαινομένη. καὶ τοῦτο

---

1 δὲ] δὴ T τῶν Wil.: τὴν O πολιτείαν scripsit et καὶ τὴν (at articulum rescribens τῶν v. 1 tutatus est Wil.) seclusit Bürchner, Philolog. 1890, 182 (cf. Holleck, Coniect. crit. in Ael. Arist. Panath. thes. 1): πόλιν αἰτίαν καὶ τὴν O; ad πόλιν emendata lectio ΛΙΤΕΙΑΝ adscripta, deinde in αἰτίαν mutata causa facta est, ut καὶ interpolaretur 5 τε SD: γε UT καὶ δυνατώτερον καὶ γενναιότερον U 6 ἀπεδείξατε Rsk.: ἀπεδώκατε O; liberarum civitatum privilegio donavistis vel etiam cives Romanos fecistis 7 καὶ οὔτε κτἑ.] cf. § 100 et or. XXVII § 32 θάλασσα D 13 αὐτῆσ SD ὁρίοισ καὶ χωρίοισ D 14 τῇ πάσῃ οἰκουμένῃ scripsi: τῆσ πάσησ (ἁπάσησ T) οἰκουμένησ O αὐτῆς Canter (sec. Rsk.[2]): αὖ τῆσ O χώρας seclusi; fuit primitus interpretamentum (e v. 13) ad αὐτῆς 15 περιοίκους — κατὰ δῆμον οἰκοῦντας] prius ad Lacedaemoniorum, posterius ad Atheniensium res publicas dictum 16 ἄλλους dubitanter add. Rsk. (prob. Wil.) ἀκρόπολιν corruptum (in arcem non conveniunt); μητρόπολιν ci. Wil., recte ut videtur, cf. or. XLVI § 23 19 an ⟨ἡ⟩ θάλαττα? θάλασσα T 20 θάλασσαν SD 21 γίνεται O vv. σὺν — 22 τῇδε corrupta et lacunosa εἰς ῥοῦν] εἰσρέουσιν Schmid p. 224; sententia fuit: tanquam fatale ei (mari) hoc esset, ut eandem semper magnitudinem haberet, quicquid aquarum flumina ei immittunt 22 οὔτε addidi; καὶ add. Ald. τῇδε — ἐπίδηλον] cf. or. XXXVI § 28

μὲν δὴ τοῦ λόγου ὑπενεγκόντος οὕτω παρεφθέγχθω. ὅπερ δὲ ἐλέ-
γομεν, μεγάλοι μεγάλως ἐμετρήσατε τὴν πόλιν, καὶ οὐκ ἀποσε-
μνυνάμενοι τούτῳ θαυμαστὴν ἐποιήσατε, τῷ μηδενὶ τῶν ἄλλων αὐτῆς
μεταδιδόναι, ἀλλὰ τὸ πλήρωμα αὐτῆς ἄξιον ἐζητήσατε, καὶ τὸ
Ῥωμαῖον εἶναι ἐποιήσατε οὐ πόλεως, ἀλλὰ γένους ὄνομα κοινοῦ
τινος, καὶ τούτου οὐχ ἑνὸς τῶν πάντων, ἀλλ' ἀντιρρόπου πᾶσι
348 D τοῖς λοιποῖς. οὐ γὰρ εἰς Ἕλληνας καὶ βαρβάρους διαιρεῖτε νῦν
τὰ γένη, οὐδὲ γελοίαν τὴν διαίρεσιν ἀπεφήνατε αὐτοῖς πολυαν-
θρωποτέραν τὴν πόλιν παρεχόμενοι ἢ κατὰ πᾶν, ὡς εἰπεῖν, τὸ
Ἑλληνικὸν φῦλον, ἀλλ' εἰς Ῥωμαίους τε καὶ οὐ Ῥωμαίους ἀντι-
διείλετε· ἐπὶ τοσοῦτον ἐξηγάγετε τὸ τῆς πόλεως ὄνομα. τούτων 64
δὲ οὕτω διῃρημένων πολλοὶ μὲν ἐν ἑκάστῃ πόλει πολῖται ὑμέτεροι
οὐχ ἧττον ἢ τῶν ὁμοφύλων, οὐδ' ἰδόντες πώ τινες αὐτῶν τὴν
πόλιν, φρουρῶν δὲ οὐδὲν δεῖ τὰς ἀκροπόλεις ἐχόντων, ἀλλ' οἱ
ἑκασταχόθεν μέγιστοι καὶ δυνατώτατοι τὰς ἑαυτῶν πατρίδας ὑμῖν
215 J φυλάττουσιν· καὶ διπλῇ τὰς πόλεις ἔχετε, ἐνθένδε τε καὶ παρ'
αὐτῶν ἑκάστας. φθόνος δὲ οὐδεὶς ἐπιβαίνει τῆς ἀρχῆς· αὐτοὶ 65
γὰρ ὑπήρξατε τοῦ μὴ φθονεῖν, ἅπαντα εἰς τὸ μέσον καταθέντες
καὶ παρασχόντες τοῖς δυναμένοις μὴ ἄρχεσθαι μᾶλλον ἢ ἄρχειν
ἐν τῷ μέρει. οὐ τοίνυν οὐδὲ μῖσος ἐκ τῶν ἀπολειπομένων ὕπεισι·
διὰ γὰρ τὸ κοινὴν εἶναι τὴν πολιτείαν καὶ οἷον πόλεως μιᾶς, εἰ-
κότως οὐχ ὡς ἀλλοτρίων, ἀλλ' ὡς οἰκείων ⟨οἱ⟩ ἄρχοντες ἄρχουσιν·
ἔτι δὲ καὶ μέτεστιν ⟨ἐν⟩ αὐτῇ πᾶσιν ἄδεια τοῖς πλήθεσιν ἐκ τῶν
παρ' αὐτοῖς δυνατῶν, ... ἢ παρ' ὑμῶν ἐπ' αὐτούς, ἐάν τι τολμῶσι
παρακινεῖν, εὐθὺς ἥξουσα ὀργή τε καὶ τιμωρία. οὕτω καὶ πέ- 66
νησι καὶ πλουσίοις εἰκότως τὰ παρόντα καὶ ἀρέσκει καὶ συμφέρει,
καὶ ἄλλως οὐ λέλειπται ζῆν· καὶ γέγονε μία ἁρμονία πολιτείας
ἅπαντας συγκεκληκυῖα, καὶ τὸ πρόσθεν δοκοῦν οὐ δυνατὸν εἶναι
349 D συμβῆναι συνῆλθεν ἐφ' ὑμῶν, † κράτος ἀρχῆς ἅμα καὶ φιλανθρω-
πίας καὶ μεγάλης γε καὶ οὐκ ἐνὸν ἄρχειν ἐγκρατεῖς †. οὕτω 67

1 ὅπερ — μεγάλως] ad μεγαλοπρέπειαν p. 108, 2 redit; ludit in memoria Homerica (cf. ad p. 94, 21) 13 οὐδὲ SD 14 δὲ DS 17 δ' U 22 οἱ add. Rsk.[2] 23 ἐν αὐτῇ Canter: αὐτῇ O Thom. Mag. p. 243, 9; ἡ αὐτὴ Rsk. 24 lacunam indicavi; sententia: ʻin vestra civitate volgo securitas a superbia et arrogantia eorum, penes quos in singulis civitatibus summa potestas est; ⟨praesidium enim illis firmissimum⟩ ira vestra et poena, quae his statim irrogabitur, si quid novarum rerum moliri coeperint' ἢ] ἡ S (Ald.) ὑμῶν U (Ald.): ἡμῶν SDT 25 ἥξουσα DU: ἕξουσα ST 28 ἅπαντασ SD: ἅπαντα UT (ut etiam ad insequentia quadret, correctum) συγκεκλεικυῖα (η suprascr.) U pr. m. 29 ἀρχῆσ] ἀρχῆσ · ἀρχῆσ D φιλανθρωπίας] φιλανθρωπία Rsk. 30 οὐκ ἐνὸν (αι suprascr.) T (solum acc. add. T[2]), οὐκένὸν S (ʼadd. S[2], οὐ κενὸν Baroc. 136), οὐ καινὸν DU (at αινὸν in ras. U[2]) ἐγκρατεῖσ

δὴ καθαραὶ μὲν φρουρῶν πόλεις, μόραι δὲ καὶ ἶλαι ἀποχρῶσιν
ἐθνῶν ὅλων εἶναι φυλακή, καὶ οὐδ' αὗται κατὰ τὰς πόλεις ἑκάστῳ
τῶν γενῶν πολλαὶ ἱδρυμέναι, ἀλλ' ἐν ἀριθμῷ τῶν ἄλλων ἐνεσπαρ-
μέναι ταῖς χώραις, ὥστε πολλὰ τῶν ἐθνῶν ἀγνοεῖν ὅπου ποτ'
ἐστὶν αὐτοῖς ἡ φρουρά. εἰ δέ που πόλις δι' ὑπερβολὴν μεγέθους
ὑπερῆρκε τὸ δύνασθαι σωφρονεῖν καθ' αὑτήν, οὐδὲ τούτοις ἐφθο-
νήσατε τῶν ἐπιστησομένων τε καὶ διαφυλαξόντων. καὶ γάρ τοι
ἥδιον μὲν ὑμῖν ἅπαντες ἀποπέμπουσι τοὺς φόρους ἢ παρ' ἄλλων
68 *ἄν τινες αὐτοὶ λαμβάνοιεν· εἰκότως. ἄρχειν μὲν γὰρ οἷς μὴ*
δύναμις οὐ σωτήριον, ἄρχεσθαι δ' ὑπὸ τῶν κρειττόνων ὁ δεύτερος,
φασί, πλοῦς, ὑπὸ δὲ ὑμῶν νῦν καὶ πρῶτος ἀπεφάνθη. πάντες
οὖν ἀπρὶξ ἔχονται καὶ οὐ πρότερον ἀξιώσαιεν ἂν ἀποστῆναι ἢ 350 D
οἱ πλέοντες τοῦ κυβερνήτου· ἀλλ' οἷον αἱ νυκτερίδες ἐν τοῖς
ἄντροις ἀλλήλων τε καὶ λίθων ἔχονται προσπεφυκυῖαι, οὕτως 216 J
ὑμῶν ἅπαντες ἐξήρτηνται σὺν πολλῷ φόβῳ καὶ προνοίᾳ μή τις
ἀποπέσῃ τούτου τοῦ ὁρμαθοῦ, καὶ πρότερον ἂν δείσαιεν μὴ ὑφ'
69 *ὑμῶν καταλειφθῶσιν ἢ ὑμᾶς ἂν αὐτοὶ καταλίποιεν. ἀντὶ δὲ ἀμφισ-*
βητήσεως ἀρχῆς τε καὶ πρωτείων, ὑφ' ὧν ἅπαντες οἱ πρότερον
συνερρήγνυντο πόλεμοι, οἱ μὲν ὥσπερ ὕδωρ ἀψοφητὶ ῥέον ἥδιστα
ἡσυχάζουσιν, ἄσμενοι πόνων πανσάμενοι καὶ κακῶν, μετεγνωκότες
ὡς ἄρα ἄλλως ἐσκιαμάχουν, οἱ δ' οὐδ' ἣν ποτε ἦρξαν ἴσασιν οὐδ'
ἀναμιμνήσκονται, ἀλλ' ἀτεχνῶς κατὰ τὸν Παμφύλου μῦθον, εἰ δὲ

UT, *ἐγκρατῆσ* S, *ἐγκρατήσ* D pr. m.; *οὐ κενὸν ἐγκρατεῖς* ut defenderet, Bürchner l. c. 183 vert.: 'eine wirkliche Herrschaft mit Mässigung ausüben' quod in Graecis non est; vv. *κράτος — ἐγκρατεῖς* corrupta; sententiam requiro: *κράτος ἀρχῆς ἅμα καὶ φιλανθρωπία, καὶ μεγαλοφροσύνη τε καὶ οὗπερ οὐκ ἔνδοξον ἄρχειν ἐγκράτεια*

1 *μόραι* T: *μόρα* S[1], *μοίρα* DS[2] (-*ῖρα*), *μό/ρα* U *ἶλαι* T, */ἴλαι* S: *ἴλη* D *ἴλη* (*αι* supra) U pr. m. 2 *αὗται* Kaibel: *αὐταὶ* O *ἑκάστων* (*ω* supra) U pr. m. *τῶν γενῶν* aut interpolata aut corrupta (debet *ἐθνῶν* esse); *ἑκάστου τῶν γενῶν* ci. Wil., ut *γένη* sint 'genera cohortium et alarum'; quae si essent, exspectarem *οὐδ' αὐτῶν κ. τ. π. τὰ γένη ἕκαστα πολλὰ ἱδρυμένα* 3 *ἐνιδρυμέναι* ci. Rsk. (propter *ἑκάστῳ*) *ἐν ἀριθμῷ*] i. q. *κατὰ λόγον*, oppositum *πολλαὶ* *τῶν ἄλλων*] i. e. *τῶν ἐνοικούντων*; *τῶν λαῶν* dubitanter Wil. 6 *ὑπερῆκε* D *τὸ* Ald.: *τῶ* O 7 *τῶν — διαφυλαξόντων*] correctores liberarum civitatum ego intellego; praesidia significari dicit Wil. (at obstant futura *τῶν ἐπιστησομένων* et *διαφυλαξάντων*, sc. *εἴ τι τολμῷεν παρακινεῖν*; quod magistratuum extraordinariorum est, non praesidiorum in urbibus perpetuo constitutorum; cf. praeterea v. 1 et 109, 14) 8 *ἡμῖν* T 9 *αὐτοὶ* Wil.: *αὐτὸν* SDT, *αὐτοὺσ* U (ci. Rsk.[2]) *μὴ* DU[2]: om. SU[1]T 12 *ἂν* hic Junt.: post *πλέοντεσ* (v. 13) O (ubi errore in Junt. non deletum, ut bis extet) 13 *οἷον*] ex Hom. ω 6 sqq. 16 *ἀποπέσοι* DUT *ὑφ'*] *ἀφ'* S 17 *καταλείποιεν* S a. ras. (Ald.), corr. S pr. m. 18 *πρότερον* DS[2]U[2]: *πρότεροι* S[1]U[1]T 21 *ἣν ποτε*] sc. *ἀρχήν*; *εἴποτε* ci. Ddf. 22 *Παμφύλου* Canter e Platone: *παμφίλου* O

μή, Πλάτωνος (rp. 614 B), οἷον ἐπὶ τῇ πυρᾷ ἤδη κείμεναι αἱ
πόλεις ὑπὸ τῆς πρὸς ἀλλήλας ἔριδος καὶ ταραχῆς ἀθρόαν ἐδέξαντο
τὴν ἡγεμονίαν καὶ ἐξαίφνης ἀνεβίωσαν. ὅπως δὲ εἰς τοῦτο ἀφί-
κοντο οὐκ ἔχουσιν εἰπεῖν, οὐδ' ἴσασιν οὐδὲν πλὴν τὰ παρόντα
θαυμάζειν, ἀλλὰ πεπόνθασιν οἷον οἱ ἀφυπνισθέντες καὶ ἀντὶ
τῶν ὀνειράτων ὧν ἀρτίως ἑώρων ἐξαίφνης ταῦτα παριδόντες καὶ
ἐν αὐτοῖς γενόμενοι. πόλεμοι δὲ οὐδ' εἰ πώποτε ἐγένοντο ἔτι 70
πιστεύονται, ἀλλ' ἐν ἄλλως μύθων τάξει τοῖς πολλοῖς ἀκούονται,
351 D εἰ δέ που καὶ συμπλακεῖεν ἐπ' ἐσχατιαῖς, οἷα εἰκὸς ἐν ἀρχῇ με-
γάλῃ καὶ ἀμετρήτῳ παρανοίᾳ Γετῶν ἢ δυστυχίᾳ Λιβύων ἢ κακο-
δαιμονίᾳ τῶν περὶ τὴν ἐρυθρὰν θάλατταν, ἀγαθοῖς παροῦσι χρήσα-
σθαι μὴ δυναμένων, ἀτεχνῶς ὥσπερ μῦθοι ταχέως αὐτοί τε παρ-
ῆλθον καὶ οἱ περὶ αὐτῶν λόγοι. τοσαύτη ἄρ' ὑμῖν εἰρήνη, † 71
κἂν πάτριον πολεμεῖν· . . . . οὐ γὰρ οἱ χθὲς σκυτοτόμοι καὶ τέκτονες
τήμερον ὁπλῖται καὶ ἱππεῖς, οὐδ' ὥσπερ ἐπὶ σκηνῆς στρατιώτης
μετεσκεύασται ὃς ἀρτίως ἦν γεωργός, οὐδ' οἷον ἐν οἰκίᾳ πενιχρᾷ
οἱ αὐτοὶ ὀψοποιοὶ οἰκουροῦσιν, στρωννύουσιν, οὐχ οὕτως καὶ ὑμεῖς
ἀνεμίξατε· οὐδὲ τοὺς ἐπ' ἄλλων ὄντας στρατιώτας ὑπὸ τῆς χρείας
γενήσεσθαι ἀνεμείνατε, οὐδὲ ἐπετρέψατε τοῖς πολεμίοις συγκαλεῖν
ὑμᾶς ἀλλὰ . . . . .
217 J . . . . . τὰ περὶ τὴν ὅλην ἀρχήν τε καὶ τὴν περὶ ταύτην πολι- 72

---

2 ἀλλήλουσ D 4 οὐδὲν — πεπόνθασιν om. D 5 οἱ om. D 6 ταῦτα] sc. τὰ παρόντα παριδόντα] ci. ὕπαρ ἰδόντα Rsk. 8 ἄλλωσ D, ἄλλων cum σ super ν U pr. m.: ἄλλων ST 9 συμπλακεῖεν S: συμπλέκοιεν U (sup. έ add. α U²), συμπλέκοιεν DT; cf. Demosth. II 21 ἐπειδὰν δ' ὅμορος πόλεμος συμπλακῇ, ut p. 110, 19 συνερρήγνυντο e Thuc. I 66, quod invertit Panath. I 202, 16 Ddf. 11 θάλατταν Baroc. 136: θάλασσαν O 13 τοσαύτη ἄρ' (παρ' ci. Canter) ὑμῖν εἰρήνη κἂν (add. ἢ Ald.; καὶ εἰ Junt.) πάτριον πολεμεῖν DUT: τοσαύτασ ἄρ' ὑμῖν νίκασ πάτριον πολεμεῖν S; locus satis amplus in archetypo evanuit; quae dignoscebantur, varie resarta, ut duplex lectio nasceretur. Argumentum v. 13—21: 'Tanta sub vestro dominio viget pax, quamvis vobis patrium sit bellare; ⟨quod tamen minime mirum: pax paratur bello, ad bellum vos semper parati estis;⟩ neque enim tum pacis artibus tum bellicis vacatis neque (v. 19) ab hostibus bellum inferentibus ad arma vos convocari patimini, sed ⟨pridem ita rem instituistis, ut semper omnia bene praeparata essent; quare nemo nisi insanus vestris finibus laesis pacem turbaverit. hoc lucrum quotquot orbem incolunt gentes faciunt, rebus vestris constitutis optime et administratis. Sed⟩ quae ad totum imperium . . . spectant' q. s. 14 οὐ γὰρ — 20 ἀλλὰ traici vult post ἀπέδοτε p. 112, 3 Wil., ut post ipsa prima verba novae partis orationis (de exercitu) κἂν πάτριον πολεμεῖν lacuna statuatur, quae ante τὰ περὶ v. 21 hiet; quod mihi non probatur; cf. ad p. 112, 4 15 τήμερον Ddf.: σήμερον O 17 οἰκορουσι U¹; ὀψοποιοῦσιν (hoc fort. verum), οἴκους κοροῦσι Rsk. 19 ἀναμείνατε D 20 lacunam indicavi (cf. ad v. 13); ὑμᾶσ. τὰ ⟨μὲν⟩ περὶ Ald. Junt.

τείαν εἴρηται ὅντιν' ἔγνωτε τρόπον καὶ ὅπως κατεστήσασθε· περὶ
δὲ τοῦ μαχίμου καὶ τῶν κατὰ στρατείας νῦν καιρὸς εἰπεῖν, ὅπως
αὖ καὶ τοῦτ' ἐπενοήσατε καὶ ἥντινα τάξιν αὐτῷ ἀπέδοτε. θαυ-
μαστὴ ἄρ' ἦν καὶ ἡ περὶ τοῦτο σοφία καὶ παράδειγμα εἰς τὸ παν-
73 *τελὲς οὐκ ἔχει. μέχρι μὲν γὰρ τοῦ τὸ μάχιμον ἀποκρῖναι καὶ*
Αἰγύπτιοι προῆλθον καὶ ἐδόκουν τοῦτο σοφώτατον εὑρεῖν, ὅτι
αὐτοῖς ἰδίᾳ ἀπὸ τῶν ἄλλων ἵδρυντο οἱ προπολεμοῦντες τῆς χώρας,
ὥσπερ καὶ ἄλλα πολλὰ παρὰ τοὺς ἄλλους ἐδόκουν εἶναι, ἤ φασιν,
Αἰγύπτιοι σοφοί. τοῦτο δὲ ὑμεῖς κατὰ ταὐτὸ γνόντες οὐ ταὐτὸν
ἐποιήσατε, ἀλλὰ τοσούτῳ κάλλιον καὶ σοφώτερον αὐτοὶ διείλεσθε,
ὥστε ἐν ἐκείνῳ μὲν τῷ συντάγματι οὐκ ἦν ἴσον ἔχειν τῆς πολι-
τείας ἀλλήλοις, ἀλλ' ἦσαν ἐν τῷ χείρονι οἱ στρατευόμενοι τῶν 352 D
ἡσυχαζόντων μόνοι πονοῦντες δι' αἰῶνος — οὔκουν ἴσως οὐδὲ ἡδέως
εἶχεν αὐτοῖς —, παρ' ὑμῖν δὲ ἁπάντων ἐχόντων τὸ ἴσον, τὸ
μάχιμον δυνατὸν χωρὶς ἱδρῦσθαι. οὕτω καὶ Ἑλλήνων τόλμα καὶ
74 *Αἰγυπτίων καὶ ὅτων εἴποι τις ἂν τῆς ὑμετέρας ἡττᾶται. καὶ το-*
σοῦτον ὑμῶν λειπόμενοι πάντες τοῖς ὅπλοις, ἔτι τῇ γνώμῃ πλέον
εἰσὶν ὀπίσω· τὸ μὲν γὰρ τοὺς ἀπὸ τῆς πόλεως στρατεύεσθαι καὶ
ταλαιπωρεῖν οὐκ ἄξια τῆς ἀρχῆς καὶ τῆς παρούσης εὐδαιμονίας
ἀπολαύειν εἶναι ἐνομίσατε, ξένοις δὲ οὐκ ἐπιστεύσατε· ἔδει δὲ
στρατιωτῶν πρὸ τῆς ἀνάγκης. πῶς οὖν ἐποιήσατε; εὕρετε οἰκεῖον
στράτευμα, τῶν πολιτῶν οὐκ ἐνοχλουμένων. τοῦτο δὲ ὑμῖν ἐπό-
ρισεν ἡ περὶ πάσης τῆς ἀρχῆς βουλὴ καὶ τὸ μηδέν' ἐγκρίνειν ξένον
75 *εἰς μηδὲν ὧν ἂν δύνηταί τε καὶ δέῃ ποιεῖν. τίς οὖν ἡ συλλογὴ*
καὶ τίς ὁ τρόπος; ἐλθόντες ἐπὶ πᾶσαν τὴν ὑπήκοον ἐντεῦθεν ἐσκέ-
ψασθε τοὺς λειτουργήσοντας τήνδε τὴν λειτουργίαν, καὶ ὡς εὕρετε, 218 J
ὁμοῦ τῆς τε πατρίδος ἀπηλλάξατε καὶ τὴν ὑμετέραν αὐτῶν πόλιν

---

4 *ἄρ'*] haec particula non favet coniecturae Wilamowitzianae (ad p. 111, 14): orator sapientiam Romanorum in rebus militaribus spectatam nondum probavit (quod esset *ἀπέδοτε οὐ γὰρ* [111, 14—20] — *ἀλλὰ . . . θαυμαστὴ ἄρ' ἦν*), sed probaturus est (*γὰρ* 5 — *σοφώτατον* 6); *ἄρ' ἦν* exclamatio oratoris admiratione, qua auditores adficere studet, iam adfecti; ita quidem fingit; cf. p. 36, 28 *ἐσ τὸ* D 5 *μὲν* om. DU *ἀποκρῖναι*] *ἀπο* in ras. U², *ἀπο* iterum expuncto *ἐκ* s. l. add. 8 *ἤ* U¹T (dubitanter recepi): *πολλὰ δή* SDU² mg. 14 *εἶχεν* Wil.: *εἶχον* O posterius *τὸ* DUS²: om. S¹T 15 *τόλμα* UT: om. SD; *τόλμα* pro *προθυμία*: tam bona usi condicione vestri milites alacritate et superbia Graecorum Aegyptiorum aliorum exercitus superant 16. 17 *τοσούτων* S a. corr. 20 posterius *δὲ* om. U¹ 21 *ἐποιήσατε*] *ἐπενοήσατε* Ald., (cf. p. 114, 2); *οὖν* ⟨*ποιησάμενοι*⟩ *ἐποιήσασθε* Rsk.²; *ἐποιήσατε* sc. *στρατιώτας*; cf. p. 113, 3 22 *τῶν — ἐνοχλουμένων*] ita ut cives non gravarentur 23 *μηδέν'* scripsi ('keinen Fremden' vertit Hepner, Aristides Lobrede auf Rom, übers. [Vratislaviae 1824] p. 48): *μηδὲν* O 24 *ἂν* om. D 25 *τίς*] *τί* D *ἐλθόντες κτἑ.*] cf. Mommsen, Herm. XIX 63

353 D ἀντέδοτε αὐτοῖς· ὥστε καὶ αἰσχυνθῆναι τὸ λοιπὸν αὐτοὺς ἐκεί-
νους γ᾽ ἀνειπεῖν, ὅθεν ἦσαν τὸ ἀρχαῖον. ποιησάμενοι δὲ πολίτας,
οὕτως καὶ στρατιώτας ἐποιήσατε ὥστε τούς τε ἀπὸ τῆς πόλεως
μὴ στρατεύεσθαι καὶ τοὺς στρατευομένους μηδ᾽ ὁτιοῦν ἧττον εἶναι
πολίτας, τῆς μὲν ἀρχαίας ἀπόλιδας γεγενημένους ἅμα τῇ στρατείᾳ,
τῆς δ᾽ ὑμετέρας πολίτας τε καὶ φρουροὺς ἀπὸ τῆς αὐτῆς ἡμέρας.
καὶ πάντες τε οὕτως ἕπονται καὶ πόλις οὐδεμία δυσμεναίνει, ἀλλὰ 76
τοσούτους γε ἀφ᾽ ἑκάστων ᾐτήσατε, ὅσοι μήτε τοῖς διδοῦσιν ἔμελ-
λον ἄχθος ποιήσειν μήτε αὐτάρκεις ἔσεσθαι πλήρωμα ἑνὸς οἰκείου
στρατεύματος παρασχέσθαι· ὥστε εὔνοιαν μὲν ἁπάσας ἔχειν τὰς
πόλεις τοῖς ἐκπεμφθεῖσιν, ὡς κοινοῖς ἑαυτῶν, ἰδίᾳ δὲ ἑκάστῃ μηδ᾽
ἡντινοῦν εἶναι δύναμιν ἀπὸ τῶν αὑτῆς μηδὲ βλέπειν ἄλλοσε τοὺς
ἐξελθόντας ἢ πρὸς ὑμᾶς, διὰ τὸ πρὸς τοῦτο μόνον καλῶς συντε-
τάχθαι. καὶ μὴν τούς γε ἐπιτηδειοτάτους ἑκασταχόθεν ἐπιλέξαντες 77
κέρδος οὐ μικρὸν τοῦτο εὕρασθε· οὐ γὰρ ᾤεσθε δεῖν ἐπὶ μὲν τὰς
πανηγύρεις καὶ τοὺς στεφανίτας ἀγῶνας τοὺς ἄριστα πεφυκότας
καὶ τοῖς σώμασι προὔχοντας ἐγκριθέντας ἀσκεῖσθαι, τοὺς δὲ τῶν
μεγίστων καὶ ἀληθινῶν ἔργων ἀγωνιστὰς καὶ νικηφόρους ἐσομένους
ὁπόσας ἂν τύχῃ νικᾶν ὑπὲρ ἀρχῆς τοιαύτης, τούτους δὲ ἐπὶ καιροῦ
συνελθεῖν καὶ μὴ πόρρωθεν τοὺς μεγίστους τε καὶ μάλιστα ἐπι-
τηδειοτάτους ἐξ ἁπάντων ἐπιλεχθέντας ἀσκεῖσθαι, ὅπως εὐθὺς
354 D ἑστῶτες ὑπερέχοιεν. τούτους δὴ ἄρα καθάραντες καὶ φυλοκρινή- 78
σαντες [τὸ κοινὸν τῶν ἀρχόντων], οὐ χωρὶς ὧν εἶπον οὐδ᾽ ὥστε
φθόνον ἕξειν μᾶλλον τοῖς ἄλλοις τοῖς ἐπὶ τῆς πόλεως μένουσιν,
ἅτε οὐκ ὄντας ὁμοτίμους τὸ ἀρχαῖον, ἀλλ᾽ ἐν τιμῆς αὐτοὺς μέρει
λήψεσθαι τὴν μετουσίαν τῆς πολιτείας, οὕτως εὑρόντες τε καὶ

1 αὐτοὺσ O 2 ἀνειπεῖν scripsi (item Wil.): ἂν εἰπεῖν O 3 οὕτω DU τε om. U 5 τῆς μὲν] πολιτείας praefigit Ald.; at πόλεως supplendum e πολίτας τῆσ στρατείασ S¹ 7 πάντασ D 10 ἅπασαν T, at oppositum v. 11 ἰδίᾳ δὲ ἑκάστῃ 12 αὐτῆσ O 14 γε Junt.: τε O 15 εὕρεσθε Junt. 19 ὁπόσας Ald. (ut νίκας inter νικηφόρους et νικᾶν suppleatur): ὁπόσοισ SUT, ὁπόσουσ D τύχοι D 20 μὴ om. S¹ μάλιστα ἐπιτηδειοτάτους] cf. Schmid p. 45 et vol. III p. 61 22 φιλοκρινήσαντεσ T¹ 23 τὸ κοινὸν τῶν ἀρχόντων seclusi ut glossema interpolatoris, qui delectum a collegio magistratuum habitum esse significare voluit; subiectum est ὑμεῖς (cf. ἠγάγετε, ἀπενείματε p. 114, l. 2); τὸ κοινὸν τῶν ἀρχομένων ci. dubitanter Wil. οὐ χωρὶς κτἑ.] nec sine illo civitatis Romanae privilegio (p. 112, 27) neque ea condicione, ut invideant illis, qui domi manent, quod pares illis honores propter originem non habeant, sed ea condicione, ut secundum suum quisque honorum gradum dignus habeatur, qui in republica partes gerat οὐδ᾽ ὥστε UT: οὐδὲ SD 24 ἕξειν scripsi (cf. λήψεσθαι v. 26): ἐξεῖναι O 25 ὄντας ὁμοτίμους scripsi: ὄντεσ ὁμότιμοι SD, οὖσιν ὁμοτίμοισ UT, (ad corruptum ἐξεῖναι, sc. αὐτοῖς, correcti) τὸ ἀρχαῖον om. U¹ αὐτοὺσ UT: αὐτοὶ SD

διαθέντες αὐτοὺς ἠγάγετε ἐπὶ τὰ πέρατα τῆς ἀρχῆς, κἀνταῦθα
79 διαστήσαντες ἄλλοις ἄλλα φυλάττειν ἀπενείματε. Τοιγαροῦν 219 J
καὶ ὑπὲρ τῶν τειχῶν ἐβουλεύσασθέ τε καὶ ἐπενοήσατε· νῦν γὰρ
ἄξιον εἰπεῖν. οὔτε γὰρ κατὰ τὴν Λακεδαιμονίων αὐθάδειαν ἀτεί-
χιστον ἂν προσείποις τήνδε τὴν πόλιν οὔτ᾽ αὖ τειχήρη κατὰ τὴν
Βαβυλῶνος λαμπρότητα, ἢ εἴ τις ἄλλη σεμνότερον ἐτειχίσθη πρό- 355 D
τερον ἢ ὕστερον, ἀλλὰ καὶ τοῦτον τὸν τειχισμὸν παιδιὰν καὶ γυ-
80 ναικὸς ὡς ἀληθῶς ἔργον ἀπεφήνατε. αὐτῇ μὲν γὰρ τῇ πόλει περι-
βαλεῖν τὰ τείχη, οἷον ἀποκρύπτοντες αὐτὴν ἢ φεύγοντες τοὺς ὑπ-
ηκόους, ἀγεννές τε εἶναι καὶ οὐ πρὸς τῆς ἄλλης διανοίας ἐνομίσατε,
οἷον εἴ τις δεσπότης δεικνύοιτο τοὺς ἑαυτοῦ δούλους φοβούμενος.
τειχῶν γε μὴν οὐκ ἠμελήσατε, ταῦτα δὲ τῇ ἀρχῇ περιεβάλετε,
οὐ τῇ πόλει· καὶ ἐστήσατε ὡς πορρωτάτω λαμπρά τε καὶ ὑμῶν
ἄξια, ὁρατὰ τοῖς εἴσω τοῦ κύκλου, ἡ δὲ πορεία ἐπ᾽ αὐτά, εἴ
τις βούλοιτο ἰδεῖν, μηνῶν τε καὶ ἐνιαυτῶν ἀρξαμένῳ βαδίζειν ἀπὸ
81 τῆς πόλεως. ὑπὲρ γὰρ τὸν ἐξωτάτω κύκλον τῆς οἰκουμένης ἀτε-
χνῶς οἷον ἐν τειχισμῷ πόλεως δεύτερον ἀγαγόντες ἕτερον εὐκαμ-
πέστερόν τε καὶ εὐφυλακτότερον, ἐνταῦθα τείχη τε προὐβάλεσθε
καὶ πόλεις ἐφορίας ἐδείμασθε, ἄλλας ἐν ἄλλοις μέρεσι πληρώ-
σαντες οἰκητόρων, τέχνας τε ὑπουργοὺς δόντες αὐτοῖς καὶ τἄλλα
82 κοσμήσαντες. ὥσπερ δὲ τάφρος κύκλῳ περιείργει στρατόπεδον, 356 D
ὥστε οὐ[δὲ] δέκα παρασάγγαι λογιζομένῳ τοῦ περιβόλου τούτου
τὸ περίμετρον, οὐδ᾽ εἴκοσιν, οὐδ᾽ ὀλίγῳ πλείους, οὐδ᾽ εἴποις ἂν
εὐθὺς ὁπόσον, ἀλλ᾽ ὅσον Αἰθιοπίας τὸ ἐποικούμενον καὶ Φᾶσις
ἐνθένδε καὶ Εὐφράτης ἄνω καὶ πρὸς ἑσπέραν ἡ μεγάλη τελευταία
νῆσος ἐντὸς ἀποκλῄουσιν, τοῦτο πᾶν ἔξεστι κύκλον καὶ περίβολον
83 τῶν τειχῶν εἰπεῖν. τὰ δὲ οὐκ ἀσφάλτῳ οὐδὲ πλίνθῳ ὀπτῇ δέ-
δμηται οὐδὲ κόνει στιλπνὰ ἕστηκεν, ἀλλ᾽ ἔστι μὲν καὶ ταῦτα ⟨τὰ⟩
νομιζόμενα ἐφ᾽ ἑκάστων τῶν τόπων καὶ μάλα πολλά, καὶ τοῖς
λίθοις, ὥσπερ Ὅμηρος ἔφη (Π 212) τὸν κατ᾽ οἰκίαν τοῖχον, ⟨πυ-

2 ἄλλα/ S 4 τὴν τῶν λακεδαιμονίων U κατὰ — αὐθάδειαν] cf. p. 50, 34; 89, 23 5 τὴν πόλιν τήνδε T, corr. superscriptis β et α fort. T[1] 9 τὰ abesse mavult Rsk.[2] 11 τις] τι S[1]; τις displicet 14 ὁρατὰ] lacunam subesse iudico: e. g. ὁρατὰ τοῖς ⟨μὲν ἔξω καὶ μάλ᾽ ἐγγύθεν, ὁρατὰ δὲ καὶ τοῖς⟩ εἴσω τοῦ κύκλου; pro ὁρατὰ ci. ἀόρατα Rsk.[2] 19 ἐφορίας scripsi: ἐφορειασ O; ἐφορίους Rsk. 21 τάφοσ U 22 οὐ Rsk.[2]: οὐδὲ O παρασάγγαι / S λογιζομένω (ου superscr.) U pr. m., λογιζομένου (ω superscr.) S, ω add. S[2]: λογιζομένου DT 25 ἐνθένδε] digito septentriones monstrat μεγάλη καὶ τελευταία DUS[2] 26 ἀποκλείουσι(ν) O, at cf. p. 124, 10 (109, 28) 28 τὰ addidi; ‘sed habetis haec quoque, quae usitata sunt’ 29 καὶ τοῖσ UT: τὸ καὶ τοῖσ SD (in hoc τὸ, ut videtur, postea additum) 30 τὸν] τὴν D πυκνῶς addidi, cf. Hom. l. c.

220 J κνῶς⟩ ἅμα καὶ ἀκριβῶς ἡρμοσμένα ἄπειρά τε μεγέθει καὶ λάμποντα
χαλκοῦ στιλπνότερον. ὁ δὲ δὴ πολὺ μείζων καὶ σεμνότερος κύκλος 84
πάντῃ παντάπασιν ἀρραγὴς καὶ ἄλυτος πολὺ πάντας ὑπερλάμπων
καὶ οὐδεὶς τῶν πώποτε οὕτω παγείς, τούτων τῶν τειχῶν προ-
ασπίζουσιν ἄνδρες φυγὴν οὐ νομίζοντες, ἡρμοσμένοι πρὸς ἀλλήλους
ἐκείνῃ τῇ ἁρμονίᾳ, ᾗ τοὺς Μυρμιδόνας Ὅμηρός φησι (Π 215),
πρὸς ὃν εἶπον τοῖχον τότε εἰκάζων, πᾶσι τοῖς ὀργάνοις τοῦ
πολέμου· συνεχῆ μὲν οὕτως ἀλλήλοις τὰ κράνη ὡς μὴ εἶναι
μέσον ὀϊστὸν διεξελθεῖν, ἀσπίδες δὲ ὑπὲρ κεφαλῆς ἐξαρθεῖσαι
μετεώρους ἂν δέχοιντο δρόμους, τοσούτῳ στερροτέρους τῶν κατ'
357 D ἄστυ ποιητῶν ὥστε καὶ ἱππεῦσιν ἔξεστιν ἐπιθεῖν, καὶ τοῦτο δὴ
τὸ Εὐριπίδου (Phoen. 110), κατάχαλκον ὁρᾷν πεδίον τότε φήσεις
ἀληθῶς. θώρακες δὲ οὕτως ἀλλήλων ἔχονται ὥστε, εἰ καὶ γυμνὸν
τάξαις τὸν μέσον, ἀρκεῖν αὐτῷ τὰ ἑκατέρωθεν ἀπαντῆσαι μέχρι
τοῦ μέσου· οἱ δὲ ἄκοντες οἷον ἐκ Διὸς περιπίπτοντες ἀλλήλους
ἐγκαταλαμβάνουσιν· τοιᾷδε ἄρ' ἁρμονίᾳ συγκέκληνται † ὅ τε τῶν
διεξόδων κύκλος τειχῶν τε καὶ ὁ τῆς πάσης ἔφορος γῆς †. πάλαι 85
μὲν οὖν Δαρεῖος μετ' Ἀρταφέρνου καὶ Δάτιδος νήσου μιᾶς μίαν
πόλιν ἠδυνήθη σαγηνεύσας ἑλεῖν, ὑμεῖς δ' ἅπασαν, εἰ οἷόν τε εἰ-
πεῖν, σαγηνεύσαντες τὴν οἰκουμένην οὕτως σῴζετε τοῖς κοινῇ [αὐ-
τῆς] πολίταις τε καὶ ξένοις, οὕς, ὥσπερ ἔφην (§ 74 sqq.), ἐξ ἁπάν-
των προκρίναντες ἐξηγάγετε, ἐλπίδας τε παραστήσαντες τοῖς γιγνο-
358 D μένοις ἀγαθοῖς ἀνδράσι μὴ μεταμελήσειν — οὐ γὰρ ἐξ εὐπατριδῶν

1 prius καὶ om. U μέγεθει S: μεγέθη DUT 2 ὁ δὲ δὴ — 4 παγείς] appositionem ad insequentia τούτων τῶν κτἑ. esse monuit Wil., qui punctum post παγείς sustulit 3 πάντασ T, πάντα (σ superscr.) U pr. m.: πάντα DS 5 νομίζοντες scripsi: νομίσαντες O 7 τοῦ UT: om. SD 9 διεξελθεῖν] praeter θεῖν in ras. U[2] 10 δέχοιντο U (S m. recentiss.), δέχοινται DS[2]: δέχονται S[1], δέχωνται T δρόμω S; moneo propter Rsk. hic 'ambulationes pensiles' (Plin. n. h. XXXVI 83) significari videri, quae equitibus sane destinatae non erant; cf. quae de testudine Arrian. tact. 11, 6 καὶ τὸ πᾶν οὕτως ἀκριβῶς φράσσεται, ὥστε καὶ ἀκοντιστὰς ἄνωθεν καθάπερ ἐπὶ στέγης διαθέοντας δέχεσθαι 13 καὶ om. S 15 οἷον ἐκ Διὸς] pluviae lineis comparat tela 16 τοιᾷδε ἄρ' ἁρμονίᾳ scripsi: τοιαίδε αἱ ἁρμονίαι SUT, τοιαίδε ἁρμονίαι D συγκέκλεινται O, cf. ad p. 114, 26 17 τε ferri nequit, διεξόδων satis obscurum, ἔφορος, ni Caesarem intellegere mavis, ἐφόριος (cf. p. 114, 19) esse debet, ad κύκλος referendum, denique sententia abrupta; verba lacunosa et interpolata; spuria potius ea dicit Wil. 19 ἐδυνήθη SDT σαγηνεύσασ — εἰπεῖν omissa add. S[2] mg. τ' U 20 σαγηνεύσαντες] Herodot. VI 31 οὕτω DU κοινῇ scripsi: κοινοῖσ O αὐτῆς seclusi: αὐτῆσ S (ci. Canter), αὐτὰσ DU[1]T[2], αὐτὰ T[1], αὐτὴν U[2]; voluit interpolator αὐτοῖς (ci. Ald.) pro κοινοῖς: τοῖς αὐτοῖς πολ. κ. ξέν.; 'per eos, qui simul cives et peregrini sunt'; sed haereo in dativo 21 ἅπαντοσ D 22 τε] respondet τε p. 116, 4 παραστήσ / ν | τοῖσ nunc S[1], corr. S[2]

*ἔσεσθαι τὸν ἀεὶ πρῶτον δυνάμενον καὶ δευτέρων τὸν δεύτερον καὶ
τὴν ἄλλην τάξιν ὡσαύτως, ⟨ἀλλ'⟩ ἧς ἂν ἕκαστος ἀξίας ᾖ, ταύτην
σχήσειν, ἅτε οὐ λόγων, ἀλλ' ἔργων ἐνταῦθα κρινόντων τοὺς ἀγα-
θούς —, παραδείγματά τε ἐμφανῆ πᾶσι τούτων ποιήσαντες, ὥστε
ἅπαντας ⟨τὴν⟩ μὲν ἀργίαν συμφορὰν ἡγεῖσθαι, τὰς δὲ πράξεις
ἀφορμὰς ὧν εὔχονται νομίζειν, καὶ κατὰ μὲν τῶν πολεμίων ὁμο-* 221 J
φρονεῖν, πρὸς δὲ ἀλλήλους ὑπὲρ τοῦ πρόσθεν ἀγωνίζεσθαι διὰ
86 *βίου, μόνους δὲ ἀνθρώπων εὔχεσθαι εὑρεῖν πολεμίους. ὥστε ὅταν
μέν τις εἰς τὴν ἄσκησίν τε καὶ σύνταξιν ἴδῃ τοῦ στρατιωτικοῦ,
τοῦτο δὴ νομιεῖ τὸ Ὁμηρικόν* (*Β* 372), *εἰ καὶ δέκα τόσοι εἶεν οἱ
ἀντίπαλοι, ταχέως ἂν αὐτοὺς περιστραφέντας ἄνδρα παρὰ ἕνα* †
*λειφθῆναι, ὅταν δὲ εἰς τὴν πλήρωσίν τε καὶ συλλογὴν αὐτοῦ βλέ-
ψῃ, τὸ τοῦ Αἰγυπτίου φήσει τε καὶ οἰήσεται, ὃς τῷ Καμβύσῃ* 859 D
*διαρπάζοντι τὰ ἐν τῇ χώρᾳ καὶ τὰ ἱερὰ πορθοῦντι στὰς ἐπὶ τῶν
τειχῶν τῶν Θηβαϊκῶν ἀνέτεινε γῆς τε βῶλον καὶ κύλικα ὕδατος
ἀπὸ τοῦ Νείλου, σύμβολον ποιούμενος ὅτι, ἕως ἂν Αἴγυπτον αὐ-
τὴν καὶ τὸν ποταμὸν Νεῖλον μετενεγκεῖν μὴ δύνηται μηδὲ ἀγαγεῖν
ἀνάρπαστον, οὔπω τὸν Αἰγυπτίων πλοῦτον εἴληφεν, ἀλλὰ ταχέως
αὐτοῖς ἄλλα τοσαῦτα γενήσεται τούτων μενόντων καὶ οὔποτε ἐπι-
λείψει πλοῦτος Αἴγυπτον, τοῦτο δὲ καὶ περὶ τοῦ ὑμετέρου στρα-
τιωτικοῦ νομίσαι τε καὶ εἰπεῖν ἔξεστιν, ὅτι, ἕως ἂν τὴν χώραν
αὐτὴν μὴ δύνωνταί τινες ἐξ ἕδρας ἀναστῆσαι μηδὲ κενώσαντες
οἴχεσθαι, ἀλλ' ἀνάγκη ᾖ μένειν αὐτὴν ἐφ' ἑαυτῆς τὴν οἰκουμένην,
ἀμήχανον ἐπιλείπειν ὑμᾶς πλήθη στρατιωτικά, ἀλλὰ τοσαῦτα ὁπόσα*
87 *βούλεσθε ὑπάρχειν ἀπὸ πάσης τῆς οὔσης ἀφικνούμενα. καὶ*

1 *δευτέρων* Rsk.²: *δεύτερον* O 2 *ἀλλ'* add. Rsk. *ἀξίας*] *ἄξιος* Canter, prob. Rsk., dubitat Rsk.²; ludit in *ἀξία* 3 *κρινόντων ἐνταῦθα* U 5 *τὴν* add. Rsk. 10 *νομιεῖ* Ald. (Junt.): *νομιεῖν* O *τὸ — εἶεν* om. S¹ lacuna c. xvi litterarum relicta 11 *ἐπιστραφέντας* Rsk.¹ 12 *λειφθῆναι* SDT: *ληφθῆναι* U; locum non extrico; fortasse: *αὐτοὺς* [*περιστραφέντας*] *ἄνδρα παρ' ἕνα* (ad unum usque) ⟨*περι*⟩*ληφθῆναι* 13 *τὸ τοῦ Αἰγυπτίου*] fabellam unus Aristides tradit, quod sciam (nec Wiedemann, Herodots 2. Buch p. 76 alterum eius testem novisse videtur); oratoris auctorem ignoro; ad Ctesiam, cum Aegyptiorum in gloriam historia conficta sit, non licet referre, neque adhibuit Ctesiam ipsum Aristides; at Thebas Aegypti a Cambyse captas cum memorat Diod. I 46, refert (*καὶ δή φασι τοὺς Πέρσας μετενεγκόντας τὴν εὐπορίαν ταύτην εἰς τὴν Ἀσίαν*) quae moveant coniecturam Diodori auctorem ad narratiunculam ab Aristide traditam alludere voluisse *καὶ οἰήσεται ὃσ τῶ* UTS² mg. (cf. v. 21 *νομίσαι*): *καὶ οἷσ αἴτιοσ τῶ* S¹D 15 *γῆς* scripsi: *τὴν* O 17 *Νεῖλον* delendum videtur 18 *τὸν* UTS²: *τῶν* S¹D 20 *δὲ*] *δὴ* Junt. *ὑμετέρου* DU: *ὑστέρου* T, *ἡμετέρου* S 21 *νομίσαι τε*] *νομίσητε* D 24 *ἐπιλείπειν* Rsk.: *ἐπιλιπεῖν* O (at medium *ι* in ras. S pr. m.) *ἀλλὰ*] ex *ἀμήχανον* supplenda notio positiva, ex qua *ὑπάρχειν* pendeat 25 *οὔσης*] sc. *οἰκουμένης*

μὴν εἴς γε τακτικῶν λόγον παῖδας ἅπαντας ἀνθρώπους ἀπεφήνατε. οὐ γὰρ πρὸς τοὺς πολεμίους ἀσκεῖν μόνον προὔθεσθε αὐτὰ τοῖς στρατιώταις τε καὶ ἡγεμόσιν, ἀλλὰ πρὸς αὐτοὺς πρῶτον· ὥστε καθ᾽ ἡμέραν ἑκάστην ἐν τάξει ζῆν καὶ μήποτε λιπεῖν μηδένα τὴν προστεταγμένην αὐτῷ, ἀλλ᾽ οἷον ἐν χορῷ τινι αἰωνίῳ ἕκαστον τὴν ἑαυτοῦ χώραν εἰδέναι τε καὶ σῴζειν, καὶ τῷ μὲν ἐντιμοτέρῳ
360 D τὸν ἥττω μὴ διὰ τοῦτο φθονεῖν, ὧν δ᾽ αὐτὸς μείζων ἐστὶν ἀκριβῶς κρατεῖν. ἄχθομαι δ᾽ ἔγωγε ἑτέρους φθάσαντας εἰπεῖν (Thuc. 88
V 66, 4) ἐπὶ Λακεδαιμονίων, ὅτι ἄρα πλὴν ὀλίγων τὸ στρατόπεδον αὐτοῖς ἄρχοντες ἀρχόντων εἰσίν· ὑμῖν γὰρ ἥρμοττε τετηρῆσθαι
222 J καὶ ἐφ᾽ ὑμῶν πρῶτον εἰρῆσθαι, ὃ δὲ πρότερον τοῦ δέοντος προεξήνεγκεν αὐτό. ἀλλ᾽ οὖν τό γε Λακεδαιμονίων στρατόπεδον κινδυνεύει τοσούτων εἶναι, ὅσους οὐδὲν ἀπεικὸς καὶ πάντας ἄρχοντας εἶναι· τὸ δ᾽ ἐν τοσούτοις ἀριθμοῖς καταλόγων τε καὶ γενῶν, ὧν οὐδὲ τὰ ὀνόματα ἐξευρεῖν ῥᾴδιον, ἀρξαμένους ἀπὸ ἑνὸς τοῦ διὰ πάντων διεξιόντος τε καὶ πάντα ἐφορῶντος, ἔθνη, πόλεις, στρατόπεδα, ἡγεμόνας αὐτούς, τελευτᾶν εἰς ἕνα τεττάρων καὶ δυεῖν ἄρχοντα ἀνδρῶν — τὸ δ᾽ ἐν μέσῳ πᾶν ἐξελίπομεν —, καὶ ὥσπερ νήματος περιστροφὴν ἐκ τῶν πλειόνων εἰς τοὺς ἐλάττους ἀεὶ κατιέναι, καὶ οὕτω διήκειν ἄλλους ἐπ᾽ ἄλλοις ἀεὶ ταττομένους μέχρι τῆς τελευτῆς, πῶς οὐχ ὑπὲρ πᾶσαν ἀνθρωπίνην τάξιν ἐστίν; ἐπέρ- 89
χεταί μοι τὸ Ὁμηρικὸν εἰπεῖν, μικρὸν ἐπὶ τῆς τελευτῆς ὑπαλλάξαντι,

Ζηνός που τοιήδε γ᾽ Ὀλυμπίου ἔνδοθεν ἀρχή·

ὅταν γὰρ ἄρχῃ μὲν εἷς τοσούτων, οἱ δὲ ἐπ᾽ αὐτῷ διάκονοί τε καὶ πρέσβεις αὐτοῦ μὲν πολὺ χείρους, ὧν δὲ ἐπιμέλονται πολὺ βελτίους, πάντα δ᾽ ἄνευ θορύβου καὶ ταραχῆς σιωπῇ περαίνωσιν, φθόνος δ᾽ ἐκποδὼν ᾖ, δίκης δὲ καὶ αἰδοῦς πάντα πανταχοῦ μεστά, καρπὸς δὲ ἀρετῆς μηδένα ἐκφεύγῃ, πῶς οὐχὶ νικᾷ τόδε τὸ ἔπος;

---

1 γε DS²: τε UT(S¹?) τακτικὸν D ἀπεφήνατε ἀνθρώπουσ D 4 ἕκαστον D 9 ὀλίγον S¹ 11 πρώτων ci. Rsk.² 12 γε] μὲν mavult Rsk. 13 τοσούτων T, τοσούτων (ουσ superscr.) U pr. m.: τοσούτουσ SD 14 sqq. iunge τὸ — ἀρξαμένους — ἡγεμόνας — τελευτᾶν — κατιέναι — διήκειν —, πῶς οὐχ — ἐστίν; 16. 17 στρατόπεδα UT: στρατεύματα SD 17 δυεῖν scripsi (δυοῖν Baroc. 136): δεινῶν O (natum, postquam δυεῖν in δεῖν abiit); cf. p. 118, 4; 119, 10 18 καὶ DU: om. ST 19 περιστροφὴν] hac addita voce orator imaginem aliquatenus corrupit: περιστρέφειν est 'filum pollice deducere', contra 'filum ducere', quod sententiae unicum convenit, κατάγειν, sicut statim κατιέναι subiunctum (cf. Blümner, Technolog. I 112 sqq.) 20 οὕτω sic O 22 ὑπαλλάξαντι] ἀρχή pro αὐλή; Hom. δ 74 24 τοιήδε γ᾽ S, τοίη δ᾽ ἐγ᾽ D: ἥδε γ᾽ UT 26 πολὺ ex πολλοῦ, ut videtur, corr. S¹ 28 δὲ] τὲ T 29 οὐχὶ] οὐ T νικᾷ in ras. S²

90 Δοκεῖ⟨τε⟩ δ' ἔμοιγε οὐδ' ἐν αὐτῇ τῇ πόλει πολιτείαν παρα-
πλησίως τισὶ τῶν ἄλλων ἀνθρώπων καταστήσασθαι. πρότερον 361 D
μὲν γὰρ ἐδόκουν τρεῖς εἶναι κατ' ἀνθρώπους πολιτεῖαι, δύο μὲν
ἐν δυεῖν ὀνόμασιν, ἑκατέρα παρὰ τοὺς τῶν ἐχόντων τρόπους θεω-
ρουμένη, τυραννὶς καὶ ὀλιγαρχία, βασιλεία καὶ ἀριστοκρατία, τρίτον
δὲ ὄνομα δημοκρατία, εὖ τε καὶ χεῖρον ἀγομένη. διειλήφεσαν οὖν
αἱ πόλεις ὡς ἑκάστοις αἵρεσις ἢ τύχη νικήσειεν· τὸ δ' ὑμέτερον
οὐδὲν ὁμοίως ἔχει, ἀλλ' οἱονεὶ κρᾶσις ἁπασῶν τῶν πολιτειῶν, ἄνευ
γε τῆς ἐφ' ἑκάστῃ χείρονος· οὕτω καὶ ⟨τὸ⟩ τοιοῦτον εἶδος πολι-
τείας νενίκηκεν. ὥστε ὅταν μὲν εἰς τὴν τοῦ δήμου τις ἰσχὺν βλέ-
ψῃ, καὶ ὡς ἁπάντων ὧν ἂν βουληθῇ τε καὶ αἰτήσῃ ῥᾳδίως τυγ-
χάνει, δημοκρατίαν νομιεῖ καὶ οὐδὲν ἐνδεῖν πλὴν ὧν ἐξαμαρτάνει 228 J
δῆμος· ὅταν δὲ εἰς τὴν γερουσίαν ἴδῃ τὴν βουλευομένην τε καὶ τὰς
ἀρχὰς ἔχουσαν, ἀριστοκρατίαν οὐκ εἶναι ταύτης ἀκριβεστέραν νο-
μιεῖ· εἰς δὲ τὸν πάντων τούτων ἔφορόν τε καὶ πρύτανιν βλέψας,
παρ' οὗ τῷ τε δήμῳ τὸ τυγχάνειν ὧν βούλεται καὶ τοῖς ὀλίγοις
τὸ ἄρχειν καὶ δύνασθαι, τοῦτον ἐκεῖνον ὁρᾷ, τὸν τὴν τελεωτάτην
ἔχοντα μοναρχίαν, τυράννου τε κακῶν ἄμοιρον καὶ βασιλέως σε-
91 μνότητος μείζονα. καὶ ταῦτ' οὐδὲν ἀπεικὸς οὕτω διελέσθαι καὶ
κατιδεῖν μόνους ὑμᾶς καὶ περὶ τῶν ἔξω καὶ περὶ τῶν ἐν αὐτῇ τῇ
πόλει· μόνοι γάρ ἐστε ὑμεῖς ἄρχοντες ὡς εἰπεῖν κατὰ φύσιν. οἱ 362 D
μὲν γὰρ ἄλλοι οἱ πρὸ ὑμῶν δυναστεύσαντες δεσπόται καὶ δοῦλοι
ἀλλήλων ἐν τῷ μέρει γιγνόμενοι καὶ νόθοι τῆς ἀρχῆς ὄντες οὕτω
διεξῆλθον, ὥσπερ ἐν σφαίρᾳ τὴν τάξιν μεταλαμβάνοντες, καὶ ἐδού-
λευσαν Μακεδόνες Πέρσαις, Πέρσαι Μήδοις, Μῆδοι Σύροις· ὑμᾶς
δὲ ἐκ τοσούτου πάντες ἴσασιν, ἐξ ὅτου περ ἴσασιν, ἄρχοντας. ἅτ'
οὖν ἐξ ἀρχῆς ὄντες ἐλεύθεροι καὶ οἷον ἐπὶ τὸ ἄρχειν εὐθὺς γενό-
μενοι, πάντα τὰ πρὸς τοῦτο φέροντα καλῶς ἐξηρτύσασθε, καὶ
πολιτείαν γε εὕρετε ἣν οὔπω πρόσθεν οὐδεὶς καὶ θεσμοὺς καὶ
τάξεις ἀφύκτους ἅπασιν ἐπεστήσατε.
92 Ὃ δὲ ἐκ πολλοῦ μὲν ὕπεισί με καὶ πολλάκις ὤχληκε πρὸς

TESTIMONIVM 6 sqq. resp. Menand. epid. p. 195 W. (p. 360 Sp.)

1 δοκεῖτε Rsk.[2]: δοκεῖ O   3 τρεῖς — πολιτεῖαι] eadem vel similia de Atheniensium rebus disputavit in Panath. I 314, 11 sqq. et 315, 12 sqq. (κατὰ τὴν κρᾶσιν τῶν πολιτειῶν) Ddf.; praeierunt Isocr. IX 46, Plat. legg. IV 712 D, quanquam de aliorum rebus dicentes   4 δυοῖν UT, cf. p. 119, 10   ὀνόμασι T   6 δὲ D δ' U[1] a. ras. S[2]: om. S[1]TU[1] post ras.   7 ἑκάστοισ DS, at οι in ras. S[2]: ἑκάστησ UT   8 ad κρᾶσις aegre careo verbo (ἐστιν vel γεγένηται)   9 τὸ add. Wil.   15 τὸν] τῶν T   17 ὁρᾶν D a. ras.   20 καὶ περὶ τῶν ἔξω omissa add. S[2] mg.   23 νόθοι τῆς ἀρχῆς] cf. Panath. I 156, 8 Ddf.   28 ἐξηρτίσασθε SD   29 γε] τε ci. Rsk.   31 με UTS[2]: μοι S[1]D

*αὐτοῖς τοῖς χείλεσι γιγνόμενον, παρενήνεκται δὲ ὑπὸ τοῦ λόγου
δεῦρο ἀεί, τοῦτο νῦν εἰπὼν οὐκ ἂν ἴσως ἀπὸ καιροῦ πέσοιμι.
ὅσον ⟨μὲν⟩ γὰρ μεγέθει τῆς ἁπάσης ἀρχῆς [ἐγκρατείᾳ] καὶ πολι-
τείας ἐπινοίᾳ πάντας ὑπερβάλλεσθε, ἔστιν ἐν τοῖς εἰρημένοις· νῦν
δέ μοι δοκεῖ κἀκεῖνό τις εἰπὼν οὐκ ἂν ἁμαρτεῖν, ὅτι οἱ μὲν ἄνω
πάντες καὶ οἱ ἐπὶ πλεῖστον γῆς ἄρξαντες ὥσπερ σωμάτων γυμνῶν
αὐτῶν τῶν ἐθνῶν ἦρξαν . . . . . πότε γὰρ πόλεις τοσαῦται κατ'* 93
ἤπειρον καὶ κατὰ θάλατταν, ἢ πότε οὕτω διὰ πάντων ἐκοσμή-
363 D *θησαν; ἢ τίς πω οὕτω τῶν τότε διεξήλασεν, ἐπαριθμῶν ταῖς*
224 J *ἡμέραις τὰς πόλεις, ἔστι δὲ ὅτε τῆς αὐτῆς καὶ διὰ δυεῖν καὶ τριῶν
ἐξελαύνων ὥσπερ στενωπῶν; ὥστ' οὐ μόνον τῷ κεφαλαίῳ τῆς
ἀρχῆς ἡττῶνται τοσοῦτον οἱ πρότεροι, ἀλλὰ καὶ ὧν τῶν αὐτῶν
ἦρξαν ὑμῖν, οὐκ ἴσων ἑκάστων οὐδὲ ὁμοίων ἦρξαν, ἀλλ' ἔνεστι τῷ
τότε ἔθνει πόλιν ἀντιστῆσαι τὴν ἐν αὐτῷ νῦν. καὶ δὴ καὶ φαίη
τις ἂν ἐκείνους μὲν οἷον ἐρημίας καὶ φρουρίων βασιλεῖς γεγονέναι,
ὑμᾶς δὲ πόλεων ἄρχοντας μόνους. νῦν ἅπασαι μὲν αἱ Ἑλληνι-* 94
*καὶ πόλεις ἐφ' ὑμῶν ἀνέχουσι καὶ τὰ ἐν αὐταῖς ἀναθήματα καὶ
τέχναι καὶ κόσμοι πάντες ὑμῖν ἔχουσι φιλοτιμίαν, ὥσπερ ἐν προ-
αστίῳ κόσμος· ἐκπεπλήρωνται δὲ ἀκταί τε παράλιοι καὶ μεσό-
γειαι πόλεσι, ταῖς μὲν οἰκισθείσαις, ταῖς δὲ αὐξηθείσαις ἐφ'
ὑμῶν τε καὶ ὑφ' ὑμῶν. Ἰωνία δὲ ἡ περιμάχητος ἐλευθερωθεῖσα* 95
*φρουρῶν καὶ σατραπῶν πρόκειται πᾶσι κάλλους ἡγεμών, ὅσον
πρόσθεν ἐδόκει τῶν ἄλλων ὑπεραίρειν γενῶν χάριτι καὶ κόσμῳ,
τοσοῦτον νῦν ἐπιδεδωκυῖα αὐτὴ παρ' αὐτήν. ἡ δὲ σεμνὴ καὶ με-
γάλη κατ' Αἴγυπτον Ἀλεξάνδρου πόλις ἐγκαλλώπισμα τῆς ὑμε-
τέρας γέγονεν ἡγεμονίας, ὥσπερ γυναικὸς πλουσίας ὅρμος ἢ ψέ-
λιον ἐν πολλοῖς τοῖς ἄλλοις κτήμασι. διατελεῖτε δὲ τῶν μὲν Ἑλ-* 96
*λήνων ὥσπερ τροφέων ἐπιμελόμενοι, χεῖρά τε ὑπερέχοντες καὶ
οἷον κειμένους ἀνιστάντες, τοὺς μὲν ἀρίστους καὶ πάλαι ἡγεμόνας*

---

3 *μὲν* add. Rsk.² *ἐγκρατείᾳ* seclusi; cf. p. 109, 30 4 *ὑπερβάλλεσθε* Rsk.: *ὑπερβαλέσθαι* S¹DT, *ὑπερεβάλεσθε* US² 7 lacunam indicavit Rsk.; sententia fuerit: *⟨ἐφ' ὑμῶν δὲ καὶ οἱ πρότερον ἀπόλιδες πολιτικῷ χρώμενοι κόσμῳ ὑπῆρξαν⟩* 8 *καὶ* omissum add. S² 10 *ἡμέραις*] *ἡμετέραισ* D *δ'* UT *τῆς αὐτῆς*] sc. *ἡμέρας* *καὶ* sic O *δυοῖν* U 14 *τὴν*] *τῶν* mavult Rsk.² 16 *πόλεων* DUS²T m. recentiss., ut vid., mg.: *πόλεωσ* T¹, *πόλεω/* nunc S¹ *νῦν ⟨γὰρ⟩ ἅπασαι* Rsk.², ut ad sententiam probabile, ita artem oratoris pessumdans *αἱ* SU: om. DT 18. 19 *προαστείῳ* O; de imagine cf. Panath. I 156, 1 Ddf. (et or. XVII § 14) 19. 20 *μεσόγειαι* scripsi: *μεσόγειοι* O 24 *τοσοῦτον* UT, *τοσοῦτο* S: *τοσούτω* D *παρ' αὐτὴν* O 25 *ἐγκαλλώπισμα — ψέλιον*] cf. or. XIX § 1 et 4 26. 27 *ψέλιον* Ddf.: *ψέλλιον* O *ὥσπερ τινων τροφέων* Ald. 29 *τοὺς μὲν ἀρίστους*] Athenienses, Lacedaemonios, Rhodios dicit

ἐλευθέρους καὶ αὐτονόμους ἀφιέντες αὐτῶν, τῶν δ' ἄλλων μετρίως 364 D
καὶ κατὰ πολλὴν φειδώ τε καὶ πρόνοιαν ἐξηγούμενοι, τοὺς δὲ
βαρβάρους πρὸς τὴν ἑκάστοις αὐτῶν οὖσαν φύσιν παιδεύοντες
πρᾳότερόν τε καὶ σφοδρότερον, ὥσπερ εἰκὸς ἵππων ἐπιστατῶν
μὴ εἶναι χείρους, ἀνδρῶν ὄντας ἄρχοντας, ἀλλ' ἐξητακέναι τὰς
97 *φύσεις καὶ πρὸς ταύτας ἄγειν. καὶ γὰρ ὥσπερ πανηγυρίζουσα*
πᾶσα ἡ οἰκουμένη τὸ μὲν παλαιὸν φόρημα, τὸν σίδηρον, κατέθετο,
εἰς δὲ κόσμον καὶ πάσας εὐφροσύνας τέτραπται σὺν ἐξουσίᾳ. καὶ
αἱ μὲν ἄλλαι πᾶσαι φιλονικίαι τὰς πόλεις ἐπιλελοίπασιν, μία
δὲ αὕτη κατέχει πάσας ἔρις, ὅπως ὅτι καλλίστη καὶ ἡδίστη αὐτὴ 225 J
ἑκάστη φανεῖται. πάντα δὲ μεστὰ γυμνασίων, κρηνῶν, προπυ-
λαίων, νεῶν, δημιουργιῶν, διδασκαλείων, ἐπιστημόνως τε ἔξεστιν
98 *εἰπεῖν οἷον πεπονηκυῖαν ἐξ ἀρχῆς ἀνακεκομίσθαι τὴν οἰκουμένην·*
δωρεαὶ δ' οὔποτε λείπουσιν εἰς ταύτας παρ' ὑμῶν ἰοῦσαι, οὐδ' 365 D
ἔστιν εὑρεῖν τοὺς μειζόνων τετυχηκότας διὰ τὴν ὁμοίαν εἰς ἅπαν-
99 *τας ὑμῶν φιλανθρωπίαν. πόλεις τε οὖν δή που λάμπουσιν αἴ-*
γλῃ καὶ χάριτι καὶ ἡ γῆ πᾶσα οἷον παράδεισος συγκεκόσμηται·
καπνοὶ δ' ἐκ πεδίων καὶ φρυκτοὶ φίλιοι καὶ πολέμιοι, οἷον πνεύ-
ματος ἐκριπίσαντος, φροῦδοι, γῆς ἐπέκεινα καὶ θαλάττης· ἀντεισ-
ῆκται δὲ θέας πᾶσα χάρις καὶ ἀγώνων ἄπειρος ἀριθμός. ὥστε
οἷον πῦρ ἱερὸν καὶ ἄσβεστον οὐ διαλείπει τὸ πανηγυρίζειν, ἀλλὰ
περίεισιν ἄλλοτε εἰς ἄλλους, ἀεὶ δέ ἐστι πού· πάντες γὰρ ἀξίως
τούτου πεπράγασιν· ὥστε μόνους ἄξιον εἶναι κατοικτεῖραι τοὺς
ἔξω τῆς ὑμετέρας, εἴ τινές πού εἰσιν ἄρα, ἡγεμονίας, οἵων ἀγαθῶν
100 *στέρονται. καὶ μὴν τό γε ὑπὸ πάντων λεγόμενον, ὅτι γῆ πάν-*

---

1 *ἀφιέντεσ* SD: *ἀφεικότεσ* UT *αὐτῶν*] *αὐτοὶ* Rsk.[2], speciose 3 *ἑκά-στοις*] *οι* in ras. T[2] 5 *ὄντεσ ἄρχοντεσ* D a. corr., solum posterius -*τεσ* corr. D[1] 7 *φόρημα*] *φρόνημα* U; ceterum cf. Thuc. I 6 *ἐσιδηροφόρει* et *τόν τε σί-δηρον κατέθεντο* 9 *φιλονεικίαι* O *τὰς πολεις* scripsi: *τὰσ πράξεισ* O; restituendum erat, ad quod *πάσας* et *αὐτὴ ἑκάστη* referrentur; ⟨*εἰς*⟩ *τὰς πράξεις* Rsk.[2] 10 *ὅτι* Junt.: *ἔτι* O; *ἔτι, ὅπως* traiecit Rsk.; sophista laude hic tegere studet, quam postea, e. g. or. XXIII, castigaturus erat pravam urbium ambitionem (cf. ad p. 52, 8) *αὐτὴ* D, *ἀυτὴ* U[2] cum ras. super *υ*, *ἁυτὴ* S cum ras. super *υ*, *αὕτη* T 12 *νεῶν*] templorum; forma apud atticistam notatu digna (errat igitur Schmid vol. I p. 227) *διδασκαλείων* scripsi: *διδασκάλων* O *ἐπιστημόνως — εἰπεῖν*] 'ut verbis (sc. *πονεῖν* et *ἀνακομίζεσθαι*) e medicorum scientia petitis utar' 13 *ἀνακεκομίσθαι* DUS[2]: *ἀνακομίσθαι* S[1], *ἀνακοσμεῖσθαι* T 14 *ἰοῦσαι*] *οὖσαι* D 15 *εὑρεῖν* SDU: *εὑρεῖν εἰπεῖν* T 17 *συγκεκόσμηται* Wil.: *ἐγκεκό-σμηται* O 18 *φίλιοι* ⟨*τε*⟩ *καὶ* Rsk.; ad *φρυκτοὶ* cf. p. 35, 30 *καὶ πολέμιοι* om. D 19 *ἀντεισῆκται*] cf. p. 19, 23 21 *οἷον πῦρ* Rsk.: *ὅλον πῦρ* ST *πῦρ ὅλον* U, corr. superscr. *β* et *α* pr. m., *ὃν πῦρ* D 25 *καὶ μὴν κτέ.*] cf. or. XXVII § 32

των μήτηρ καὶ πατρὶς κοινὴ πάντων, ἄριστα ὑμεῖς ἀπεδείξατε.
νῦν γοῦν ἔξεστι καὶ Ἕλληνι καὶ βαρβάρῳ καὶ τὰ αὑτοῦ κομίζοντι
καὶ χωρὶς τῶν αὑτοῦ [αὐτοῦ] βαδίζειν ὅποι βούλεται ῥᾳδίως,
ἀτεχνῶς ὡς ἐκ πατρίδος εἰς πατρίδα ἰόντι· καὶ οὔτε Πύλαι Κι-
λίκιοι φόβον παρέχουσιν οὔτε στεναὶ καὶ ψαμμώδεις δι' Ἀρά-
βων ἐπ' Αἴγυπτον πάροδοι, οὐκ ὄρη δύσβατα, οὐ ποταμῶν ἄπειρα
μεγέθη, οὐ γένη βαρβάρων ἄμικτα, ἀλλ' εἰς ἀσφάλειαν ἐξαρκεῖ
Ῥωμαῖον εἶναι, μᾶλλον δὲ ἕνα τῶν ὑφ' ὑμῖν. καὶ τὸ Ὁμήρῳ λεχθὲν 101
'γαῖα δέ τοι ξυνὴ πάντων' (Ο 193) ὑμεῖς ἔργῳ ἐποιήσατε, κατα-
μετρήσαντες μὲν πᾶσαν τὴν οἰκουμένην, ζεύξαντες δὲ παντοδαπαῖς
366 D γεφύραις ποταμούς, καὶ ὄρη κόψαντες ἱππήλατον γῆν εἶναι, σταθ-
μοῖς τε τὰ ἔρημα ἀναπλήσαντες καὶ διαίτῃ καὶ τάξει πάντα ἡμερώ-
226 J σαντες. ὥστ' ἔγωγε τὸν νομιζόμενον πρὸ Τριπτολέμου βίον τοῦτον
εἶναι τὸν πρὸ ὑμῶν ἐπινοῶ, σκληρόν τινα καὶ ἄγροικον καὶ ὀρείου
διαίτης ὀλίγον ἀποκεχωρηκότα, ⟨ἀλλ . . . .⟩ ἀλλ' ἄρξαι μὲν τοῦ
ἡμέρου τε καὶ τοῦ νῦν τὴν Ἀθηναίων πόλιν, βεβαιωθῆναι δὲ καὶ
τοῦτο ὑφ' ὑμῶν δευτέρων, φασίν, ἀμεινόνων. οὐδέ γε δεῖ νῦν 102
περιήγησιν γῆς γράφειν οὐδ' οἷς ἕκαστοι χρῶνται νόμοις ἀπαριθ-
μεῖν, ἀλλ' ὑμεῖς ἅπασιν περιηγηταὶ κοινοὶ γεγόνατε, ἀναπετά-
σαντες ἁπάσας τῆς οἰκουμένης τὰς πύλας καὶ παρασχόντες ἐξου-
σίαν αὐτόπτας πάντων τοὺς θέλοντας γίγνεσθαι, νόμους τε κοι-
νοὺς ἅπασι τάξαντες καὶ τὰ πρόσθεν λόγου μὲν διηγήσει τέρποντα,
λογισμῷ δὲ εἰ λαμβάνοι τις, ἀφόρητα παύσαντες, γάμους τε κοινοὺς
ποιήσαντες καὶ συντάξαντες ὥσπερ ἕνα οἶκον ἅπασαν τὴν οἰκου-
μένην. ἀτεχνῶς δέ, ὥσπερ οἱ ποιηταὶ λέγουσιν, πρὸ τῆς Διὸς 103
367 D ἀρχῆς ἅπαντα στάσεως καὶ θορύβου καὶ ἀταξίας εἶναι μεστά,
ἐλθόντος δὲ ἐπὶ τὴν ἀρχὴν Διὸς πάντα δὴ καταστῆναι, καὶ τοὺς
Τιτᾶνας εἰς τοὺς κατωτάτους μυχοὺς τῆς γῆς ἀπελθεῖν, συνωσθέν-
τας ὑπ' αὐτοῦ τε καὶ τῶν σὺν αὐτῷ θεῶν, οὕτως ἄν τις καὶ περὶ

1 *κοινὴ πατρὶς* U, corr. superscr. *β* et *α* pr. m. 3 *τῶν αὐτοῦ αὐτοῦ* O; seclusi dittographiam *ὅποι* SU: *ὅπη* T, *ὅπου* D 5 *ἀρράβων* D 8 *τὸ*] *τῶ*, ut vid., S[1] 9 *δέ τοι* U: *δέ τι* T, *δ' ἔτι* SD; eadem lectionum varietas in libris Homericis; verbis *ἔργῳ ἐποιήσατε* solum *τοι* convenit *ξυνὴ*] *ζωὴ* D *ἔργῳ*] *ἔργον* Schmid, Philolog. 1889 (I), 377 12 *καὶ* ante *τάξει* omissum add. S[2] 14 *ἡμῶν* U *ἐπινοῶ*] *ἐπὶ νοῦν* D 15 lacunam indicavi; ⟨sed hoc non ita dictum volo, ut Graecos omnino politioris humaniorisque vitae expertes fuisse dicam⟩, sed 16 *ἡμέρου* TS (at *ε* in ras. ampliore pr. m.) U post ras.: *ἡμετέρου* DU a. ras. (S[1] a. corr.?) 17 *τοῦτο*] *τοῦτον* Rsk. ('redit enim ad *βίον*' Rsk.[2]; prob. Ddf.) *ὑφ'* TU: *ἀφ'* SD *νῦν δεῖ* D 18 *οἷς* Rsk.: *ὡσ* O 19 *κοινοὶ* UT: *κοινῇ* SD 21 *γίνεσθαι* O 22 *τὰ πρόσθεν*] quae accuratius significaturus est § 104 23 *δ'* UT 25 *ποιηταὶ*] dicit eundem quem sequitur Agaths ap. Plat. symp. 197 B 28 *κατωτάτω* Baroc. 136 (Junt.; prob. Ddf.)

τῶν πρὸ ὑμῶν τε καὶ ἐφ' ὑμῶν πραγμάτων λογιζόμενος ὑπολάβοι,
ὡς πρὸ μὲν τῆς ὑμετέρας ἀρχῆς ἄνω καὶ κάτω συνετετάρακτο
καὶ εἰκῇ ἐφέρετο, ἐπιστάντων δὲ ὑμῶν ταραχαὶ καὶ στάσεις ἔλη-
ξαν, τάξις δὲ πάντων καὶ φῶς λαμπρὸν εἰσῆλθε βίου καὶ πολι-
104 τείας, νόμοι τε ἐξεφάνησαν καὶ θεῶν βωμοὶ πίστιν ἔλαβον. πρό-
τερον γὰρ ὥσπερ τοὺς γονέας ἐκτέμνοντες καὶ τὴν γῆν ἔτεμνον,
παῖδάς τε οὐ κατέπινον, ἀλλ' ἀπώλλυσαν τοὺς ἀλλήλων τε καὶ
τοὺς ἑαυτῶν ἐν ταῖς στάσεσι καὶ πρὸς ἱεροῖς. νῦν δὲ κοινὴ καὶ
σαφὴς πᾶσι πάντων ἄδεια δέδοται αὐτῇ τε τῇ γῇ καὶ τοῖς ἐν
αὐτῇ κατοικοῦσιν· καὶ τοῦ μὲν κακῶς πάσχειν ἅπαντα ἀφεῖσθαι,
τοῦ δὲ καλῶς ἄγεσθαι πολλὰς τὰς ἀφορμὰς εἰληφέναι μοι δο-
κοῦσι, καὶ οἱ θεοὶ καθορῶντες συγκατορθοῦν ὑμῖν εὐμενῶς τὴν 227 J
105 ἀρχὴν καὶ διδόναι βέβαιον τὴν κτῆσιν αὐτῆς, Ζεὺς μέν, ὅτι αὐτῷ
τῆς οἰκουμένης καλοῦ, φασίν, ἔργου καλῶς ἐπιμέλεσθε, Ἥρα δὲ
γάμων νόμῳ γιγνομένων [τιμωμένη], Ἀθηνᾶ δὲ καὶ Ἥφαιστος
τεχνῶν τιμωμένων, Διόνυσος δὲ καὶ Δημήτηρ, ὅτι αὐτοῖς οἱ καρ- 368 D
ποὶ οὐχ ὑβρίζονται, Ποσειδῶν δὲ ναυμαχιῶν μὲν καθαρευούσης
τῆς θαλάττης αὐτῷ, τὰς δὲ ὁλκάδας ἀντὶ τῶν τριήρων μετειλη-
φυίας· ὅ γε μὴν Ἀπόλλωνος καὶ Ἀρτέμιδος καὶ Μουσῶν χορὸς
οὔποτ' ἐ⟨κ⟩λείπει τοὺς ὑπηρέτας ἐν τοῖς θεάτροις καθορῶν· Ἑρ-
μῆς δὲ ἀγώνων οὐκ ἄμοιρος οὐδὲ πρεσβειῶν· Ἀφροδίτη δὲ σπόρων
..... καὶ Χαρίτων πότε μᾶλλον καιρὸς ὑπῆρξεν ἢ πότε πλείονα μοῖραν
ἔσχον αἱ πόλεις; αἱ δ' Ἀσκληπιοῦ χάριτες καὶ τῶν κατ' Αἴγυπτον
θεῶν νῦν πλεῖστον εἰς ἀνθρώπους ἐπιδεδώκασιν. οὐ μὴν οὐδὲ
Ἄρης γε ὑμῖν ἠτίμασται, οὐδὲ δέος μὴ συνταράξῃ τὰ πάντα, ὥσ-

---

1 ἐφ' U (ci. Rsk.): ἀφ' D (Monac. 432, inde Rsk.[2]), ὑφ' ST; cf. ἐπιστάντων v. 3 3 ἐφέρετο] ἐφύρετο ci. Jacobs Lect. Stob. p. 88 4 τάξισ DU: τάξ/ισ S, τάξεισ T 6 καὶ om. S[1] ἔτεμνον UT (at prius ν vid. expunctum) S[2] mg.: ἔτεινον DS[1] 7 τε sic O κατέπινον Wil. (Οὐρανόν hic, ut antea Κρόνον significari monens): κατέτεινον SDT, κατέκτεινον U ἀλλήλων — ἑαυτῶν] et alteri alterorum liberos inter discordias necabant et ipsi liberos suos apud templa pro victimis immolabant 9 δέδο/ται S 10 πάντα D 13 αὐτῆς] αὐτήν S 15 νόμω/γάμων D, ν eras. τιμωμένη secl. Rsk. 16 αὐτῆσ T 18 δ' UT 20 οὔτοτ' ἐ⟨κ⟩λείπει scripsi: οὔποτε λείπει O (cf. p. 95, 13); οὔτε διαλείπει Junt.; cf. Plat. Menex. 249 B τιμῶσα οὐδέποτε ἐκλείπει 21 Ἀφοδίτη] Ἀφροδίτης Canter lacunam indicavi: e. g. Ἀφροδίτη δὲ σπόρων ⟨καὶ φορῶν παντοδαπῶν εὐπορεῖ. Ὡρῶν δὲ⟩ καὶ Χαρίτων; verisimile est oratorem in hac periodi parte Veneris res proprio absolutoque orationis membro persecutum esse membrumque per particulam δέ ceteris subiunxisse. pro σπόρων *saltationum* (i. e. χορῶν) vert. Canter; ci. ὡρῶν Jebb.; σπονδῶν dubitanter Rsk.[2]; πρεσβειῶν, Ἀφροδίτη δὲ σπόρων (sc. οὐκ ἄμοιρος). καὶ Χαρίτων — πλείονα Μοῖραν Wil. 22 μοῖραν (sc. Χαρίτων) — πόλεις] cf. § 94. 95 24 οὐδ' U

περ ἐν Λαπιθῶν δείπνῳ παροφθείς, ἀλλ᾽ ἐπὶ ταῖς ὄχθαις τῶν
ἔξω ποταμῶν χορεύει τὴν ἄπαυστον χορείαν, αἵματος ⟨*ἐμφυλίου*⟩
καθαρὰ σῴζων τὰ ὅπλα. ὅ γε μὴν πάντ᾽ ἐφορῶν Ἥλιος οὐδὲν
εἶδεν ἐφ᾽ ὑμῶν βίαιον οὐδ᾽ ἄδικον οὐδ᾽ οἷα πολλὰ ἐν τοῖς πρόσθεν
χρόνοις· ὥστ᾽ εἰκότως ἥδιστα ἐφορᾷ τὴν ὑμετέραν ἀρχήν. δοκεῖ 106
δέ μοι καὶ Ἡσίοδος, εἰ ὁμοίως Ὁμήρῳ τέλειος ἦν τὰ ποιητικὰ καὶ
μαντικός ὥσπερ ἐκεῖνος οὐκ ἠγνόησεν τὴν ὑμετέραν ἀρχὴν ἐσο-
μένην, ἀλλὰ προεῖδεν καὶ ἀνεφθέγξατο ἐν τοῖς ἔπεσιν, οὕτως
καὶ αὐτὸς οὐκ ἂν ὥσπερ νῦν ἀπὸ τοῦ χρυσοῦ γένους ἄρξασθαι
γενεαλογῶν, οὐδ᾽ ⟨*εἰ*⟩ *δὴ ταύτην ἀρχὴν ἐνεστήσατο, περί γε τοῦ*
τελευταίου καὶ σιδηροῦ γένους διαλεγόμενος τοῦτον ἂν αὐτοῦ φά-
ναι (OD. 181) *γενέσθαι τὸν ὄλεθρον,*

369 D *εὖτ᾽ ἂν γεινόμενοι πολιοκρόταφοι τελέθωσιν,*

ἀλλ᾽ ἡνίκα ἂν ἡ ὑμετέρα προστασία τε καὶ ἀρχὴ καταστῇ, τότ᾽
ἂν φάναι φθαρῆναι τὸ σιδηροῦν φῦλον ἐν τῇ γῇ, καὶ Δίκῃ δὴ καὶ
228 J *Αἰδοῖ τότ᾽ ἂν ἀποδοῦναι κάθοδον εἰς ἀνθρώπους, καὶ οἰκτεῖραι*
τοὺς πρὸ ὑμῶν γενομένους. Ἀεὶ μὲν οὖν τά γε δὴ παρ᾽ ὑμῖν 107
τίμια εἰσαχθέντα ὡς ἀληθῶς ὑφ᾽ ὑμῶν καὶ ἀεὶ μᾶλλον βεβαιού-
μενα . . . ., ὅ γε μὴν νῦν ἄρχων μέγας οἷον ἀγωνιστὴς καθαρῶς το-
σοῦτον ὑπεραίρει τοὺς πρὸ αὐτοῦ [*τὸν πατέρα*], *ὅσον οὐδ᾽ εἰπεῖν*

---

2 *τῶν ἔξω ποταμῶν* traieci: *ἔξω τῶν ποταμῶν* O; cf. ad v. 2 *χορεύει*] cf. ad or. XXVIII § 108 2 *ἐμφυλίου* addidi, ut sententiam significarem. *οἱ ἔξω ποταμοί* Rhenus, Danubius, Euphrates, cuius ad ripas ultra imperii Romani fines bella geruntur; huic oppositum ita erat restituendum, ut simul verbis *αἵματος* — *ὅπλα* sana ratio, qua nunc carent, redderetur; neque enim Marti belligeranti arma sanguine omnino prohibere licet; *ἐμφυλίου*: Romanum Martem dicit
7 *ὥσπερ ἐκεῖνος κτέ.*] Hom. *Υ* 307 sq.; cf. Herm. XVIII 329 8 *οὕτω* DU 9 *τοῦ* DS[2]: om. S[1]UT *ἄρξασθαι γενεαλογῶν* scripsi: *ἄρξασθαι γενεαλογεῖν* SD, *ἀρξάμενοσ γενεαλογεῖν* UT *οὐδ᾽* ⟨*εἰ*⟩ *δὴ* scripsi: *οὐδ᾽ ἂν* SD, *ἡνίκα* UT; ⟨*ἢ*⟩ *ἡνίκα* Rsk. 10 *ἀνεστήσατο* D 13 *γεινόμενοι* SDU, ut libri Hesiodei: *γινόμενοι* T
15 *φάναι*] *φάσθαι* T *δίκη* UTS[2] mg.: *δίκην* D, om. S *δὴ* S[1]T: *δὲ* DUS[2] mg.
16 *αἰδοῖ* UT, *αἰοδοὶ* S[1] (prius *ο* incertum): *αἰδῶ* DS[2] mg. *ἀποδοῦναι*] sc. Hesiodum (*ἀποδοθῆναι* Junt., edd.) 18 *τίμια*] honores, magistratus *καὶ ἀεὶ μᾶλλον βεβαιούμενα* S[1], add. *ἑξῆσ ἀεὶ* S[2] mg.: *καὶ ἀεὶ μᾶλλον βεβαιούμενα ἑξῆσ ἀεὶ* T, *καὶ ἑξῆσ ἀεὶ. καὶ ἀεὶ μᾶλλον βεβαιούμενα* D, *καὶ ἑξῆσ ἀεὶ μᾶλλον βεβαιούμενα* U 19 lacunam indicavi; *ὑπεραίρει* v. 20, quod verbis 17 *ἀεὶ* — 19 *βεβαιούμενα* oppositum orator vult, non habet in illis quibus respondeat; neque enim notionem participii *βεβαιούμενα* auget, ut eius oppositum cogitari possit: deest e. g. 'et amplificata', et quam sententiae laborantis vitium evincit lacunam, certissime ipsa tradita verba testantur, cum *καὶ* ante *ἀεὶ* nunc sensu careat *ὁ* — *νῦν ἄρχων*] Antoninus Pius *μέγας*] iunge *οἷον μέγας ἀγωνιστής* (cf. p. 99, 7); ad comparationem cf. p. 93, 17 sqq. *καθαρῶς* ('ingenue') scripsi: *καθαρὸσ* O 20 *ὑπεραίρει*] *ὑπεραρε* //// relliquiae S[1], corr. S[2] *τοὺσ πρὸ αὐτοῦ* SDT: *τοῖσ παρ᾽ αὐτοῦ* U, i. e. virtutibus suis (propter *τὸν πατέρα* mutatum) *τὸν πατέρα* seclusi, glossema ad *τοὺς πρὸ αὐτοῦ*

ῥάδιον ἑτέρους αὐτὸς ὑπεραίρει . . . . . καὶ δὴ φαίη τις ἂν δικαιοσύνην καὶ νόμιμον εἶναι τοῦτο ὡς ἀληθῶς ὅ τι κρίνειεν οὗτος. † τί δὲ καὶ τοῦτο πρὸ τῶν ἄλλων εἴη † σαφῶς, ὅτι τοὺς τῆς ἀρχῆς κοινωνούς, οὓς οἰκειοῦται, ἔχει παιδείᾳ ὁμοίους ἑαυτῷ πλείους ἢ τῶν πρὸ αὐτοῦ τις.

108 *Ἀλλὰ τὸ ἐξ ἀρχῆς ἀγώνισμα παντὸς μεῖζον, παρισῶσαι τῷ*
τῆς ἀρχῆς μεγέθει τὸν λόγον, καὶ σχεδὸν τοῦ ἴσου χρόνου δεό-
μενον ὅσοσπερ ὁ τῆς ἀρχῆς· εἴη δ' ἂν οὗτος ὁ πᾶς αἰών. κρά-
τιστον οὖν, ὥσπερ οἱ τῶν διθυράμβων τε καὶ παιάνων ποιηταί,
109 *εὐχήν τινα προσθέντα οὕτω κατακλῇσαι τὸν λόγον. καὶ δὴ κεκλή-*
σθων θεοὶ πάντες καὶ θεῶν παῖδες καὶ διδόντων τὴν ἀρχὴν τήνδε
καὶ πόλιν τήνδε θάλλειν δι' αἰῶνος καὶ μὴ παύεσθαι πρὶν ἂν 370 D
μύδροι τε ὑπὲρ θαλάττης πέσωσιν καὶ δένδρα ἦρι θάλλοντα παύσηται· ἄρχοντά τε τὸν μέγαν καὶ παῖδας τούτου ⟨σ⟩ῶς τε εἶναι καὶ πρυτανεύειν πᾶσι τὰ ἀγαθά. ἐκτετέλεσταί μοι τὸ τόλμημα· εἴτε δὲ χεῖρον εἴτε βέλτιον ἔξεστιν ἤδη φέρειν τὴν ψῆφον.

---

1 *αὐτοὺσ* D lacunam indicavi; e. g. *τῇ ἀκριβεστάτῃ τῶν νόμων ἐπιστήμῃ καὶ ἐμπειρίᾳ*; cf. or. XXXV § 17. 18 3 vv. *τι — εἴη* corrupta; pro *τι* ci. *ἔτι* Jebb. (prob. Rsk.[2]); *τί δ' οὐ καὶ* Baroc. 136 (prob. Ddf.); pro *τοῦτο* ci. *τούτῳ* Rsk.[2]; ⟨*ἂν*⟩ *εἴη* Ddf.; ipse propono: ⟨*ἔσ*⟩*τι δὲ κἀκ τούτου πρὸ τῶν ἄλλων* ⟨*ἐννο*⟩*εῖν σαφῶς*. sententia v. 1—5: quare quicquid ille iudicat, ipsum iustum et legitimum id esse dixeris; atque hoc vel ex ea re praeter ceteras luculenter ⟨perspicitur⟩, quod imperii participes, quos sibi adsciscit, humanitate sibi consimiles maiore numero habet quam maiorum quisquam'. Alteram novam sententiam oratorem perorationi intulisse non verisimile: ergo aliud iustitiae Pii testimonium additum fuisse necesse est; quod verbis inest. aequitatem enim probat Pius, cum quos similes sibi videt humanitate, eis similem quandam potestatem in re publica administranda impertire studet. cf. Script. r. A. vita Pii 6, 11 'neque de provinciis neque de ullis actibus quicquam constituit, nisi quod prius ad amicos rettulit, atque ex eorum sententia *formas* conposuit' (§ 4 'imperatorium fastigium ad summam civilitatem deduxit'). *παῖδας* corruptum; filioli duo Pio praematura morte abrepti in censum non veniunt; ad M. Antoninum et L. Verum *πλείους* non quadrat; hinc locum correxi 4 *οὓς*] *ὡσ* Baroc. 136 (prob. Jebb. Ddf.) *οἰκειοῦται* scripsi: *οἰκείουσ* O *παιδείᾳ* scripsi: *παῖδασ* O *ὁμοίωσ* D 6 *μεῖζον* UTS[2]: *μείζω///*S[1], *μείζω* D 10 *καὶ δὴ* omissa add. S[2] *κατακλεῖσαι* O; antiquior forma restituenda, quia ludit in *κακακλῇσαι*: *κεκλῆσθαι* 12 *καὶ πόλιν τήνδε* omissa add. S[2] *παύεσθαι* scripsi: *παύσεσθαι* SDT, *παύσασθαι* U 13 *ὑπὲρ*] i. e. ut non submergantur (oppositum *κατὰ θαλάττης*) *θαλάσσησ* O post *θαλάσσησ* 3 litt. eras. S *πέσωσιν* scripsi: *πέσοιεν* O; iungit celeberrimam Phocaeorum deprecationem (Herodot. I 165) cum Midae epitaphii non minus celebris versu *ἔστ' ἂν ὕδωρ τε νάῃ καὶ δένδρεα μακρὰ τεθήλῃ* (Plat. Phaedr. 264 C; cetera testimonia collegit Preger, Inscr. Gr. metr. n. 233) 13. 14 *παύσῃ* S[1] 14 *μέγα* D *τούτου*] miratur Schmid p. 48, at cf. e. g. or. XLVI in fine *σῶς τε* Rsk.: *ὧσ τε* O

I 382 D
I 236 J

XXVII.
(16) ΠΑΝΗΓΥΡΙΚΟΣ ΕΝ ΚΥΖΙΚΩΙ ΠΕΡΙ ΤΟΥ ΝΑΟΥ.

Ἅπασι μέν, ὡς ἐγὼ νομίζω, προφάσεις ἱκαναὶ τοῦ λέγειν ὡς
ἐν τῷ παρόντι· ἥ τε γὰρ πόλις ἀξία σπουδῆς, εἰ δή τις ἄλλη τῶν
Ἑλληνίδων, τό τε ἔργον ἐφ᾽ ᾧ τὴν ἱερομηνίαν ποιεῖται μέγιστον
τῶν εἰς ὄψιν ἐλθόντων ἀνθρώποις, οἵ τε καιροὶ τῶν πώποτε
ἄριστοι καὶ τελεώτατοι· ἐμοὶ δὲ καὶ μάλιστα ἐναργὴς ἡ πρόφασις
καὶ τῆς συνηθείας τοῦ βίου τοῦ ἡμετέρου. ὁ γὰρ Ἀσκληπιὸς κε- 2
λεύει λέγειν· ὥστ᾽ οὔτε ἀσθένειαν σώματος οἷόν τε ὑπολογίσα-
σθαι πρός γε αὐτὸν τὸν σωτῆρα οὔτε τῆς ὑποθέσεως τὸ μέγεθος
καταδεῖσαι μὴ οὐ ῥάδιον ᾖ τυχεῖν, ἀλλ᾽ ὥσπερ ἔφη Πίνδαρος
(frg. 108 B.^{4}), *θεοῦ δείξαντος ἀρχὴν οὐδὲν δὴ τὸ κωλῦον, ἄλλως*
τε καὶ οὐ νῦν πρῶτον αὐτοῦ πειρώμεθα, ἀλλ᾽ ἐν πολλοῖς τε καὶ
μεγάλοις καὶ πρόσθεν ἔγνωμεν ἐφ᾽ ἡμῶν αὐτῶν, οὐχ ἑτέρων, ὁπό-
σον τι τῆς ῥαστώνης αὐτῷ περίεστιν κἂν τοῖς καθάπαξ ἀπόροις
383 D *εἶναι δοκοῦσιν, [καὶ] μὴ ὅτι τοῖς χαλεποῖς μέν, ἀπογνῶναι δ᾽ οὐκ*
ἀναγκαίως ἔχουσιν. ἐγὼ γοῦν πρὸς τοσοῦτον ἥκω τοῦ πιστεύειν 3
ἑτέρῳ μελήσειν, ὥστε οὐκ οἶδα ὅντινα τρόπον αὐτοσχεδιάζω, πλὴν
ὅσον οὐκ ἀπὸ στόματος παντελῶς, ἀλλὰ γράφων ἔτι. οὔτε γὰρ
πρόσθεν ἔγνων ὅ τι χρὴ λέγειν, πρὶν ἔδει λέγειν ἤδη, ὅ τε προσ-
τάξας μείζων ἁπάσης ἔμοιγε παρασκευῆς. ἡγοῦμαι δὲ οὐ τὸν 4
αὐτὸν τρόπον περὶ τῶν πραγμάτων τῶν μεγάλων ἔχειν καὶ τῶν
πελαγῶν· τὰ μὲν γὰρ ὅσῳ μείζω, τοσούτῳ πλείω παρέχει τὸν
φόβον, τὰ δ᾽ ἔστιν ὅπῃ καὶ βοηθεῖ, ἔστιν γὰρ ὥσπερ ὅρμου λαβέ-
σθαι πολλαχόθεν· ὥστ᾽ εἰ μὴ παντάπασιν τις εἴη δυστυχής, τό
γε τοῦ παντὸς δοκεῖν διαμαρτεῖν διαφεύξεται.

Libri ARDUT = O

Titulo praemittit *Ἀριστείδου* D (in quo haec prima oratio est) 3 *ποι-εῖτε* DU 5 *καὶ* ante *μάλιστα* om. DU 6 *καὶ*] *ἐκ* ci. Wil. *ὁ γὰρ Ἀσκλη-πιὸς κτἑ.*] orationem quomodo ipse composuerit quibusque plausibus Cyziceni acceperint, narrat or. LI § 11 sqq. 7 *οὔτ᾽* DU *ὑπολογίσασθαι* ADR^2 (*ὑ* et *ι* in ras. corr.) U^2: *ὑπολογήσασθαι* U^1, *ἀπολογήσασθαι* T (et sine dubio S^1; *ὑπολογίσθαι* T^2) 9 *Πίνδαρος*] cf. or. XXXIII § 1 13 *τι* scripsi: *τὸ* O *κἂν* DU^2: *καὶ* ARU^{1}T 14 *καὶ* secl. Wil. 15 *ἐγὼ γοῦν* Wil.: *ἔγωγ᾽ οὖν* O 16 *οἶδ᾽* U 18 *ἔδει*] praeter *δ* in ras. R^2 *λέγειν ἔδει* T^1, corr. superscr. *β* et *α* m. inc. 19 *μείζονα πάσησ* A^1, *μείζων πάσησ* A^2 *οὐ τὸν*] *ὐ τ* in ras. multo ampliore U^2 21 *παρέχει πλείω* D 23 *πολλαχόθεν*] add. mg. *πανταχόθεν* D^2 c. *γρ.* (Junt.)

5 Πεπύσθαι δέ τινα ἤδη καὶ τῶν ἐν Ὑπερβορέοις οἶμαι τὸν 287 J
περὶ Κυζίκου χρησμὸν καὶ τὸν μάρτυρα τῆς εὐδαιμονίας τῇ πόλει,
ὃς ταῖς μὲν ἄλλαις πόλεσιν ἐξηγητής ἐστιν, τῇ δὲ πόλει ταύτῃ
καὶ ἀρχηγέτης. τὰς μὲν γὰρ ἄλλας πόλεις διὰ τῶν οἰκιστῶν ᾤκισεν 384 D
οὓς ἀπέστειλεν ἑκασταχόσε, ταύτης δὲ ἐκ τοῦ εὐθέος αὐτὸς γέ-
γονεν οἰκιστής. ὥστε πῶς οὐκ εὐδαίμων Κύζικος, ἀπὸ τοιαύτης
τε ἀρχῆς ἀρξαμένη καὶ εἰς τοιοῦτόν τε ἅμα [τὸν] οἰκιστὴν καὶ μάρ-
6 τυρα ἀναφέρουσα; Γνοίη δ' ἄν τις καὶ πρὸς τὴν θέσιν εὐθὺς
αὐτῆς ἀποβλέψας καὶ τὴν φύσιν τὴν ὅλην, ὅτι γιγνομένην αὐτῇ
τὴν ἐπωνυμίαν ἔθετο ὁ θεός· οὕτως καὶ τὰ ἀπὸ τῆς γῆς καὶ τὰ
ἀπὸ τῆς θαλάττης συμβαίνει. πρόκειται γὰρ τῆς Ἀσίας, ἀρχο-
μένη μὲν ἐκ νήσου, καθισταμένη δ' εἰς τὴν ἤπειρον, ἔνθεν μὲν
τὸν Εὔξεινον πόντον προβεβλημένη, ἑτέρωθεν δὲ τὸν Ἑλλήσποντον,
σύνδεσμός τις οὖσα τῆς θαλάττης ἑκατέρας, μᾶλλον δὲ ἁπάσης
ἣν ἄνθρωποι πλέουσιν. παράπλοι δὲ αὐτὴν καὶ περίπλοι καὶ
εἴσπλοι ναυτῶν ἁπάντων οὔποτε λείπουσιν, ἀλλ' οἱ μὲν κομίζονται
οὐρίᾳ τὰ νῶτα ἐφέντες εἰς τὸ πέλαγος διὰ νήσων ⟨τῶν⟩ τῆς πόλεως,
7 οἱ δ' εἰς αὐτὴν καταθέουσίν τε καὶ ἀναθέουσιν. καίτοι εἰ τὴν Κο- 385 D
ρινθίων πόλιν εὐδαίμονα τοῖς ποιηταῖς ἔδοξε προσειπεῖν, ὅτι ἐπὶ
τῷ Ἰσθμῷ κειμένη τοὺς ἐφ' ἑκάτερα τῆς Πελοποννήσου βαδίζοντας
ὑποδέχεται, ἦ που λαμπρῶς ταύτῃ γε προσήκει τῆς προσηγορίας·
τῆς γὰρ θαλάττης ἐν μέσῳ κειμένη συνάγει πάντας ἀνθρώπους
εἰς ταὐτόν, τούς τε ἀπὸ τῆς εἴσω πρὸς τὴν ἔξω παραπέμπουσα
καὶ τοὺς ἔξωθεν πρὸς τὰ εἴσω, ὥσπερ τις ὀμφαλὸς τοῦ μεταξὺ
8 τόπου Γαδείρων καὶ Φάσιδος. ἔστι μὲν δὴ καὶ ἑτέραις, οἶμαι,
νήσοις συμβεβηκὸς ἐν ἀφθόνῳ τῇ κύκλῳ θαλάττῃ κεῖσθαι, καὶ
Κρήτην Ὅμηρος σεμνύνων ἔφη (τ 172) κεῖσθαι 'μέσην ἐνὶ οἴνοπι

2 χρησμὸν — μάρτυρα] fort. ex Apollinis oraculo quod memorat Schol. Apoll. Rh. 955. 959, in quo ipsum se beatae Cyzici urbis conditorem Apollinem dixisse nihil impedit quominus sumamus. vocem ἀρχηγέτης argutius interpretatur; ad ταῖς — ἐξηγητής cf. Plat. rp. IV 427 C; ceterum auget rem, cf. Theogn. v. 773 7 τε ἀρχῆς] τῆσ ἀρχῆσ T καὶ εἰς] καὶ del. Ddf. τὸν seclusi 10 οὕτω UT 11 θαλάσσησ T 15 παράπλοι — 16 λείπουσιν] cf. or. XXVI § 13 (98) 17 τὰ νῶτα huc transposui: ante κομίζονται O ἐφέντες] ἀφέντεσ U[1] τῶν add. Rsk.[2] 18 τε καὶ ἀναθέουσι om. R[1] 19 ποιηταῖς] cf. oraculum apud [Dion. Prus.] XXXVII § 13 εὐδαίμων πιτνώδεος ὄλβιος αὐχὴν κτέ. et infra ad or. XLVI § 22 20 τῆς Πελοποννήσου delenda videntur; requiritur τοῦ Ἰσθμοῦ, quod e τῷ Ἰσθμῷ praegresso facile suppletur 21 που ταύτῃ γε λαμπρῶς προσῆκε Thom. M. p. 287, 14 (addit τὸ δὲ προσῆκεν ἀντὶ τοῦ προσήκει λαμβανόμενον Ἀττικόν ἐστιν, ὥσπερ καὶ τὸ ἔδει ἀντὶ τοῦ δεῖ; cf. or. XXXIV § 3 et Plat. legg. XII 943 A χρῆν [et plura nunc apud Diels, Parmenides Lehrgedicht p. 59 sq.]) 23 εἴσω] ἔσω T 26 θαλάσση DU 27 μέσην] μέσῳ libri Homerici

πόντῳ, τὸ δὲ τῇσδε σεμνότερον· οὐ γὰρ ἑνὸς πελάγους τὸ μέσον
κατείληφεν· ἔξεστι δ' εἰπεῖν οὐ πολλὴν αὐτῇ μόνον εἶναι τὴν θά-
λατταν, ἀλλὰ καὶ πολλαπλῆν, τὸ μὲν πρὸς βορέαν ἄνω πηγήν τινα
καὶ ἀφορμὴν ἁπάσης τῆς πλοΐμου, τὸ δ' αὖ πρὸς ἑσπέραν πορθ-
μὸν τὸν μήκιστον καὶ χαριέστατον, τρίτον δὲ μέσον τούτων ἀμφο-
386 D τέρων καὶ φύσει καὶ τόπῳ τοῦτο ὃ δὴ Προποντίδα κληθῆναι .....
πᾶν, ὡς εἰπεῖν, αὐτῇ πεπλήρωκεν. καὶ τὰ μὲν ἐκ θαλάττης 9
τοιαῦτα· τὰ δ' αὖ παρὰ τῆς γῆς ἀδελφά τε τούτων καὶ ἀντίρ-
ροπα. πολλὴ μὲν γ' ἡ πᾶσα καὶ ἄφθονος καὶ ὡς ἄν τις ἀξιώσειεν
κατ' ἐπωνυμίαν τὴν ἤπειρον εἶναι τὸ μέγεθος, πολλαὶ δὲ αἱ φύ-
σεις καὶ πλεῖστον ἀλλήλων κεχωρισμέναι καὶ πᾶσαι νεύουσαι πρὸς
τὸ βέλτιστον· ὄρη τε γὰρ ἐνταῦθα ἡμερώτερα τῶν παρ' ἄλλοις
πεδίων, πεδία τε ἀποχρῶντα οὐ πόλεως, ἀλλ' ἐθνῶν εἶναι, καὶ
ποταμοὶ καὶ λίμναι καὶ ἕλη καὶ νάπαι, [καὶ] μακάρων δή τινες
εὐθυμίαι. ὥστε εἴ τις βούλοιτο πάντας οἰκίζειν τοὺς τόπους, 10
πολλὰς μὲν ἂν τὰς περὶ τὰς λίμνας γενέσθαι πόλεις, πολλὰς δ'
ἐπὶ ταῖς ἀκταῖς τῆς θαλάττης, οὐκ ὀλίγας δὲ ἐν τῇ μεσογείᾳ, καὶ
ταῖς πολλαῖς ἂν ὑπάρχειν ἀγνοεῖν ἀλλήλας, ὅσαι μὴ πόλεις πόλεων
ἑξῆς τύχοιεν οὖσαι. καὶ τὰ μὲν ἐκ γῆς καὶ θαλάττης τῇ πόλει
τοιαῦτα, ἀλλήλοις τε ἐφάμιλλα καὶ παραδείγμασιν οὐ πολλοῖς ἐν-
εχόμενα. ἀλλὰ μὴν αὐτήν γε τὴν πόλιν καὶ ὡς νῆσον προσείποις 11
ἂν καὶ ὡς χερρόνησον καὶ εἴ τι ἐπέκεινα χερρονήσου πρὸς ἤπει-
387 D ρον· διὰ γὰρ τὸ μὴ κατ' αὐχένα εἶναι διαβατὴν μηδὲ ἀπὸ στενοῦ
τινος ὡρμῆσθαι, ἀλλ' ἐπὶ μήκους παρατείνουσαν τὴν ἤπειρον,
κατ' ἄμφω τὼ σκέλη συνεχῆ πρὸς αὐτὴν εἶναι, τό τε τῆς Τύρου

TESTIMONIVM 3 resp. Menand. epid. p. 161 W. (345 Sp.)

2 δὲ | εἰπεῖν D 2. 3 θάλασσαν DU 3 πηγήν τινα] scriptoribus Maeotis palus mater et nutrix maris audire solet 4 πλωίμου U, ω in ras. pr. m., cf. ad p. 85, 22 τὸ / δ' S, eras. et acc. add. R² πορθμὸν] Hellespontum 6 lacunam indicavi: neque infinitivus κληθῆναι ad ἔξεστι δ' εἰπεῖν referri neque coniunctione post πᾶν careri neque subiectum ad πεπλήρωκεν mente suppleri potest 7 ὡς εἰπεῖν] ὥσει, ut videtur, R¹, corr. R² αὐτῆι AR²: αὐτη R¹, αὐτὴ DUT 8 τε om. U 9 γ' ἡ AR (sed dubito): γῆ DUT 11 νεύουσαι] praeter ν et σ in ras. R² (νέουσαι R¹, ut Baroc. 136?) 12 ὄρη κτέ.] cf. p. 100, 26 sq. 14 καὶ seclusi 15 εὐθυμίαι] εὐ et acc. R² ὥστ' DU τοὺσ περὶ αὐτὴν τόπουσ A² (Iunt.) 16 ἂν om. D 16. 17 δ' ἐπὶ AT, δὲ ἐπὶ RD: δὲ τὰσ ἐπὶ U 19 γῆσ καὶ DUT: γῆσ τε καὶ AR 20. 21 ἐνεχόμενα A^r DUTS² mg.: ἐνεχόμεθα A¹, ἀνεχόμενα R¹ 22 εἴ τι Rsk.: ἔτι ARUTD² mg., ἔστιν D¹ πρὸσ ARD² s. l.: ὡσ D¹UT 24 ἐπὶ μῆκος ci. Rsk.; 'longe', non 'in longitudinem' παρατεί-νουσαν] sc. urbem 25 κατὰ R τὼ ADU: τὰ RT σκέλη sunt partes Cyzici insulae, quae inde ab aggeribus, quibus cum continente terra coniuncta est, orientem et occidentem versus in mare porriguntur; συνεχῆ, cohaerentem

παράδειγμα ὑπερβέβληκεν καὶ εἰ δή τις ἄλλη πόλις ἢ νῆσος παρὰ
12 μικρὸν ἤπειρός ἐστιν. καίτοι Θουκυδίδης (VI 1) γε ἐπαινεῖ Σικελίαν, ὅτι εἴκοσι σταδίους ἀπέχει τῆς ἠπείρου τοὐλάχιστον· ἡ δὲ τοσοῦτον ἄρα ἀπέχει τῆς ἠπείρου ὥστε ἐξεῖναι καὶ λαθεῖν τὸ μὴ νῆσον εἶναι, κἂν εἴ τις τὰ χώματα ἀνέλοι καὶ τὰς γεφύρας, ἐξεῖναι 289 J
νήξασθαι πρὸς αὐτὴν ἐκ τῆς ἠπείρου. οὕτως καὶ ἡ νῆσος ἅπασα καὶ ἡ πόλις οὐδὲν ἀτιμοτέρα τὴν φύσιν τῶν μεγίστων [νήσων] Κρή-
13 της καὶ Σικελίας. Κάλλη τοίνυν δημοσίων οἰκοδομημάτων καὶ τὴν ἅπασαν κατασκευὴν καὶ μέγεθος τῆς πόλεως οὔτ' ἄπορος λόγων οὕτως οὐδεὶς ὥστε μὴ ἂν ἔχειν ἐπαινεῖν οὔθ' οὕτω λέγειν ἱκανὸς ὥστε ῥᾳδίως ἂν ἐνδείξασθαι. ἐγὼ δὲ ἅπαντα τἄλλα παρεὶς, οὗ μάλιστα ἐμοὶ προσήκει μνημονεῦσαι, τοῦτο ἐκλέξομαι.
14 δοκεῖ γάρ μοι κάλλιστα δὴ τοῦτο συμβόλων δεικνύναι τὸν οἰκιστήν, καὶ ὅτι τῶν κρειττόνων τινός ἐστι ποίημα· ἔοικε γάρ τις ἁπάντων εἶναι τῶν θεῶν ἱερά, ὥσπερ ἣν καλοῦσιν οὕτως ἀγοράν. ὥσπερ γὰρ κατὰ κλήρους ἅπασι θεοῖς ἐξῃρημένη πᾶσα δὴ μεμέρισται, 388 D
καὶ αὐτὴν οἱ νεῴ διειλήφασιν ὥσπερ ἁμιλλωμένων ⟨τῶν⟩ θεῶν πρὸς ἀλλήλους ὑπὲρ σωτηρίας τῆς πόλεως. θυσίαι δὲ καὶ πομπαὶ καὶ πρόσοδοι καὶ θεραπεῖαι θεῶν μετὰ τῶν καθεστηκότων θεσμῶν οὐ πόρρω τῆς Ἀθηναίων πόλεως, ... τὸ μὴ τῇ συγγενείᾳ χρῆσθαι πρὸς τὸ βέλτιστον. καὶ μὴν ἥ γε ἄλλη δύναμις τούτων ἀκό-

cum continente terra (πρὸς αὐτήν), urbem dicit aliquatenus ludens; de re cf. titulos Cyzicenos BCH. 1893, 453 γενόμενος ἐπὶ τῆς ὀρυχῆς τῶν λιμένων καὶ τῆς λίμνης καὶ τῶν διορύγων καὶ τῆς ἐποικοδομίας τῶν προκειμένων χωμάτων; Athen. Mitth. 1891, 141 τά τε συνχωσθέντα τῶν εὐρείπων πρότερον φόβοις πολέμου   Τύρου scripsi (cf. Menand. l. c.): κύρου R, σκύρου ADUT

4 ὥστ' U   5 ἀνέλη D   6 οὕτω UT   7 νήσων seclusi: νήσων ART, ἣν DU ex NH/ (i. e. νήσων)   10 μὴ DUTA^{2}R^2: om. A^{1}R^1 12 ἐκλέξομαι DU^1 13 δὴ om. U   15 ἀγοράν] θεῶν, ut Athenis   16 κατακληροῦσα πᾶσι AR^1 ἅπασι τοῖσ θεοῖσ T   ἐξῃρημένη — διειλήφασιν] consulto (ob memoriam Plat. politic. 271 D) orationem variat; quae cuique μεμέρισται, ea ἐξαίρετα illi sunt   17 ἁμιλλωμένων] ἀμυνομένων U   τῶν add. Wil.   18 καὶ πρόσοδοι — θεσμῶν] Thom. M. p. 306, 2 Ἀριστείδης ἐν τῷ Παναθηναϊκῷ· καὶ πρόσοδοι θεῶν μετὰ τῶν καθεστηκότων νόμων recte ad nostrum locum Ritschl rettulit, quamquam similia (unde error natus) extant in Panath. I p. 240, 2 et 242, 7 Ddf.; ut θεῶν apud πρόσοδοι (Thom. M.) ferri nequit, ita καὶ θεραπεῖαι θεῶν (Aristid.) in ultimo huius enuntiationis membro mihi (θεραπεῖαι = ἀναθήματα Wil.) languent; fort. καὶ ⟨ἄλλαι⟩ θερ., cf. Plat. rp. IV 427 B ἱερῶν τε ἱδρύσεις καὶ θυσίαι καὶ ἄλλαι θεῶν — θεραπεῖαι; legg. IV 716 D προσομιλεῖν δὴ τοῖς θεοῖς εὐχαῖς καὶ ἀναθήμασι καὶ ξυμπάσῃ θεραπείᾳ [θεῶν, seclusi]   20 lacunam indicavi; e. g. ⟨et in hanc urbem non facit quod aiunt⟩ cognatione q. s.; πόλεως ⟨ὥσ⟩τε μὴ — χρῆσθαι ⟨ἢ⟩ πρὸς Rsk.   21 γε Rsk. (in exemplo suo Jebbiano): τε O

λουθος. τοσοῦτον γὰρ τῇ πόλει περίεστιν ὥστε καὶ τῶν ἑτέρωθι
ναῶν καὶ ἄλλων κόσμων δημοσίων εἴ τις φαίη ταύτην εἶναι τὴν
χορηγόν, οὐκ ἂν αἰσχυνθείη· οὕτω λαμπρά τε καὶ κοινὰ πᾶσι τὰ 15
ὄντα κέκτηται, καὶ οὔτε Ἰταλία τῶν ταύτης κτημάτων ὑπερορᾷ
οὔτε Αἴγυπτος οὕτω πόρρω οὔτε Τυρρηνικὸν πέλαγος οὔτε Σύρων
καὶ Κιλίκων, ποιητὴς ἂν εἴποι τις (TGF. adesp. n. 162 N.²), ἐπι-
στροφαί, οὔτε ἔθνος οὐδέν, ὡς ἔπος εἰπεῖν, οὔτε κατ' ἤπειρον οὔτ'
ἐν νήσοις, ὃ μὴ παρὰ τῆς πόλεως ταύτης κεκόσμηται. Ἴωνας δὲ
καὶ Αἰολέας καὶ τὰς πρὸ ποδῶν νήσους τε καὶ πόλεις τί τις ἂν
389 D λέγοι; καὶ τὸ δὴ νεανικώτατον, ὥσπερ γὰρ οἱ ἀγαθοὶ δρομεῖς ἐκ
πολλοῦ προέμενοι ῥᾳδίως αἱροῦσιν, οὕτως ἄρα καὶ ὑμεῖς πᾶσιν ἀν-
θρώποις ὧν ἐδεήθησαν παρασχόντες, ἐπιστάντες αὐτοὶ τελευταῖοι.
240 J Πρὸς αὐτό γε ἥκω τὸ κλυδώνιον· πῶς ἂν εἴποιμι ὅσον βού- 16
λομαι; ἀλλὰ τοσοῦτον ἂν εἴποιμι ὅσον εἰπὼν συγγνοίην ἐμαυ-
τῷ. πάντας γὰρ μικροῦ δέω λέγειν ὅσοι τοῖς ὁμοίοις ἐνεχείρησαν
ὡσπερεὶ παῖδας ἀπεφήνατε, τοσοῦτον ἔργον ἐγείραντες, ὅσον ἐνθυ-
μηθῆναι μὲν ἂν μανίας ἔργον εἶναι ἔδοξεν, ἐκτελέσαι δὲ κρεῖττον
ἢ κατὰ ἄνθρωπον. ἀπορήσαι τις ἂν πότερον ἐνταυθοῖ μετ- 17
ενήνεκται τῆς νήσου τὸ πλεῖστον ἢ κατὰ χώραν μένει. οἶμαι δ'
ἂν ἅπαντας συμφῆσαι μήτε πόλεως ἂν ἄλλης εἶναι τὸ ἀνάθημα
μήτε λιθοτομίας ἑτέρας ἢ τῆς ὑμετέρας· οὐ γὰρ ἂν ἀρκέσαι τὴν
φύσιν. πρότερον μὲν γὰρ τῶν νήσων ταῖς κορυφαῖς ἐτεκμαίροντο
οἱ πλέοντες, Κύζικος ἥδε, Προκόννησος αὕτη, τῶν ἄλλων ἣν ἴδοι
τις· νῦν δὲ ὁ νεὼς ἀντὶ τῶν ὅρων ἀρκεῖ, καὶ μόνοις ὑμῖν οὐδὲν
δεῖ λαμπτήρων οὐδὲ πυρσῶν οὐδὲ πύργων πρὸς τοὺς καταίροντας,

1 τοσούτων R^1, τοσοῦτο T 6 ἐπιστροφαί Bergk (qui Aeschylo fragmentum vindicavit) apud Nauck l. c. (ind. Wil.): ἐνστροφαί AR^1UTD^2, ἐν στροφαῖσ D^1R^2; fauces Ciliciae, cf. p. 121, 4. 5 7 οὔτε ἔθνοσ — ἤπειρον add. mg. R^1 8 ταύτησ DU: αὐτῆσ ART 10 δρομεῖς] εῖ in ras. A^2, δρομη|σ A^1 agnoscitur 11 αἵρουσιν AR, αἱροῦσιν T ἡμεῖσ T 12 post παρασχόντες add. αἱρεῖτε vel νικᾶτε Rsk., quae mente potius ex αἱροῦσιν supplenda; ceterum cf. Eupol. frg. 94, 2. 3 K. ὥσπερ ἀγαθοὶ δρομῆς, ἐκ δέκα ποδῶν ᾕρει 13 Πρὸς κτἑ.] ad excitandam admirationem facta pausa ἀσυνδέτως pergit; eandem ob causam voce κλυδώνιον usus est: id 'quod dictu est difficillimum et maximum' (Rsk.); ipsius templi laudationem dicit. De templo cf. Marquardt, Cyzicus p. 150 sqq.; Perrot-Guillaume, la Galatie et la Bithynie I 76 sqq., BCH. 1890, 517 sqq. (cf. Chronique des arts 1890, 93. 101; Amer. Journ. of archaeol. 1890, 189; at cf. quam ad or. XXXI § 13 memoravi meam disputationem) 15 ἐπεχείρησαν D^1 17 ἂν] κἂν T 18 ἀπορήσαι τισ ἂν ARD: ἀπορῆσαι γὰρ τισ ἄν, at γὰρ s. l., T pr. m., καὶ δῆτα ἀπορήσαι τισ ἂν U 19 τῆς νήσου] Proconnesi, unde materies templi οἶμαι δ'] οἱ δ' vel οἶδ' D^1 21 ἡμετέρασ D 23 πλέοντες] έον in ras. R^2 προκοννησοσ A^1: προικόννησοσ UTA^2R^2, προ|κόνησοσ R^1 nunc, προκόνησοσ D^1 (προικ- D^2) cf. ad p. 2, 11 24 ἡμῖν RD 25 λαμπτήρων κτἑ.] cf. p. 73, 25 sqq.

ἀλλ' ὁ νεὼς πληρῶν ἅπαν τὸ ὁρώμενον τήν τε πόλιν καὶ τὴν
μεγαλοψυχίαν τῶν ἐχόντων αὐτὴν ὁμοῦ δηλοῖ, καὶ τοσοῦτος ὢν 390 D
18 καλλίων ἐστὶν ἢ μείζων. εἰ δὲ ἔτυχον περιόντες Ὅμηρος καὶ Ἡσίο-
δος, ῥᾳδίως ἄν μοι δοκοῦσιν εἰπεῖν τὸ περὶ τοῦ τείχους τοῦ Τρωι-
κοῦ μυθολόγημα μεταθέντες, ὡς ἄρα Ποσειδῶν καὶ Ἀπόλλων κοινῇ
φιλοτεχνήσαντες ἀπειργάσαντο τὸ ἔργον τῇ πόλει, ὁ μὲν τὴν πέ-
τραν παρασχὼν ἐκ τοῦ βυθοῦ τῆς θαλάττης καὶ ἅμα ποιήσας δυ-
νατὴν εἶναι κομισθῆναι, ὁ δ', ὥσπερ εἰκὸς οἰκιστήν, βουληθεὶς
19 τὴν ἑαυτοῦ πόλιν κοσμῆσαι προσθήκῃ τηλικαύτῃ. φαίης ἂν τῶν
μὲν λίθων ἕκαστον ἀντὶ νεὼ τοῦ παντὸς εἶναι, τὸν δὲ νεὼν ἀντὶ
τοῦ παντὸς περιβόλου, τὸν δ' αὖ περίβολον τοῦ νεὼ πόλεως ἀπο-
20 χρῶντα γίγνεσθαι. εἰ δὲ βούλει τὰ τῆς ῥᾳστώνης καὶ τρυφῆς,
ἀντὶ γὰρ τῶν οἰκιῶν τῶν τριωρόφων καὶ τῶν τριήρων πάρεστιν
ὁρᾶν νεὼν τὸν μέγιστον, τῶν μὲν ἄλλων πολλαπλασίονα, αὐτὸν
δὲ τριπλοῦν τῇ φύσει. τὰ μὲν γὰρ αὐτοῦ κατάγειός ἐστι θέα, τὰ
δ' ὑπερῷος, μέση δὲ ἡ νενομισμένη· δρόμοι δὲ ὑπὸ γῆν τε καὶ 241 J
κρεμαστοὶ δι' αὐτοῦ διήκοντες κύκλῳ, ὥσπερ οὐκ ἐν προσθήκης
21 μέρει, ἀλλ' ἐξεπίτηδες εἶναι δρόμοι πεποιημένοι. ταῦτα μὲν
οὖν οὐδὲν δεῖ λόγῳ κοσμεῖν, ἀλλ' εἰς τοὺς γεωμέτρας καὶ ἐπαΐον-
τας ἀποθέσθαι, καὶ τούτων ὅσοι τέλειοι καὶ ἱκανοὶ μετρῆσαι 391 D
πρᾶγμα τοσοῦτον· ὡς ἐγὼ καὶ τοῦτο ὀρρωδῶ, μὴ οὐδὲ τούτοις
πᾶσιν ᾖ τὴν ἀκρίβειαν ἐξευρεῖν. εἰ γάρ τις ἀποσταίη τῶν λόγων
τῶν περὶ αὐτοῦ τοῦ νεώ, ἱκανὸν καὶ τὰ μηχανήματα καὶ τὰ ὀχή-
ματα θαυμάσαι, ἃ πρόσθεν οὐκ ὄντα κατ' ἀνθρώπους ἐξεῦρεν ἡ
χρεία τοῦ νεώ.
22 Ἄξιον δὲ καὶ τῆς τύχης ἕνεκα ὑμῖν συνησθῆναι. ἐπεγράψασθε

3 καλλίω R[1] δ' T 7 θαλάσσησ T ποιήσασ] mare praebens δυνατὸν Baroc. 136 (prob. Rsk.[2]) 8 οἰκιστήν] πολιστὴν U 9 φαίης ἄν] asyndeton: cf. p. 5, 4; 35, 14; 108, 15 10 μὲν om. U[1] νεὼν UTR[2]: νεὼ AR[1]D 11 πόλεως ἀποχρῶντα] cf. p. 35, 18 sq., 127, 13, tit. Mantineens. BCH. 1896, 125 v. 47 (ἐξέδρα) δυναμένη καὶ μόνη πόλεως κόσμος εἶναι 12 γίνεσθαι D, γενέσθαι U 13 τριήρων (-ηρῶν A)] navium nullus hic locus. τριήρης adiectivum synonymum vocis τριώροφος (quae tritior voci quaesitiori, ut solet, pro commento addita), cf. διῆρες i. q. ὑπερῷον (et quae exposui Herm. vol. XXXII de hac voce) 14 ναὸν D πολλαπλασίονα] auget rem (cf. ad v. 17): ambitus templi ambitu aliorum, quae nobis nota sunt, minor est, sola altitudine (columnis altiores non novimus) cetera superavit 15 αὐτοῦ Rsk.[2] 17 κρεμαστοὶ — κύκλῳ] ambulationes pensiles, quae cellam intus circumdabant, columnis impositae; neque haec (Paesti enim alibique erant) neque subterraneae illae constructiones etiam nunc servatae (extant sub Pompeianorum templo Iovis aliisque) peculiare templi Cyziceni decus 19 ἐπαΐοντας scripsi: ἐπαινέτασ O (ΟΝ : ΝЄ) 20 τέλεοι RT 21 μὴ οὐδὲ AUTD[2]: μὴ δὲ RD[1] 23 ὀχήματα] σχήματα D[2] 24 κατὰ R

μὲν γὰρ τὸν ἄριστον τῶν εἰς ἐκεῖνον τὸν χρόνον βασιλέων· ἥκει
δὲ ὑμῖν τὸ ἔργον πρὸς τέλος ἐν τοῖσδε τοῖς καιροῖς, οἳ τὰ καλῶν
αὖ κάλλιστα εἰλήχασιν καὶ ὑπὲρ ὧν δικαιότατ' ἂν χαριστήριον
τοσοῦτον ἑστηκὸς εἴη τοῖς θεοῖς, ἐπειδήπερ οὐ ῥᾴδιον [ἦν] μεῖζον
ἐξευρεῖν. ὅτι μὲν δὴ πλείστους οὗτοι τῶν πρὸ αὐτῶν βασιλέων 23
προγόνους βασιλέας παρέσχοντο καὶ ὁποία τις ἡ τοῦ γένους αὐ-
τοῖς ἀμφοτέρωθεν ἐξ ἀρχῆς κατασκευή, καὶ τροφὴν ἥντινα ἐτρά-
φησαν καὶ ἐφ' οἷστισιν, καὶ τῆς παιδείας τῆς συμπάσης τὴν πε-
ριουσίαν, μακρός τε λόγος διεξιέναι καὶ οὐδαμῶς πληρῶσαι ῥᾴδιος·
ὃ δὲ τῇ τε παρούσῃ συνόδῳ μάλιστα πρέπειν ἀκοῦσαί μοι δοκεῖ
καὶ αὐτῶν ἰδιαίτατον ἐγκώμιον καὶ τῶν εἰς μνήμην ἡκόντων ἐν⟨ὶ⟩
λόγῳ θαυμαστότατον καὶ πᾶσαν τὴν εὐγένειάν τε καὶ παιδείαν
ἔχει συλλαβὸν καὶ οὔτ' ἰδιώτης οὐδεὶς δύναται σιωπᾶν, πόλις τε
ἅπασα καὶ γένη πάντα ἀνθρώπων ἐκπέπληκται, περὶ τοῦτο εἰς
392 D *ὅσον ἔξεστι διατρίψομεν. Οὗτοι γάρ εἰσιν οἱ τὴν παροιμίαν* 24
ἐπὶ πλεῖστον ἄραντες καὶ διὰ τῶν μεγίστων ἔργων ὅρον δείξαντες
ὅτι τῷ ὄντι κοινὰ τὰ φίλων, οὐχ ἵππων ἀγέλης οὐδὲ σκευῶν οὐδὲ
πλέθρων τινῶν γῆς κοινωνήσαντες, οὐδ' εἰς ὅσον πρόσθεν μή-
242 J *κιστον ἔδει προελθεῖν κοινωνίας· ἀλλ' ἐπὶ τοσοῦτον τῆς μεγαλο-*
ψυχίας ἐλθόντες ὥστε πᾶσαν τὴν γῆν καὶ θάλατταν τῷ λόγῳ
τούτῳ καταλαβεῖν καὶ μηδὲν ἀκοινώνητον τῶν ὄντων αὐτοὺς ἐκ-
φυγεῖν, ὡς ἀληθῶς καθ' Ὅμηρον κοινὴν τὴν γῆν καταστήσαντες,
τῇ προστασίᾳ μὲν αὐτῶν, τῇ δὲ χρείᾳ συμπάντων· ἃ πρόσθεν
εὔξασθαι μὲν ἐξῆν ὑπὲρ δικαιοσύνης, ἐλπίσαι δ' οὐδαμοῦ περιῆν,
ἀλλ' ὁ τῆς εὐδαιμονίας ὅρος ὥσπερ εὐχή τις ἐφαίνετο. στρατηγοὶ 25

---

1 *τὸν ἄριστον*] *ὁ* et *ι* in ras. R² (add. acc. sup. *α*). *Θεῷ Ἀδριανῷ* Malal. p. 279 Bon. (corr. Reinach BCH. 1890, 520: *θείου ἀδριανοῦ* Oxon.) inscriptionem templo fuisse testatur; neque vero Hadrianus, cum a. 124 paulo diutius Cyzici versaretur (Dürr, Reisen des Kais. Hadrian p. 54), templum condidit (quare Aristides abstinuit additamento velut *ὅτε ἤρξασθε τοῦ ἔργου*), sed trecentos annos in extruendas aedes consumptos esse schol. ad Luc. Icarom. 24 tradit 2 *πρὸς*] *εἰσ* T *τέλος*] *τὸ τέλοσ* R, *τέλη* D *τοῖσ* om. R¹ 4 *εἴη* om. D¹ *ἦν* ADUTR², om. R¹, seclusi *μεῖζον*' Rsk.² 5 *οὗτοι*] M. Aurelius et L. Verus Caesares 9 *μακρός τε*] *μακρότερος* U *ῥαδίωσ* R 11 *ἰδιαίτατον* A (sic) DUT: *ἰδιώτατον* R *ἑνὶ λόγῳ* scripsi: *ἐν λόγῳ* O; *καὶ λόγον* Rsk. 12 *παιδιὰν* R¹ 14 *πάντα* scripsi: *ἅπαντα* O (hiat) 15 *διατρίψωμεν* D 16 *ὅρον*] praedicatum ad *τὴν παροιμίαν*; cf. v. 25 17 *τὰ τῶν φίλων* U 19 *κοινωνίας* scripsi: *κοινωνία* AR, *κοινωνίᾳ* D¹ (ci. Rsk.), *κοινωνίαν* UTD² *τοσοῦτο* T 20 *τὴν* om. T *καὶ τὴν θάλατταν* DU 21 *καταλαβεῖν*] *λ* et *β* in ras. Aʳ (ergo *-βαλεῖν* A¹) 22 *Ὅμηρον — τὴν γῆν*] cf. or. XXVI § 101 23 *αὐτῶν* O *τῇ δὲ χρείᾳ*] *τηδεχεια* A¹ (corr. Aʳ), *τῇ δὲ χ//α*, ras. sup. *α*, R¹ agnoscitur 24 *περιῆν*] *παρῆν* Rsk.² 25 sq. *στρατηγοὶ μὲν στρατηγοὺσ, ἤδη ἐν* D

*μὲν γὰρ ἤδη στρατηγοὺς ἐν κινδύνοις προ⟨σ⟩είλοντο, καὶ πόλεις
ἀλλήλας ἐπὶ καιρῶν παρέλαβον, καὶ βασιλεῖς πρὸς βασιλέας φιλίας
καὶ συνθήκας ἐποιήσαντο καὶ οὗτοι τῆς χρείας ὡς τὰ πολλὰ ἡττη-
θέντες, καὶ μέχρι τούτου κοινωνίας ἴσμεν γενομένας· βασιλεὺς δὲ
ἑκὼν βασιλέα νῦν δὴ πρῶτον προ⟨σ⟩είλετο ἑαυτῷ τῶν ὅλων, καὶ
μόνος τῶν ἐκ τοῦ παντὸς αἰῶνος οὐκ ἀρχὴν [προσλαβεῖν] μᾶλλον*
26 *ἐζήτησεν ἢ βασιλέα προσλαβεῖν ἐπὶ πᾶσι τοῖς ἴσοις. καὶ γάρ τοι* 393 D
*καταθεὶς εἰς μέσον τὴν ἀρχὴν οὐκ ἐλάττον᾽ ἐποίησε τὸ αὑτοῦ
μέρος, ἀλλ᾽ αὐτῷ τούτῳ μείζω τήν τε αὑτοῦ καὶ τὴν τοῦ συνάρ-
ξοντος κατέστησεν. Ἀλέξανδρος μὲν γὰρ ἐξέπληξεν τοὺς ἀνθρώ-
πους, οὐ δεξάμενος τὴν πρὸς Δαρεῖον κοινωνίαν, καὶ ἴσως καλῶς
ποιῶν, ἅτε οὐ πρὸς ὁμότιμον τὴν Ἀσίαν μέλλων νέμεσθαι· ὅμως
δ᾽ ἔμοιγε δοκεῖ μηδ᾽ εἰ πολλῷ τις ἦν Δαρείου βελτίων, μηδ᾽ ἂν
οὕτω δέξασθαι σὺν ἄλλῳ τῶν ἄλλων ἁπάντων κρατεῖν· οἱ δὲ τὴν
βασιλείαν δικαιοσύνης σύμβολον τῆς τελεωτάτης ἐποιήσαντο, ὥσπερ
τούτου χάριν παραλαμβάνοντες τὰ τῶν ἀνθρώπων πράγματα, ἵν᾽*
27 *εἶεν ἅπασιν ἀρετῆς διδάσκαλοι κοινοί. τοῦτο ὑπὲρ πᾶσαν μὲν
Καυκάσου περίοδον, τοῦτο δ᾽ ὑπὲρ Ἰνδοὺς ἁλισκομένους καὶ Κα-
σπίας πύλας, τοῦτο ὑπὲρ πάντα τἀνθρώπεια, τοῦτο τοῖς καλλί-
στοις ἐστὶ νικώντων καὶ ἃ προσήκει τῇ φύσει. οὔτε γὰρ εἴ τις
ἔξω τοῦ Ἀτλαντικοῦ πελάγους ἐστὶν γῆ, ταύτην προσκτησάμενοι,
οὔτε ὅσα ἀοίκητα τῶν εἴσω δι᾽ ὑπερβολὴν ψύχους ἢ καύματος, εἰ
ταῦτα εὑρόμενοι κραθέντα παρὰ τῶν θεῶν προσθήκην τῆς ἀρχῆς* 243 J

1 *ἤδη* om. U *προσείλοντο* Rsk.: *προείλοντο* O 2. 3 *συνθήκασ καὶ φιλίασ* D 5 *προσείλετο* Rsk.²: *προείλετο* O *ἑαυτῶι* AR: *κοινωνὸν ἑαυτῷ* DT, *κοινωνὸν αὐτῷ* U; iunge *πρῶτον — τῶν ὅλων*, quod cum non intellexisset interpolator, *κοινωνὸν* adiecit 6 *αἰῶνος ⟨οὗτος⟩ οὐκ* Rsk.² 7 *προσλαβεῖν* seclusi 8 *ἐλάττον᾽* scripsi: *ἔλαττον* D¹, *ἐλάττω* ARUTD²; *ἐλάττω — τὴν — μοῖραν* Rsk.², at *ἐλάττον᾽* ad *ἀρχὴν* referendum; *τὸ — μέρος* i. q. *κατὰ τὸ — μέρος* *τὸ αὐτοῦ* AR, *τὸ ἑαυτοῦ* D 9 *τε αὐτοῦ* ARD *τὴν* om. D *συνάρξοντοσ* U¹: *συνάρξαντοσ* ASDTU²; dum socium regni adsciturus omnem potestatem in medio ponit, effecit, ut et ipsius et socii futuri potestas augeretur 10 *γὰρ* ARTU¹ a. corr.: *οὖν* DU¹ p. corr. 12. 13 *ὅμωσ γέ μοι*// *δοκεῖ* R (fuit *γε*?) 18 *ἁλισκομένους*] ʽet *σκ* in ras. Aʳ (A¹ incertum) 19 *τοῦτο δ᾽ ὑπὲρ* U *πάντα τὰ ἀνθρώπεια* DUT 21 *ἔξω* om. U *ἀτλαντικοῦ*] *λ* in ras. U², cf. v. l. p. 134, 8; *ἀ/τλαντικοῦ* D (*ν* eras.) 22. 23 *εἰσ ταῦτα* R, *εἰ/ταῦτα* A (cum / mg., ibid. add. *ἢ* Aʳ) D: *ταῦτα* UT; si plane scripsisset Aristides, constructio foret haec: v. 15 *οὔτε γὰρ (εἰ), εἴ τις — γῆ, ταύτην προσκτησάμενοι, οὔτε (εἰ) ὅσα — καύματος, ταῦτα εὑρόμενα — θεῶν, προσθήκην — ἐποίησαντο —, οὐκ ἂν — παρελθεῖν — δοκοῦσιν*; nunc *εἰ*, ex quo prothesis totius enuntiati pendet, ante *ταῦτα* posuit; cf. or. XXVIII § 46 23 *κραθέντα* scripsi: *κραθῆναι* O; ea a dis vel temperata, quae ante prae gelu nimio aut aestu habitari non poterant *τῶν* om. T

ἐποιήσαντο ἰδίαν καθ᾽ ἑαυτόν πως ἑκάτερος, οὐκ ἂν ἔμοιγε ἐπ᾽
394 D *ἀρετῇ τοσούτῳ παρελθεῖν ἅπαντας δοκοῦσιν, ὅσφπερ νῦν τὰ ὄντα*
κοινὰ ποιησάμενοι καὶ περὶ πλείονος ἀλλήλους ποιησάμενοι τῶν
ὄντων ἁπάντων. ὦ θαυμαστοῦ μὲν τοῦ μηδὲν δεομένου βασιλεύειν, 28
εἰ μὴ δοκοίη τῷ ἀδελφῷ, θαυμαστοῦ δὲ τοῦ μὴ δεχομένου βασι-
λεύειν, εἰ μὴ σὺν τῷ ἀδελφῷ· ὦ τοῖς ἴσοις ἀλλήλους ἀμειψάμενοι,
μόνοι μὲν ἀλλήλοις ἐπὶ πλεῖστον παραπλήσιοι, μόνοι δ᾽ ἁπάντων
πλεῖστον διαφέροντες, αὐτοὶ μὲν κοινωνοὶ τῶν μεγίστων, ἑτέρους
δὲ οὐκ ἔχοντες τῶν ἴσων κοινωνούς. ὁ μὲν γὰρ τῶν Περσῶν βασι- 29
λεὺς ἐδόκει τι διάφορον κεκτῆσθαι τὸν καλούμενον βασιλέως ὀ-
φθαλμὸν καὶ βασιλέως ὦτα· καὶ τοῦτο ἴσως μὲν ἦν τινα καὶ χρείαν
ἔχον, τὸ δὲ πλεῖστον ἐμοὶ δοκεῖν ἀλαζόνευμα, ἵνα δὴ διπλᾶ τῶν
ἄλλων ἀνθρώπων ὁρᾶν καὶ ἀκούειν δοκοίη. οἱ δὲ τοῦτο δὴ κάλ- 30
λιστον καὶ σοφώτατον εὗρον πρὸς ὑπερβολήν· ἀμφότεροι γὰρ ἀλλή-
λοις ὦτα καὶ ὀφθαλμοὶ κατέστησαν, καὶ τὴν παρὰ τῆς φύσεως
χρείαν ἐδιπλασίασαν, καὶ τὴν φυλακὴν τῆς ἀρχῆς οὐκ ἀλλοτρίαν,
ἀλλ᾽ οἴκοθεν ὡς ἀληθῶς ἐποιήσαντο, κοινώσαντες ἅπαντα. καὶ
οὐδέν γε μᾶλλον τὸ τῆς μοναρχίας ἀγαθὸν διέφθαρται, ἀλλ᾽ ἔστιν
μοναρχία θαυμαστὴ δυοῖν σώμασιν καὶ δυοῖν ψυχαῖν μιᾶς γνώμης
ἐνιδρυμένης, ὥσπερ τινὸς ἁρμονίας διὰ πασῶν τῶν χορδῶν δι-
395 D *ηκούσης. τίς οὖν ταύτης γένοιτ᾽ ἂν ἀμείνων μουσική; τίς συναυλία* 31
φιλτέρα τῷ τε Ἀπόλλωνι καὶ ταῖς Μούσαις; τίς ἁρμονία κοινο-
τέρα τῷ τῶν ἀνθρώπων γένει; τὰ μὲν γὰρ Ἀμφίονος καὶ Ζήθου
πρὸς τοσοῦτον ἦλθεν ὅσον πυργῶσαι Θήβας — κἀνταῦθά τινες τὴν
τοῦ ἑτέρου μουσικὴν αἰτιῶνται —, οἱ δὲ ὑπὲρ πασῶν τῶν πόλεων
καὶ πάντων ἀνθρώπων κοινωσάμενοι τὴν μουσικὴν ταὐτὸν ᾄδουσιν,
πατρόθεν μέν που καὶ ἐκ προγόνων τὸ μέλος παραλαβόντες, ἔτι
δὲ αὐτὸ τῷ παντὶ λαμπρότερον καταστήσαντες, ὡς † ἂν μάλιστα
244 J *ἐκείνων παῖδες κατ᾽ εὐχὴν ἐγένοντο †. Πρέποντα δέ μοι δοκοῦσιν* 32

άμενοι
3 *ποιήσαντεσ* T, corr. incertum T¹ an T²: *ποιησάμενοσ* AD¹R, om. U, del. lineola transfixa D² (‘*τὸ δὲ ποιησάμενοσ ὑπαίτιον*’ Iohannes Philosophus in schol. ad h. l.) 8 *κοινωνεῖ* T¹ 11 *τοῦτο*] in ras. II litt. R² 12 *ἔχον* ART p. ras., *ἔχων* T a. ras.: *παρέχον* DU *διπλᾶ μόνοσ τῶν ἄλλων* U 14 *ἀλλήλων* T 17 *οἴκοθεν*] cf. infra § 45. 46 18 *γε*] *τι* DU 21 *ταύτησ γένοιτ᾽ ἂν ἀμείνων* ART: *γένοιτ᾽ ἂν ταύτησ ἀμείνων* DU *μουσικῆσ* D 24 *πυργῶσαι Θήβας*] Hom. λ 263 *οἳ πρῶτοι Θήβης ἕδος ἔκτισαν — πύργωσάν τ᾽* *κἀνταῦθά τινες — αἰτιῶνται*] velut Euripides in Antiopa (frg. 184 N.²) Zethum exprobrantem fratris artem fecit 28 vv. *ὡς — ἐγένοντο* corrupta necdum emendata; *ὡς ἂν μάλιστα* (‘ut quam maxime’) — *γενόμενοι* dubitanter Wil.; quibus probatis etiam *ἐκείνοις* rescribendum

καὶ τῷ τύπῳ τῆς πολιτείας διανοηθῆναι· μόνη γὰρ αὕτη πόλεων
μετέβαλε τὸν νόμον. οἱ μὲν γὰρ ἄλλοι πάντες καὶ Ἕλληνες καὶ
βάρβαροι ὅσοι κατὰ μικρὸν δυναστείας προσήψαντο, ἓν τοῦτο ἐσκέ-
ψαντο, ὅπως μηδεὶς τῶν αὐτῶν ἀπολαύσεται, ἀλλ' ὡς οἷόν τε
μάλιστα ἅπαντες ἀπελαθήσονται. μόνοι δὲ πάντων οὗτοι κοινὰ
τἀγαθὰ προὔθεσαν εἰς μέσον, ὥσπερ ἆθλα τοῖς βελτίστοις, καὶ
οὔτε Εὐρώπην ἢ Ἀσίαν ἢ Λιβύην οἰκεῖν διαφέρει, οὔτε ἔστιν ὅρος
διείργων οὐδείς, οὐ Τάναϊς, οὐ λίμνη Μαιῶτις, οὐκ Ἀτλαντὶς
νῆσος, οὐχ ὅ τι εἴποι τις, ἀλλὰ πάντες ἄνθρωποι καὶ πάντα γένη 396 D
προσήκει τῇ πόλει, καὶ πᾶσιν ἔξεστιν ἄρχειν τὰ γιγνόμενα. ὥσπερ
οὖν τῶν ἐν μέρει κοινὴν τὴν μετουσίαν ἅπασι καταστησαμένους
ᾔδεσαν τοὺς προγόνους τοῖς ἀξίοις, οὕτως αὐτοί, πλεῖστον ὑπερ-
φέροντες ἁπάντων εἰς ἀρετήν, κοινὴν τὴν ἀρχὴν τῶν ὅλων ἐποιή-
33 σαντο. καὶ τό γε ἥδιστον τῆς ἐπινοίας, ὥσπερ γὰρ πρότερον τοὺς
κατ' ἐνιαυτὸν ἄρχοντας κατὰ συζυγίαν παρείχοντο ὀνομάζειν τοῖς
ἔξω, οὕτω νῦν τοὺς διηνεκεῖς ἔξεστιν ὁμοῦ πατρόθεν τε καὶ σὺν
ἀλλήλοις ὀνομάζειν. οὕτως καὶ τῆς πάσης πολιτείας ἀκόλουθα
34 ἐσκέψαντο καὶ τὴν ὑπερβολὴν ἐλπίδος κρείττω παρέσχοντο. καὶ
μὴν Ὅμηρος (B 196) μὲν ἔφη που σεμνύνων τοὺς βασιλέας

θυμὸς δὲ μέγας ἐστὶ διοτρεφέων βασιλήων·

οἱ δὲ οὐ θυμοῦ ῥώμην οὐδὲ ὀργῆς ἀμετρίαν τὰ ἐπίσημα τῆς ἀρχῆς
ἐποιήσαντο, ἀλλὰ φιλανθρωπίας καὶ μεγαλοψυχίας τὰ κράτιστα
εἰσηνέγκαντο, καὶ τῷ ὄντι ἐδήλωσαν τὴν τροφὴν θείαν οὖσαν ἑαυ-
35 τῶν. ὁ γοῦν λογισμὸς αὐτῶν θεῖος καὶ ὡς ἀληθῶς ἄνωθεν ἔχων
τὸ παράδειγμα καὶ πρὸς ἐκείνην ὁρῶν τὴν πολιτείαν, εἰ δεῖ κεφά-

---

1 *μόνη — μετέβαλε*] cf. ad p. 21, 18 4 *ἀπολαύσηται* RT *ὧσ* sic O 5 *ἀπελασθήσονται* A a. ras. 6. 7 *καὶ οὔτε Εὐρώπην κτἑ.*] cf. or. XXVI § 60. 100 7 posterius *οὔτε* Ddf.: *οὐδὲ* O *ὅροσ οὐδεὶσ διείργων* DU 8 *οὐκαταα-αντισ* A (*-τάαν-* A²; mg. /) R (*-ταάντ-*); *οὐκ ἀτλαντὶσ* T, at *λαν* in ras. 2 litt. T², *οὐκ ἀ/τλαντὶσ* D cf. v. l. p. 132, 21 9 *ὅτι ἂν εἴποι* DU, cf. p. 30, 15 11 *μετα-στησαμένουσ* R¹, *κατα* s. l. add. R² 14 *γε*] *τε* D 15 *παρείχοντο* DUTA²: *παρεῖχον τὸ* A¹R; subiectum (sive Romani sive proavi Caesarum) non sine commentatione quadam supplendum; *τοῖς ἔξω* omnino non intellego: *οἱ ἔξω* neque eae, quae non sunt Romanae originis, gentes esse possunt, quandoquidem et ipsis Romanis annus e. g. 'Apronio Paullo coss.' audiebat, neque crediderim Aristidem se ipsum *τῶν ἔξω* dixisse; denique *πατρόθεν* obscurum; 'M. C. Caesares' intellegit Wil., in quibus patris vel familiae significationem desidero. mendum altius latere videtur 17 *ἀλλήλοις*] *ἄλλοισ* T a. corr. (corr. T¹ aut T²) *οὕτω* DUT 18 *τὴν ὑπερβολὴν — κρείττω*] cf. p. 131, 23 sqq. 19 *βασιλέ* R 21 *ῥώμην — ἀμετρίαν* Canter (prob. Ddf.): *ῥώμηι — ἀμετρίαι* AR², *ῥώμη — ἀμετρία* R¹DUT, qui item dativi 22 *ἀλλὰ κτἑ.*] 'sed subiectis (*τῇ ἀρχῇ* ex *τῆς ἀρχῆς* mente supplendum) stipes magni animi humanique egregias contulerunt'

λαιον εἰπεῖν· ἐπεὶ καὶ θεοὺς αὐτοὺς καὶ τὸν σύμπαντα δὴ κόσμον
τε καὶ οὐρανὸν φιλίαν καὶ κοινωνίαν φασὶν εἶναι τὴν συν-
έχουσαν, καὶ διὰ τούτων τὸν ἀεὶ χρόνον ἀσφαλῶς ἅπαντα πορεύε-
245 J *σθαι, φθόνον δὲ καὶ δυσμένειαν ἐν θεῶν οἴκοις οὐδ' ἐν ἤθεσιν*
οὔτε εἶναί ποτε οὔτε γίγνεσθαι. Οἱ μὲν τοίνυν χαρακώματα 36
καὶ τείχη προσλαμβάνοντες μικροῖς τισι καὶ θνητοῖς ὡς ἀληθῶς
ἐπαύξουσι τὰς ἀρχάς, οἱ δὲ ἀρετῆς καὶ δικαιοσύνης καὶ φιλίας
οὕτω λαμπρὰ καὶ θαυμαστὰ πᾶσιν ἐξενεγκόντες ὁρᾶν παραδείγ-
397 D *ματα, οὗτοι τὴν νίκην ὡς ἀληθῶς ἐκ θεῶν κέκτηνται, οὗτοι τῷ*
τῶν ἀθανάτων στεφάνῳ κεκόσμηνται, τούτους καὶ θεῶν φίλους
ὥσπερ ἀλλήλων εἰκὸς εἶναι καὶ τῶν ἀνθρώπων εὐεργέτας καθαρῶς
νομίζεσθαι. ὥσπερ γὰρ οἱ γράφειν ἀγαθοὶ διὰ τῶν πινάκων τῶν 37
ὑπὲρ κορυφῆς μεθ' ὑπερβολῆς δεικνύουσι τὰ γράμματα ὡς μέ-
γιστα καὶ ὡς κάλλιστα γραφόμενα τοῖς παισὶν μιμεῖσθαι τὸ εἰς
δύναμιν τὴν ἑαυτῶν, οὕτως οὗτοι τὰ κάλλιστα τῶν ἐν ἀνθρώποις
διὰ τοῦ μεγίστου τῶν παραδειγμάτων ἐξέφηναν, ὥστε ἔχειν ἕκα-
στον εἰς δύναμιν εἶναι μιμεῖσθαι καὶ καθάπερ διδασκάλων
τῶν βασιλέων ἀπολαύειν εἰς τὰ αὑτῶν πράγματα. ποῖαι ταῦτα 38
Σεσώστριδος στῆλαι δύναιντ' ἂν ὑπερβαλέσθαι, ἃς ἐκεῖνος ἐπ'
ἀμφοτέραις ἵστη περιών, μᾶλλον δέ που τούτων ἐγγὺς εἶναι δόξαι;
τίς ἀνθρώπων ἅμα τοσαύτην τε ἐνίκησεν καὶ οὕτω λυσιτελῆ τοῖς
νικωμένοις; καὶ γάρ τοι τοῖς μὲν ἄλλοις ὁ φόβος οἰκειοῖ τοὺς ἀρχο-
μένους, ὑπὲρ δὲ τούτων εὐχαὶ καὶ χάριτες κοιναὶ παρὰ πάντων

---

1 *δὴ* om. U 2 *τε* om. T *φασὶν*] certo Empedoclem dicit; *θεοί* sunt *Ζεύς, Ἥρη, Ἀιδωνεύς, Νῆστις,* quattuor elementa, *κόσμον τε καὶ οὐρανόν* paraphrasis Empedoclei *σφαίρου*; oratorem *κόσμον* Empedocli proprie dictum non curasse non mirum 3 *αἰεὶ* A^{r} 4 *δὲ* margo Juntinae Monac. gr. 123 (Oporinus): *τε* O *οὐδ' ἐν ἤθεσιν* om. T; ad *ἤθη θεῶν* cf. Plat. Symp. 195 E 6 *ὡς ἀληθῶς* suspectum, cf. v. 9 9. 10 *τῷ τῶν ἀθανάτων στεφάνῳ*] *τῶ ἀθανάτω στεφάνω* DU^{1} 10 *τούτουσ καὶ* ADU, *τούτοισ καὶ* R: *καὶ τούτουσ* T 11 *τῶν* om. DU *εὐεργέτασ* DUTA^{2}: *εὐεργέται* A^{1}R 12 *γὰρ* om. R 14 *γραφόμενα* Rsk.: *γραφόμενοι* O 17 *εἶναι* del. Rsk. (prob. Ddf.), falsus; e. g. Plat. Politic. 300 C *τὰ παρὰ τῶν εἰδότων εἰς δύναμιν εἶναι γεγραμμένα* *διδασκάλων ἀπολαύειν τῶν βασιλέων* D, *βασιλέων διδασκάλων ἀπολαύειν* U^{1} a. corr., *τῶν* add. et verba transposuit *α* et *β* superscr. (in quo erravit) U pr. m.; deerat *τῶν βασιλέων* in archetypo DU 18 *αὑτῶν* DUT *ταῦτατ(?)ἐσωστρίδοσ* A^{1} (corr. A^{2}), *ταυτ/εσωστρίδοσ* R^{1} quatenus agnoscitur 19 *δύναιτ'* R 20 *ἵστη* UTA^{2}R^{2}, *ἴστη* A^{r}: *στῆ* A^{1}R^{1} (sine accentu), *τῆ* D^{1} insequente lacuna, qua usus *ἀμφοτέραισ* (*οισ* superscr.) *τοῖσ μέρεσι* corr. D^{2}; *ἀμφοτέραις,* sc. *ἠπείροις,* cf. Herodot. II 103 *περιὼν* O *δὲ ποῦ* RDUTA^{2}; *που* ad *ἐγγὺς* referendum, propter hiatum sede sua remotum; om. Baroc. 136 (prob. Ddf.) 21 *τοσαύτην* Wil.: *τοσοῦτον* O; *τοσαῦτα* Rsk.; cf. p. 113, 20 *λυσιτελεῖ* T 22 *τοι*] *τι* D^{1} *ὁ* om. T

οὐκ εὐπρεπείᾳ μόνον εἰς τὸ μέσον γιγνόμεναι, ἀλλ᾽ ἀπὸ τοῦ καθα-
39 ρωτάτου τῆς γνώμης. εἰσέρχεται δὲ ἔμοιγε καὶ τὰ τῶν δύο τῶν
σωτήρων θεῶν, οἳ τὴν γῆν ἅπασαν κατειληφότες σῴζουσι κοινῇ 398 D
καὶ συνεργάζονται, παρ᾽ ἀλλήλους τε πέμποντες καὶ τὰς εὐεργεσίας
τὰς παρ᾽ ἑαυτῶν καὶ τὰς παρὰ τῶν ἀνθρώπων εὐχαριστίας κοινὰς
ποιούμενοι· παρ᾽ οἷς τίνας μᾶλλον τούτων εἰκὸς εὐδοκιμεῖν, ἢ
τίνας ἐν πλείονι τῆς σωτηρίας εἶναι λόγῳ, οἵτινες ὥσπερ προ-
φῆται καὶ μίμημα τῆς ἐκείνων γνώμης γεγόνασι, τὴν καλλίστην
φιλίαν ἐπ᾽ ὠφελείᾳ τοῦ κοινοῦ τῶν ἀνθρώπων συνθέμενοι γένους;
40 Ἄξιον οὖν τοῖς μὲν θεοῖς χάριν εἰδέναι, τοῖς δὲ βασιλεῦσι
συγχαίρειν τε καὶ συνεύχεσθαι, μακαρίζειν δ᾽ αὐτοὺς τοῦ χρόνου, 246 J
καὶ πρὸς τῷ μακαρίζειν ἀπολαύειν τῆς ἀρχῆς τὰ γιγνόμενα. κα-
λοὶ μὲν γὰρ καὶ οἱ τῶν οἰκοδομημάτων οὗτοι κόσμοι καὶ θαυμα-
στῶς πιθανοὶ τοῖς πλήθεσιν, ἀλλ᾽ ἐκεῖνο ἤδη τέλειον καὶ θεοῦ
τινος ὡς ἀληθῶς δωρεά, ὅταν ἀμφότεροι συνᾴδωσιν οἱ κόσμοι,
41 οἵ τε ἐν ταῖς ψυχαῖς καὶ οἱ τῶν οἰκοδομημάτων. ὥσπερ γὰρ ἐν
τούτοις τὰς ἁρμονίας ἐπαινοῦμεν καὶ τὸ σῴζειν ἕκαστα τὴν γιγνο-
μένην τάξιν πρὸς ἄλληλα, οὕτω καὶ ζῆν εἰς κάλλος τοῦτ᾽ εἶναι
χρὴ δοκεῖν, ὅταν ἁρμονία καὶ τάξις διὰ πάντων κρατῇ. οὗτος ὁ
τῶν πόλεων ὡς ἀληθῶς κόσμος οἰκεῖος, οὗτος καὶ ἄνδρα ἰδίᾳ καὶ
πόλιν σῴζει, τοῦτον οὐδὲν δεῖ πρίασθαι χρημάτων δαπάνης οὐδὲ
χρόνων τριβῆς, οὐδ᾽ ὑπηρετῶν . . . . . οὐδὲ μηχανήματα ἱστάντας
πραγματεύεσθαι, ἀλλ᾽ αὐτόν τινα ἕκαστον ἑαυτὸν δεῖ πεῖσαι προ-
42 ελέσθαι τὰ βελτίω. καὶ μὴ θαυμάσητε εἰ μηδὲν ἔχων ἐπιτιμᾶν
εἶτα παραινεῖν ἀξιῶ, μηδὲ τῶν ἐπ᾽ αἰτίᾳ παριόντων μόνων τὴν 399 D
παραίνεσιν εἶναι νομίσητε, ἀλλ᾽ ἔστιν καὶ τοῖς ἐπαινοῦσι προσ-
ήκουσα· δῆλον δὲ ἐκ τοῦ παλαιοῦ τοῦ περὶ τῶν δρομέων θρυλου-
μένου λόγου. οὐδεὶς γὰρ ὡς ἔπος εἰπεῖν προτρέπει τοὺς ὑστάτους

---

2 καὶ τὰ] κατὰ R^1 τῶν σωτήρων] Aristides non Dioscuros, sed Aesculapium et Sarapidem dicit; alterum τῶν del. D^2, fort. recte 3 ἅπασαν] ἅ in ras. A^r 4 παρ᾽ om. U 6 τούτων] ων in ras. R^2, R^1 incertum 11 αὐτοὺσ ARDT 12 τῷ] ex τὸ corr. D^1, ῷι in ras. R^2, R^1 incertum 13 prius καὶ om. Thom. Mag. p. 309, 11 οἰκοδομημάτων] οἰκοδομούντων Thomae Mag. (l. c. 12) libri ex Aristide non correcti οὗτοι] οἵδε DU 14 πιθανοὶ] ποθεινοὶ UD^2 18 καὶ τὸ ζῆν T τό/τ᾽ εἶναι U 19 οὗτος] οὕτωσ R 22 οὐδ᾽] οὐδὲ U ὑπηρετῶν AUT, ὑπ᾽ ἀρετῶν R, om. D; lacunam indicavi, e. g. οὐδ᾽ ὑπηρετῶν ⟨πλήθη μισθουμένους⟩ 23 αὐτόν sic O 25 μόνων sic O; μόνον Junt. (edd.) 26 προσήκουσα RDUT: προσήκοντα A, quod fort. defendi potest (ἃ εἰς παραίνεσιν φέρει) 27 δ᾽ U θρυλλουμένου DU, θωλουμένου A^1, corr. A^r; ad rem cf. Isocr. IX 79; omnino inter nostrae orationis et Isocrateae perorationem similitudo intercedit 28 τοὺσ ὑπάτουσ R

αὐτῶν οὐδὲ τοὺς ὅλως ἀπολειπομένους, ἀλλ᾽ οὓς ἂν ἐγγὺς ὄντας
τῆς νίκης ὁρᾷ. οἶμαι δὲ καὶ τοὺς στρατηγοὺς τοὺς παρακλητικοὺς
τῶν λόγων οὐ πρὸς τούτους ἀναλίσκειν τῶν στρατιωτῶν, οἷς ἂν
ταὐτὸν ᾖ πολλά τε καὶ μηδὲν εἰπεῖν, ἀλλ᾽ οἷς ἂν εἰς δέον μέλλῃ
μάλιστα γίγνεσθαι. ὡς δὲ καὶ ἡμεῖς νῦν οὐδὲν ποικίλον οὐδὲ σο- 43
φὸν λέγομεν πρὸς ὑμᾶς, ἀλλὰ σχεδὸν ταῦτα ἃ ποιεῖτε καὶ ἐν οἷς
τέτραφθε, ταῦτα δ᾽ ἐστὶν ἀρχόντων αἰδώς, νόμων τιμή, ταὐτὰ
φρονεῖν, ἀεὶ μὲν δή ποτε εὐδοκιμοῦν πρᾶγμα, τοῖς δὲ παροῦσι
καιροῖς καὶ σφόδρα συμβαῖνον. νῦν χρὴ πάσας τὰς πόλεις ἀδελ- 44
φὰς ἀλλήλαις ὑπολαμβάνειν, νῦν στάσεις μὲν καὶ ταραχὰς καὶ
247 J *φιλονικίας καὶ τὸ μικρολογεῖσθαι περὶ τῶν ματαίων ἐκποδὼν ἀν-*
ελεῖν, νομίσαντας θηρίων εἶναι νοσήματα ταῦτα κἀκείνοις αὐτὰ
παρεῖναι δεῖν, εἰρήνην δὲ ἀληθινὴν καὶ φιλίαν ἄδολον καὶ δικαιο-
σύνην καὶ τὴν διὰ πάντων εἰ οἷόν τε κοινωνίαν μέγιστον κερδῶν
ὑπολαβεῖν, ἐν μὲν ταῖς ἐπιμιξίαις ταῖς παρ᾽ ἀλλήλους τοῦτο δὴ
τὸ πάλαι λεχθὲν ἐπισταμένους, ξένους εἶναι, ἐν δὲ ταῖς τῶν ξένων
ὑποδοχαῖς ἐλάττω τῆς ἐξουσίας ποιοῦντας, εἰδότας ἔστιν οὗ καὶ
ἧτταν νίκης εὐσχημονεστέραν οὖσαν καὶ πλείονος ἀξίαν. ταῦτα 45
γὰρ ἐξ ἀρχῆς τὰ κράτιστα καὶ τοῖς παροῦσι καιροῖς προσήκοντα
καὶ παρ᾽ αὐτῶν εὐθὺς οἴκοθεν τὴν ὠφέλειαν ἔχοντα καὶ πρὸς τὴν
παρὰ τῶν βασιλέων τιμὴν θαυμαστὸν ὅσον διαφέροντα. ὡς οὐκ
400 D *ἔστιν ὅπως ἂν μᾶλλον αὐτοῖς χαρίζοισθε ἢ οὕτως δρῶντες, ἢ ὅπως*
ἂν μᾶλλον παρ᾽ αὐτῶν ὑμῖν ἃ βούλοισθε γίγνοιτο ἢ εἰ παρέχοιτε
ὑμᾶς αὐτοὺς ὁποίους ἂν ἐκεῖνοι μάλιστα βούλοιντο. σχεδὸν δέ, 46
ὥσπερ ἔφην (§ 43), *οὐδὲν ἀλλοῖον ὧν ποιεῖτε παρῄνεσα, ἀλλ᾽*
ὥσπερ τὸν νεὼν ἐπῄνεσα βλέψας εἰς αὐτὸν καὶ οὐδὲν οἴκοθεν

---

1 *αὐτοῦ* D 3. 4 *οἷσ ἂν μὴ ταυτὸν* RD 4 *μέλλῃ* DUT^2: *μέλῃ* A^1 (*-ηι* A^r) RT 5 *μάλιστα*] *κάλλιστα* D *γίνεσθαι* U 6 *ταὖτ᾽* AR^1, *ταῦθ᾽* DUR^2 10 *ἀλλήλασ* RDU 11 *φιλονειχίασ* O 13 *παρεῖναι*] bestiis relinquere, ad bestias reicere 14 *μεγίστων* R^1 15 *παρ᾽*] *πρὸς* Oporinus 16 *πάλαι λεχθὲν*] certi cuiusdam auctoris dictum significari coll. p. 50, 34 crediderim. iubentur peregrinantes modestia uti et verecundia (*μὴ παρρησιάζεσθαι*); confert Wil. Eur. Med. 222 sqq. Supp. 891 sqq., cf. etiam quae disputat Muson. ap. Stob. III 40, 9 p. 753 sq. H.; *ἐπιμιξίαν* de peregrinatione (non de commercio generatim, quanquam Thuc. V 78 *ἐπιμιξίας — ἀλλήλους* compilavit) dixisse videtur (opponitur *ὑποδοχή*); ceterum cf. Plat. legg. XII 949 E. 18 *ἧτταν — ἀξίαν*] cf. or. XXIII § 71 20 *αὐτῶν* A^{2}T p. corr.: *αὐτῶν* O *οἴκοθεν — ἔχοντα*] cf. [Aristid.] or. XXV § 14, ad *εὐθὺς οἴκοθεν* or. XXXIV § 21 22 *ὅπως ἂν — δρῶντες, ἢ* om. D^1 in confinio fol. 7^v 8^r *αὐτοῖσ* A *αὐτοῖς — 23 μᾶλλον* om. R *χαρίζησθε ἢ οὕτω* U 23 *βούλοισθε* A: *βούλεσθε* RDUT; ad rem cf. Isocr. III 62 *εἰδότες ὅτι κτἑ.* *γίγνοιντο* RT *παρέχοιτε* ARUD^2: *παράσχοιτε* T, *παρέχοντεσ* D^1 24 *ὑμᾶσ αὐτοὺσ* RT post corr. A^2 25 *οὐδὲν ἀλλ᾽ οἷον ὧν* R

εὑρών, οὕτω καὶ νῦν ἴδιον μὲν οὐδὲν οὔθ᾽ εὕρηκα οὔτ᾽ εἴρηκα, ἃ δὲ ὁρῶ ποιοῦντας, ταῦτα ἐπήνεσα καὶ ταῦτ᾽ ἀγαθοῦ χάριν τοῦ συμβόλου, ὅπως μηδὲν ἐλλείποι τῷ λόγῳ τῶν προσηκόντων παρεῖναι. τοσαῦτα καὶ ἡμεῖς ὑμῖν εἰς τὴν πανήγυριν ὡς ἐκ τοῦ παραχρῆμα συμβαλλόμεθα, καὶ ἴσως μετρίως ἔχει.

---

1 *οὔτ᾽ εὕρηκα οὔτ᾽* AR 2 *ταῦτα ἀγαθοῦ* D 3 *συμβούλου*, mg. *γρ. συμβόλου* T[1]; ludit in hac voce, cum v. 5 *συμβαλλόμεθα* usurpet (Wil.) *τῷ λόγῳ* om. T; *προσήκοντα* dicit templi, Caesaris, civitatis Cyzicenorum laudes 4. 5 *παραχρῆμα*] *παραυτίκα* D Subscr. *πανηγυρικὸσ* (om. A) *ἐν κυζίκωι* (-ω T) *περὶ τοῦ ναοῦ* AT

XXVIII.

II 491 D II 365 J
(49) ΠΕΡΙ ΤΟΥ ΠΑΡΑΦΘΕΓΜΑΤΟΣ.

Δεινοί τινές εἰσι νουθετεῖν ἑτέρους ἀφέντες ἑαυτούς· καὶ εἰ

Libri ASQUT = O

Somnio iussus Aristides in laudem Minervae (*Ἀθηνᾶ* § 7. 105; *ἡ θεός* passim) orationem quam etiam nunc nos legimus (*Ἀθηνᾶ*, or. XXXVII) composuit eamque publice de scripto (§ 75 *ὑπὲρ ὧν ἔγραψα*; 21. 137) recitavit (§ 75 *ἐδείκνυον*). in media vero oratione libello deposito substitit atque ex tempore (§ 94 *ἀπὸ στόματος*) quaedam inseruit (§ 2) neque cogitata ante neque parata (§ 137 *ἔξω τοῦ βιβλίου παρελήρησα*; cf. 21 *ἄγραφον*), quibus sui suaeque eloquentiae laudes celebravit, imitatus quadantenus, ut ipse ait (§ 97), comoediarum scriptores Graecos, qui persona deposita de se suisque rebus ad spectatores verba facere solebant. neque iniuria orator hac comparatione usus est; ut enim extra fabulam poetae parabasim esse voluerunt, ita Aristides verba illa ex tempore dicta deae laudationi non immiscuit, sed laudibus integris redditis atque absolutis extra orationem (cf. etiam § 136 *σκηνήν — παρασκήνια*) de oratione sua adiecit ea, quae hanc ob causam *παράφθεγμα* (passim, item *παραφθέγγεσθαι*) audiunt. Fuit autem in corona orator quidam, quem illius laudationis pertaesum est (§ 1. 2), sive quia adversariorum Aristidis e numero erat, sive quia Aristides revera ambitioni suae nimium tribuerat; hoc enim eum fecisse et ex iis quae ipse de laudibus illis prodit luculenter apparet, neque abhorrent talia ab homine vanae ostentationis plenissimo; illud inde concluseris, quod Aristides se hominem istum omnino non novisse profitetur (§ 3. 14); nullus enim dubito adfirmare Aristidem oratoriae simulationis artificio uti (cf. ad p. 147, 10), cum adversarium sibi notum esse negat; summa igitur cum contemptione de homine isto loquitur, quod, si ille ignotus Aristidi fuisset, illepidum foret, sin adversarius, par est; quare rectius fortasse utramque vituperandi causam fuisse dicendum est. Ille igitur amico cuidam Aristidis vel auditori mandavit, diceret Aristidi suo haec (§ 2): non bene eum fecisse, quod orationi laudes illas interposuisset; deforme enim esse de se suisque orationibus praedicare cum qualibet in corona tum apud eos qui bene oratoris virtutes novissent (*ἐν εἰδόσι* § 6. 45—47. 148; cf. Isocr. IX 5 *τὰ τῶν ἄλλων ἔργα κοσμεῖν ἐν εἰδόσι ποιούμενοι τοὺς λόγους*) palmamque ei libenter tribuerent; talia esse *ἀλαζόνος* (§ 49. 12. 36. 78. 104; *ἀλαζονεύεσθαι* 35. 89; *ἀλαζονεία* 63; cf. *αὐθάδεια* 41). His Aristides haud ita multis diebus interiectis (*ἃ πρώην παρεφθεγξάμην* § 36) adversatus est composita *περὶ τοῦ*

μέν γε ἐκ τοῦ εὐθέος προσιόντες ἐποίουν αὐτό, κέρδος ἦν ἂν —

παραφθέγματος oratione, qua quam obtrectator iste *ἀλαζονείαν* dixisset, eam *παρρησίαν* (§ 85. 86. 88. 147) vel *μεγαλοφροσύνην* (§ 149, pro quo plerumque simplex *τὸ φρόνημα* usurpavit) illam vere Graecam esse doceret. Atque ita instituit causam, ut cum sententiae suae testes produceret clarissimos Graecorum poetas scriptores philosophos oratores imperatores artifices legum latores, longae huic enumerationi disputationem interponeret, qua a dis Musisque sese afflatum (*ἔνθεον*) dicendique fervore et furore vere poetico correptum illam artis suae laudationem extra ipsam orationem addidisse probaret (§ 104—134). Neque laude causae sollerter dispositae orator fraudandus: neque enim paucas virtutes neque eas parvas inserta illa disputatione orationi paravit. Primum rei tractationem variavit ita, ut testimoniorum enumeratio iusto non longior fieret neque lectores taedio adficeret. deinde contigit, ut artis facultatisque dicendi splendidius specimen ederet: etenim cum alius sit artis conserere ratiocinationes et argumentationes vel enumerare testes et testimonia, alius adumbrare divinam animi inflammationem aut effingere imaginem oratoris caelesti quodam mentis instinctu verba profundentis, utriusque generis dicendi specimen una eademque amplexus est oratione. adde hoc: nullam dixeris orationis particulam esse, cui orator non immiscuerit venenatos sales irrisionis cavillationis maledictionis, quibus adversarii ignorantiam stultitiam malevolentiam carperet et castigaret ita, ut etiam iudicialis eloquentiae lepor quidem orationi insit. tantum autem abest, ut his conviciis in iudiciali genere solemnibus adspersis artem corruperit, ut vel consummaverit artem: fecit enim sese causam suam dicere contra adversarium sycophantam (§ 3); quare et in exordio et in peroratione velut causidicus cum adversario altercationem iustam (cf. ad § 153) instituit. venio ad laudem eam quam ut postremo loco posui, ita tractationis non ultimam esse iudico. dixerit quis abhorrere quodammodo a sobrietate et siccitate orationis iudicialis evagantem istam et dissolutam eloquentiam, qua Aristides naturam et vim praedicet oratoris mente divina incitati. neque tamen rem pessumdedit. causam quaeris; tribus verbis summam complectar: paraphthegma paraphthegmate defendit. primum orator sensim paullatimque — ita enim finxit — in paraphthegma quasi delabitur (cf. ad § 103), deinde argumentationem in ipso paraphthegmate furatur, cum profitetur se facere non posse, quin mens ratioque oratione auferatur. iam sentis artem? alterum quod adversarius Aristidi vitio verterat — nimiam dico iactantiam — congestis testimoniis fortasse refellere licuit; at restabat alterum gravius: nulla omnino necessitate oratorem coactum fuisse inicere paraphthegma. quod cum nullo modo posset argumentando refutari, Aristides iustae illi argumentationi propriam quandam partem inseruit, qua significare aut adumbrare studuit, cur veri oratoris munus rationibus artis et regulis neque comprehendi neque circumscribi posset. sed cum summam defensionis paraphthegmate inclusit, simul probari rem nequire quadantenus confessus est; quod ne causae suae noceret, aliud artificium adhibuit: locum quem de divino furore non sine sui ipsius laudatione esse voluit, non adnexit testimoniorum enumerationi absolutae, sed mediae interposuit. ita ea quae probare nequibat, testimoniorum agmine et turbine cincta quasi obruit ac texit totique argumentationi et tractationi speciem integri iudicii solique rei intenti quam maxime vindicavit. est autem

ἢ γὰρ ἐπείσθη τις ἂν ἢ πείσας ἀπήλλακτο —· νῦν δ' ἑτέρους

---

summa defensionis haec. ʿOrator qui quidem praeclaro hoc nomine vere dignus est, a dis Musisque incitatus necessario sentit cogitat agit dicit, quae eum sentientem augureris, cogitantem suspiceris, agentem vides, dicentem audis: ea enim numinis vis est in illo conspicua. talia nulla ratione comprehenduntur neque ei sunt intellegenda, cuius nunquam pectus deus caelesti furore percussit. quid? quod tanta vi flumen orationis numine incitatae rapitur, ut optimus quisque orator maxime pronus sit ad evagandum in loca sublimiora ratione humana? nonne et ego ipse et haec mea oratio exempla quam splendidissima? quamvis enim rem instituissem ita administrare, ut solis in testimoniis colligendis et componendis versarer, qua ratione nescio an aridior vel ieiunior cogitari non possit, tamen iterum mihi subnatum paraphthegma, quo verba de me meisque rebus facio. neque id vitio mihi dandum, quod superba fortasse videntur quae dico: caelesti numine afflatus qui loquitur, eum consentaneum est magis quam ceteros mortales sibi suaeque virtuti confidere. necesse mihi erat edere et hoc paraphthegma, quod nunc non proloqui non potui, et illud prius qualecunque fuit. quae enim patitur verus orator, ea agit et dicit: non potest aliter. dis quis obviam eat?ʾ Haec Aristides. — Scio equidem et fuisse et esse plerosque qui hanc orationem acerbissime vituperarint propter fastuosam qua repleta sit auctoris iactantiam; neque ego causam laudo: laudatam volo artem, quam minime perspexerunt qui solam spectant rem. sed ne quis nimiis me laudibus dicat dispositionis et tractationis artem extulisse, re vera huic orationi inesse paraphthegma ex iis probabo, quae ipse Aristides de prioris paraphthegmate memoravit. Atque initium ab ipsa ea oratione videtur fecisse, quam declamavit in Minervae laudem compositam; ita enim interpretanda esse opinor quae adversario obvertit, se non in universum de orationibus suis vel de tota arte verba fecisse, sed de una illa quam manibus tenuisset oratione (§ 75 *ἐγὼ — παρεφθεγξάμην*). immo certissimum est Aristidem etiam de se suaque arte fusius dixisse; quod non vereor ne neget qui et attente orationem legerit et ipsum oratorem bene noverit. iam vero cum orationi suae ʿMinervaeʾ summas laudes vindicasset, statim de virtutibus orationis sive singillatim sive generatim disseruit, ut et rationem laudis huius daret et auditores hebetiores edoceret, ne lumina orationis eos fugerent neu quemquam lateret, qua voluptate frui liceret homini artis perito in audiendo oratore (*ἐπιστροφῆς ἕνεκα καὶ τῆς κοινῆς ὠφελείας τῶν ἀκουόντων* § 105. 8. 41, *ἑτέρους ὠφελῶν* 43; *πρὸς τούτους παρρησιάζεσθαι κατ' εὔνοιαν* 147, quae omnia quid sibi velint, e § 119 sqq. perspicitur). tum perrexit: ʿnon mirum esse, si ipse singulare quoddam artis specimen illa sua oratione edidisset, cum verba ei inessent, quae ab ipsa Minerva sibi inter somnium essent subministrata (§ 21 *ὅτι καὶ ἀντικρὺς — προὔδειξεν*). huic igitur deae confisum (*καὶ σὺν τῇ θεῷ* § 94), confisum etiam Aesculapio somnii auctori sese non veritum esse libere profiteri, quae de sua ipse oratione iudicaret (§ 75 *καὶ ταῦτα τοῖς φήνασι θεοῖς θαρρῶν*). neque vero hanc unicam orationem deae Musisque (§ 21 *ἃ προήχθημεν — τῇ θεῷ*) se debere, immo quicquid in arte et eloquentia illum usque ad diem praestitisset, omnia dis Musisque se accepta referre. divino enim furore impletum se orationes suas et componere et perorare; divinitus delata qui uteretur eloquentia quid mirum si diceret divinitus et arti cumulum addidisset et omnium totius aevi oratorum esset summus?ʾ Aristidem autem hoc sibi nomen

διακόνους ὑποβαλλόμενοι τῆς συμβουλῆς ὡς ἀληθῶς σκιαμαχεῖν
ἀναγκάζουσιν. καὶ τὰ προοίμια δεινῶς ἐκ κύκλου αὐτῶν ʽὡς μὲν
ἔχω πρὸς αὐτὸν εὐνοίαςʼ, ʽὅτι μὲν εἷς εἰμι τῶν φιλούντωνʼ τὰ
2 *τοιαῦτα· ταῦτα δʼ ἐστὶ πλεῖον ἢ ναυτιᾶν. καὶ τοίνυν καὶ πρώην*
τις τὸ αὐτὸ πρόβλημα ποιησάμενος ἀπαγγέλλειν ἑνὶ τῶν ἐμῶν
ἐκέλευεν πρός με, ὡς ἄρα οὐκ ὀρθῶς παραφθεγξαίμην μεταξὺ τοῦ
ἐγκωμίου καὶ τῶν λόγων τῶν εἰς τὴν θεόν· οὐ γὰρ εἰκὸς ἄρα εἶναι
περὶ αὐτοῦ καὶ τῶν αὐτοῦ τι λέγειν τινά, ἄλλως τε καὶ ἐν τοῖς
ἀκριβῶς εἰδόσι· πάντως δὲ εἰδέναι πάντας περὶ τῶν λόγων τῶν
ἡμετέρων ὅσον τι ὑπερέχουσιν — τουτὶ γὰρ προσετίθει — καὶ ὅτι 492 D
εἴ τι ἄλλο ἄλλῳ, καὶ τοῦτο ἡμῖν ἀπείργασται· πολλὰ τοιαῦτα
ἐχαρίζετο τοῦ παραδέξασθαι τὴν αἰτίαν ἡμᾶς. φέρε δὴ καὶ πρὸς
τοῦτον ἀποκρινώμεθα, ἐπειδή γε καὶ ὁ χθιζινὸς ἡμῖν ἑστιάτωρ ἔχει
τὴν ἀξίαν.
3 *Πόθεν οὖν ἂν αὐτὸν ἐπιχειρήσαιμεν ἀρξάμενοι μεταπαιδεύειν,*
ἄνδρα οὕτω σεμνὸν καὶ πόρρω σοφίας ἐλαύνοντα ὥστε καὶ ἑτέρους
ἐπιχειρεῖν νουθετεῖν οὑτωσὶ ῥᾳδίως; ἐγὼ μὲν ὑπὸ σπουδῆς μοι
δοκῶ τὸ τελευταῖον πρῶτον ποιήσειν, παρέξομαι γὰρ αὐτὸν καθʼ
αὑτοῦ μάρτυρα, ὅτι συκοφαντεῖ. καὶ δὴ παρέστω μὲν ἁνήρ, εἴτʼ
οὖν πάρεστιν εἴτε μή· οὐ γὰρ οἶδά γε αὐτὸν ὅστις ὢν τυγχάνει,

---

in paraphthegmate priore arrogavisse tacite ipse testatus est verbis: *ἄνθρωπον δὲ ἐν ὀλίγοις ἐξεταζόμενον, οὐδὲν γὰρ ἄλλο λέγω τὰ νῦν περὶ τῶν ἐμαυτοῦ λόγων* § 88, neque alia subest sententia verbis quae in fine laudationis Minervae posuit: *νικῴμι δὲ ὅσον βούλομαι, ἐν αὐτῷ δʼ ἐμοὶ πρώτῳ νικῴη τὰ βελτίω* (sc. *ἢ κατʼ ἄνθρωπον*). cum his compara quod ego nostrae orationis paraphthegma esse dixi: videbis eisdem id sententiis repletum esse. singula persequi non attinet; ipse legas, in propatulo sunt; hoc unum addam, ne eum quidem locum deesse, quo auditores de virtutibus orationum suarum edocere studet (§ 119—121), ita ut ex hoc nostrae orationis loco ea intellegantur, quae de eodem loco paraphthegmatis orationi ʽin Minervamʼ additi obscure significare nunc satis habuit. Haec igitur Aristidis ad adversarium responsio erat: en tibi alterum eiusdem mentis paraphthegma in ipsam receptum orationem; adeo non me piget prioris illius additi extra orationem

1 *ὡς ἀληθῶς σκιαμαχεῖν*] imitatur Plat. apol. 18 D (Schmid p. 174) 2 *προοίμια δὲ δεινῶσ* TQ²U² *δεινῶς ἐκ κύκλου*] ʽcallidam habeat circuitionemʼ (Canter) 3 *φιλούντων καὶ τὰ* TU² 4 *δʼ* om. Q¹ *πλείω* U 6 *ἐκέλευσε* UTQ² mg. c. *γρ.* 7 *ἄρʼ εἶναι* U; *εἶναι ἄρα* Q 8 *αὐτοῦ — αὐτοῦ* A¹S¹Q¹ (corr. AʳS¹Q¹) *ἐν τοῖσ* in ras. arctiore U² 9 *δʼ* U 10 *τι* scripsi: *τε* O 11 *τοῦτο*] ʽsi quid aliud alius bene fecissetʼ (Wil.) 13 *γε* sic O *χθιζινὸς* Ddf.: *χθιζηνὸσ* nunc A, at *ην* in ras. c. II litt. A², *χθιζὸσ* Q, at *ζ* in ras. c. II litt. Q², *χθιζὸσ* SUT Thom. Mag. p. 391, 13; *τῶν χθὲς δαιτυμόνων* Plat. Tim. init., quod invertit; orator dicit eum, contra quem or. XXXIV conscripserat, cf. ad p. 147, 10 15 *ἐπιχειρήσαιμεν*] *αι* in ras. Q² 19 *ἁνήρ* Ddf.: *ἀνὴρ* O 20 *γε* s. l. Q¹, ut vid.

οὔκουν ἔγωγε οὐδ' αὐτὸν ὅλως — ἀποκρινέσθω δὲ ὡς παρών. τὸ 4
δὲ ἐρώτημα τοιοῦτον· 'ὦ ἄριστε ἀνδρῶν, ὅτι μὲν συγχωρεῖς ποιεῖν
366 J λόγους, εὖ ποιεῖς· τοσοῦτον δ' ἡμῖν εἰπέ, πότερον συγχωρεῖς μὲν
ποιεῖν αὐτούς, γιγνώσκειν δ' οὐκ ἐπιτρέπεις περὶ αὐτῶν τούτων
ἅ τις ποιεῖ; καὶ τί γένοιτ' ἂν χάριεν τοῦ ποιοῦντος μέν, οὐ γιγνώ-
σκοντος δὲ ὃ ποιεῖ; ἆρ' οὖν γιγνώσκειν μέν ἐστι περὶ τῶν πραγ-
μάτων, φρονεῖν δὲ ὑπὲρ ὧν γιγνώσκει τις οὐκ ἔστιν; ἀλλὰ μὴν
τοῦτό γε αἴνιγμα καὶ πέρα γε ἴσως αἰνίγματος ἂν εἴη. οὔκουν
περὶ ὧν φρονεῖν, περὶ τούτων καὶ λέγειν φασὶ δεῖν οἱ σοφοί, εἰ
μή τι σὺ κἀνταῦθα ἕτερον λέγεις; σκόπει τοίνυν ὡς τὸ πᾶν ὡμο- 5
λόγηκας ἓν τὸ πρῶτον δούς. εἰ γὰρ ἓν μὲν τῶν καλῶν κατ' αὐτόν
σε τὸ τοὺς λόγους ποιεῖν, ποιεῖν δὲ ἀμήχανον καλῶς ὁτιοῦν μὴ
493 D γιγνώσκοντα περὶ αὐτοῦ, ἀλλὰ μὴν περὶ ὧν γε γιγνώσκειν, περὶ
τούτων ἀνάγκη καὶ φρονεῖν, περὶ δ' ὧν φρονεῖν, καὶ λέγειν, δέ-
δωκας περὶ ὧν τις ποιεῖ, περὶ τούτων χρῆναι καὶ λέγειν. 'Νὴ 6
Δί' ἀλλ' ἐν εἰδόσιν ἦν τὰ λεγόμενα'. τί δῆτ' ἂν ἐποίησας, ἢ οὐ
κατηγόρησας ἄν, εἴ μ' ἔλαβες ψευδόμενον, ὅς γε ὧν ἅπαντας εἶναι
φῂς μοι μάρτυρας, ταῦθ' ὡς οὐ προσήκοντα ᾐτιάσω; καὶ ὡς ἔοικεν,
ἂν μὲν Δημοσθένην ἢ Μιλτιάδην ἢ Θεμιστοκλέα ἢ τὸν ὁμώνυμον
ὑποκρίνωμαι, τότε μὲν πολὺ σοῦ κατ' αὐτόν σε ἀμείνων εἰμὶ γνῶ-
ναι τοὺς ἑκάστῳ προσήκοντας λόγους· οὓς δ' ἐμοὶ περὶ ἐμοῦ καὶ
τῶν ἐμῶν προσήκει ποιεῖσθαι λόγων, τούτους δὲ σὺ καλλίων εἰ-
δέναι; καὶ πῶς ἂν σοὶ παριεὶς εἰδέναι βέλτιον ὀρθῶς ἂν φρο-
νοίην; καὶ μὴν τὸ μὲν ἐκείνων ἦθος εἰκάσαι δεῖ με, τὸ δ' ἐμαυτοῦ 7

---

1 *οὔκουν — οὐδ'*] cf. p. 98, 2; 112, 13 *οὐδ'* ASQ[1] a. corr.: *οἶδ'* UTQ[1] p. corr.; *οὐδ' ⟨εἶδον⟩ αὐτὸν* Rsk.[2]; potius reticentiae interruptionisque figura agnoscenda; supplendum aut mente aut inter verba *εἰ γέγονεν* (sc. *οἶδα*); cf. Sonny, ad Dion. Chrys. anal. p. 200 5 *γινώσκοντοσ* UT 8 *γε* om. U *οὐκοῦν* O 9 *λέγειν — δεῖν*] ratiocinatio a captione dialectica non libera; quos significet philosophos (*σοφοί*), non certum: cf. Anon. *διαλέξ.* (post Sext. Emp.) p. 50, 15 Web.: *δεῖ — τὸν μέλλοντα ὀρθῶς λέγεν, περὶ ὧν ἐπίσταται, περὶ τουτῶν λέγεν* et Muson. ap. Stob. III 40, 9 p. 754, 15 sqq. H. *ὁ δὲ ἀνδρεῖος — θαρρεῖ —, διὸ καὶ λέγει ἃ φρονεῖ θαρρῶν* 11 *δούς*] *ἀποδούσ* corr. Q[2] 12 *τοὺς* om. U 13 *γινώσκοντα* SQU *περὶ ὧν* U (Vat. 1299): *ὑπὲρ ὧν* ASQT *γε* om. Q[1] (item Vat. 1299; add. s. l. Q[2]) *γινώσκει|περὶ* U 14 *καὶ* prius s. l. add. Q[1] 16 *ἀλλ' ἐν* UT: *ἀλλ' ἐν* (ει s. l.) A pr. m., ut vid., *ἀλλ'//ἐν* SQ *ἤ τί οὐ* US[2] 17 *με* Q *ὧσ γε* S a. ras. 19 *Δημοσθένην κτέ.*] non orationem pro Quattuorviris significat, sed declamationes (cf. e. g. Philostr. v. s. II 9), quas Demosthenis, Miltiadis, Themistoclis, Aristidis (*τὸν ὁμώνυμον*, cf. Demosth. III 21) personis indutus dixit; illa post morbem, nostra oratio inter morbum composita 20 *ὑποκρίνωμαι*] *ω* ex *ο* Q[2], *ω* in ras. U[1] *πολὺσ οὐ* A[1]Q[1] a. corr. (corr. A[2]Q[1]) 21 *οὓς — 22 ποιεῖσθαι λόγουσ* omissa add. mg. Q[1] 22 *λόγων* scripsi: *λόγουσ* O; cf. p. 144, 1 *κάλλιον* Q[1]

σαφῶς, οἶμαι, ἐπίσταμαι. καὶ νῦν εἰ μὲν περὶ τῆς Ἀθηνᾶς αὐτῆς
ἐχρῆν εἰπεῖν, ἐγὼ βελτίων ἦν σοῦ γνῶναι τοῖς σοῖς λόγοις, ἃ δ'
ὑπὲρ τῶν λόγων τῶν εἰς τὴν Ἀθηνᾶν σὺ κρείττων ἐμοῦ; καὶ τοὺς
8 *μὲν ἄλλους ἐπίστασθαι φῂς αὐτά, αὐτὸν δέ με οὐκ ἐᾷς; καὶ*
σὺ μὲν ἡμῖν ἐπιτιμᾷς, ἐμοὶ δ' οὐκ ἐξέσται τοῖς οἷος [εἶ] σύ, καὶ
ταῦτα ἐπιστροφῆς εἵνεκα; καὶ σὺ μὲν ὢν ἀκροατὴς μετείληφας
ῥήτορος σχῆμα, τὸν δὲ ῥήτορα ἀξιοῖς ἡσυχίαν ἄγειν εἰς τὰ οἰκεῖα,
9 *καὶ ὑπὲρ μὲν τῶν ἄλλων λέγειν, ὑπὲρ δ' ἑαυτοῦ σιγᾶν; τί δῆτ'*
ἄν, εἰ ἡμῖν ἐδεδώκεις ἐξελὼν
ὁππόθι πιότατον πεδίον Καλυδῶνος ἐραννῆς (Hom. *I* 577)
ἢ περὶ οὗ Χαλκιδεῖς ποτε καὶ Ἐρετριεῖς διέστησαν ἢ τὸ μέσον 367 J
Κορίνθου καὶ Σικυῶνος, ὁ χρησμὸς ἔφη, ὅτε ἁπλῶς οὑτωσὶ φιλίας 491 D
ἕνεκα αὐτῆς παρών τε καὶ ἀπολαύων τῶν καλλίστων, οἷα ἂν τὰ
ἡμέτερα εἴη κάλλιστα — εἰ μὴ ἄρα σοι καὶ τοῦτο προσίσταται —,
σὺ δ' οὐδὲ τοσοῦτον ἡμῖν ἐν μισθοῦ μέρει κατέθου, ὅσον εἰ καὶ
10 *τι παρεληρήσαμεν τοῦτο συγγνῶναι· οὐκ οἶσθ' ὅτι κἂν τοὺς ἐν*
Αἰγύπτῳ νομοὺς συνθεὶς κἂν τὴν γῆν τὴν Βαβυλωνίαν προσθεὶς
μισθὸν ἐμοὶ διδῷς τούτων τῶν λόγων — ἀνιάσω γάρ σε καὶ νῦν
— οὐδέποτ' ἐγγὺς ἀφίξῃ τῆς ἀξίας; ἀλλὰ τίς ἡμέτερος μισθὸς
καὶ πρέπων ἡμῖν; φιλία, εὔνοια, σύνεσις, μνήμη, μετρία τιμὴ τῶν
λόγων, αἰδὼς τοῦ ποιοῦντος τοὺς λόγους.
11 *Ἐπεὶ δὲ δέδοικας μή τινος αὐθαδείας ἢ ἀλαζονείας ταῦτ'*
ἐγγὺς εἶναι δοκῇ, φέρε ἐγώ σε παραμυθήσωμαι. σκόπει δῆτα
ἀκούων ὡς ἔχω περὶ τούτων, κἂν λάβῃς ψευδόμενον, τὸ τοῦ

---

3 *τῶν* posterius om. Q^1 4 *δ' ἐμοῦ οὐκ* Q 5 *εἶ* AST, om. QU, seclusi 6 *ἐπιτροφῆσ* S^1, cf. locos p. 141 adn. congestos *ἕνεκα* U 7 *ῥήτορ' ἀξιοῖσ* U 8 *τῶν* om. T *δὲ αὐτοῦ* A^1 (corr. A^r) *τί δῆτ' ἂν*] sc. *ἐποίησας* cf. p. 143, 16 (Rsk.). Sententia v. 6—17: 'quid fecisses, si mihi orationum declamatarum mercedem pependisses, cum gratis et amicitiae ergo pulcherrimis rebus perceptis, quales sint nostrae pulcherrimae — nisi haec quoque verba te offendunt —, ne eam quidem mercedem persolveris, ut, si quid nobis peccatum esset, id nobis condonares. an ignoras cum nostrarum orationum praestantia ne ea quidem posse comparari quae pretiosissima orbis terrarum habentur?' Parenthesi v. 12 *εἰ — προσίσταται* inserta factum est, ut orator leve anacoluthon admitteret, quod deletis *σὺ δ'* (v. 15) facile tollere licuit 10 *ἐρανῆσ* S^1 (Hom. Laur. D), *ἐρατεινῆσ* Q (*-είνησ*) S^2 (Hom. Laur. C pr. m.) 11 *περὶ οὗ κτέ.*] campus Lelantius; invertit Thuc. I 15, 3 (*ποτὲ — Χαλκιδέων καὶ Ἐρετριῶν — διέστη*) 12 *χρησμὸς*] '*εἰ τὸ μέσον κτήσαιο Κορίνθου καὶ Σικυῶνος*' Athen. V 219 A (cf. Schol. Aristoph. Av. 968; plura apud Bursian, Geogr. v. Griechenl. II 1, 10, 1) *ὅθ'* U 17 *βαβυλωνίαν ἡμῖν προσθεὶσ* U 18 *τουτωνὶ τῶν* U 20 *πρέπον* S^1 *φιλία* ASDU add. Q^1 mg.: om. in textu Q^1 (Junt., et abesse vult Wil.) 22 *ἀλαζονίασ* A^1 (corr. A^2) S^1 23 *δοκῇ*] *ῃ* ex *εῖ* corr. T^1, *δοκεῖ* Q *σε*] *σοι* U *παραμυθήσομαι* QT

Σοφοκλέους (O. T. 462), *φάσκειν ἐμὲ ἤδη μηδὲν φρονεῖν, καὶ*
τὴν μαντικὴν διάγραφε. *ἐγὼ νομίζω τὸν μὲν τῶν ὑπαρ-*
χόντων μεῖζον φρονοῦντα ἢ καὶ σχηματιζόμενον πρὸς τοὺς πολ-
λοὺς ὡς ἂν ἐκπλήξειεν εἴτε λόγοις εἴτε καὶ πράξεσιν, οὐχ ὑγι-
αίνειν, ἀλλ' εἶναι τοῦτον ἐκεῖνον τὸν ἀλαζόνα καὶ γόητα καὶ ὅ
τι τοιοῦτον βούλει καλεῖν· ὅστις δ' εἰς ὅσον ἥκει δυνάμεως ἐξεπι-
στάμενος πρὸς τοῦτο καὶ [τὴν ἀξίαν] φρονεῖ, καὶ μηδὲν πλέον
μήτε ζητεῖ μήτε θηρᾶται, τοῦτον ἀκριβῶς τὸν τῆς ἐλευθερίας ὅρον 12
πληροῦν· ὥσπερ γε κἂν χρήμασιν ὅστις μὲν οἶμαι πλείω τῶν ὑπαρ-
χόντων τὸν ὄγκον περιβάλλεται καὶ περινοστῶν σοβεῖ διὰ κενῆς
495 D *καὶ τοῦτ' ἐσπούδακεν ἐξαπατᾶν τοὺς ἐντυγχάνοντας, ἀλαζόνα που*
καλοῦμεν καὶ βλᾶκα καὶ χαῦνον τοὺς τρόπους· ὁ δ' αὖ ταπεινό-
τερος ἢ κατὰ τὴν δύναμιν ἀξιῶν φαίνεσθαι καὶ συστέλλων ἑαυτὸν
[ἐπίτηδες] εἰς τοὔλαττον ἑκὼν καὶ προχειρότερος ἐξαρνεῖσθαι τὰ
ὄντα ἢ ὁμολογεῖν οὐ μάλα ἐν ἐλευθέροις ἐστίν, κἂν εἰ μικροπρεπῆ
καὶ γλίσχρον καὶ τοῦ κέρδους ἥττω καλοίης, τυγχάνοις ἂν μᾶλλον
τοῦ προσήκοντος· οὕτως οἶμαι καὶ περὶ τῶν λόγων ἔχει, καὶ 13
πάντων, ὡς εἰπεῖν, τῶν ἐν τῇ φύσει· πρὸς τὴν ἀξίαν ἕκαστον κρί-
368 J *νεται, καὶ ὅ γε ἁπλοῦς ἀνὴρ καὶ οὐ πολλαπλοῦς οὗτός ἐστιν ἐμοὶ*
δοκεῖν, ὅστις οἶδεν μὲν ἐπὶ τοῖς αὑτὸς αὑτοῦ μεῖζον φρονεῖν, οἶδεν
δὲ ἔλαττον, ἐπαινεῖ δὲ καὶ τὰ αὑτοῦ καὶ τὰ τῶν πλησίον, ἂν αὐ-
τὸν προσίηται, ψέγει δὲ καὶ τὰ αὑτοῦ καὶ τὰ τῶν πλησίον, ἄν τι
τοιοῦτον ἐνευρίσκῃ, μηδὲν τοῦ δοκοῦντος ἀληθοῦς εἶναι προτιθεὶς
μηδαμοῦ. *σκόπει δὲ κἀνθένδε — ἐμοὶ γὰρ σὺ ἴσως οὔπω ἐν-* 14

3 *καὶ* om. Q[1] 4 *καὶ* om. T 7 *τὴν ἀξίαν* seclusi, interpretamentum ad vv. *εἰς — τοῦτο* 8 *ζητεῖν μήτε θηρᾶσθαι* Q 9 *κἂν*] *καὶ* U *πλείω — τὸν ὄγκον περιβάλλεται*] cf. Isocr. II 25 *μεγαλόφρονας νόμιζε μὴ τοὺς μείζω περιβαλλομένους ὧν οἷοί τ' εἰσὶ κατασχεῖν* et Plut. Pomp. 23 *σεμνότητα περιβαλλόμενος — καὶ ὄγκον*; sequitur Aristot. eth. Nic. IV 7 sqq. (1123 b 2. 9. 14; 1125 a 17. 22. 28), imprimis 1127 a 20 sqq.: *ἐν λόγοις καὶ πράξεσιν* (cf. v. 4) — *μειζόνων ἢ ὑπάρχει* (9) — *ἀρνεῖσθαι τὰ ὑπάρχοντα* (14) — *ἀληθευτικὸς* (23) — *τὰ ὑπάρχοντα ὁμολογῶν* (21. 22) — *οὔτε μείζω κτέ.* (20. 21) 13 *τὴν* om. Q[1] 14 *ἐπίτηδες* seclusi, cf. addenda *ἑκὼν* s. l. Q[1] 15 *ἐστὶν* (*-ίν*, Q) *ἢ κἂν* A[1] (corr. A[r]) Q a. ras. 17 *οὕτω* A[1] (corr. A[r]) 18 ante *πρὸς* distinxi 19 *οὐ*] *ὁ* U *πολλαπλοῦς — δοκεῖν*] quasi impugnans Plat. rp. III 397 E (Ddf.) 20 *αὐτὸσ αὐτοῦ* S[1], *αὐτοῖσ αὐτοῦ* Q[1] 21 *αὑτοῦ* T p. corr. Q[2]: *αὐτοῦ* ASQ[1]T a. corr., *ἑαυτοῦ* U *καὶ τὰ τῶν — 22 αὑτοῦ* omissa add. Q[2] mg. *πλησίων* S[1] 22 *τὰ αὑτοῦ* AS, *τὰ ἑαυτοῦ* U 23 *ἐνευρίσκῃ* AS[1]T: *ἀνευρίσκῃ* U[1] (ut vid.) S[2]Q[2], *εὑρίσκῃ* Q[1]U[2] 24 *σκόπει δὲ κἀνθένδε κτέ.*] 'vide etiam hoc: nihil dico esse magis iniquum quam omnes idem de se sentire. hoc ipse te possum docere, sed mihi non credis, quamvis liceat tibi videre quam severus in me ipsum esse soleam; itaque Apollinem audi idem dicentem'. quae ita dicere maluit: 'vide etiam hoc — sed me non audis . . . .; at consentit Apollo, quem te audire par est (p. 146, 11) *δὲ*] *δὴ* U

ἔτυχες, ἐπεὶ ἔγνως ἂν ὅσα ἐπὶ τῶν ἐμαυτοῦ ψέγω· ἃ γὰρ διαγρά-
φω καὶ μεταποιῶ, πῶς οἴει με πρὸς ταῦτα ἔχειν; φημὶ δὲ τοῦ
πάντας ἴσον φρονεῖν ἐπὶ τοῖς ἑαυτῶν οὐδὲν εἶναι μᾶλλον κατ᾽
ἀνθρώπους ἄνισον. ἀλλά μοι δοκεῖ καὶ τὸ γράμμα τὸ θεῖον ἄντι-
κρυς τοῦτο κελεύειν καὶ λέγειν τὸ ʽγνῶθι σεαυτόνʼ, οὐχ ἁπλῶς οὑ-
τωσὶ ʽφάθι μηδὲν εἶναιʼ, ἀλλὰ ʽμήτε ὑπερβάλῃς μήτε ἐλλίπῃςʼ.
ἐπικυροῖ δὲ τὸ δεύτερον γράμμα καὶ ἐπισφραγίζεται ὅτι οὗτός
ἐστιν ὁ νοῦς τοῦ προτέρου· τὸ γὰρ ʽμηδὲν ἄγανʼ εἰς τοῦτο οἶμαι
15 φέρει. τὴν οὖν ἀξίαν ὅ τ᾽ Ἀπόλλων, ἅτε μάντις καὶ ποιητὴς ὢν καὶ
κατ᾽ ἀμφότερα ἐξηγητὴς τῆς ἀληθείας, παρακελεύεται τιμᾶν, σύ τ᾽
ἂν εὖ φρονῇς καὶ μὴ θεοῖς ἐχθρὸς ᾖς, σκέψῃ πανταχοῦ, † σκέψῃ δ᾽
ὅπως ἁπάντων τῶν ὑπαρχόντων οὐ δείξεις † ἀτιμάζων, ἀλλ᾽ ἐπὶ παν-
τὸς ἀεὶ παραλαμβάνων οὕτω κρινεῖς, ἀναφέρων ἐπ᾽ ἐκεῖνο τὴν γνώ- 496 D
16 μην, τὸ ποῖός τις ἕκαστος ἡμῶν καὶ πόσου τινὸς ἄξιος. τὰ γὰρ αὐτὰ
τοῖς μὲν ἄξια, τοῖς δ᾽ οὔ· οἷον ὅταν μὲν ὁ Θερσίτης λέγῃ (*B* 231)

ὃν κεν ἐγὼ δήσας ἀγάγω ἢ ἄλλος Ἀχαιῶν,

γέλως ἐστίν, οἶμαι. ʽσὺ δήσας; εἰ δὲ μὴ σὲ ἕτερος αὐτῶν [τῶν
Ἀχαιῶν], οὐκ ἀγαπήσεις; οὐ γνώσῃ κατὰ τοῦ νώτου ληρῶν;ʼ ἀλλ᾽
ὅταν γε Ἀχιλλεύς, οἶμαι, διηγῆται (*I* 328 sqq.)

δώδεκα δὴ σὺν νηυσὶ πόλεις ἀλάπαξ᾽ ἀνθρώπων,
πεζὸς δ᾽ ἕνδεκά φημι κατὰ Τροίην ἐρίβωλον·
τάων ἐκ πασέων κειμήλια πολλὰ καὶ ἐσθλὰ
ἐξελόμην, καὶ πάντα φέρων Ἀγαμέμνονι δόσκον,

17 οὐδείς ἐστιν ὅστις ἔτι νεμεσήσει τῶν Ἀχαιῶν. διὰ τί; ὅτι συμ-
βαίνουσιν οἱ λόγοι τοῖς ἔργοις. ʽτρεῖς καὶ εἴκοσι, φησί, πόλεις
εἷλον.ʼ τί οὖν; οὗτος αὐτὸς τὰς ἁπάσας; οὐκ ἔχομεν ἀντειπεῖν.

---

1 ἐπὶ suspectum Rsk.[2] διαγράφω] δια s. l. add. Q[2] 3 παντὸσ Q[1] αὐτῶν U 4 ἄντικρυς omissum add. U[2] mg. 5 σαυτὸν U 6 μηδέν᾽ ci. Rsk.[2] ὑπερβάλλησ Q ἐλλίπησ QTA p. ras. U p. ras.: ἐλλείπησ A a. ras. SU a. ras. 7 δὲ ⟨καὶ⟩ τὸ Rsk.[2] 8 τοῦτο] malim ταὐτὸ 9 φέρει τὴν νουν (unde οὖν Wil. quod recepi) ἀξίαν A[1], φέρει τὴν νῦν ἀξίαν Q, φέρει τὸν νοῦν ἀξίου S[1] (corr. ἀξίαν S[2]), φέρειν τὸν νοῦν ἀξιοῖ TA[2]U[1]; τὴν γοῦν ἀξίαν U[2] mg. (Vat. 1299), coniectura inventum; τὴν τοίνυν (ex νῦν Junt.) ἀξίαν Rsk. 10 σύ τ᾽] σύ S[2] ex σὺ τ᾽ S[1] 11 σκέψῃ πανταχοῦ (vel πανταχοῦ σκέψῃ) om. Q 12 ἁπάντων] ἀξίαν τῶν ci. Rsk. δείξεισ ASUT, δόξεισ Q; locus corruptissimus; e. g. propono: σκέψῃ πανταχοῦ· σκέψῃ δὲ πῶς; ⟨εἰ τὴν⟩ ἀξίαν τῶν ὑπαρχόντων οὐκ [δείξεις] ἀτιμάζων, ἀλλ᾽ — οὕτω κρινεῖς κτἑ.; ad πῶς responderet insequens enuntiatum (οὕτω); ne in figura interrogationis haereas, prohibent § 17. 22; de οὐ cf. Schmid p. 62 13 ἐκείνω QT[1] a. corr. (corr. T[1]) 15 λέγει S 17. 18 τῶν Ἀχαιῶν seclusi (αὐτῶν ἢ τῶν ἀχαιῶν Vat. 1299) 19 γε] om. U, μοι T 21 τροίην om. S[1] (in confinio paginarum 160[r v]) 22 πασάων U 24 ἔτι] mg. c. γρ. Q[2], μή οἱ Q[1] 25 τρεῖσ γάρ φησι καὶ εἴκοσι Q 26 αὐτὸσ Q (Junt.): αὐτὰσ AST, αὐτὸσ αὐτὰσ U

369 J ἀλλὰ τὰς μὲν ἐν θαλάττῃ, τὰς δὲ πεζός, καὶ τὰς μὲν τόσας, τὰς
δὲ τόσας; ἀλλὰ καὶ ταῦτα συνίσασιν οἱ ἀκούοντες. οὐκοῦν ἅπαντα
ἀληθῆ. ‘ἀλλὰ καὶ προθυμότατος εἰς τὸ κοινὸν ἐγενόμην’ φησίν.
ἕως ἂν δείξῃς ὅτι οὐ προθυμότατος, οὐ ληρεῖ. διὰ ταῦτα ὁ αὐτὸς
ἀνὴρ Ὀδυσσεὺς τὸν μὲν ἐμαστίγου, τὸν δ’ ἱκέτευεν. Ἵνα τοίνυν 18
εἰδῇς ὅτι καὶ ὅλως ἀρχαῖον νόμιμον τοῦτο καὶ Ἑλληνικὸν φρονεῖν
ἐπὶ τοῖς ἑαυτοῦ, καὶ χωρὶς τούτου τοῦ φρονήματος οὔτε πρᾶξις
κατ’ ἀνθρώπους ἀξία μνήμης οὔτε λόγος διαφέρων οὔτ’ ἄλλο τελεσθείη ποτ’ ἂν οὐδέν, ἄκουε οἷα καὶ ὅσα παρῆλθέ σε. ἀδελφοὺς δέ
που τοῖς χθὲς ἔοικα ποιήσεσθαι τοὺς λόγους, καὶ γὰρ ἡ ἀπόκρισις
τῆς αὐτῆς ἔχεται γνώμης σχεδόν. Ὅσα μὲν δὴ Ὅμηρος (hym. in Ap. 19
497 D Del. 169 sqq.) ἐφαίνετο λέγων αὐτὸς ὑπὲρ αὐτοῦ † καλεῖν κελεύων
. . . . . τοὺς προσαγωγέας μέμνησαι, ὥστε ἀφίημι αὐτά· καίτοι γε
ἐκεῖνα τὰ ἔπη σχεδὸν ἄντικρυς λέγει τοῦθ’ ὅτι Ὅμηρος αὐτὸν ψηφίζεται ποιητῶν εἶναι κράτιστον. ἀφεῖται μὲν δή σοι Ὅμηρος. σκόπει

---

1 ἀλλὰ (-τόσας;) scripsi: ἀλλ’ οὐ (-τόσας· O) πεζῶσ T 2 ταῦτα] s. l. Q² c. γρ., τοσαῦτα Q¹ 4 δείξῃς] δείξῃ Canter (prob. Ddf.); iam ad adversarium orator se convertit, cf. v. 6 εἰδῇς ταῦθ’ U 6 ὅτι om. U ὅλον (ωσ s. l.) Q pr. m. 7 τοῖσ αὐτοῦ U 8 λόγοσ sic O οὔτε ἄλλο S 9 ὅσα καὶ οἷα Q 10 που SUTQ²: πω Q¹ πω (ου s. l.) A (ου add. aut A¹ aut Aʳ) τοῖς χθὲς] his verbis orationem κατὰ τῶν ἐξορχουμένων (XXXIV) significari verissima Canteri coniectura est, quam qui nuper sprevit, prodidit se argumentationem, qua orator in verbis proxime subsequentibus usus est, non perspexisse. at certissimum est Aristidem propterea versus hymni ‘in Apollinem’ (cf. v. 12) non attulisse, quod in or. XXXIV § 35 integros eos et perscripsisset et explanasset. ad hunc locum orationis illius, quam brevi (χθές: cf. p. 142, 13 χθιζινός) ante ediderat, adversarium revocat, quem non solum novisse priorem illam orationem sed etiam iudicium de ea tulisse sciebat (unde tam ignotum non fuisse Aristidi adversarium concludere necesse est, quam Aristides ipse fingit): σοι ἐφαίνετο — μέμνησαι ὥστε ἀφίημι ταῦτα. praeterea via ac ratio argumentationis in nostra eadem fere quae in illa est, simillimaque in utraque est mens sententiaque totius consilii, ut optime se ἀδελφοὺς τοῖς χθὲς ποιήσαθαι τοὺς λόγους orator dixerit; cf. ad or. XXXIV § 35 τοὺς om. U¹ 11 γνώμης om. Q¹ ὅσα (ου s. l.) Q, ου add. Q² 12 αὐτοῦ T p. corr. Q²: αὐτοῦ ASQ¹T a. corr., ἑαυτοῦ U καλεῖν] ἀπαγγέλλειν Bergk, Griech. Litteraturgesch. I 750, 25; χαίρειν Canter (e χαίρετε hymni) 13 lacunam indicavi; fuerint e. g. λέγων αὐτὸς ὑπὲρ αὐτοῦ, ἴσ’ ᾄδειν (ΙϹΑΙΔΕΙΝ pro ΚΑΛΕΙΝ) κελεύων (‘cum iubet’) ⟨τὰς Δηλιάδας, οἷαπερ καὶ τῶν σοφιστῶν τινες ἐπαγγέλλεσθαι ὑπὲρ αὐτῶν εἰώθασι κελεύειν⟩ τοὺς προσαγωγέας, μέμνησαι 13 προαγωγέασ Q, corr. m. inc. cf. § 131 ὥστ’ ἀφίημι ταῦτα· καίτοι γ’ U 14 ἄντικρυς] add. οὐκ mg. A¹ (aut Aʳ), οὐκ ἄντικρυσ S; pro certo habeo verum esse μόνον οὐκ ἄντικρυς, ad quod interpretamentum σχεδόν adscriptum genuinam lectionem in AS ex dimidio, integram in ceteris expulit αὐτὸν A¹S¹Q¹

20 *δὲ καὶ Ἡσιόδου φρόνημα, εἰ ἄρα πρότερον μὴ κατεῖδες. ἐκεῖνος γὰρ*
ἀρξάμενος τῆς θεογονίας καὶ τὰς Μούσας ὑμνῶν εὐθὺς λέγει

αἵ νύ ποθ' Ἡσίοδον καλὴν ἐδίδαξαν ἀοιδήν (Th. 22),

καὶ οὕτω σχέτλιος ἦν καὶ ὑβριστὴς ὥστ' οὐδὲ τοσοῦτον ἐνέμεινεν
ἐκτελέσαι τὸ προοίμιον ταῖς θεαῖς, ἀλλὰ λέγων ὅτι αἱ Μοῦσαι
ὑμνοῦσι τὸν Δία (Th. 11) *καὶ*

Λητώ τ' Ἰαπετόν τε ἰδὲ Κρόνον ἀγκυλομήτην (Th. 19),

εἶτα οὐ καρτερεῖ, ἀλλ' ὀλίγου μεταξὺ τῶν θεῶν τῶν ὀνομάτων
φησὶν

αἵ νύ ποθ' Ἡσίοδον καλὴν ἐδίδαξαν ἀοιδήν (Th. 22),

ὡς εἰ μὴ καὶ τοῦτο δόξει τῶν Μουσῶν ἔργον εἶναι, ὥσπερ τοὺς
θεοὺς ᾄδειν οὕτω καὶ Ἡσίοδον ποιητὴν ἀπεργάσασθαι, μοῖράν
τινα αὐταῖς ἀπολλυμένην τῆς εὐφημίας. καὶ οὐ μόνον λαβεῖν φησι
παρ' αὐτῶν τὴν ᾠδήν, ἀλλ' ὅτι καὶ καλὴν οὖσαν προστίθησιν·
νὴ Δία ἀσφαλῶς γε, φαίης ἄν, προστιθεὶς ταῖς Μούσαις ἑαυτόν.

21 *οὔκουν καὶ ἡμεῖς ἃ προήχθημεν εἰπεῖν προσετίθεμεν ταῖς Μούσαις*
καὶ τῇ θεῷ; ἐλέγομεν γοῦν, εἰ μέμνησαι, ὅτι καὶ ἄντικρυς ἔστιν ἃ
τῶν ῥημάτων ἀπεμνημονεύσαμεν ὧν ἡ θεὸς προὔδειξεν, εἰ μὴ τὸ
σὸν κωλύει. ὅσῳ δὲ ἡμεῖς ἐπιεικέστεροι ⟨τοῦ⟩ Ἡσιόδου μάθε, 370 J
ἐπειδή γε ἀναγκάζεις. ὁ μὲν μεταξὺ τὸν ὕμνον ποιῶν ταῖς θεαῖς
τοῦτο ἐντέθεικε τὸ ἔπος, ἐγκώμιον, ὡς εἰπεῖν, ἑαυτοῦ· ἡμεῖς δὲ
τοὺς εἰς τὴν θεὸν λόγους καθαροὺς καθαρῶς ἐξεργασάμενοι μικρόν
22 *τι περὶ ἡμῶν αὐτῶν ἄγραφον παρεφθεγξάμεθα. καὶ οὐχ ἁπλῶς* 498 D
γε οὑτωσὶ ὅτι τὴν ᾠδὴν ἔλαβεν παρὰ τῶν Μουσῶν εἰπὼν ἀπαλ-
λάττεται ὁ Ἡσίοδος οὐδ' ἐπὶ τῇ προτέρᾳ προσθήκῃ [περὶ τῆς
ᾠδῆς] ὡς εἴη καλή, ἀλλ' οὕτως ἀλαζὼν καὶ φιλότιμος ἦν ὥστε
καὶ σκῆπτρόν φησι (Th. 30) *λαβεῖν παρ' αὐτῶν. τοῦτο δ' αὐτῷ*

---

1 *καὶ τὸ τοῦ ἡσιόδου* U post *φρόνημα* libenter *ὅσον* legerim 2 *εὐθὺς* om. Q^1 vv. 4 — 10 bis in S (propter *ἀοιδὴν — ἀοιδὴν*) 4 *ἀνέμεινεν* S^{2}Q^2 (Vat. 1299); *ἀνέμεινεν ⟨ὅσον⟩ ἐκτελέσαι* Rsk.; *ἐνέμεινεν*, sc. *τῷ τὰς Μούσας ὑμνεῖν* (v. 2), ex quo liberius infinitivus (sine *ὥστε*) aptus 7 *τ'* UT: *τε* ASQ *τε ἰδὲ* T (libri Hesiodei): *τε ἠδὲ* ASQU (*ἠδὲ* ci. Bentley ad Hesiodum) *ἀγκυλομῆτιν* ASU (Laur. F Hesiodi) 8 *εἶτα οὐ καρτερεῖ*] ex hac argumentatione necessario consequitur, in Aristidis exemplo Hesiodeo v. *αἵ νύ ποθ' κτἑ.* ipsum excepisse v. *Λητώ τ' Ἰαπετόν κτἑ.*; incerti qui pristinis exemplis ferebatur ordinis versuum illorum vestigium nostri libri servant, ut quorum nonnulli v. 18. 19 inverso ordine exhibeant 11 *εἰ καὶ μὴ* U 15 *νὴ δί'* U 16 *οὔκουν* (*-θεῷ;*) scripsi: *οὐκοῦν* (*-θεῷ.*) O 19 *τοῦ* addidi 21 *ἐντέθηκε* S^1 (fort. recte, cf. Meisterhans Gram. d. gr. Inschr.^{2} p. 152); *ἐνέθειχε* U^1 (*ἐνέθηκε* Junt.) 22 *καθαροὶ καθαρῶσ* U^1 23 *ἄγραφον*] prius *α* in ras. Q^1 (*ἔγγραφον* Junt.) 25 *ὁ* om. Q^{1}U *περὶ τῆς ᾠδῆς* seclusi 27 *αὐτῷ*] *ῶ* ex *ὁ* Q^2

τί βούλεται; πλέον ἢ νοήσειεν ἂν ἀργὸς ἀκροατής. ἀνένεγκε δὲ εἰς Ὅμηρον· τί περὶ τοῦ σκήπτρου λέγει (*Α* 237 sq.);

νῦν δέ μιν υἷες Ἀχαιῶν
ἐν παλάμῃς φορέουσι δικασπόλοι.

κἀγώ, φησὶν ὁ Ἡσίοδος, τὸ τῶν Μουσῶν μέρος εἰμὶ τούτων εἷς.
ἐν ὑπερβολῇ δὲ σεμνύνων τὰ αὑτοῦ τί φησιν (Th. 30 sq.); 23

⟨δάφνης ἐριθηλέος ὄζον⟩
δρέψασθαι θηητόν·

ὡς οὐδὲ τὸν τυχόντα κλαδίσκον λαβών, ἀλλὰ πολλῶν ὄντων τὸν μάλιστα περίβλεπτον εἶναι σκῆπτρον Ἡσιόδῳ· καὶ οὐδ' ἐνταῦθα ἔστη τῆς ὕβρεως, ἀλλ' ὥσπερ σὲ ῥηγνὺς ἐξεπίτηδες προστίθησιν (v. 31)

ἐνέπνευσαν δέ μοι αὐδήν.

καὶ τοῦ μὲν ἔπους ἐτελεύτησεν, τοῦ δ' ἐγκωμίου οὐδὲν μᾶλλον, ἀλλὰ 24
καὶ θεσπεσίην πάλιν αὖ προσέθηκεν, καὶ τό γ' ἔτι κάλλιον, ὥσπερ οἱ πανταχῇ περιττοὶ τῶν σοφιστῶν, 'ἵνα κλείοιμι τά τ' ἐσσόμενα πρό τ' ἐόντα' (v. 32). τοῦτο δ' ἐστὶ τί; τὰς Μούσας φησὶν ὑμνεῖν 'τά τ' ἐσσόμενα πρό τ' ἐόντα' καὶ ταύτην εἶναι φύσιν αὐτῶν· κἀγὼ οὖν, φησίν, ὑμνῶ ταὐτὰ ἅπερ αἱ Μοῦσαι. ἐὰν οὖν σοι δόξῃ ταῦτα διαγράφειν Ἡσιόδου, καὶ ἡμεῖς τὴν ἐπιτίμησιν δεδεξόμεθα. δείξεις δὲ δή που πρότερον ὡς ἀντάξιος εἶ τῶν ἐπῶν ..... Φέρε δὴ 25
πάλιν ἐπανέλθωμεν ἐπὶ τοὺς ἄνδρας περὶ ὧν διαλέγονται. οὔκουν δοκεῖ σοι σαφέστατα ἀνθρώπων Ὅμηρος πεποιηκέναι τὸν Ἀχιλλέα λέγοντα εἰς αὐτὸν ἄλλα τε δὴ καὶ εἰσάπαξ οὕτως;

---

1 τι SU (ci. Rsk.), at insolitum locum occuparet; cf. v. 2 ἀνένεγκαι Q (Vat. 1299) 3 δέ] αὖτέ Hom. 4 παλάμαισ QUT, ut plerique libri Homeri 5. 6 εἷς. ἐν ὑπερβολῇ] ἥισεν ὑπερβολῆι AS[1]; 'ego quoque, inquit, quod Musas attinet (Musarum in provincia) illorum (sc. τῶν δικασπόλων) unus sum' 6 αὐτοῦ AS[1]T[1] ἑαυτοῦ Q 7 δάφνης — ὄζον addidi ex Hesiodo; κλαδίσκος nisi ὄζος praecedit, intellegi nequit; cf. additamentum p. 150, 13 8 δρέψασθαι] αι sup. ras. T[1], δρέψασθε Q; δρέψασαι optimi, δρέψασθαι (-άμεναι) alii libri Hesiodei θηητόν] θηκτόν Q[1], θνητόν Q[2] (Vat. 1299) 12 ἀοιδήν U 14 πάλιν om. U 15 πανταχοῦ U κλείοιμι AS a. ras. T(Q[1]?): κλύοιμι US p. ras. Q[2] (correcti ex optimis libris Hesiodi) ἐσόμενα O (corr. Junt.) 16 τοῦτο — ἐόντα omissa add. mg. T[1] (aut T[2]; om. Vat. 1299) ἐστὶ τί; Rsk.: ἐστι(;) τὸ O 18 ταὐτὰ Rsk.[2]: ταῦτα O δόξῃ dedi monente Wil. aut δοκῇ — δεξόμεθα, quod ipse probaret, aut δόξῃ — δεδεξόμεθα scribendum esse: δοκῇ O; 'perlecta oratione, si tibi (ut haec mea oppugnes) delendi videbuntur illi versus (dices delendos esse illos versus)' 19 δεδεξόμεθα S p. ras., δ' ἐδεξόμεθα A[1], δὲ δεξόμεθα A[2]S a. ras.: δεξόμεθα QUT 20 lacunam indicavi; plura intercidisse vv. περὶ ὧν διαλέγονται (cf. § 44) arguunt, ad quae Homerus et Hesiodus subiectum 21 οὐκοῦν (— οὕτως·) AS[1]Q[1] 23 αὐτὸν T a. corr. Q[1]

ἀλλ' ἧμαι παρὰ νηυσὶν ἐτώσιον ἄχθος ἀρούρης, 499 D
τοῖος ἐὼν οἷος οὔ τις Ἀχαιῶν χαλκοχιτώνων (Σ 104 sq.).

26 'νὴ Δία, ἀλλ' ὁ Ἀχιλλεὺς νεανιεύεται.' ὁ δέ γε Ὀδυσσεὺς ὡμογέρων ὢν τί λέγει, καὶ ταῦτα πρὸς αὐτὸν ἐκεῖνον λέγων; ὦ Ἀχιλλεῦ Πηλέως υἱέ (Τ 216), εἰ μὲν ἄλλο τι κρείττων ἀξιοῖς εἶναι, συγχωρῶ, 'ἐγὼ δέ κε σεῖο νοήματί κεν προβαλοίμην' (Τ 218), καὶ προσέθηκεν ὅτι καὶ 'πολλόν.' οὐδὲ γὰρ ὥσπερ οἱ φαῦλοι τῶν γραμματιστῶν λυμαίνονται τῷ ἔπει οὐχ οὕτως ἔχει, οἳ τὸ 'πολλόν' ἀπολύουσιν ἀπὸ τοῦ προτέρου, ἄγουσιν δ' ἐπὶ τὰ ἑξῆς, ὧν ἡγεῖται, 371 J
27 κατὰ τὴν τοῦ ἔπους ἀρχήν. ἐμοὶ δὲ οὗτοι οὐ πάνυ τι δοκοῦσιν ἐπαΐειν περὶ λόγων· ἔστι γὰρ ἄντικρυς ἀντίθετον· φησὶ (Τ 217) γὰρ

κρείττων εἷς ἐμέθεν καὶ φέρτερος οὐκ ὀλίγον γε
⟨ἔγχει⟩

τὸ πρότερον· εἶτα

ἐγὼ δέ κε σεῖο νοήματί κεν προβαλοίμην
πολλόν·

ἄκουε δή, πῶς ἀντίκειται· ὃ μὲν ἐκεῖ τὸ 'ἔγχει', 'νοήματι' ἔστιν ἐνταῦθα, ὃ δ' ἦν τὸ 'οὐκ ὀλίγον γε', τοῦτ' ἀντ' ἐκείνου τὸ 'πολλόν', ὥσπερ ἂν εἰ καὶ οὕτως εἶπεν μεταλαβών· 'πολὺ κρείττων
28 σὺ ἐμοῦ τὰ ἐν πολέμῳ, ἐγὼ δὲ σοῦ ταῦτα οὐκ ὀλίγον.' ἔτι δέ σε ἐπάξω βεβαιότερον, εἰ βούλει. Ὅμηρος γὰρ περὶ μὲν ἡλικίας οὐ πάνυ τι χρῆται προσθήκαις τοιαύταις, ὅσα γε ὡς ἐν τῷ παρόντι μεμνῆσθαι, εἰς δὲ ἀρετῆς κρίσιν πολλάκις· οἷον τί λέγω; φησὶ δή που περὶ τοῦ Διὸς λέγων καὶ τοῦ Ποσειδῶνος (Ν 355)

ἀλλὰ Ζεὺς πρότερος γεγόνει,

τοσοῦτον μόνον, καὶ 'πολύ' οὐ προστίθησιν. καίτοι ὅτι πολὺ δῆλον 500 D
καὶ μὴ προσθέντος αὐτοῖς τε τοῖς ἐκείνου καὶ τοῖς ἄλλοις. ᾄδει γὰρ εἰς αὐτὸν αἰεὶ 'πατὴρ ἀνδρῶν τε θεῶν τε'· ὥστε πῶς οὐ μακρῷ πάντων ἐστὶ πρεσβύτατος; ἑτέρωθι τοίνυν φησὶν (Β 707 sq.)

1 post ἀρούρης add. ἄν τε σὺ βούλῃ (-ῃ a Q[2]) φησὶν ἄν τε μή· κἂν ἔτι κάκιον ἢ νῦν διαφθαρῇ Q (item Laur. Abb. 9, unde Junt., et alii); huc aberravit interpretamentum ad p. 150, 20 ἔτι — βούλει spectans 2 οὔ] ex ἄν corr. Q[2] 3 ὁ μὲν ἀχιλλεὺσ U γ' U 4 ἀχιλεῦ U[1] 5 κρεῖττον Q[1]; cf. v. l. v. 19 6 κεν] ut pars libr. Hom., praestantiores γε προβα/λοίμην Q, item v. 15 10 κατὰ — ἀρχήν] cum ἄγουσιν iungendum: 'quia ita incipit versus, referunt μόνον ad verba insequentia, quibus anteit vox' 12 κρεῖττον S, κρείσσων Hom. γε (cf. v. 18)] περ Hom. 13 ἔγχει add. Ddf. ex Hom. 17 ἀντίκεινται SQ[2] ἐκεῖ τῶ ἔγχει τῶ νοήματι U 19 μεταβαλὼν US[2]Q[2] κρεῖττον Q 21 ὅμηροσ μὲν γὰρ περὶ μὲν ἡλικίασ S, ὅμηροσ μὲν γὰρ περὶ ἡλικίασ U 22 τι] τοι U προσθήκαις] sc. 'πολὺ et ὀλίγον' Rsk. an ὅσον γε? 23 οἷον τί scripsi: οἷόν τι O; item or. (I) Leuctr. I p. 617, 12 Ddf. 25 ad γεγόνει in mg. addunt καὶ πλείονα ᾔδει Q[1]S[2] (ex Hom.) 27 τε s. l. add. Q[2] 28 ἀεὶ A[1] (corr. A[r]) Q[1]U 29 πρεσβύτερος U

ὁ δ' ἅμα πρότερος καὶ ἀρείων
ἥρως Πρωτεσίλαος·

τοσοῦτον μόνον ὅτι 'πρότερος', πόσον δέ τι οὐ λέγει. ἀλλ' ἐπειδὰν κρίνῃ, προστίθησιν 'πολύ', 'μέγα' τὰ τοιαῦτα·

ἀνδρῶν αὖ μέγ' ἄριστος ἔην Τελαμώνιος Αἴας,
ὄφρ' Ἀχιλεὺς μήνιεν·

εἶτα πῶς;

ὁ γὰρ [δὴ] πολὺ φέρτερος ἦεν (*B* 768 sq.).

τοῦτο δὴ τὸ οἴκοθεν ἔθος διαβιβάζει καὶ ἐπὶ τὸν Ὀδυσσέα, νομίζων 29
κἀκείνῳ προσήκειν οὕτως εἰρῆσθαι, ὅτι ἐγὼ σοῦ προφέρω πολὺ εἰς γνώμην. καὶ ὅ γε Ὀδυσσεὺς θαρρῶν αὐτό, οἶμαι, προσετίθει. ᾔδει
372 J γὰρ καὶ αὐτὸν τὸν Ἀχιλλέα ἃ μὴ δυνατὸς ἦν οὐ προσποιούμενον οὐδ' ἀλαζονευόμενον. αὐτὰ γὰρ ταῦτα ὧν ἀρτίως ἐμνήσθην, ἐν οἷς ὁ Ἀχιλλεὺς ἐπαρρησιάζετο, ὁμολογίαν τινὰ εἶχεν ἀδελφὴν τοῖς λόγοις τοῦ Ὀδυσσέως, ἐπεὶ κἀκεῖνος οὕτως διορίζεται λέγων ὅτι (*Σ* 106)

ἐν πολέμῳ, ἀγορῇ δέ τ' ἀμείνονές εἰσι καὶ ἄλλοι.

ἔχων οὖν ἐνέχυρον ὁ Ὀδυσσεὺς τὴν ἐκείνου ψῆφον καὶ εὖ εἰδὼς ὅτι οὐκ ἀηδῶς τἀληθὲς ἀκούσεται, ἀλλὰ τοῦ αὐτοῦ καὶ λέγειν καὶ ἀκούειν ἐθέλειν ἐστὶ τἀληθῆ, 'ἐκεῖνά τε σύ, ἔφη, πολὺ κρείττων ἐμοῦ καὶ ταῦτα ἐγὼ σοῦ τοσοῦτον ἕτερον'. τὸ δὲ ἔτι κάλλιον, ὁ 30
γὰρ Νέστωρ οὐδ' ὠμογέρων τις ἔτι ὤν, ἀλλ' οὕτω σφόδρα πρεσβύτης καὶ πέπων ὥστ' αὐτῷ

δύο μὲν γενεαὶ μερόπων ἀνθρώπων
501 D ἐφθίαθ', οἵ οἱ πρόσθεν ἅμα τράφεν ἠδ' ἐγένοντο,
μετὰ δὲ τριτάτοισιν ἄνασσεν (*A* 250 sqq.),

οὕτω σφόδρα δόξει σοὶ κριτῇ μειρακιεύεσθαι ὥστε μηδὲν εἶναι χρῆμα λαλίστερον αὐτοῦ μηδ' αὐθαδέστερον. οὐδὲ γὰρ εἰσάπαξ ποτὲ ἐπαινέσας αὐτὸν ἀπηλλάγη, ἀλλ' ἔστιν ὅμοιος ἁπανταχοῦ· ὅς πρῶτον 31
μὲν τοὺς βασιλέας διαλλάττων φησὶ συγγενέσθαι ἀνδράσιν οὐ κατὰ τοὺς νῦν, ἀλλὰ μακρῷ πάντων κρατίστοις, ἑαυτὸν δι' ἐκείνων σεμνύνων· ὥστ' οὐδ' ἀπεκρύψατο αὐτό, ἀλλ' εἶπεν ἄντικρυς (*A* 273)

---

1 ἅμα] ut plerique Hom. (Aristarch.); ἄρα v. l. Hom. 2 πρωτεσίλεωσ U 3 ὅτι om. U, nec scio an ὅτι πρότερος glossema sint δέ τι] δ' ἔτι AS[1]TQ[2] 4 προτίθησι Q[1] 6 ἀχιλλεὺσ ASQU (pauci libri Hom.) 8 δὴ ASUTQ[2], om. Q[1] (Hom.); del. Ddf. φέρτερος] consentiunt pauci libri Hom., ceteri φέρτατος (Aristarch.) 10 προσήκειν οὕτως] προσηκόντως conieci; προσῆκον οὕτως ci. Wil. 11 αὐτῷ QU ᾔδει] ἤδη Q 15 κακείνωσ U[1] οὕτω U 16 δ' ἔτ' Q 18. 19 καὶ ἐστι τἀληθῆ ἀκούειν (β γ α) U pr. m. 19 ἐκεῖν' ἅ/τε Q ἔφη U: ἔφησ ASQT 21 οὐδ' ὠμογέρων] cf. p. 150, 3; ludit in ὠ μ ο γέρων et πέπων (v. 22) 28 αὐτὸν AS[1]Q[1] ὅμοιος ἁπανταχοῦ] cf. Plat. symp. 173 D αἰεὶ ὅμοιος εἶ πρῶτον Junt.: πρῶτοσ ASQT, πρῶτα U 31 αὐτό] αὐτός ci. Rsk.[2]

καὶ μέν μευ βουλέων ξύνιον πείθοντό τε μύθῳ,
32 ὄντες, φησί, τοιοῦτοι. τὸ δ' ἔτι μεῖζον,
καὶ μὲν τοῖσιν ἐγὼ μεθομίλεον ἐκ Πύλου ἐλθών,
τηλόθεν ἐξ ἀπίης γαίης· καλέσαντο γὰρ αὐτοί (*Α* 269 sq.).
δύο προσθῆκαι, ὅτι τε αὐτοὶ ἦσαν οἱ μεταπεμψάμενοι καὶ δεη-
θέντες καὶ ὅτι 'τηλόθεν ἐξ ἀπίης γαίης', ὡς δὴ οὕτω σφόδρα ἔν-
33 δοξος καὶ θαυμαστὸς ὤν. εἰ δ' ἐρεῖς ὅτι εὔγνωμον καὶ σύμμετρον
τὸ 'καὶ μαχόμην κατ' ἔμ' αὐτὸν ἐγώ' (*Α* 271), φημὶ κἀγώ, κοὐ-
δαμοῦ τοὺς μαινομένους ἐπήνεσα, ἀλλά τοι τῆς αὐτῆς ἐστι δεξιό-
τητος καὶ τὰ προκείμενα, καί πως ἀμφότερά ἐστιν ἀληθῆ καὶ τοῦ
ἐμοῦ λόγου. οὗ μὲν γὰρ ἐκείνων ἡττᾶτο 'καὶ μαχόμην, ἔφη, κατ'
ἔμ' αὐτόν', οὗ δὲ κἀκείνων κρείττων καὶ τούτων πρὸς οὓς δι-
ελέγετο, ὑπό τ' ἐκείνων προκριθῆναί φησι καὶ τούτους ἀξιοῖ συγ-
χωρεῖν, ἄντικρυς εἰς ταὐτὸν ἰὼν τῷ Ὀδυσσεῖ τῷ λέγοντι πρὸς 373 J
τὸν Ἀχιλλέα ὅτι χείρων μὲν εἴη αἰχμὴν ἐκείνου, γνῶναι δ' ἃ
χρὴ βελτίων, ὥσπερ πρότερον καὶ αὐτῷ τῷ Ἀχιλλεῖ περὶ αὐτοῦ
συνεδόκει. οὐ γὰρ ἄλλο γε οὐδὲν ἢ μία τις γνώμη τῶν τριῶν φαί-
νεται κατ' αὐτό γε τοῦτο, τοῦ νεανίου, τοῦ ὠμογέροντος, τοῦ γέ-
ροντος, φρονεῖν περὶ αὐτοῦ καὶ λέγειν πρὸς ἀξίαν τῶν ὑπαρχόντων.
34 λέγων γοῦν παρακλητικὸν τοῖς Ἀχαιοῖς ὁ πρεσβύτατος αὐτῶν ὑπὲρ
τοῦ δέξασθαι τὴν πρόκλησιν τοῦ Ἕκτορος οὐδὲν ἀλλ' ἢ ἐγκώμια 502 D
αὐτοῦ διεξέρχεται· ἐνταῦθα δὲ καὶ ὡς κατὰ χεῖρα κράτιστος γε-
γονὼς διαλέγεται, καὶ ἔστι φορητὸς οὐδαμῶς, ἀρξάμενος ἀπὸ τοῦ
'εἴθ' ὣς ἡβώοιμι, ὡς ὅτ' ἐπ' ὠκυρόῳ Κελάδοντι μάχοντο.' τὸ δὲ δὴ

---

1 *ξίνιον*] ut alia testimonia Hom.; *ξύνιεν* libri Hom. (Aristarch.) 2 *δ' ἔ/τι//μεῖζον* Q (prius *ε* ex *ο* Q[2]) 3 *μεθωμίλεον* Q (Junt.) 4 *γῆσ* U, item v. 6 *καλέσαντο — 6 γῆσ* omissa add. mg. U[2] 6 *ὅτι* U[2] (mg.): *ἔτι* ASQT; cf. v. l. p. 120, 10 8 *καὶ* om. Q[1] (Junt.) *ἐμαυτὸν* O, item v. 12 *κοὐδαμοῦ* AQ, *καὶ οὐδαμοῦ* UT: *οὐδαμοῦ* S 9 *τῆς αὐτῆς — 11 λόγου*] eiusdem (quam in Ulixe deprehendimus) ingenuitatis et haec sunt (*τὰ προκείμενα*, Nestoris exempla), et, credo, utraque (Ulixis et Nestoris) ut vera sunt ita pro mea causa; cf. v. 14 11 *οὗ μὲν — οὗ δὲ*] *οὐ μὲν — οὐδὲ* AS[1]Q[1], cf. v. l. p. 44, 6 sq. *ἔφην* Q 13 *τ'* U (ci. Rsk.): *γ'* ASQT 16 *περὶ αὐτοῦ* AQT 19 *αὐτοῦ* A[1] (corr. A[r]) S[1]QT 20 *αὐτῶν* scripsi (sc. triumvirorum illorum v. 17—19): *αὐτὸσ* O; *ὁ πρεσβύτης αὐτὸς* ('idem senex') ci. Rsk. *παρακλητικὸν*] sine *λόγον*, item or. XXXIV § 59 et or. (II) pro pace I p. 609, 5 sq. Ddf. (cf. or. XXVII § 42), ut *παρακλητικοῦ* nomen technicum apud rhetores fuisse efficiatur, quamquam apud alium termini huius exemplum, quod sciam, non extat; de Homero rhetorico cf. ad § 120 22 *αὐτοῦ* ASQ[1]T[1] *καὶ* om. Q[1] 23 ad *φορητὸσ* add. *φορτικὸσ* S[2] mg. (glossa ad *φορητὸς οὐδαμῶς*) 24 *εἴθ' — μάχοντο*] testimonium conflatum: Hom. *Η* 133 *ἡβῷμ' ὡς ὅτ' ἐπ' κτέ.*, pro prima voce ex *Η* 157 substituit *εἴθ' ὣς ἡβώοιμι* *ὠκυρρόω* Q (Vindob. Homeri)

πέρας τῆς ἀλαζονείας, οὐδὲ γὰρ οὐδ' ἀπέχρησεν αὐτῷ εἰπεῖν ὅτι ἀπέκτεινεν τὸν ἀντίπαλον, ἀλλ' ὥσπερ αὐτῷ τὸν ἐπίνικον ποιῶν,

τὸν δὴ μήκιστον, φησί, καὶ κάρτιστον κτάνον ἄνδρα·
πολλὸς γάρ τις ἔκειτο παρήορος ἔνθα καὶ ἔνθα (*Η* 155 sq.),

τῆς αὐτῆς ὁδοῦ δηλῶν ὅτι καὶ ἑτέρους ἀπεκτονὼς εἴη συχνοὺς καὶ μεγάλους καὶ καλούς. ἀλλ' ὦ τᾶν ὅρα μὴ οὐκ εἰκῆ ταῦτα ἀλαζο- 35
νεύηται, ἀλλὰ παροξυντικὰ εἰς τοὺς Ἀχαιοὺς ἐξεπίτηδες λέγῃ. καὶ ὅτι ἔτυχεν τοῦ σκοποῦ καὶ ἥψατο αὐτῶν μαρτυρεῖ ὁ πάντα ταῦτα συγγράψας ποιητής. ἐπὶ γὰρ τῇ δημηγορίᾳ τοῦτο ἐπιτίθησιν,

ὣς νείκεσσ' ὁ γέρων, οἱ δ' ἐννέα πάντες ἀνέσταν (*Η* 161).

καὶ μὴ ὅτι ἐν τῷ δημοσίῳ τοιοῦτός ἐστιν ὁ Νέστωρ, ἀλλὰ καὶ ἐν ταῖς 36
ἰδίαις συνουσίαις ἀλαζών τίς σοι φανεῖται, ὅς γε (*Λ* 645 sqq.) καὶ τὸν Πάτροκλον πεμφθέντα ὑπὸ τοῦ Ἀχιλλέως ὡς αὐτόν, ὅπως ἔροιτο ὅντινα ἄγει, καὶ οὕτω σφόδρα ἠπειγμένον ὥστε μηδ' ἀναπαύσασθαι βούλεσθαι διὰ τὸ ὀκνεῖν, μὴ αἰτιάσαιτο αὐτὸν Ἀχιλλεύς, [ἀλλ'] ἐξεπίτηδες καθέζεσθαί τε κελεύει καὶ ἀκροᾶσθαι τῶν λόγων, καὶ πάλιν ἀπ' ἀρχῆς τινος ὁμοίας ἀρξάμενος καὶ τὴν ἥβην τὴν ἀρχαίαν ποθήσας τε καὶ ἀνακαλέσας διήγησίν τινα περαίνει μακράν, ἧς τὰ μὲν ἄλλα καὶ μνησθῆναι χαλεπόν, τὸ δὲ ὑβριστικώτατον αὐτῷ τῶν ἐπῶν καὶ οὐδέν τι τοῖς ἐμοῖς ῥήμασι προσεοικός, ἃ πρῴην παρεφθεγξάμην,

503 D πάντες δ' εὐχετόωντο θεῶν Διὶ Νέστορί τ' ἀνδρῶν (*Λ* 761).

374 J ἐῶ γὰρ οἷα καὶ πρὸς τὸν Ἀγαμέμνονα ὁ σοφὸς ἡμῖν ἀποκρίνεται 37
(*Δ* 317 sqq.) διεξιόντα τὰς τάξεις κατὰ σπουδήν· ἀλλὰ τὸ πάντων ἥδιστον, τοῦ γὰρ Ἀχιλλέως διατιθέντος τὸν ἀγῶνα ἐπὶ τῷ Πατρόκλῳ καὶ ἄλλων ἄλλα νικώντων αὐτὸς οὐχ οἷός τε [ἦν] οὐδὲν ἀγωνίσασθαι, ἀλλά, τὸ λεγόμενον δὴ τουτί, οὐδὲν ἔτι ὢν εἰς ταῦτα ὑπὸ γήρως, ἃ πρόσθεν ποτ' ἐνίκα, λέγει ὡς δή τι ταύτῃ δρῶν, καὶ

---

1 *ἀλαζονίασ* A[1] (corr. A[2]) S[1]U *οὐδ'* TQ[2] s. l.: om. ASQ[1]U 2 *αὐτῷ* ASQT Thom. Mag. p. 164, 10 (ubi v. l. *αὐτὸσ*) *ἐπινίκιον* Q a. ras. Thomae Mag. l. c. cod. Guelferb. 3 *κράτιστον* U 5 *δηλῶν* STU (at *ῶ* in ras. pr. m.) Q[2]: *δῆλον* A *δηλὸν* Q[1] 6 *τᾶν* sic O 7 *λέγει* S 8 *ταῦτα πάντα* QU 12 *καὶ* sic O 13 *τοῦ* om. U *ὡς*] *εἰσ* U 14 *ἄγοι* U *ἐπειγμένον* S 15 *διὰ τὸ ὀκνεῖν* mihi suspecta *αὐτὸν ὁ ἀχιλλεὺσ* U 16 *ἀλλ'* O, expunxit U[2], seclusi 17 *ὁμοίας*] cf. p. 152, 24 24 *τάξεις*] add. s. l. Q[2], *πράξεισ* Q[1] *τὸ τῶν πάντων* Q 25 *διατεθέντοσ* S[1] *τῷ* om. U 26 *ἦν* seclusi: *τε ἦν* ASQT, *τ' ὢν* U (c. Rsk.); suppletur e v. 27 27 *τὸ λεγόμενον*] e. g. Soph. Phil. 1217. Trach. 161; de senibus item Aristoph. Ach. 681 *τουτί*] *τοῦτ' εἰ* Q, *τοῦτο* U *ἔτ'* U 28 *ποτ'* ASQ a. ras. (iterum Q[2]): *τότ'* TQ p. ras., om. U *ταύτῃ*] *ταῦτα* Q[1]

φησι πρὸς τοὺς Ἀχαιοὺς οὐ τούτοις αὐτοῖς τοῖς ῥήμασιν, ἀλλά πως σχηματιζόμενος, ὅτι ὑμῶν μὲν ἕκαστος ὁ μὲν δρόμον νενίκηκεν ἢ νικήσει, ὁ δ' ἴσως πάλην, ἄλλος δὲ ἄλλο τι, ἐγὼ δὲ

πὺξ μὲν ἐνίκησα Κλυτομήδεα Οἴνοπος υἱόν,
Ἀγκαῖον δὲ πάλῃ Πλευρώνιον, ὅς μοι ἀνέστη,
Ἴφικλον δὲ πόδεσσι παρέδραμον ἐσθλὸν ἐόντα,
δουρὶ δ' ὑπερέβαλον Φυλῆά τε καὶ Πολύδωρον (Ψ 634 sqq.)·

τοσοῦτον ἐγὼ τῶν νῦν νικώντων κρείττων εἴμ', εἰ καὶ τῷ γήρᾳ
38 συγκεχώρηκα. εἰ δ' αὖ βούλει, τοῦ πύκτου τοῦ Φωκέως ὅσον τὸ χρῆμα τῆς ὑπερηφανίας·

ἆσσον ἴτω ὅστις δέπας οἴσεται ἀμφικύπελλον·
ἡμίονον δ' οὔ φημί τιν' ἀξέμεν (Ψ 667. 668).
ὧδε γὰρ ἐξερέω, καὶ μὴν τετελεσμένον ἔσται·
ἀντικρὺ χρόα τε ῥήξω, σύν τ' ὀστέ' ἀράξω (v. 672. 673).

κηδεμόνες δέ οἱ παρέστων, φησίν,

οἵ κέ μιν ἐξοίσουσιν ἐμῆς ὑπὸ χερσὶ δαμέντα (v. 675).

ἆρ' οὖν ἠπείλησε μέν, οὐκ ἐποίησε δέ; οὐδὲν μὲν οὖν ἄλλο ἢ ἐμαν- 504 D
39 τεύσατο ἃ δράσειν ἔμελλεν. οὔκουν θρασύτης, οἶμαι, ταῦτ' ἦν, ἀλλὰ καὶ πως παρακολουθοῦντ' αὐτῷ· ὥσπερ δὴ καὶ ἀπολογούμενος ὑπὲρ αὐτοῦ Ὅμηρος, ὅτι οὐδεμιᾷ δυσμενείᾳ ταῦτ' ἔλεγεν εἰς τοὺς ἄλλους οὐδ' αὐθαδείᾳ δυσχερεῖ, ἀλλ' ὅσον αὑτῷ συνῄδει, τοσοῦτ' ἐνεδείκνυτο, κόψαι μέν φησιν αὐτὸν ὡς προεῖπεν, ὡς δὲ εἶδεν καίριον οὖσαν τὴν πληγήν, αὐτὸν ἤδη γενέσθαι τῷ Εὐρυάλῳ τῶν κηδεμόνων ἕνα. λέγει γὰρ (Ψ 694 sq.)

ἀτὰρ μεγάθυμος Ἐπειὸς
χειρὶ λαβὼν ὤρθωσεν,

40 [ἐν] ᾗπερ καὶ κατέβαλεν. Ταῦτ' ἄρα καὶ Ὀδυσσεὺς ἐν τοῖς Φαια-

---

4 Οἴνοπος] Ἤνοπος et Οἴνοπος libri Hom. 5 Ἀγκαῖον ex Hom. Ddf.: αλκαῖον O ἀνέστη A[1]Q[1]U[1]: ἀντέστη A[r]STQ[2]U[2](ubi postea iterum prius τ eras.) 6 πόδεσι T 7 ὑπερέβα/λον Q; ὑπειρέβαλον plerique Homeri 8 εἴμ', εἰ dedi: εἰμὶ A[1]SQ[1], εἰμί, εἰ UTA[2]Q[2] 11 ὅστισ UTQ[2]: ὅ τισ ASQ[1] (recte?) ἀμφικύπελον TQ p. ras. 12 τιν'] τὸν U 13 καὶ μὴν Q (Hom. aliquot): καί μιν AST (Hom. Laur. D), καὶ μοι U; τὸ δὲ καὶ Homeri plerique 14 τ'] δ' Q (Hom. Laur. D) ἀρέξω sic T 15 cf. Hom. v. 674 κηδεμόνες δέ οἱ ἐνθάδ' ἀολλέες αὖθι μενόντων 16 κέ μιν] κέ μεν Q[1]; καί μιν UT (item Hom. Laur. D) 18 ταῦτ' ἦν omissa (in confinio fol. 390. 391) add. Q[2] mg. 19 παρακολουθοῦντ' scripsi (mutata distinctione): παρακολουθεῖν ASQT, παρακολουθῶν U (ci. Canter; prob. Wil.), quod ad Ὅμηρος rediret (ἦν. ἀλλὰ — αὐτῷ, ὥσπερ) δὴ SUTQ[2]: δὲ (η supra) A pr. m., ni fallor, δὲ Q[1] 21 αὐτῷ ASQ 22 τοσοῦτον QU κόψε T (at ε in ras. T[1], ut vid.), συγκόψαι U 23 αὐτὸν TQ[2] 25 αὐτὰρ U (ut plerique libri Hom.) 26 χερσὶ Hom. 27 ἐν seclusi, dittographiam

ξιν οὐδὲν ὑποστέλλεται, ἀλλὰ τοῦτο μὲν πρὸς τὸ μειράκιον παρ-
οξυνθεὶς τὸν Εὐρύαλον [ἐν τοῖς ἄθλοις τῶν Φαιάκων] οὐδὲν παρ-
ίησιν ἐγκώμιον αὑτοῦ λέγων † μεθ᾽ ὅσης ὥρας ἐν σώματι καὶ κάλ-
875 J λους ὁπόσου τινὸς ἀντάξιοι, ⟨ὧν⟩ ἡ τῶν λόγων χάρις καὶ τὸ ταύτης
κάλλος ὑπερπέφυκεν. ἢ ταῦτ᾽ οὐκ εἰς αὑτόν σοι δοκεῖ λέγειν;

ἀλλὰ θεὸς μορφὴν ἔπεσι στέφει· οἱ δέ τ᾽ ἐς αὐτὸν
τερπόμενοι λεύσσουσιν, ὁ δ᾽ ἀσφαλέως ἀγορεύει
αἰδοῖ μειλιχίῃ, μέγα δ᾽ ἐμπρέπει ἀγρομένοισιν·
ἐρχόμενον δ᾽ ἀνὰ ἄστυ θεὸν ὣς εἰσορόωσι (ϑ 170—173).

505 D καὶ μὴν ὅτι γ᾽ εἰς αὑτὸν αὑτῷ ταῦτα ἔχει δῆλον ἐκ τοῦ ἑτέρου
[τοῦ ἐναντίου]. φησὶ γὰρ

ὡς καὶ σοὶ εἶδος μὲν ἀριπρεπές (ϑ 176)·

τὸ μὲν γὰρ ἐκείνῳ δίδωσι δυοῖν ὄντοιν, τὸ δ᾽ αὑτῷ, τὸ λοιπόν.
καὶ ταῦτ᾽ οὐχ ὑπ᾽ αὐθαδείας, ὦ σοφίας ὄφελος σὺ καὶ ʻμέγα κῦδος 41
Ἀχαιῶνʼ, οὐδὲ τηνάλλως ἐκεῖνος διεξῄει τῷ θυμῷ παραδοὺς ἑαυ-
τόν, ἀλλ᾽ ἐπιστρέψαι βουλόμενος τὸ μειράκιον, τεθραμμένον ἐν
τρυφῇ καὶ πολὺ τῆς ἀληθείας διημαρτηκός. καὶ ὡς ἔοικεν ὤνησεν.
μεταγιγνώσκει τε γὰρ οὐκ εἰς μακρὰν καὶ πατέρα αὐτὸν ἀντὶ τῶν
προτέρων ἐκείνων καλεῖ (ϑ 408) καὶ εἰς διαλλαγὰς ἔρχεται. πάλιν 42
δ᾽ αὖ περὶ τῆς ἐν τοῖς ἄθλοις ἕξεως αὑτοῦ λέγων, ἄντικρυς ὥσπερ
Νέστωρ ἐν Ἰλιάδι, καθ᾽ ἕκαστον διελόμενος ὁπόσον κρατοίη λέγει·

πάντα γὰρ οὐ κακός εἰμι, μετ᾽ ἀνδράσιν ὅσσοι ἄεθλοι.
εὖ μὲν τόξον οἶδα ἐΰξοον ἀμφαφάασθαι,
πρῶτός κ᾽ ἄνδρα βάλοιμι ὀϊστεύσας ἐν ὁμίλῳ
ἀνδρῶν δυσμενέων, εἰ καὶ μάλα πολλοὶ ἑταῖροι
ἄγχι παρασταῖεν καὶ τοξαζοίατο φωτῶν (ϑ 214—218)·
δουρὶ δ᾽ ἀκοντίζω ὅσον οὐκ ἄλλος τις ὀϊστῷ (ϑ 229).

---

1 τὸ] τὸν A a. ras. 2 ἐν — Φαιάκων seclusi, cf. p. 154, 27 ἐν τοῖς Φαίαξιν (et p. 156, 1) 3 αὐτοῦ AS αὑτοῦ λέγων omissa add. Q² mg. μεθ᾽ om. U (del. Rsk.); corruptum: aut latet adverbium aut deest substantivum (e. g. μετ᾽ ὀργῆς: ϑ 165 ὑπόδρα ἰδών) ἀντάξιοι scripsi et ὧν addidi: ἀντάξιον O (ΑΝΤ-ΑΞΙᴼΩΝ; ᴼ = οι scribis correctura insequentis ω fuit); ad levem comparationis inconcinnitatem cf. p. 149, 20 ἀντάξιος εἶ τῶν ἐπῶν 4 ταύτης] sc. ὥρας (Wil.) 5 ὑπερπέφυκεν paraphrasin Homerici στέφει (v. 6) esse monuit Wil., quare cum accus. coniunctum; tamen ludit in altera notione superandi (c. genet.: pro Quattuorv. II 202, 15 Ddf.) αὐτὸν AQT $^{\tau}$αὔτον — λ$^{\eta}$έγειν U pr. m. 6 ἔπε/σιν U 7 λεύσουσιν SQ 8 μετὰ δὲ πρέπει Hom. 10 εἰσ αὐτὸν A¹ (corr. Aʳ) Q¹ αὑτῷ om. Q¹ ταῦτ᾽ U 11 τοῦ ἐναντίου seclusi 13 αὐτῷ US², αὐτῶι A¹ (corr. A²) S¹Q: αὐτὸ T τὸ λοιπόν spurium videtur 14 οὐχὶ ὑπ᾽ Q 15 τηνάλωσ T 18 μεταγινώσκει UT 19 προτέρων U: πρότερον ASQT ἐκεῖνον Q¹ 20 αὐτοῦ ASQT 21 διελόμενοσ sic O 24 κ᾽] δ᾽ Q

43 ταῦτα μὲν ἐν τῇ θέᾳ τῶν Φαιάκων, πρὶν καὶ τοὔνομα εἰπεῖν πρὸς
αὐτοὺς ὅ τι ἐστὶν αὐτῷ. ἐρωτηθεὶς δὲ καὶ τοῦτο ἐν τῷ δείπνῳ

εἴμ' Ὀδυσεύς, ἔφη, Λαερτιάδης, ὃς πᾶσι δόλοισιν
ἀνθρώποισι μέλω, καί μευ κλέος οὐρανὸν ἵκει (ι 19 sq.),

εὖ εἰδὼς ὅτι οὐχ ὁμοίως οἱ Φαίακες ἀκούσονται αὐτοῦ τῶν λόγων,
ἕνα τε εἶναι τῶν πολλῶν νομίζοντες καὶ προλαβόντες ἐν ταῖς γνώ-
μαις ὅτι νῦν αὐτοῖς τῶν Ἑλλήνων ὁ ἄριστος διαλέγοιτο. οὐκ ᾐσχύ- 506 D
44 νετο οὖν ἑαυτὸν ἐπαινῶν, εἴπερ γε μηδ' ἑτέρους ὠφελῶν. Οὕτω
μὲν αὐτοί τε οἱ ποιηταὶ φρονοῦσιν ἐφ' αὑτοῖς καὶ οἱ ἄνδρες περὶ
ὧν διαλέγονται καὶ οὓς μάλιστα παρ' αὐτῶν ἐπαινοῦσιν [οἱ ποιη-
ταί]. εἰ δὲ δή τις ἔροιτό σε πότερον τοὺς τὰ ψευδῆ περὶ αὐτῶν 376 J
λέγοντας κακίζεις ἢ καὶ τοὺς ὁπωσοῦν, εἰ μὲν ἐκείνως ἐρεῖς, ἔλεγχε
ὡς ἡμεῖς ταῦτα ἐψευδόμεθα, εἰ δ' ὅλως, ἐὰν γρύζῃ τις, σκόπει
τί τῷ δευτέρῳ χρήσῃ. ἃ γὰρ ἂν αἰσχρὰ φαίης ἐπ' ἀνθρώπων
εἶναι, ταῦτ' οὐκ ἂν ἔχοις εἰπεῖν μὴ οὐ πολὺ τοῦ γε θεοῖς πρέπειν
ἀπέχειν· ἃ δὲ μηδὲ θεῶν μηδενὶ φαίης ἂν πρέπειν, κομιδῇ τῷ γε
45 ἀρίστῳ τῶν θεῶν οὐκ εἰκὸς πρέπειν. πῶς οὖν Ὁμήρῳ πεποίηται
τοσαῦτα καὶ τοιαῦτα λέγων ὁ Ζεὺς περὶ αὑτοῦ καὶ τοὺς ἄλλους
θεοὺς ἐκπλήττων καὶ φοβῶν ὥσπερ παιδάρια; τοῦτο μὲν ἐν θεῶν
ἀγορᾷ, ὅτ' εἰς τὸ κοινὸν ἀπειλεῖ·

γνώσετ' ἔπειθ' ὅσον εἰμὶ θεῶν κάρτιστος ἁπάντων (Θ 17),

ὁ ἀπειθῶν δὴ τοῖς παραγγέλμασιν· καὶ τἀπὶ τούτοις·

εἰ δ' ἄγε πειρήσασθε, θεοί, ἵνα εἴδετε πάντες,
σειρὴν χρυσείην ἐξ οὐρανόθεν κρεμάσαντες,
πάντες δ' ἐξάπτεσθε θεοὶ πᾶσαί τε θέαιναι·
ἀλλ' οὐκ ἂν ἐρύσαιτ' ἐξ οὐρανόθεν πεδίονδε
Ζῆν' ὕπατον μήστωρ', οὐδ' εἰ μάλα πολλὰ κάμοιτε.

---

1 ἐν τῇ φαιάκων θέα Q (Junt.) 3 ὀδυσσεὺσ O 4 μέλω] λ in ras. U[1] aut U[2], $\overset{λω}{μέδω}$ Q pr. m. (Rsk. apud Homerum μέδω legendum esse edixerat) ἥκει A[r]U (Hom. Vindob.) 5 οἱ in O 7 αὐτοῖσ O ὁ om. U 8 ὠφελῶν] sc. ᾐσχύνετο; sententia est: Ulixes non verebatur se laudare, cum aliorum mores corrigere non vereretur 9 τε om. Q[1] αὑτοῖς] αὑτοὺσ Q[1] 10 αὑτῶν O οἱ ποιηταί seclusi 11 αὑτῶν AQ a. corr. 13 ὅλως] sc. κακίζεις γρύξῃ T 14 γὰρ αἰσχρὰ φαίησ ἂν ἐπ' U; pro φαίης suo iure postulat φῇς Wil. et hic et v. 16; sed condonandus videtur optativus oratori, qui inverterit Demosth. XX 126 χρὴ γάρ, ὥς γοῦν ἐμοὶ δοκεῖ, ὅσα τις πράττει τοὺς θεοὺς ἐπιφημίζων, τοιαῦτα φαίνεσθαι, οἷα μηδ' ἂν ἐπ' ἀνθρώπου πραχθέντα πονηρὰ φανείη 18 τοιαῦτα καὶ τοσαῦτα U αὐτοῦ AQT 21. 22 ἁπάντων / ἀπειθῶν Q 23 ἄγε] ἄγε δὴ Q ἵνα εὖ εἰδῆτε (hoc etiam Hom. Towl.) πάντεσ U 25 δ' om. Q[1] 26 ἂν] ἄν μ' Q (pauci libri Hom.), ἄν γ' U ἐρύσαιτ' UT[2]Q[2] (ubi et αι in ras. et ἐ in ampliore; Q[1] incertum): ἐρύσετ' AS, ἐρύσιτ' T[1] (cf. ἐρύσητ' Hom. Vindob.)

ἀλλ᾽ ὅτε κεν καὶ ἐγὼ πρόφρων ἐθέλοιμι ἐρύσσαι,
αὐτῇ κεν γαίῃ ἐρύσαιμ᾽ αὐτῇ τε θαλάσσῃ (Θ 18—24)·
τόσσον ἐγὼ περί τ᾽ εἰμὶ θεῶν περί τ᾽ εἴμ᾽ ἀνθρώπων (Θ 27)·

καὶ ταῦτα ἐν εἰδόσι δή που λέγων τοῖς θεοῖς. οὐ γὰρ δὴ τότε γε ἐμάνθανον πρῶτον ὅτι ὁ Ζεὺς κρείττων ἐστὶν αὐτῶν. ἄλλα τοίνυν
507 D *ὅσα τοιαῦτα ἀποφθέγγεται ἢ πρὸς τὴν Ἥραν ὀργιζόμενος ἢ κατὰ*
πᾶσαν πρόφασιν, τίς ἂν ἐκλέξαι ῥᾳδίως; καὶ ὅπως μή μοι σοφὸς 46
ἐνταυθοῖ γένῃ μηδὲ γελάσας εἴπῃς, τί δ᾽ οὐκ ἂν πρέποι τῶν μεγίστων τῷ Διί; οὐ γὰρ τοῦτ᾽ ἔστι τὸ ἀμφισβητούμενον, ἀλλ᾽ εἴ τῳ ἐν ὁτῳοῦν καὶ ὁσονοῦν προέχοντι μὴ προσήκει λέγειν περὶ αὐτοῦ μηδὲ φρονεῖν, ἀλλ᾽ ἀπόχρῃ ἐὰν οἱ συνειδότες ὦσιν, ἥκιστα πάντων ὑπὲρ αὑτοῦ προσήκει λέγειν τῷ Διί. καὶ γὰρ πλεῖστον κρατεῖ καὶ πάντες συνίσασιν καὶ ὅτι αὖ συνίσασιν αὐτὸς ἐπίσταται. ἑλοῦ δὴ ποτέρως ἐμὲ συκοφαντεῖς, πότερον τοῦτο λέγων, ὡς 47
ἐμοὶ τούτων οὐχὶ προσῆκεν τῶν λόγων οὓς ἄν τις εἴποι συνειδὼς ἑαυτῷ τι πλέον τῶν ἀκροατῶν, ἢ καθάπαξ οὐκ ἐῶν οὐδὲν ὁτιοῦν
377 J *παρρησιάζεσθαι. Καὶ μὴν οὐδ᾽ ἐκεῖνό γ᾽ ἂν εἴποις, ὡς ἐμοὶ μὲν* 48
αἰσχύνην φέρει τὸ τοιοῦτον, Ὁμήρῳ δ᾽ εἰς τὸν Δία ἀναφέροντι αἰσχύνην οὐκ ἔχει. ἀλλ᾽ ὡς ἔοικεν, ὅ τε Ζεὺς ἐξηγεῖται τοῖς θεοῖς τἀληθῆ σωτηρίας τῶν ὅλων εἵνεκα καὶ Ὅμηρος ὡς προσήκοντα τὰ τοιαῦτα οὕτω πεποίηκεν, ὅ τ᾽ Ἀπόλλων καὶ αὐτὸς παραπλήσια ἐν τοῖς χρησμοῖς ἐπιδείκνυται, οὐκέθ᾽ οὗτος διὰ ποιητοῦ λέγων, ἀλλ᾽ ὡς θέμις αὐτῷ,

Οἶδα δ᾽ ἐγὼ ψάμμου τ᾽ ἀριθμοὺς καὶ μέτρα θαλάσσης
καὶ κωφοῦ ξυνίημι καὶ οὐ λαλέοντος ἀκούω.

---

1 *κεν*] *δὴ* Hom.; *κεν* etiam Stob. I 21, 4 p. 184, 1 W. (ubi Wachsmuth iniuria librorum suorum lectionem Homericae posthabuit) et Plut. v. et p. Hom. c. 94 *ἐρύσσαι* AT: *ἐρ/ύσαι* S, *ἐρύσαι* QU (-*ῦσαι*) ut Hom. Vindob. 2 *τε*] *κε* U (*κεν* Hom. Laur. D) quos post hunc versum Aristides omittit versus (*Θ* 25. 26), iis Zenodotus obelum appinxerat 4 *ἐν εἰδόσι*] cf. p. 139 adn. [et Diels, Parmenides Lehrgedicht p. 49] *γ᾽* U 5 *ὁ* om. Q^1 (Junt.) *ἀλλὰ* S^1QT 8 *γίνῃ* Q^1 *τῶν μεγίστων*] oppositum id, quod minus est, v. 10 *λέγειν — φρονεῖν* 9 *γὰρ* om. Q^1 *εἴ τῳ* scripsi: *εἰ τῷ* O 10 *προσήκειν* QU a. corr. (corr. pr. m.) T *αὐτοῦ* A^1 (corr. A^r) Q, *αυτοῦ* S; item v. 12 11 *ἀπόχρῃ* Rsk.[2]: *ἀποχρῆν* O; possis etiam *ἀποχρῶν* in neutro *ἥκιστα*] reddit apodosin ad prothesin 9 *εἰ* — 11 *ὦσιν*; construendum *ἀλλ᾽* (*εἰ*), *εἰ — ὦσιν, ἥκιστα — προσήκει*, cf. or. XXVII § 27 12 *γὰρ ὅτι πλεῖστον* Q 13 *καὶ ὅτι — ἐπίσταται* omissa add. Q^2 mg. *αὖ* om. U 14 *ποτέρωσ* sic O 21 *ὅ τ᾽ Ἀπόλλων*] corr. ex *ὅσ τὰ πολλῶν* Q pr. m.; *ὁ τὰ πολλων* A^1 (corr. A^r) 23 *αὐτῷ*] *αὐτὸς* Rsk.[2], at hoc idem verbis *ὡς — αὐτῷ* significatur 24. 25 non ex Herodot. I 47, sed eodem ex fonte unde ceteri testes ap. Stein ad Herod. l. c. 24 *ἀριθμὸν* ceteri omnes 25 *συνίημι* UQ^1 Herod. (unus omnium) *λαλέοντος*] *φωνεῦντος* Herod. (item)

τίνι γὰρ καὶ μᾶλλον προσῆκεν τἀληθὲς εἰπεῖν ὑπὲρ αὑτοῦ ἢ τῷ
49 *τἀληθῆ περὶ πάντων εἰπόντι καὶ λέγοντι; οὕτω τοίνυν καὶ τῶν ἀνθρώπων ὅσοι θεοφιλεῖς καὶ τῶν ὁμοφύλων προέχουσιν, οὐκ αἰσχύνονται τἀληθῆ λέγοντες, ἀλλ᾽ ἡγοῦνται τοὺς ἀλήτας ὑπὸ ἀπορίας πολλὰ ψευδομένους καὶ κατὰ τὴν τῆς χρείας αἰτίαν ποιῆσαι τοὔνομα τοῦτο ὃ σὺ φεύγεις, τὸν ἀλαζόνα, ᾧ πᾶσαν τὴν ἐναντίαν ἔρ-*
50 *χεται δήπουθεν ὁ τἀληθῆ λέγων. ἔστι δὲ κἀν τοῖς νόμοις μὴ* 508 D
λέγειν κακῶς, οὐχ ἁπλῶς, ἀλλὰ τὰ ψευδῆ. ὥσπερ τοίνυν ἐν τοῖς εἰς ἕτερον λόγοις οὐ τὸ κακῶς εἰπεῖν, ἀλλὰ τὸ ψευδῆ δεινόν, οὕτως οὐδ᾽ ἂν περὶ ἑαυτοῦ τις εὐφημῇ, δικαίως ἂν ἔχοι μέμψιν, ἕως ἄπεστιν τὸ τὰ ψευδῆ λέγειν. ὡς ὅ γε ἀψευδὴς οὔθ᾽ ἕτερον κακῶς ἀδίκως ἐρεῖ οὔθ᾽ αὑτὸν ἐπαινέσαι δεῆσαν φεύξεται.
51 *Οἶμαι δέ σε καὶ Σαπφοῦς ἀκηκοέναι πρός τινας τῶν εὐδαιμόνων δοκουσῶν εἶναι γυναικῶν μεγαλαυχουμένης καὶ λεγούσης, ὡς αὐτὴν αἱ Μοῦσαι τῷ ὄντι ὀλβίαν τε καὶ ζηλωτὴν ἐποίησαν καὶ ὡς οὐδ᾽ ἀποθανούσης ἔσται λήθη. ἀκούεις δὲ καὶ τοῦ Λάκωνος λέγοντος εἰς αὑτόν τε καὶ τὸν χορὸν ʽἢ Μῶσα κεκλήγ᾽ ἢ λίγεια*
52 *Σειρήν᾽* (frg. 7 B[4]). *καίτοι τί τοιοῦτον ἐγὼ περὶ ἐμαυτοῦ καὶ τῶν ἐμαυτοῦ λόγων παρεφθεγξάμην; πότερον τοῖς Σειρήνων μέλεσι παρέβαλον αὐτούς; ἢ πρὸς βιβλία βιβλίον ἀντεξετάσαι κελεύειν αὐθαδέστερόν ἐστιν ἢ τῇ τῶν Μουσῶν φωνῇ τὴν αὑτοῦ φῆσαι*
53 *προσεοικέναι; προστίθει δὲ κἀκεῖνο, ὅτι αὐτῆς τῆς Μούσης δεηθεὶς κατ᾽ ἀρχὰς ὁ ποιητής, ἵν᾽ ἐνεργὸς ὑπ᾽ αὐτῆς γένοιτο, εἶτα ὥσπερ ἐξεστηκώς φησιν, ὅτι τοῦτο ἐκεῖνο χορὸς αὐτὸς ἀντὶ τῆς Μούσης γεγένηται. καὶ εἰ μὲν ἄνευ τῆς Μούσης τοῦτο ἐξελάλησεν,* 878 J
οὐ κοινωνεῖ τοὐμὸν τῆς αἰτίας — ἐγὼ γὰρ τῶν ἐν τοῖς λόγοις ἀγαθῶν ἀφιστάμην τῇ θεῷ, εἰ δ᾽ ἡ Μοῦσα κληθεῖσα καὶ παραγενο-

---

1 *αὐτοῦ* A[1] (corr. A[r]) Q[1] 2 *εἰπόντι*] *εἰδότι* Rsk. (prob. Ddf.), at argumentum totius quaestionis in eo versatur, utrum profiteri verum liceat necne 3 *προέχουσιν*] s. l. *γρ. προπαρέχουσιν* Q[2] (idem corr. S[2]) 4 *ὑπ᾽* U *ἀλήτας — 7 ἀλαζόνα*] sequitur volgarem etymologiam Et. M. 55, 42 7 *κἀν*] *καὶ* S[1] 9 *ἕτερον*] add. *γρ. ὕστερον* Q[2] mg. *τὸ* US[2]Q[2]: *τὰ* AS[1]T (Q[1] sine dubio); ⟨*τὸ*⟩ *τὰ* Rsk. 10 *ἑαυτοῦ*] *σαυτοῦ* A[1] (corr. A[r]), *αὑτοῦ* U 13 *τινα* Seidler, Rh. Mus. 1829, 171, inutiliter 15 *αὑτὴν* O *αὐτὴν — λήθη*] cf. Bergk[4] ad Sapph. frg. 10. 32. 68 *τε* om. Q[1] 17 *ἢ — κεκλήγ᾽ ἢ* Wil.: *ἡ — κεκλήγη ἡ* AS[1]: *ἡ — κεκλήγει ἡ* QUTS[2] 20 *αὐτοῦ* QT 22 *δὲ* Junt.: *δὴ* O 23 *ἐνεργῶσ* S[1] 24 *ἐξεστηκώς* scripsi: *ἐξέστη καὶ* O; *ἐξέστηκε καὶ* Wil. *τοῦτ᾽ ἐκείνω* U; *τοῦτο ἐκεῖνο*, i. e. quae iam (v. 17) dixi; cf. p. 159, 9 *αὐτὶ δὴ τοῦτο* *χορὸς αὐτὸς*] cf. v. 17; verba non sana; ⟨*ὁ*⟩ *χορὸς αὐτὸς* Wil.; ipse de [*χορὸς*] *αὐτὸς* cogitaveram, cf. v. 21 *τῇ τῶν Μουσῶν φωνῇ τὴν αὑτοῦ* *τῆσ — 25 ανευ* omissa add. S[2] mg. 25 *τοῦτ᾽* U 26 *οὐ — αἰτίας*] causa mea libera (ʽnon particepsʼ) est criminis, quod quis inde Alcmani insimulet

μένη ταῦτ' ἤγαγεν ἐπὶ νοῦν αὐτῷ, δοκοῦντα καὶ ταῖς Μούσαις, ὡς
ἔοικεν, ἐστὶ τὰ τοιαῦτα παρρησιάζεσθαι τοὺς ὑπ' αὐταῖς ζῶντας.
ἑτέρωθι τοίνυν καλλωπιζόμενος παρ' ὅσοις εὐδοκιμεῖ, τοσαῦτα καὶ 54
τοιαῦτα ἔθνη καταλέγει ὥστ' ἔτι νῦν τοὺς ἀθλίους γραμματιστὰς
ζητεῖν, οὗ γῆς ταῦτ' εἶναι, λυσιτελεῖν δ' αὐτοῖς καὶ μακράν, ὡς
509 D *ἔοικεν, ἀπελθεῖν ὁδὸν μᾶλλον ἢ περὶ τῶν Σκιαπόδων ἀνήνυτα πραγ-*
ματεύεσθαι (frg. 118 B^4). *ἀλλαχῇ δὲ οὕτω σφόδρα ἔνθεος γίγνε-*
ται ὥστε φαίης ἂν ὅτι οὐδ' οὑτωσὶ κατὰ τὸ ῥῆμα ἔνθεός ἐστιν,
ἀλλ' αὐτὸ δὴ τοῦτο ὥσπερ θεὸς τῶν ἀπὸ μηχανῆς λέγει·

εἴπατέ μοι τάδε, φῦλα βροτήσια (frg. 47 B^4).

πρὸς θεῶν σὺ δ' αὐτὸς ἡμῖν τίς εἶναι φήσεις;

Φέρε δὴ γνώρισον καὶ ταῦτα, εἰ ἄρα οἷός τε εἶ· 55
μαθόντες λάβροι
παγγλωσσίᾳ, κόρακες ὥς, ἄκραντα γαρύετον
Διὸς πρὸς ὄρνιχα θεῖον (Pind. O. II 86—88).

οὐκ ἐνταῦθα ὁ ποιητής, ὅστις ποτὲ οὗτός ἐστιν, καλεῖ κόρακας μὲν
τοὺς ἄλλους ποιητάς, αἰετὸν δ' ἑαυτὸν πρὸς ἐκείνους; οὔκουν το-
σούτῳ κρείττω τῶν ἄλλων ποιητῶν ἑαυτόν, ὅσον κοράκων αἰετός;
πάλιν τοίνυν πρός τινα τῶν ἀκροατῶν, ἐπειδὴ νυστάζοντα ἑώρα, 56
καὶ οὐκ εἰδότα ὅτῳ σύνεστιν, οὑτωσὶ πεποίηκεν·

ὄπισθεν δὲ κεῖμαι θρασειᾶν
ἀλωπέκων ξανθὸς λέων (frg. 237 B^4).

οὐ γὰρ δή που καὶ Πίνδαρον φήσεις ὑπ' ἐμοῦ ταῦτα ἀναπεισθέντα
ἐμβαλεῖν εἰς τὴν ποίησιν τὴν ἑαυτοῦ. ἄκουε δὴ καὶ ἑτέρων· 57

κεκρότηται χρυσέα κρηπὶς ἱεραῖσιν ἀοιδαῖς·
εἶα τειχίζωμεν ἤδη ποικίλον
κόσμον αὐδάεντα λόγων (frg. 194, 1—3 B^4).

Ἡράκλεις, ταυτὶ μὲν οὐδὲ παντάπασιν ἀναίτια τοῖς ῥήμασιν, ἀλλ'

---

4 *ὥστ' ἔτι νῦν* U: *ὥστε τί νῦν* AST, *ὥστε τοίνυν* Q 5 *εἶναι*] *ἐστί* Rsk., at cf. p. 97, 17 *λυσιτελεῖ* Q^1 6 *ὁδὸν ἀπελθεῖν* U *Σκιαπόδων*] cf. e. g. Aristoph. av. 1553; nomen *Στεγανοπόδων* ceteri frg. 118 testes ('fefellit Aristidem memoria' Wil.) 7 *γίνεται* T (solus) 8 *οὐδ' οὑτωσί*] mg. Q^2 c. *γρ.*, *οὐδ' ὡσὶ* Q^1 11 *σὺ*] Alcman 14 *παγγλωσσίαι* ASQ (i. e. *-ίᾳ*; *-ία* UT) *γαρύετον* QUTA^{2}S^2: *γὰρ ὑετὸν* S^1, *γὰρ//ετὸν* A^1, quatenus agnoscitur 15 *ὄρνιχα* S^{1}UTQ p. corr. A^2: *ὄρνιθα* A^{1}Q a. corr. S^2 16 *ποθ'* U 17 *ἀετὸν* Q *δὲ αὐτὸν* A^1 (corr. A^r) Q, *δ' αὐτὸν* U *οὐκοῦν* O (edd.) 18 *τοσοῦτον τῶν ἄλλων ποιητῶν ἑαυτὸν προτίθησιν ὅσον* U, paraphrasis *κρείττω* Q: *κρείττων* AST *ἀετός* Junt.: *αἰετόν* ASTU, *ἀετόν* Q 20 *ὅτῳ*] *οὕτωι* S^1 21 *ὄπισθε* Boeckh *θρασεῖαν* solus Q a. corr. 23 *ταῦτ'* U 25 *ἱερῆσιν* UT 26 *εἶα* Bergk: *εια* (*οι* supra) A pr. m., accentus non fuit: *οἷα* SQU, *οἵα* T *τειχίζωμεν* AS: *τειχίζομεν* QUT *ποικίλων* corr. Bergk 28 *ἀναίτια* corruptum; conieci

ὅμως καὶ ἐπὶ τούτοις σεμνύνεται ὡς οὐδὲν ἀτιμοτέροις τοῦ νέ-
κταρος, καί φησιν ὅτι οὗτος μέντοι ὁ τῶν λόγων κόσμος

καὶ πολυκλειτάν περ ἐοῦσαν ὅμως Θήβαν ἔτι μᾶλλον ἐπασκήσει 510 D
θεῶν
καὶ κατ᾽ ἀνθρώπων ἀγυιάς (ibid. v. 4. 5),

ὥσπερ οὐκ ἀρκοῦν εἰ κατὰ ἀνθρώπους μόνον, ἀλλὰ καὶ τοὺς θεοὺς
ἔτι μειζόνως τιμήσοντας δι᾽ ἐκεῖνον τὴν τῶν Θηβαίων πόλιν εἰς
58 τὸ λοιπόν. ἑτέρωθι (frg. 90 B^4) δὲ ἔτι λαμπρότερον· 379 J

Πρὸς Ὀλυμπίου Διός σε
χρυσέα κλυτόμαντι Πυθοῖ,
λίσσομαι Χαρίτεσ⟨σί⟩ τε καὶ σὺν Ἀφροδίτᾳ
ἐν ζαθέῳ με δέξαι χρόνῳ
ἀοίδιμον Πιερί⟨δ⟩ων προφάταν.

ὁρᾷς ὡς εὐχόμενος μεταξὺ οὐ κατέσχεν ἑαυτόν, ἀλλὰ κἀνταῦθα
ἐσεμνολογήσατο. καίτοι τίς ἂν ἦν τυχὼν τῶν ἐκ τῆς εὐχῆς, ὃς
εὐθὺς ἀρχόμενος τῆς εὐχῆς τοσοῦτον ἐφ᾽ αὑτῷ φρονεῖ [εἰπὼν εἰς
59 αὐτόν]; Μυρίους τοίνυν ἑτέρους ἔχων εἰπεῖν οὐδὲ πολλοῦ τινος
ἀξίους ἀνθρώπους ἐπαρθέντας ἐφ᾽ αὑτοῖς φρονῆσαι, ἐξεπίτηδες
παραλείπω, δεδοικὼς μὴ περιστήσω τὸν λόγον εἰς τοὐναντίον, ὡς
ἄρα καὶ φαύλων εἴη τὸ τὰ τοιαῦτα κοσμεῖν ἑαυτούς. ἀλλὰ τήν γε
τοῦ Σιμωνίδου σωφροσύνην οἶσθα, εἰ δὲ μή, ἀλλ᾽ ἕτεροι ἴσασιν,

---

σύναπτα (CYNAΠTA : ANAITIA; corruptela nata est, cum CY in A coaluisset, cui simillimam, A pro CI, attuli Ath. Mitth. XX 427 ann.); pravam lectionem ποικίλον videtur orator significare et breviloquentiam poeticam κόσμον τειχίζωμεν, i. e. τεῖχος κεκοσμημένον τειχίζωμεν (ἐγείρωμεν); Pindarum imitatus est Democrit. ap. Dion. Prus. LIII init. (I 370 frg. 3 M.) Ὅμηρος — ἐπέων κόσμον ἐτεκτήνατο παντοίων, quibus Bergkii ποικίλων probatur

3 hos ut cum vv. p. 159, 25—27 coniungeret, ὅς ante καὶ ap. Pindarum add. Boeckh, certa non usus ratione; idem ἐοῖσαν πολὺ κλειτάν AST, πολύκλειταν (ο supra) U pr. m., πολύκλειτάν Q, at α ex ο corr. περ om. U θῆβαι Q a. corr. 5 ἀγυιάς — 6 ἀνθρώπων om. TS^1, add. mg. ἀλίασ (sic) ὥσπερ — ἀνθρώπων S^2 6 κατ᾽ U ἀνθρώπους scripsi: ἀνθρώπων O 7 ἔτι om. Q^1 9 διόσ σε UTA^2S^2: διόσε A^1S^1Q 11 λίσσομαι Canter: ἄ(ι)σομαι O χαρίτεσσί τε G. Hermann (iam antea 'cum Gratiis et Venere' in versione Canter): χάριτέσ τε $AQTS^2$; χάρισ τε, ut videtur S^1, χάριτάσ τε U ἀφροδίτᾳ P. Stephanus sec. Canteri versionem: ἀφροδίτα ASQT, ἀφροδίτη U 12 χρόνῳ ASQT: χωρῷ U; χορῷ Bergk; at Iovem, quem Olympiis celebraverat, poeta testem adhibet, ut Apollo ipsum dignum habeat, qui Pythiorum feriis (ἐν ζαθέῳ — χρόνῳ) cantet 13 Πιερίδων Canter: πιερίων $AQUTS^2$, πιερίον S^1 15 ἦν] τοσοῦτο U 16 τῆς εὐχῆς abesse mavult Wil. ἑαυτῶ U εἰπὼν εἰς αὐτὸν secl. Wil. 18 ἐπ᾽ αὐτοῖσ ASQ, ἐπ᾽ αὑτοῖσ T 20 τὰ τοιαῦτα ASQ: ταῦτα UT et Q pr. m. s. l. c. γρ. 21 ἴσασιν mihi suspectum

ὡς ἕν τι τῶν ἀγαθῶν ἐστι τῶν ἐκείνου, τὸ γνωριμώτατον σχε-
δὸν καὶ περὶ τὴν ποίησιν καὶ περὶ αὐτὸν τὸν βίον. οὗτος τοίνυν 60
ἀνὴρ φανεῖταί σοι καὶ αὐτὸς μειρακιευόμενος καὶ τὸ λεγόμενον δὴ
τοῦτο ἐπὶ γήραος οὐδῷ γενόμενος τῆς ἀλαζονείας. ἐτόλμησε γοῦν
εἰπεῖν (n. 146 B[4])·

μνήμῃ δ' οὔτινά φημι Σιμωνίδῃ ἰσοφαρίζειν·

ταυτὶ γὰρ οὐχ ἕτερος δή που περὶ τοῦ Σιμωνίδου λέγει, ἀλλ' αὐ-
511 D τὸς εἰς ἑαυτὸν πεποίηκεν· ἵνα δὲ μὴ δόξῃ νέος ὢν ἔτι καὶ ὡραϊ-
ζόμενος λέγειν ταῦτα, προστίθησιν

ὀγδωκονταέτει παιδὶ Λεωπρέπεος,

ὥσπερ ἐνδεικνύμενος καὶ λέγων ὅτι ταῦτα ἐγὼ περὶ ἐμαυτοῦ φρονῶ
καὶ [λέγω] ἀνακηρύττω ὀγδοηκοντούτης ὤν, ὥστε οὐ μειρακιεύομαι,
ἀλλὰ τἀληθὲς εἴρηκα. τὸ δὲ πάντων μέγιστον, καὶ γὰρ Σιμωνίδης 61
καὶ Πίνδαρος ἀμφότεροι φανοῦνται σφίσιν αὐτοῖς ἐπινίκους πε-
ποιηκότες ἐκ τοῦ εὐθέος ὥσπερ ἄλλοις τισίν. οὐ γάρ πω σὲ ἤνεγ-
κεν ἡ γῆ, ἀλλ' ἔτι τοῖς ἐλευθέροις ἦν ἄδεια τῶν τοιούτων. ἐπι- 62
τιμήσαις δ' ἂν οὕτω καὶ τοῖς ἀθληταῖς αὐτοῖς τοῖς τοὺς ἐπινίκους
παρὰ τῶν ποιητῶν λαμβάνουσιν. καὶ γὰρ οὗτοι τρόπον τινὰ ἑαυ-
τοὺς ἐγκωμιάζουσιν, παρακαλοῦντές τε τοὺς ποιητὰς καὶ διδόντες
ἀργύριον, καὶ τελευτῶντες παραλαβόντες τὸν ἐπίνικον, ᾄδοντες
ἑαυτοὺς ὑπ' αὐλοῦ καὶ χοροῦ. κατηγορήσαις δ' ἂν ἀλαζονείαν καὶ 63
τῶν τὰ τρόπαια ἱστάντων, ὡς ἔοικεν. ἔξεστι γοῦν καὶ πρὸς τού-
τους λέγειν 'ἄνθρωποι, τί ζητεῖτε; ἐξαρκεῖ νενικηκέναι'. τί δέ σοι
βούλεται τὸ παράγραμμα 'Ἀθηναῖοι ἀπὸ Θηβαίων' ἢ 'Περσῶν', ἢ
380 J 'Λακεδαιμόνιοι ἀπὸ τῶν δεινων'; ἢ ὁτιδήποτ' ἂν ᾖ, τοὐπίγραμμα
ἐξαλειπτέον; ἆρά σοι καὶ τὰ τοιάδε δόξει ἀλαζονεία τις εἶναι,

2 τὸν βίον αὐτὸν Q 3 ἀνὴρ O (corr. Ddf.) 4 ἀλαζονίασ AS[1] 6 μνήμην Q (Junt.) ἰσοφαρίζειν A[1]Q[1]US[2]: ἰσοφερίζειν A[r]S[1]TQ[2] 7 λέγειν Q a. ras. (Junt.) 8 ὡραϊζόμενοσ sic O 10 ὀγδωκονταέτει TQ p. corr., ὀγδοηκονταέτει U, ὀγδωκόντα ἔτη A[1] (-κονταέτ- A[2]) S, ὀγδοήκοντα ἔτη Q a. corr. λεοπρέπεος A[1] (corr. A[2]) S[1]Q 12 λέγω seclusi: φρονῶ καὶ λέγω ἀνακηρύττω AS, φρονῶ καὶ ἀνακηρύττω (λέγω supra) Q pr. m., φρονῶ καὶ λέγω κἀνακηρύττω TU (nisi quod hic καὶ ἀνα-) 14 ἐπινικίουσ QU; item v. 17 15 εὐθέωσ S a. ras. 16 τοῖς abesse vult Rsk.[2] 20 ἀργύριον — ᾄδοντεσ omissa add. S[2] mg. τὸν ἐπινίκιον QTS[2] (in supplemento; non U) 21 ἀλαζονίαν A[1] (corr. A[r]) S[1] 22 τρόπαι' S[1] πρὸσ τούτοισ Q a. corr. (Junt.) 23 ἐξαρκεῖν A a. ras. S[1] 24 παράγραμμα] ἐπίγραμμα U, interpolatio cf. v. 25 25 ἂν ᾖ, scripsi (virgula addita post δείνων): ἄν; ἢ O; sententia: 'si te iudice sat est vicisse, (quid tropaeum aut) quae ea dices esse quae tropaeo inscribunt (παράγραμμα pro ἐπίγραμμα in oratione περὶ τοῦ παραφθέγματος consulto usus est), velut 'Athenienses a Thebanis' q. s.? an delenda inscriptio qualiscunque erit? ergo hae quoque inscriptiones ostentationis tibi videntur esse?' 26 ἀλαζονία AS[1]

Ἑλλήνων προμαχοῦντες Ἀθηναῖοι Μαραθῶνι,
ἔκτειναν Μήδων ἐννέα μυριάδας

καὶ

ἀμφί τε Βυζάντειον ὅσοι θάνον, ἰχθυόεσσαν
ῥυόμενοι χώραν ἄνδρες ἀρηίθοοι

καὶ πάντα ἐκεῖνα, καλλίω τῶν σῶν, οἶμαι, λόγων ἐπιγράμματα; 512 D

64 καὶ ἔτι γε μᾶλλον

Ἐξ οὗ τ' Εὐρώπην Ἀσίας δίχα πόντος ἔκρινεν
καὶ πόλιας θνητῶν θοῦρος Ἄρης ἐφέπει,
οὐδενί πω κάλλιον ἐπιχθονίων γένετ' ἀνδρῶν
ἔργον ἐν ἠπείρῳ καὶ κατὰ πόντον ὁμοῦ.
οἵδε γὰρ ἐν γαίῃ Μήδων πολλοὺς ὀλέσαντες
Φοινίκων ἑκατὸν ναῦς ἕλον ἐν πελάγει
ἀνδρῶν πληθούσας· μέγα δ' ἔστενεν Ἀσὶς ὑπ' αὐτῶν
πληγεῖσ' ἀμφοτέραις χερσὶ κράτει πολέμου·

καὶ πρό γε τούτων

Ἔθνεα Βοιωτῶν καὶ Χαλκιδέων δαμάσαντες
παῖδες Ἀθηναίων,

65 οἶμαι, λέγει τὸ ἐπίγραμμα καὶ πολλὰ ἕτερα. νὴ Δί' ἀλλὰ ταῦτα Ἀττικὰ καὶ θερμότερα. ἀλλ' ὡς μὲν καὶ ἡμεῖς οὐκ εἰς ἕτερον τελοῦμεν ἔθνος τῇ προαιρέσει τῶν λόγων ἅπασι πρόδηλον. σὺ δ' οὖν ἐξέταζε τὰ Δώρια, εἰ βούλει, καὶ τὰ Λακωνικά·

Μυριάσιν ποτὲ τῇδε τριηκοσίῃς ἐμάχοντο
ἐκ Πελοποννήσου χιλιάδες τέτορες.

---

1. 2 [Simonid.] n. 90 B[4]; Preger, Inscr. Gr. metr. n. 199   2 ἐννέα] εἴκοσι Schol. A[2] ad Quatt. II 159, 15 Ddf. (p. 289 Frommel) redit ad eundem fontem, ex quo Suid. v. *Ποικίλη*   4 [Simonid.] n. 104 B[4]; Preger n. 7   *Βυζάντειον* Scaliger: *βυζάντιον* O; *Βυζάντειαν* Bergk   *θάνον* sic O   6 *πάντ'* U *ἐκείνω* Q   *τῶν σῶν — λόγων*] 'declamabat nempe iste de Marathone et Salamine' (Wil.); cf. ad p. 172, 15   8 [Simonid.] n. 142 B[4]; Preger n. 269; idem epigramma orator etiam orationi pro Quatt. II 209 Ddf. inseruit, ubi nulla lectionum varietas quae notatu digna sit; scholiasta ad Panath. I 246, 22 Ddf. (p. 70 Fr., p. 209 Ddf.) epigramma ex or. pro Quatt. hausit (*ὕμνησε* ut apud Aristidem ita in scholiis), ubi in scholiis (p. 525 Ddf.) Simonidis nomen; quas ceteri epigrammatis testes praebent differentias (easque non tam lectionum quam versuum partium) Preger composuit   9 *πόληασ* Q (*πόλεας* Diodor. XI 62)   12 *οἵδε — 14 πληθούσας* omissa add. U[2] mg.   16 *πρό — τούτων*] ante res gestas has, quas epigrammatis illis celebraverunt   17 [Simonid.] n. 132 B[4]; Preger n. 72   *ἔθνεα* Canter ex Herod. V 77 (ex quo et ipse Aristides versus): *ἔννεα* O   19 *τοὐπίγραμμα — πόλλ' — ταῦτ'* U   22 *ἐξέταζ' εἰ βούλει τὰ δώρια καὶ λακωνικά* U   23 [Simonid.] n. 91 B[4]; Preger n. 200   *τριηκοσίῃσ*] η et ῃ in ras. Q, ut vid., pr. m. (*τριηκοσίαις* Herod. VII 228)   24 *τέτορες* Canter ex Herod. l. c. (cf. Anth. Pal. VII 248): *τέτταρεσ* ASQT, *τέσσαρεσ* U

ἆρ᾽ οὖν οὐκ ἀλαζονεία ταῦτα καὶ πολλὴ καὶ πρός γε αὐθάδεια λαμπρά; τετρακισχίλιοι, φασίν, ὄντες τριακοσίαις μυριάσι πολεμίων ἀντήραμεν. ἕτεροι δ᾽ αὖ λέγουσιν· 66

Ἀκμῆς ἑστηκυῖαν ἐπὶ ξυροῦ Ἑλλάδα πᾶσαν
ταῖς αὐτῶν ψυχαῖς κείμεθα ῥυσάμενοι
δουλοσύνης· Πέρσαις δὲ περὶ φρεσὶ πήματα πάντα
ἥψαμεν, ἀργαλέης μνήματα ναυμαχίης.
ὀστέα δ᾽ ἥμιν ἔχει Σαλαμίς· πατρὶς δὲ Κόρινθος
ἀντ᾽ εὐεργεσίης μνῆμ᾽ ἐπέθηκε τόδε.

513 D ὥστε ὥρα σοι σκώπτειν αὐτοὺς ὡς ἀδολέσχας τινὰς νεκροὺς καὶ οὐκ εἰδότας ἡσυχίαν ἄγειν. κατά σε ἀνήρ τις Σιμωνίδειος ἀμείψεται· 'ὤνθρωπε, κεῖσαι ζῶν ἔτι μᾶλλον τῶν ὑπὸ γῆς ἐκείνων'. φέρε δὴ καὶ ταῦτα ἐξέτασον· 67

ἁ Μοῦσα γὰρ οὐκ ἀπόρως γεύει τὸ παρὸν μόνον, ἀλλ᾽ ἐπέρχεται
πάντα θεριζομένα (Simonid. frg. 46, 1. 2 B.[4]).

ταῦτ᾽ οὐ δοκεῖ σοι σαφῶς ὁ ποιητὴς ἑαυτὸν ἐπαινῶν λέγειν ὡς
381 J γόνιμον καὶ πόριμον εἰς τὰ μέλη; τί δ᾽, ἐπειδὰν λέγῃ

μή μοι καταπαύετ᾽, ἐπεί περ ἦρξατο
τερπνοτάτων μελέων ὁ καλλιβόας πολύχορδος αὐλός (ibid. v. 2. 3);

Νὴ Δί᾽ ἀλλ᾽ οἱ ποιηταὶ μόνοι οὕτως ἐφρόνησαν. σκόπει 68
δῆτα καὶ τοὺς ῥήτορας, οὓς μόνους σὺ φῂς θαυμάζειν, ἅτε καὶ σφόδρα κατ᾽ αὐτοὺς ὢν τὴν φύσιν. πρότερον δὲ τοὺς μεταξὺ τῶν ποιητῶν τε καὶ ῥητόρων ἐξετάσαι βούλομαι. "Ἡροδότου Ἁλι- 69
καρνασσέος ἱστορίης ἀπόδεξις ἥδε, ὡς μήτε τὰ γενόμενα ἐξ ἀνθρώ-

1 ἀλαζονία AS[1] 4 [Simonid.] n. 97 B[4]; Preger n. 5; ne primum quidem distichon cum Bergkio (Pregero) ad dialectum Doricam recensendum; totum epigramma ficticium; scholiasta ad Panath. I 204, 11 Ddf. (p. 52 Fr. cf. 453; p. 136 Ddf.) non ex nostro loco, sed ex anthologia quadam versus duos primos (ceterorum unicus testis Aristides) transcripsit; ceterum cf. Hiller, Philolog. 1889 [II], 230; 245 sqq. ἀγμῆσ S[1] ἐπὶ] ὑπὸ S[1]; ἔπι Preger ξυροῦ] υ in ras. S[2] 5 αὐτῶν SQT 6 δουλοσύνησ UT, δουλοσύνασ Q pr. m., δουλοσύνασ AS 7 ναυμαχίησ sic O; ναυμαχίας Junt. 8 ἥμιν Q a. corr. T, ἡμῖν ASUQ p. corr. 11 σ᾽ Q 12 ὤνθρωπε — ἐκείνων] Simonidea (frg. 60 B[4]) verba Aristidem aliquatenus mutasse mihi persuasum est, neque licet quae traduntur pro integro versu vel versuum partibus habere γᾶς Schneidewin ap. Simonid. 14 Μοῖσα Schneidewin ap. Simonid. γεύ|ει Q 15 θεριζομένα sic O 16 ταῦτα δ᾽ οὐ Q an ἐπαινεῖν [λέγειν] scribendum? at cf. p. 165, 19 sq. 18 neque Aristides significat fragmenta Simonidea v. 14. 15. 18. 19 tam arcte iungenda esse, quam Bergk fecit, neque probatur illius coniectura ipsorum versuum sententia μοι AS: μου T, με QU 21 οὓς — θαυμάζειν] cf. ad p. 162, 6; 172, 15 μόνουσ sic O 23 ἁλικαρνασέοσ Q, ἁ(ex ἀ- pr. m.)λικαρνασέωσ T, ἁλικαρνησέοσ S[1] (-νασῆοσ S[2]), ἁλικαρνασσῆοσ U 24 ἀπόδειξισ QU a. ras. ἅδε U γινόμενα Q

πων τῷ χρόνῳ ἐξίτηλα γένηται μήτε ἔργα μεγάλα καὶ θωυμαστά,
τὰ μὲν Ἕλλησι, τὰ δὲ καὶ βαρβάροις ἀποδεχθέντα, ἀκλεᾶ γένηται'
(Herodot. I 1). *εἶεν, ὦ βέλτιστε Ἡρόδοτε, ἐν σοὶ δὴ καὶ τοῖς σοῖς*
λόγοις ἀξιοῖς εἶναι τὸ σωθῆναι μνήμῃ τάς τε Ἑλλήνων καὶ βαρβάρων
πράξεις ἢ διεφθάρθαι πάσας; ἔγωγε, φησὶν ὁ Ἡρόδοτος, εἰ μὴ
70 *παντάπασιν ὕπνου μεστὸς εἶ. καί μοι δοκεῖ τὸν ἕτερον τοῦτο*
ἡσυχῇ κνίζειν. οὐκ ἔχων γοῦν ὅστις γένηται τὸν πόλεμον αἴρει, καὶ
βουλόμενος εἰπεῖν, οἶμαι, ὅτι αὐτὸς ἀξιολογώτατος εἴη τῶν συγγρα-
φέων τῷ πολέμῳ τὴν ψῆφον δίδωσιν. καὶ τὸ μὲν κεφάλαιον ὅπερ 514 D
λέγω τῆς σπουδῆς τοῦτ' ἔστιν. περιέρχεται δ' αὐτὸ καὶ μάλα
ἀστείως καὶ τοὺς πρεσβυτέρους πολέμους, ὡς ἂν σὺ δόξαις, καθ-
αιρεῖ· ἔστιν δὲ ταῦτα οὐδὲν ἕτερον ἀλλ' ἢ ἐνδείκνυται τῷ Ἡρο-
δότῳ καὶ τοῖς Ἑλλανίκοις καὶ τοῖς Ἑκαταίοις καὶ πᾶσι τούτοις,
ὅτι ἐγὼ ὑμῶν προέχω τῇ κρίσει πρῶτον· τὰ γοῦν κράτιστα ἐξει-
71 *λεχὼς ταῦτα καὶ [περὶ τούτων] γράφω, τὰ δὲ πλείω παιδιά. ὅτι*
δ' οὖν ἔνεστι φρόνημα τῷ Θουκυδίδῃ εὕροις ἂν καὶ διὰ πάσης
τῆς συγγραφῆς. πρῶτον μέν γε ἐπίπαν οἱ δημηγοροῦντες αὐτῷ
κατὰ πόλεις μετέχουσι τοῦ τοιούτου, ἔπειτα κατ' ἄνδρα. τίς οὐκ
οἶδεν οἷος μὲν ὁ Περικλῆς αὐτῷ, εἰ ἄρα καὶ Περικλέους ὄνομα
ἤκουσας· ὃς οὐκ ἐν ὁμιλίᾳ καὶ κατ' ἐξουσίαν οὑτωσὶ παραφθέγ-
γεται, ὃ σὺ πρώην ἡμῶν ἀφῃροῦ, ἀλλ' ἐν τοιούτοις καιροῖς ἐμβε-
βηκὼς αὐτός τε καὶ τοῦ δήμου τοῦ παντὸς ὄντος, ἐν οἷς σύ γ'
ἂν αὐτῷ συνεβούλευσας καὶ ἱκετηρίαν θεῖναι, φθειρομένης μὲν τῆς
χώρας ὑπὸ τοῦ πολέμου, φθειρομένων δὲ τῇ νόσῳ τῶν ἐν τῇ πόλει, 382 J
πάντων δ' ἐγκειμένων αὐτῷ καὶ παρωξυσμένων ὡς πρὸς μόνον 515 D
αἴτιον τῶν κακῶν, παρελθὼν αὐτὸς ἔλεγε τοιαυτί· 'καὶ προσεδόκων

---

1 *τῶ|ἐξίτηλα* U[1] *μήτ'* QU *καὶ*] *τε καὶ* Herod. *θαυμαστὰ* SQT 2 *καὶ* AS: *ὡς* T, om. QU libri Herod. 3 *σοὶ*] *ὧι* AS[1] (COI : ωI) 5 *ἢ διεφθάρθαι* sic O 6 *εἶ*] *ἢ* Q *δοκεῖ* U: *δοκεῖν* ASQT *τὸν ἕτερον*] 'τὸν Θουκυδίδην λέγει' schol. ASQ (hic om. *λέγει*) 7 *ἔχω* Q a. corr. *ὅ τισ* S[1] an *γίγνηται*? 8 *ἀξιολογώτατοσ αὐτὸσ* U 9 *τὴν ψῆφον*] sc. *τοῦ ἀξιολογώτατον εἶναι* (Thuc. I 1, 1) 10 ante *τῆς* add. *διὰ* TQ[1] s. l. *ἔστιν περιέρχεται* ······· *δ' αὐτὸ* S[1], lacuna VII vel VIII litt. relicta; ad *περιέρχεται* cf. *ἐκ κύκλου* § 1 *μάλα*] *μάλιστα* Q 13 *ἑλληνικοῖσ* Q 14 *πρῶτον*] alterum est *φρόνημα — καὶ διὰ πάσης τῆς συγγραφῆς* *ἐξειλοχὼσ* US[2] (ci. Cobet, Mnemos. IX 103) 15 *περὶ τούτων* secl. Wil. 17 *γε* om. U 19 *οἷόσπερ ὁ* U 21 *τοσούτοισ καιροῖσ συμβεβηκὼσ* Q; cf. pro Quatt. II 186, 14 sqq. Ddf., imprimis *δυσμεναίνειν ὡς τῶν παρόντων πραγμάτων αἰτίῳ — λύπην καὶ παροξυσμὸν εἰς αὐτόν, ἐν μέσοις τοῖς δεινοῖς ἐμβεβηκὼς κτἑ.* (cf. Demosth. XVIII 248) 25 *παρωξυσμένων* A a. ras. STQ[2]: *παρωξυμένων* UA p. ras., *παρωξυνομένων*, ut videtur, Q[1] (Junt.) 26 *καὶ προσεδόκων κτἑ.*] cf. Thuc. II 60, 1. 5

ταῦτα, ὦ Ἀθηναῖοι, καὶ ἀδικεῖτε ὅτι ὀργίζεσθε. εἰμὶ γὰρ ὑμῶν’,
φησί, ‘πάντα ἄριστος’, ὥσπερ Ζεύς τις Ὁμηρικός. καὶ τὰ μὲν ἄλλα 72
ἧττον ἄν τις θαυμάσειεν, τὸ δ’, ὦ Ζεῦ καὶ θεοί, ῥήτορα μὲν καὶ
στρατηγὸν ὄντα, λέγοντα δ’ ἐν ἐκκλησίᾳ, ὕποπτον δὲ τοῖς πολλοῖς
καὶ κατὰ ταύτην ἴσως τὴν δεινότητα, μηδ’ αὐτὸ τοῦτο ὡς ὑπεναντίον φυλάξασθαι μηδ’ ἀποκρύψ⟨ασθ⟩αι, ἀλλὰ δέον παραιτεῖσθαι
καὶ λέγειν ἅπερ ἄν τις καὶ ἄλλος, ‘καὶ μή μοι νομίσητε, ὦ ἄνδρες
Ἀθηναῖοι, ὅτι ἐγὼ λόγων δεινότητι ἢ τὸ ἐξ ἀρχῆς τοῦθ’ ὑμᾶς
ἔπεισα ἢ περὶ τῶν παρόντων ἀξιῶ θαρρεῖν’ — ἀλλ’ ἀντὶ τοῦ
ταῦθ’ οὕτω κομψεύεσθαι καὶ περιστέλλειν μετὰ τῶν ἄλλων καὶ
τοῦτο φάσκει προέχειν, ὅτι καὶ λέγειν εἴη κράτιστος αὐτῶν, καὶ
ταῦτα ἐν ἀρχῇ τοῦ λόγου· σχεδὸν γὰρ καὶ τοῦτό μοι δοκῶ μεμνῆσθαι. πότερον οὖν σόν, ὦ Θουκυδίδη, ἢ Περικλέους ἦν; ἕτερος
δ’ αὖ φησιν τῷ αὐτῷ ποιητῇ· ‘καὶ προσήκει μοι ⟨μᾶλλον ἑτέ- 73
ρων⟩, ὦ Ἀθηναῖοι, ἄρχειν· ἀνάγκη γὰρ ἐντεῦθεν ἄρξασθαι, ἐπειδή
μου’, φησίν, — προστίθει γάρ· οὐ σοί τις παραπλήσιος, ἀλλὰ —
‘Νικίας καθήψατο’· σοῦ γε οὐδ’ ἂν τοὔνομα ἀναγκαζόμενος εἰπεῖν
ἀνασχέσθαι μοι δοκεῖ. ὁ δ’ ἐν Συρακούσαις δημηγορῶν Ἑρμο- 74
κράτης οὐκ ἄντικρύς σοι κομπαστὴς εἶναι δοκεῖ; λέγει γοῦν ἑαυτόν
τε καὶ τοὺς Συρακοσίους σεμνύνων, δεῖξαι Ἀθηναίοις ὅτι οὐκ Ἴωνες
ταῦτα οὐδὲ Ἑλλησπόντιοι, κελεύων ἀπαντᾶν αὐτοῖς ἔξω τῆς Σι-
516 D *κελίας. καὶ ταυτὶ μὲν καὶ μετριώτερα· ἀλλ’ ὅρα τὰς ὑπερβολάς·*
‘ἰέναι δ’ ἐπὶ τοὺς πολεμίους μὴ φρονήματι μόνον ἀλλὰ καὶ κατα-

---

1 *ὅτι* U: *ὅτ’* ASQT 2 *ὥσπερ κτἑ.*] respicit ad exemplum § 45 allatum 5 *κατ’ αὐτὴν* ci. Rsk., fallitur: cum ob ceteras virtutes tum hanc ob facultatem (*καὶ*) suspectum 6 *ἀποκρύψασθαι* scripsi: *ἀποκρύψαι* O; cf. etiam p. 151, 31 7 *μοι* AS[1]: *τοι* QTS[2], *με* U 9 *ἀλλ’ ἀντὶ*] orationem quasi resumit *τοῦ* om. Q 10 *μετὰ τῶν ἄλλων*] ‘hoc quoque . . . *inter cetera* (sc. quibus praestare se Pericles gloriatus erat, cf. Thuc. II 60, 5 sqq.) praestare, quod etiam orator esset optimus’ vert. Canter, prob. Wil., ego dubito 11 *τούτῳ* ci. Canter *φάσκει* ASTQ post ras.: *φάσκειν* Q a. ras. U 13 *ἢ καὶ περικλέουσ* Q *ἕτερος*] Alcibiades, Thuc. VI 16, 1 14 *μᾶλλον ἑτέρων* addidi e Thucydide, quippe quae existimem (obloquente Wil.) necessaria ad rationem Aristidi institutam 16 $φ\overset{η}{α}σὶν$ S pr. m. *τις*] *γε* U 17 *ὅς* ante *σοῦ* addi vult Rsk. 18 *ἐν Συρακούσαις*] memoriae errore ductus duas Hermocratis contiones Aristides miscet: eis quae Syracusanis ille suaserat (v. 21 *κελεύων — ἔξω τῆς Σικελίας* ad Thuc. VI 34, 4) praefixit ea quae idem paulo post contionatus est apud Camarinaeos (*δεῖξαι — Ἑλλησπόντιοι* e Thuc. VI 77, 1) 19 *σοι δοκεῖ κομπαστὴσ εἶναι* Q 20 *συρακουσίουσ* STQ (nisi quod -*υρρα*-) 21 *οὐδ’* U *ἑλλησπόντειοι* ASTQ[2] 23 Thuc. II 62, 3 *ἰέναι δὲ τοῖς ἐχθροῖς ὁμόσε μὴ κτἑ.* *μὴ*] *οὐ* U; *μή μοϊ* Q (*μή μοι* Junt.) *καὶ* om. U[1] (item in verbis Thucydideis adferendis Alexand. Rh. Gr. VIII p. 477, 12 W.)

φρονήματι᾽· σὺ δ᾽ ἀφῄρησαι καὶ τὸ φρονήματι. καὶ ὁ μὲν ἀξιοῖ
καταφρονεῖν τῶν δεινῶν, σὺ δὲ μηδὲ φρονεῖν ὅλως, ἀπὸ σαυτοῦ
μοι δοκεῖν ἀρξάμενος.
75 *Φέρε δὴ καὶ ἑτέρου κόσμον ὥσπερ ἵππου κατάμαθε. οἶμαι*
γάρ σε τῶν Δημοσθένους εἰ μή τι ἄλλο, ἀλλὰ τόν γε ὑπὲρ τῆς
ἀναρρήσεως λόγον τὸν πολυύμνητον δὴ τοῦτον ἀνεγνωκέναι. ἐν- 383 J
ταῦθα τοίνυν ἐστὶ τῷ Δημοσθένει (XVIII 221), *οὗ σὺ τοὔνομα*
θαυμάζεις μόνον, ὡς ἔοικεν· ‛ἐπεπείσμην δὲ ὑπὲρ ἐμαυτοῦ, τυχὸν
μὲν ἀναισθητῶν, ὅμως δὲ ἐπεπείσμην — ὁρᾷς ὅπως ἐρεθίζει σε
δὶς εἰπὼν ἐπεπείσμην — μήτε γράφοντα ἂν ἐμοῦ γράψαι βέλτιον
μηδένα᾽, ἐγὼ δὲ ὑπὲρ ὧν ἔγραψα μόνον καὶ ὧν ἐπὶ τοῦ παρόντος
ἐδείκνυον, περὶ τούτων τι παρεφθεγξάμην, καὶ ταῦτα τοῖς φήνασι
θεοῖς θαρρῶν· ὁ δὲ προστίθησιν, ‛μήτε πράττοντα πρᾶξαι μήτε
πρεσβεύοντα πρεσβεῦσαι προθυμότερον μηδὲ δικαιότερον. διὰ
76 *ταῦτα ἐν ἅπασιν ἐμαυτὸν ἔταττον᾽. ἀναγνωσθείσης τοίνυν τῆς*
ἐπιστολῆς, ‛εἰς ταῦτα, φησί (ibid. § 222), *κατέστησε Φίλιππον᾽ τίς;*
οὐχ ὁ τῶν Ἀθηναίων δῆμος, ἀλλ᾽ ‛ἡ ἐμὴ πολιτεία, Αἰσχίνη᾽· ταύ-
την τὴν φωνὴν ἀφῆκεν ἐκεῖνος, πολλοὺς καὶ θρασεῖς τὰ πρὸ τού-
των ἐπαιρόμενος τῇ πόλει λόγους· οὑτωσί πως, οὐ γὰρ ἀκριβῶς
77 *μέμνημαι τὰ ῥήματα. πολὺ δὲ ἔτι τούτων λαμπρότερον καί πως*
ἤδη τοῦ Περικλείου τύπου περὶ τὴν τοῦ λόγου τελευτήν (ib. § 304)·
‛εἰ δ᾽ οἷος ἐγὼ παρ᾽ ὑμῖν κατὰ τὴν ἐμαυτοῦ τάξιν εἷς ἐν ἑκάστῃ
τῶν Ἑλληνίδων πόλεων ἀνὴρ ἐγένετο, μᾶλλον δὲ εἰ ἕνα ἄνδρα μόνον
Θετταλία καὶ ἕνα ἄνδρα Ἀρκαδία ταὐτὰ φρονοῦντα ἔσχεν ἐμοί, 517 D
οὐδεὶς οὔτε τῶν ἔξω Πυλῶν Ἑλλήνων οὔτε τῶν εἴσω τοῖς παροῦσι
κακοῖς ἐκέχρητ᾽ ἄν, ἀλλὰ πάντες ἂν ὄντες ἐλεύθεροι καὶ αὐτόνομοι
μετὰ πάσης ἀδείας ἀσφαλῶς ἐν εὐδαιμονίᾳ τὰς ἑαυτῶν ᾤκουν
πατρίδας, τούτων τοσούτων καὶ τοιούτων ἀγαθῶν ὑμῖν καὶ τοῖς

---

1 *τὸ*] *τῷ* S^1 2 *μηδὲ*] *μὴ* U 3 *ἀρξάμενοσ* sic O 4 *κόσμου* U; Hom. *θ* 492 *ἵππου κόσμον ἄεισον* (Canter) 9 *ἀναισθητῶν* UTA^2S^2 (ut Demosthenis plerique): *ἀναισθητὸν* A^1, *ἀναίσθητον* S^1 (item Demosth. Paris. *Σ*) 11 *μόνων* SUT 15 *ἅπασιν*] item Demosth. vulg.; *πᾶσιν* libri Demosth. 18 *τὴν φωνὴν* omissum add. Q^1 mg. 19 *ἐπαιρόμενοσ* A^1Q^1U (Demosth.): *ἐπαρώμενοσ* A^rSTQ^2 *οὐ γὰρ οἶδ᾽ ἀκριβῶσ τὰ ῥήματα* U 20 *τούτου* U 21 *Περικλείου*] cf. § 71. 72 *τὴν* om. Q *τῶν λόγων* (at *ων* utrumque in ras.) U pr. m. 22 *δ᾽*] item Demosth. *Σ* corr. Laur. *F* vulg.; om. plerique Demosth. *εἷς*] *εἰσ* A^1 (corr. A^r) 23 *εἰ/ἕνα* U, *σ* eras. 25 *οὐδεὶς*] item Demosth. Paris. *Σ* Laur. *F*, recte; *οὐδένες* Demosth. plerique 26 *κέχρητ᾽* T; *ἐκέχρηντ᾽* Demosth. Paris. *Σ* Laur. *F* (verum Aristides, quocum Demosth. vulg. consentit) 27 *μετὰ ἁπάσησ* S 28 *τούτων* A^1Q (Demosth. Paris. *Σ* Laur. *F* primitus; cf. Voemel. ad h. l.): *τούτων τῶν* A^rSTU (Demosth. ceteri) *τοιούτων καὶ τοσούτων* U posterius *καὶ* s. l. Q

ἄλλοις Ἀθηναίοις ἔχοντες χάριν δι' ἐμέ'. καὶ ἴσως τινὲς τότε 78
τῷ Δημοσθένει ταῦτα λέγοντι ἤχθοντο, ἄνθρωποι μικροὶ καὶ
δυστυχεῖς, καὶ ἀπεκάλουν αὐτὸν ἀλαζόνα· ὁ δ' ἐπιὼν ἔδειξε χρόνος
ὅτι οὐδὲν καθ' ὑπερβολὴν ἐλέγετο, ἀλλὰ καὶ συμπάσῃ τῇ Ἑλλάδι
ἱκανὴ φορὰ τοιοῦτος εἷς τις ἦν γενόμενος. οὐκοῦν οὐδ' ⟨ἂν⟩ ἀμ-
φισβητήσαις αὐτῷ ⟨τῶν⟩ πρωτείων οὐδὲ πρὸς οὓς ἐμοὶ νομίζεις
ἀποχρῆν ..... εἶναι τὸν λόγον. καί μοι πρὸς θεῶν ἀπόκριναι τοῦτο 79
αὐτό, εἰ κατὰ τοὺς αὐτοὺς ἐγένου χρόνους ἐκείνῳ, πότερόν ποτε
καὶ τῷ Δημοσθένει αὐτὰ ταῦτα ἂν ἐνεκάλεις, ἢ ἐκεῖνόν γ' ἂν ἠφίεις
384 J αἰτίας; εἰ μὲν γὰρ κἀκείνῳ ταῦτα ὠνείδιζες, πόρρωθεν συκοφάντης
εἶ, εἰ δ' ἐκεῖνόν γ' [ἂν] ἀφῆκας, τοῖς αὐτοῖς ἐμὲ συκοφαντεῖς. δοκεῖ
δέ μοι καὶ τὸ ἐπίγραμμα οὐκ ἔξω τῆς Δημοσθένους γνώμης ἔχειν
[τὴν ἐπιγραφήν], ὃ νῦν ἀναγιγνώσκομεν ἐν Κεραμεικῷ.

Ἐμοὶ μὲν οὖν ἐξήρκει, ἐπειδή γε καὶ ῥητόρων ἐμνήσθην, τάτ- 80
τοις γὰρ ἄν που καὶ ἡμᾶς ἐνταῦθα χοροῦ· οὐ μὴν ἀλλ' ὑπέρ γε
τῆς ἀληθείας διὰ πάντων ἐθέλω τὸν λόγον ἐξακριβῶσαι, ὅπως
καὶ γνῷς οἷος ὢν ἐμὲ νουθετεῖς, τῆς παροιμίας σοι λεγούσης αἰ-
518 D πολεῖν. Σκόπει δὴ καὶ ἑτέραν ἀπολογίαν ἀνδρὸς σοφοῦ, ὃς 81
τοσοῦτον ἀπέχει τοῦ κομπάζειν ὥστε καὶ τοὺς σοφιστὰς ἤλεγ-
χεν περιὼν ὡς μάτην θρασυνομένους. λέγει τοίνυν τοῖς Ἀθη-

4 ἐλέγετο QUTS² mg.: ἐγένετο AS¹ 5 τοιοῦτοσ A¹: εἰ τοιοῦτοσ A^r SQUT (cf. p. 166, 22 εἰ) οὔκουν σύ γε οὐκ ἂν ἀμφισβητήσαισ U, unde ⟨ἂν⟩, quod ASDT om., adscivi (ci. Ddf.) 6 τῶν addidi 7 lacunam indicavi; adversarius Aristidis ut oratori palmam deberi professus erat, ita non concesserat, ut ille de virtutibus artis suae apud eos, qui eas bene novissent (ἐν εἰδόσι), gloriaretur; iam Aristides ei obvertit: 'neque Demostheni, credo, demes palmam neque dices illum tunc apud eos contionatum esse, qui virtutum illius ignari essent. quid igitur mea causa differt a Demosthenis? ambo nos palma digni tibi videmur esse, ambo apud eos, qui intimam nostri cognitionem habebant, de virtutibus nostris verba fecimus: quid me vituperas, taces de Demosthene?' suppleverim e. g. οὐδὲ πρὸς οὓς ἐμοὶ νομίζεις ἀποχρῆν ⟨τὸ συνειδέναι, πρὸς τούτους οὐ φήσαις ἐκείνῳ ἀποχρῶντ'⟩ εἶναι τὸν λόγον τοῦτ' U 9 ταῦτ' U ἢ 'κεῖνόν UT 10 ταῦτα] ταῦτ' ἂν U 11 ἂν seclusi ἐμὲ τοῖσ αὐτοῖσ T 12 τοὐπίγραμμα U 13 τὴν ἐπιγραφὴν secl. Rsk. ἀναγινώσκομεν QU; cf. Plut. vit. x orat. 847 A (plura apud Preger Inscr. Gr. metr. n. 159) 14 ἐξήρκει] sc. quae attuli ad probandam sententiam meam γε] περ U 17 παροιμίας] Paroemiogr. Gr. I 240 (Diogen.) 'αἰπόλει σοί, φησὶν ἡ παροιμία'; cf. αὐλοῦσαν ἑαυτῇ Plat. symp. 176 E, ἐμαυτῷ, φασίν, καὶ ταῖς Μούσαις ᾄδω Themist. p. 442, 22 Ddf. 18 ἀπολογίαν] Socratis Platonicam, ad quam redeunt v. 19 τοὺς — περιὼν (Plat. Apol. 23 B), p. 168, 1 sqq. ἐὰν — εὑρήσουσιν (30 DE), εἰς ἀξιόχρεων — Δελφοῖς (20 E εἰς ἀξιόχρεων ὑμῖν τὸν λέγοντα ἀνοίσω ..... μάρτυρα ὑμῖν παρέξομαι τὸν θεὸν τὸν ἐν Δελφοῖς), ἐγὼ — ὑπηρεσίαν (30 A) 20 περιὼν SQUA², περὶ ὧν A¹: περιιὼν T; cf. v. l. p. 9, 23 λέγει/ Q

ναίοις ἀπειλῶν ὡς, ἐὰν αὐτὸν ἀποκτείνωσιν, ἕτερον τοιοῦτον
οὐχ εὑρήσουσιν. καὶ ταῦτα εἰς ἀξιόχρεων ἀναφέρει, τὸν θεὸν
τὸν ἐν Δελφοῖς. καὶ ἐγὼ οἶμαι, φησίν, οὐδέν πω ὑμῖν μεῖζον
82 ἀγαθὸν γενέσθαι ἐν τῇ πόλει ἢ τὴν ἐμὴν τῷ θεῷ ὑπηρεσίαν.
τοιαῦτ' ἄττα ἐστὶν ἐν ἀπολογίᾳ Σωκράτους. καὶ γάρ τοι καὶ ἑάλω
διὰ ταῦτα, φαίης ἄν. καὶ μετέγνωσάν γε οἱ καταγνόντες, φαῖεν
ἂν οἵ γε ἀπ' ἐκείνων. νὴ Δί' ἀλλ' οὐκ εἶπεν τούτους τοὺς λόγους
[Σωκράτης] αὐτός. ἔστω τοῦτο. ἀλλ' εἰ τὰ μάλιστα αὐτὸς μὲν
μὴ εἶπεν, ἕτερος δὲ ὁμότιμος εἴρηκεν ὡς ἐκείνῳ προσήκοντας, εἰς
83 ταὐτὸν ἀφικνεῖται. φημὶ δ' ἐγὼ καὶ διὰ βίου Σωκράτη μεγαλαυ-
χεῖσθαι, καὶ εἰ τοὺς πολλοὺς λέληθεν. ἢ τί νομίζεις εἶναι τὴν
πολλὴν εἰρωνείαν αὐτοῦ; ἐγὼ μὲν ἡγοῦμαι ὅτι τοῖς πολλοῖς ἐκεῖνος
ὥσπερ παισὶ διελέγετο, ὡς ἀληθῶς προσπαίζων τε καὶ ὡς εὐηθι-
κοῖς οὕτω προσφερόμενος. οὐκοῦν ὅτε σπουδῇ μὲν οὐκ ἐθαύμαζεν
οὓς ἔφασκεν, οὐδ' αὖ διενοεῖτο περὶ ἑαυτοῦ ὡς τῷ ὄντι οὐδενὸς
ἀξίου, φαίνεται δ' ὅμως τοῖς ῥήμασι τούτοις χρώμενος, ἄλλο τι
ἢ † περιλείπεται † ὡς οὐδενὸς ἀξίων ὄντων πρὸς ἑαυτόν; φαίη γ'
ἄν τις οὑτωσὶ συμβαίνειν.
84 Καὶ δὴ τὸν μὲν Σωκράτην, εἰ βούλει, παρίημι, τὸν δὲ Ἰφι-
κράτη σκόπει, ἄνδρα οὐ μεθόριον ῥήτορος καὶ στρατηγοῦ, ἀλλ'
ἀμφοτέρων ἐφικνούμενον. ἆρ' οὖν διῆλθές ποτε αὐτοῦ τὴν ἀπο- 519 D
λογίαν τὴν ὑπὲρ τῆς δωρεᾶς; καίτοι τίθει μέν, εἰ βούλει, Λυσίου
τὸν λόγον εἶναι, τίθει δ' Ἰφικράτους, εἰ τοῦτο αἱρῇ· ἔστι τοίνυν 385 J
οὐδὲν οὕτω τοῦ παντὸς ἀγῶνος ἐπιφανὲς ὡς τὸ φρόνημα, ὃ δὴ
85 καὶ ποιεῖ κρείττω Λυσίου τῶν πολλῶν εἶναι τὸν λόγον. λέγει
γὰρ ἄλλα τε δὴ τοῖς Ἀθηναίοις οὐ τῆς σῆς ψυχῆς καὶ ‛εἰ, φησὶν

---

2 ἀξιόχρεον S[1] ἀναφέρων ci. Canter 3 οἴομαι Plat. οὐδέ πω T 4 ἢ UT (Plat.): ἢ εἰ ASQ 6 γε] τε T 7 οἵ γε ἀπ' ἐκείνων] Athenienses (p. 167, 20 sq.), posteri illorum, qui Socratem condemnaverant 8 Σωκράτης seclusi: σωκράτησ αὐτὸσ SQ, σωκράτησ AUT, ubi interpretamentum locum vocis explicandae occupavit 9 δ' U 10 σωκράτει Q 11 καὶ εἰ] an εἰ καί? 14 οὕτω φερόμενοσ Q 15 οὓς scripsi: οὐδ' AT, οὔτ' SQU αὐτοῦ Q[1] 17 lacunam post περιλείπεται indicavit Rsk. supplens περὶ τῶν ἄλλων οὕτως αὐτὸν διανοηθῆναι; mihi λείπεται (ut glossema ad ἄλλο τι ἢ) verba genuina extrusisse videtur, ut scribendum sit ἄλλο τι ἢ περὶ [λείπεται] ⟨τῶν ἄλλων διενοεῖτο⟩ ὡς οὐδενὸς ἀξίων — ἑαυτόν; orator ipse sibi respondet: haud scio an nemo negaverit hoc inde effici 19 ἰφικράτην Q 20 μεθόριον] Prodici e Plat. Euthyd. 305 C (Sauppe) 22 τῆσ ὑπὲρ τῆσ Q τίθει — φρόνημα] cf. Dion. Hal. de Lys. iud. 12; O. A. II 178 sqq. frg. 36—43 S. 25 καὶ in O κρείττων A a. ras. (κρείττω scholion A[r]) 26 τε om. U οὐ τῆς σῆς ψυχῆς] quae tuae (Aristidis adversarii) animi pusillitati non conveniunt; cf. § 138 οὐ τῆς σῆς συμβουλῆς

(frg. 39 S.), *ἑπτὰ ὑμῖν ἦσαν τοιοῦτοι στρατηγοὶ οἷος ἐγώ, ἀοίκητος ἂν ἦν ἡ Λακεδαίμων᾽. καὶ μνησθεὶς Ἁρμοδίου καὶ Ἀριστογείτονος, οὓς Ἀθηναῖοι πρώτους ἁπάντων τῶν εὐεργετῶν ἦγον, ἢ παραλαβεῖν ἂν αὐτούς φησιν* (frg. 40) *ἢ ὑπ᾽ ἐκείνων παρακληθῆναι, εἰ κατ᾽ ἐκείνους ἐγένετο. ‘καὶ ὑμεῖς μέν, φησίν* (frg. 41), *οἴεσθε, ὦ ἄνδρες Ἀθηναῖοι, παρ᾽ ὑμῶν ταῦτά μοι ⟨τὰ⟩ γράμματα καὶ τὴν στήλην εἶναί τι σεμνόν, ἐμοὶ δὲ στήλη οὐρανομήκης ἕστηκεν ἐν τῇ Πελοποννήσῳ μαρτυροῦσα τὴν ἀρετήν᾽. εἰς τοσοῦτον δὲ ἀφικνεῖται τῆς παρρησίας* (frg. 42) *ὥστ᾽ ἀμφοτέροις ἑαυτὸν ἀντεξετάζει τοῖς στρατηγοῖς, καὶ τοῖς τῶν πολιτῶν καὶ τοῖς τῶν πολεμίων. καίτοι, πρὸς θεῶν, εἰ σὲ σύμβουλον τότε ὁ Ἰφικράτης παρεκαθίσατο μέλλων ἀπολογήσεσθαι, πότερον αὐτῷ συνεβούλευσας τοῦτον ἀπολογεῖσθαι τὸν τρόπον ἢ πεσόντα εἰς γόνυ ἱκετεύειν τοὺς δικαστάς; ἆρ᾽ οὖν περὶ μὲν τῆς δωρεᾶς ἀπολογούμενος* 86 *παρρησίᾳ τινὶ χρώμενος φαίνεται, κινδυνεύων δ᾽ ὑπὲρ τῆς ψυχῆς ὑπ᾽ Ἀριστοφῶντος μετέθετο; ἀλλὰ κἀκεῖ τὴν φύσιν διεσώσατο. ἐρόμενος γὰρ τὸν Ἀριστοφῶντα, ὥς φασι, ‘σὺ δ᾽ αὐτὸς εἰ κύριος ἦσθα τῶν νεῶν, πότερον προὔδωκας ἂν ἢ οὔ᾽; ἐπειδὴ ἀπέφησεν ὁ Ἀριστοφῶν, ‘εἶτα σὺ μὲν οὐκ ἂν προὔδωκας ὢν Ἀριστοφῶν, Ἰφικράτης δὲ προὔδωκεν;᾽ ἔτι τοίνυν ἑνὸς ῥήματος τῶν ἐκείνου* 87 *μνησθεὶς ἐπ᾽ ἄλλο τι τρέψομαι. λέγεται γὰρ ἐν Αἰγύπτῳ παρατάττων καὶ μελλούσης ἔσεσθαι τῆς μάχης φάναι πρὸς τοὺς παρόντας ὅτι αὐτῷ τὰ μὲν ἄλλα ἐπιεικῶς ὑπάρχοι πάντα, ἓν δὲ ἀπείη*
520 D *τὸ μέγιστον· ἐρομένου δέ τινος τί τοῦτο λέγοι, ὅτι, ἔφη, τὸ τοῦ Ἰφικράτους ὄνομα οὐκ ἴσασιν οἱ πολέμιοι, ὃ πρὸς τοὺς ἐν τῇ Ἑλλάδι κινδύνους μέγιστον εἶναι φάρμακον αὐτῷ. Ἀκούω δὲ καὶ* 88 *τὴν Ἐπαμεινώνδα πρὸς Θηβαίους ἀπολογίαν ἔτι ὑπὲρ τὴν τοῦ Ἰφικράτους γενέσθαι· καὶ τί ταῦτα θαυμάζοι τις ἄν; ἀλλ᾽ ἐμὲ*

---

2 *λακεδαίμων* sic O 6 *οἴεσθε* post *ἀθηναῖοι* Q *τὰ* add. Rsk.[2] *μοι ἐπιγράμματα* U 7 *δὲ* om. A[1] (add. A[r]) Q[1] 8 *δ᾽* U 11 *ὁ* om. U 12 *ἀπολογήσεσθαι*] *ε* in ras. U[2] (*ἀπολογήσασθαι* Junt.) 17 *φασι*] orationem ipsam (O. A. II 191 [Lys.] frg. 128 S.) non legisse Aristidem apparet, utpote qui apophthegma exhibeat 18 *ἂν ἢ* — 19 *προὔδωκας* omissa add. Q[1] mg. 19 *ἀριστοφῶν* — *ἔτι* omissa add. S[2] mg. 20 *δὲ*] *δ᾽ ἂν* U *τῶν*] *τοῦ* Q 21 *λέγεται*] cf. Plut. apopth. reg. p. 187 A 22 *φάναι*] add. S[2] mg. expuncto *φαίνεται* S[1] 23 *αὐτῷ* O; item v. 26 *ὅτι αὐτῶ τὰ μὲν* in ras. arctiore U[2] *ὑπάρχει* UTQ[2] *ἀπῄει* Q 24 *λέγει* U *τοῦ* om. U 27 *ἐπαμινώνδα* A (*ω* ex *ο* A[2]) ST, *ἐπαμ/ινώνδου* U *Ἐπαμεινώνδα* — *ἀπολογίαν*] cf. Nep. Epam. 8 28 post *γενέσθαι* lacunam statuit Rsk., praesertim cum Aristides § 148 lectorem ad h. l. revocaret; orator transitionis figura utitur: ‘sed talia quid in militibus mirari licet, cum artifices non pudeat de se gloriari?’ qua in figura adhibenda oratorem par est exemplo tam celebri usum esse, ut paucis verbis id significare satis haberet

πρῴην ἀνὴρ ἑταῖρος — οὑτωσὶ καθήκει μάλα πλησίον — ζωγρά- 386 J
φου τι ἐπίγραμμα ἐξεδίδασκε τοιοῦτον·

Εἰ καὶ ἄπιστα κλύουσι, λέγω τάδε· φημὶ γὰρ ἤδη
τέχνης εὑρῆσθαι τέρματα τῆσδε σαφῆ
χειρὸς ὑφ' ἡμετέρης· ἀνυπέρβλητος δὲ πέπηγεν
οὖρος. ἀμώμητον δ' οὐδὲν ἔγεντο βροτοῖς.

εἶτ' ὦ πρὸς τοῦ Διὸς τὸν μὲν δεῖνα τὸν γραφέα ἠξίους τοσαύτας ὑπερβολὰς περὶ αὑτοῦ λέγειν καὶ παρρησιάζεσθαι, ᾧ καὶ σιγῇ τὸ αὑτοῦ περαίνειν ἐκ τῆς τέχνης ἦν, ἄνθρωπον δὲ ἐν ὀλίγοις ἐξεταζόμενον — οὐδὲν γὰρ ἄλλα λέγω τὰ νῦν περὶ τῶν ἐμαυτοῦ λόγων 521 D
— καὶ ὁσονοῦν παραφθέγξασθαι θαυμαστόν τί σοι καὶ δεινὸν
89 *κατεφάνη; ἄκουε δὴ καὶ ἑτέρου ζωγράφου, ὡς μὲν σὺ φαίης ἄν, ἀλαζονευομένου, ὡς δὲ οἱ ταῦτα δεινοὶ λέγουσιν, οὐ μεῖζον ἢ προσῆκον φρονήσαντος· λέγει δὲ τί;*

Ἡράκλεια πατρίς· Ζεῦξις δ' ὄνομ'· εἰ δέ τις ἀνδρῶν
ἡμετέρης τέχνης πείρατά φησιν ἔχειν,
δείξας νικάτω·

δοκῶ δέ, φησίν, 'ἡμᾶς οὐχὶ τὰ δεύτερ' ἔχειν'. καὶ τοῦτο τὸ ἐπίγραμμα οὔτ' ἐκεῖνος ἀπώκνησεν ὡς θρασὺ οὔτε τις αὐτῷ τῶν ἑταίρων ἀπαλεῖψαι συνεβούλευσεν, ἐπειδή γε ἐποίησεν.

---

1 *οὑτωσὶ* AS[1] (-*οσὶ* S[2] Junt.) Q[1]: *ὃσ οὑτωσὶ* UTQ[2] *καθήκει* scripsi: *κάθηται* AS (et sine dubio Q[1]): *καθῆστο* UTQ[2] (-*στο* in ras.); *οὑτωσὶ* ad *πρῴην* referendum; dicit orator: 'me amicus nuper — tam prope (ad hanc qua dico diem) illud pertinet (ne clamites me pristinis tuis dictis ad te refellendum uti) — de epigrammate . . . . edocuit'. amicus idem est, qui § 2 significatur; vv. 7 *τὸν μὲν* — 8 *λέγειν* adversarii de pictoris versibus iudicium, quod amicus ille rettulerat. *οὑτοσὶ* (S[2] Junt.) praefert Wil. ('fingit amicum illum adesse') *ζωγράφου*] Parrhasii; de epigrammate cf. Bergk PLG.[4] II 321 Preger l. c. n. 182 2. 3 *τοιοῦτον· Εἰ καὶ* Rsk. (ex Athen. XII 543 E; item Valckenaer in notis autogr. ineditis [cod. Leyd. n. 488]): *τοιουτονὶ· καὶ* ASQ, *τοιουτονὶ· κἂν* U, *τοιουτονὶ· εἰ καὶ* T 3 *κλύουσι* Canter: *κλύοισ εἰ* ASU(Q[1]?), *κλύοισ ἃ* TQ[2] 4 *τέχνησ* T (Athen. l. c.): *τῆσ τέχνησ* ASQU 5 *πέπληγεν* Q 6 *ἔγεντο* TQ[2]: *ἐγένετο* ASQ[1]U (Athen. AE) 7 *τοῦ* om. U 8 *αὑτοῦ* A[1] (corr. A[r]) U, *αυτοῦ* S[1], *ἑαυτοῦ* Q *ᾧ* — 9 *ἦν*] cf. Plat. Gorg. 450 C *τὸ τῆς τέχνης περαίνοιτο ἂν καὶ διὰ σιγῆς, οἷον γραφικὴ κτἑ.* 9 *αὑτοῦ* SQ[1] *περαίνειν τὸ αὑτοῦ* U *δ'* U *ἐν ὀλίγοις*] mg. Q[1] c. *γρ.*, *ἐν λόγοισ* QU 10 *λέγω* om. U 14 *προσῆκε* U *δὲ*] *γὰρ* U 15 de epigrammate cf. Bergk l. c. II[4] 316 sqq.; Preger n. 184 *τισ ἐστὶν ἀνδρῶν* Q 18 vv. *ἡμᾶς* — *ἔχειν* recte Bergk Zeuxidi (ut ex pentametro alterius distichi) tribuisse videtur; quod illis etiam *δοκῶ δ'* proxime praefixa voluit (ut indidem hausta), vereor ne pictori vindicaverit Aristidea *δεύτερα* Q 19 *οὔτε ἐκεῖνοσ* U ante *ὡς θρασὺ* add. *ἐπιγράψαι* Rsk., at *ἀποκνεῖν* c. acc. bene habet *αὐτὸ* Q

‛οἷον δ' αὖ καὶ ‛τόδ' ἔρεξε καὶ ἔτλη' ὁ ὑβριστὴς ἐκεῖνος ἐγγράψαι. 90
ποιήσας γὰρ αὖ τὴν τῆς Ἑλένης εἰκόνα προσπαρέγραψεν τὰ τοῦ Ὁμήρου (*Γ* 156 sq.) *ἔπη*

οὐ νέμεσις Τρῶας καὶ ἐυκνήμιδας Ἀχαιοὺς
τοιῇδ' ἀμφὶ γυναικὶ πολὺν χρόνον ἄλγεα πάσχειν,

ὥσπερ τὸ αὐτὸ ποιοῦν εἰκόνα τε Ἑλένης ποιῆσαι καὶ τὸν Δία Ἑλένην αὐτὴν γεννῆσαι.

Καὶ δή σοι τοὺς μὲν ζωγράφους ἐῶ χαίρειν· ἀλλ' ἔγωγε κωμῳ- 91
δοποιοῦ τινος ἤκουσα σεμνολογουμένου θαυμαστὰ οἷα. καίτοι ἐάν τις ἔρηται τοὺς τῆς κωμῳδίας ποιητὰς ἐφ' ὅτῳ μέγα φρονοῦσιν, φαῖεν ἄν, οἶμαι, ὅτι γέλωτα κινοῦσιν, ὥσπερ καὶ αὐτῶν τις ὡμολόγηκεν οὐδενὸς ἐρωτῶντος· ἀλλ' ὅμως καὶ οὗτοι χωρὶς ἀξιοῦσιν εἶναι τά τε τῶν ἀστείων σκώμματα καὶ τὰ τῶν πολλῶν. καί τις 92
αὐτῶν ἐν ἀρχῇ τοῦ δράματος μεγαλαυχούμενος ὡς προφήτης προαγορεύει τοιάδε·

ἀφυπνίζεσθαι χρὴ πάντα θεατήν,
522 D *ἀπὸ μὲν βλεφάρων ἀπὸ θ' ⟨. . . . .*
. . . .⟩ ἡμερινῶν ποιητῶν λῆρον ἀφέντα,

387 J *ὥσπερ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ μέλλων ἅπαντας σοφούς τε καὶ σπουδαίους ποιήσειν. διδάξας δὲ τοὺς Χείρωνας προσπαραγράφει πάλιν αὖ μάλα ὑπερηφάνως ἐπὶ τελευτῆς* (Cratin. frg. 237 K.)·

ταῦτα δυοῖν ἐτέοιν ἡμῖν μόλις ἐξεπονήθη,

τοῖς δ' ἄλλοις ἐν ἅπαντι βίῳ προτιθέναι φησὶν ποιηταῖς μιμεῖ-

---

1 *ἀλλ' οἷον τόδ' ἔρεξε καὶ ἔτλη καρτερὸς ἀνήρ* Hom. *δ* 242. 271 (Canter), at initium versus legit Aristides idem quod Plat. symp. 220 C *οἷον δ' αὖ τόδ'* *τόδε* O *ἔρεξεν* A^{1}S, *ἔρρεξε* U (ut Platonis Bodlei. corr.) 2 *ποιήσας κτἑ.*] cf. Val. Max. III 7 ext. 3) 4 *καὶ*] *τε καὶ* U (ut Hom. Vindob.) 8 *κωμωδοποιοῦ* SQ^{1}T: *κωμωδιοποιοῦ* AUQ^2, cf. Schanz praef. ad Plat. symp. p. V sq. 9 *ἤκουσασ* A a. ras. 11 *τις — ἐρωτῶντος*] Aristophanes ap. Plat. symp. 189 B? 12 *ὡμολόγηκε καὶ οὐδενὸσ* Q^1 (Junt.) 13 *τις*] ex Aristidis verbis v. 20 concludere necesse erat Cratini (306 K.) esse versus insequentes; at schol. ad h. l. Paris. gr. 3005: *Εὔπολις λέγει τοῦτο ἐν τῷ Μαρικᾷ*, ut Aristides errasse censendus sit, quod compluriens (cf. ad § 74) ei accidit 16 *θεατήν*] *ποιητήν* Q 17 *ἀπόθ' ἡμερινῶν* A (*αποθη-* A^1, *απόθ' ἡ-* A^r sic) SUTQ^2 (*πόθ* in ras.; Q^1 incertum); *αὐθημερινῶν* Junt. (unde edd.); lacunam indicavi; *αὐθημερινὸν* Wil. (sine lacuna) 18 *ποιητῶν*] *πο̃τ* U 20 *Χείρωνας* Canter: *χείρονασ* O; *Χίρωνας* Aristidi reddere veritus sum 21 *ἐπὶ τελετῆσ* TQ^2 22 *ἐτέοιν* Meineke: *ἐτοῖν* O; *⟨ἐν⟩ ἐτοῖν* Pierson in notis autogr. ineditis (cod. Leyd. n. 551; item Ddf.) 23 *προτιθέναι* ASQ^1: *προτίθεμαι* T^1 p. corr. UQ^2, *προτίθημι* T^1 a. corr.; *τοῖς δ' ἀλλοῖς — προτίθημι ποιηταῖς μιμεῖσθαι* Cratino vindicavit Cobet Var. lect.^{2} 399 sq.

93 σθαι, δηλονότι ὡς οὐδένα ἐφιξόμενον. ἕτερος δ' αὐτῶν (Aristoph. vesp. 1030) Ἡρακλέους ὀργήν τιν' ἔχων φησὶν ⟨τοῖς⟩ μεγίστοις ἐπιχειρεῖν· καὶ πάλιν προελθὼν ἀκόλουθον τούτῳ ῥῆμα ἐπιτίθησιν·

τοιόνδ' εὑρόντες ἀλεξίκακον τῆς χώρας τῆσδε καθαρτήν.

οὔκουν δεινόν, ὦ γῆ καὶ θεοί, Ἀριστοφάνη μὲν τὰ ἑαυτοῦ σκώμματα τοῖς Ἡρακλέους ἔργοις ἐπιχειρεῖν ἀπεικάζειν, τοὺς δὲ τῶν σπουδαίων, ὃ κἂν αὐτὸς ἐκεῖνος δοίη, λόγων ποιητὰς τοὺς ἑαυτῶν λόγους τοῖς ἑτέρων ἀξιοῦν παραβαλεῖν ὑβριστικόν τι δοκεῖν εἶναι
94 σοὶ κριτῇ; κἀκεῖνος μὲν κωμῳδίαν τινὰ τῶν αὑτοῦ σεμνύνων ἑτέρωθι (vesp. 1046 sq.)

σπένδων πόλλ' ἐπὶ πολλοῖς ὄμνυσιν τὸν Διόνυσον
μὴ πώποτ' ἀμείνον' ἔπη τούτων κωμῳδικὰ μηδέν' ἀκοῦσαι.

σὺ δὲ τὸν τῇ θεῷ καὶ σὺν τῇ θεῷ λόγον ποιηθέντα οὐδ' ἀνωμότως συνεχώρησας ἐπαινέσαι, καὶ ταῦτα ἀπὸ στόματος μόνον.
95 Καὶ σιωπῶ τοὺς ἑτέρους· ἀλλ' ἵν' ἐπ' αὐτοφώρῳ λάβῃς σεαυτὸν ὑβριστὴν ὄντα καὶ συκοφάντην καὶ περίεργον, ἐξέτασον τίς ἦν ὁ τὸν αὑτοῦ λόγον οὕτως ἐπαινέσας ὥστε ἄντικρυς ἐν αὐτῷ ἐκείνῳ περὶ αὑτοῦ διαλέγεσθαι, ὥσπερ ὁ τῆς κωμῳδίας ποιητὴς περὶ τοῦ 523 D
δράματος, τοῦτο μὲν ἀρχόμενος τοῦ προοιμίου (Isocr. IV 14) ὑπισχνούμενος ἀξίως ἐρεῖν καὶ τοῦ πράγματος καὶ τοῦ χρόνου τοῦ διατριφθέντος αὐτῷ περὶ τὸν λόγον, καὶ πρός γ' ἔτι προστιθεὶς ὅτι καὶ παντὸς ὃν τυγχάνει βεβιωκώς· τοῦτο δ' ἐν τοῖς τελευταίοις (ibid. 188) ὥσπερ εἰς ἀγῶνα καὶ ἅμιλλαν ἅπαντας προκαλούμενος,
96 ὡς οὐδένα ἂν οὐδ' ἐγγὺς ἐλθόντα. καίτοι τί φήσεις; πότερα ἐκείνῳ μεῖζον ἐπὶ τοῖς αὑτοῦ προσῆκον φρονεῖν; ἢ ἐκείνῳ μὲν ἐξεῖναι καὶ μεῖζον τοῦ δέοντος, ἐμοὶ δὲ μηδ' ὅσον ἄξιον; κἀκείνῳ μὲν εἰς αὐτοὺς τοὺς λόγους ἐγγράφειν ἃ φρονεῖ περὶ αὑτῶν, ἐμοὶ δὲ μηδ'
97 ὅσον λόγου ἔξω παραφθέγξασθαι; καὶ κωμῳδοῖς μὲν καὶ τραγῳδοῖς

---

2 τοῖς addidi ex Aristophane 3 τούτω ex τοῦτο corr. T[1], τοῦτω U pr. m. 4 Aristoph. vesp. 1043 5 οὔκουν Ddf.: οὐκοῦν O ἀριστοφάνει U 9 σοὶ κριτήν Q αὐτοῦ A[1] (corr. A[r]) S a. corr. U[1] 11 πολλὰ et ὄμνυσι O 12 ἀμείνον ἔπη U[1] (Aristoph.): ἀμείνον' ἐπὶ TQ[2]U[2], ἄμεινον ἐπὶ ASQ[1] μηδὲν AQ 15 ἑτέρουσ QUTS[2]: ἑταίρουσ AS[1] ἐπ' αὐτοφώρῳ] haec non intelleguntur, nisi adversarium notissimum Isocratis laudatorem fuisse sumimus, cf. ad p. 163, 21 λάβοισ U 17 τὸν αὐτοῦ ASQ[1] 18 αὑτοῦ T[1] p. corr. U, αὐτοῦ AQ[1]T[1] a. corr., αυτοῦ S 20 ex Isocrate πράγματος καὶ ⟨τῆς δόξης τῆς αὑτοῦ καὶ⟩ τοῦ χρόνου suppleverim 21 πρός] πρό U 22 παντὸς ὃν Canter (παντὸς οὗ Isocr.): πᾶν τόσον O (πάνθ' ὅσον S[2]) 23 προ/καλούμενοσ Q, σ eras. 24 πότερον U πότερα ⟨μηδ'⟩ ἐκείνῳ — φρονεῖν, ἢ ci. Rsk.[2], πότερα ἐκεῖνον μεῖζον ἐπὶ τοῖς αὑτοῦ ⟨ἢ⟩ προσῆκον φρονεῖν, ἢ Wil.; ipse post φρονεῖν virgulam ponere satis duxi 25 αὐτοῦ ASQ[1]T[1] a. corr. προσήκειν U ἢ 'κείνω U 27 φρονοῖ U, φρονεῖν T[1]

388 J *καὶ τοῖς ἀναγκαίοις τούτοις ἀγωνισταῖς ἴδοι τις ἂν καὶ τοὺς ἀγωνο-
θέτας καὶ τοὺς θεατὰς ἐπιχωροῦντας μικρόν τι περὶ αὐτῶν παρα-
βῆναι, καὶ πολλάκις ἀφελόντες τὸ προσωπεῖον μεταξὺ τῆς Μούσης
ἣν ὑποκρίνονται δημηγοροῦσι σεμνῶς· σὺ δ' ἡμῖν οὐδὲ τοσοῦτον
μετέδωκας ἀναπνεῦσαι, καὶ ταῦτα ὧν οὐδείς, ἀλλ' ἀγαπᾶν σοι
προσῆκον, εἰ καὶ ἐν οἰκέτου τάξει παρῆσθα τοῖς γιγνομένοις.*
Τί καὶ φήσεις πρὸς θεῶν εἴ τις ἔροιτό σε; ἐπαχθῆ νὴ Δί' 98
*αὐτὰ εἶναι καὶ φορτικά. οὐκοῦν εἰ μὲν τοῖς πολλοῖς, τί οὐχ οὗτοι
δυσχεραίνουσιν; εἰ δὲ σοί, τί καταφεύγεις ἐπὶ τοὺς πολλούς; οἱ
γὰρ πολλοὶ οὗτοι σχεδόν τι εἷς τις ἀναφαίνεται, βάσκανος καὶ
οὗτος, εἰ δὲ μή, ψυχρός γε. καὶ μὴν εἰ μὲν καὶ αὐτὸς ἐπῄνεις* 99
*τὸν λόγον, κατὰ νοῦν ἦν σοι τὰ λεχθέντα. οὐ γὰρ δή που σαυτῷ
μὲν ἠξίους μετεῖναι τῆς ἐπὶ τοῖς ἐμοῖς ἡδονῆς, ἐμὲ δ' αὐτὸν ὁρῶν*
524 D *γανύμενον συμφορὰν ἐποιοῦ. εἰ δὲ παρῄει σε τὸ τοῦ λόγου κάλ-
λος, εἰκότως ὑφ' ἡμῶν ταῦτα ἐλέγετο. ἐπ' αὐτοῖς τοίνυν οἷς παρ-* 100
*εφθεγξάμην ποτέρως διετέθης; εἰ μὲν γὰρ καὶ αὐτὸς ἐδυσχέρανας,
διὰ τοῦτο ἐλέγετο, ἵνα ἀχθεσθῇς· οὐ γὰρ δή που σὺ μὲν ζημίαν
ποιῇ ἐμοῦ τοῖς ἐμαυτοῦ χαίροντος, ἐγὼ δ' οὐ ποιήσομαι κέρδος,
ἂν σὺ λυπῇ διὰ ταῦτα. ἀλλὰ μὴν εἴ γε ἀπεδέξω τὰ λεχθέντα,
πῶς αἰτιᾷ νῦν περὶ ὧν τότ' ἦσθα σύμψηφος; ἢ ποτέρου κατη-
γορεῖς ὅταν οὕτως ἔχῃς; φαίνῃ γὰρ οὐχ ἧττον σεαυτοῦ. οὐ τοίνυν* 101
*μόνον κατ' ἄνδρα ὅλως καὶ πρὸς τὴν ἀξίαν εὑρεθήσεται τὰ τοι-
αῦτα κρινόμενα, ἀλλὰ καὶ πρὸς τοὺς καιροὺς καὶ πρὸς τὴν τῆς
προφάσεως αἰεὶ προσθήκην. οἷον εἴ τις ὕβρει καὶ ὑπερηφανίᾳ
τοὺς τοιούτους λόγους προαιρεῖται, ἢ τοὺς πολλοὺς ἐξεπίτηδες
ἀτιμάζων καὶ τοῦ μηδενὸς ἀξίους ἡγούμενος, ἢ καὶ ὅπερ ἀρτίως*

---

1 *ἀναγκαίοις*] qui non boni sunt, sed Aristidis aequalium inscitiae et insulsitati necessarii 2 *ἐπιχωροῦντας*] ω in ras. Q[2], *ἐπιχειροῦντασ* U *αὐτῶν* AQ[1]U, *αυτῶν* S[1] 5 *ταῦτ'* U 6 *προσῆκον* (εν supra) U pr. m., *προσῆκεν* ASQT 7 *θεῶν*] *διὸσ* U, cf. p. 174, 14 9 *ἐπὶ*] *εἰς* Rsk.[2]; at cf. or. XXXIV § 2 11 *ψυχρόστε*, ut videtur, S[1] 14 *γαννύμενον* TQS[2] *παρείη* Q, cf. v. l. p. 169, 23 15 *ταῦτ'* U 17 *τοῦτ'* U *ἐλέγετο* U: *ἐλέγοντο* ASQT 18 *ποιεῖ* AS[1] 22 *ἄνδρα* scripsi: *ἄνδρασ* O 23 *καὶ πρὸς τὴν — προσθήκην*] i. e. *καὶ ἥν τις ἀεὶ πρόφασιν* (*τοῦ παραφθέγγεσθαι*) *προσθείη*; quales dicat *προφάσεις*, statim explicat (*οἷον*) 24 *ἀεὶ* Q[1] 26 *ὅπερ*] *ὥσπερ* S *ὅπερ ἀρτίως — οἰκεῖον τινος*] cum neque in nostra oratione neque in ulla earum quae ad nos pervenerunt sit quicquam quo *ἀρτίως* referatur, apparet Aristidem verbis illis auditores ad orationem quandam revocasse, quam paulo ante nostram edidisset; qua ex oratione interpretatio ambigui illius *οἰκεῖον τινός* (post quod *δυστυχήματος* add. Rsk.[2]) repetenda fuit. de or. XXXIV, cuius supra § 18 mentionem fecit, cogitari nequit — id quod diserte moneo — neque de or. XXXIII, cuius § 27 olim opinatus sum perstringi eos, quos nostro loco orator significaret

εἶπον, ἕνεκ' οἰκείου τινός, οἵους ἐγώ τινας εἶδον ἤδη τὰς ὀφρῦς
ἀνεσπακότας καὶ βαδίζοντας ὥσπερ δεσπότας τῶν ἐντυγχανόντων, καὶ
καταπεπλασμένους οὕτω τὸν βίον ὥστε ⟨κατα⟩πλήττειν εὐθέως τοὺς
ἀπαντῶντας, τοῖς μὲν τοιούτοις δίκαιον οἶμαι νεμεσᾶν καὶ νομίζειν
τῆς Γοργείας κεφαλῆς ἀπογόνους τινὰς εἶναι καὶ οὐ τὰ κάλλιστα
102 ἀπολελαυκέναι τῶν λόγων οὓς προΐστανται. ὅστις δὲ τὸν μὲν ἄλλον
βίον οὕτω μέτριον καὶ κοινὸν ᾕρηται, ὥστ' ἀπ' αὐτοῦ τούτου μά- 389 J
λιστα γιγνώσκεσθαι καὶ τοῦτ' εἶναι σύμβολον αὐτοῦ — εἰ μὴ καὶ
νῦν ἔλαθόν τι μεῖζον εἰπὼν καὶ δεῖ παραιτήσασθαι —, ἡνίκ' ἂν
δὲ ὁ θεὸς κινήσῃ, τότε καὶ περὶ αὐτοῦ τι φθέγγεται, καὶ ταῦτα
ἅττα ποτέ ἐστιν, καὶ φθεγξάμενος παρ' αὐτὸν τὸν ἀγῶνα καὶ τὸν
καιρόν, ἡνίκ' οὐδενὸς ἄλλου μεμνῆσθαι πλὴν τῶν λόγων εἰκός ἐστιν,
εἶτ' ἀπηλλάγη, τί τούτῳ ταῦτ' ὀνειδίζοι τις ἄν; σὺ δ' ὦ πρὸς
Διὸς τοσαύτην εἰπέ μοι σχολὴν ἦγες, ὥστ', ἀφεὶς ἐκεῖνα τὰ φά-
σματα, μικρὰ καὶ τοῦ μηδενὸς ἄξια ὥσπερ οἱ ὄρνιθες παρεξέλεγες,
103 ἵνα ἀπίῃς ὥσπερ ἕρμαιον ἔχων ὃ κακῶς ἐρεῖς; φάθι δή με καὶ τοῦτο 525 D
φιλανθρωπίᾳ πεποιηκέναι, ἵνα μὴ παντάπασιν ἀθυμήσῃς, ἀλλ' ἔχῃς
ἐφ' ὅτῳ βουλήσῃ ζῆν. ἦν γάρ, ὡς ἔοικεν, σοί τι πυθόχρηστον, ὅταν
πάντα ἐπαινέσῃς, ἀπολωλέναι. ὥστ' ἄποινα ὄφλεις μοι, καὶ εἰ τοῦτ'
αἰτιᾷ, δικαίως αἰτιᾷ. ἦ καὶ τὴν Πυθίαν αὐτὴν καὶ τοὺς χρησμο-
λόγους, ὅταν αὐτοματίζωσιν, ἀκριβῶς ἐξετάσεις ἐπιτηρῶν καὶ σχῆμα
καὶ βλέμμα, καὶ εἴ τί σοι δόξουσι λέγειν θρασύτερον, εἶτ' αὐτοῖς
ὕστερον ἐγκαλεῖς, ἄθλιε καὶ πόρρω θεῶν; ἅπαντα ταῦτα ἦν τοῦ
104 καιροῦ. ἀναμνήσω δέ σε καὶ Ξενοφῶντος, ὃς περὶ τοῦ Κύρου

---

1 ἕνεκεν Q τινας] τινοσ Q 3 καταπλήττειν scripsi: πλήττειν O 4 ἀπατῶντασ Q οἶμαι] εἶναι, at ε et ν in ras. Q², item νεμεσᾶν totum 9 παραιτήσασθαι] utrumque αι in ras. Q²; παρη|τήσασθαι A¹, παρηι|τήσασθαι (αι supra) Aʳ ἡνίκα δὲ ὁ Q¹ 10 αὐτοῦ AQT, αυτοῦ S¹ 12 ἔστιν εἰκόσ UT, fortasse ἐστιν delendum 14 ἐκεῖνα τὰ φάσματα] somnium, quo Aristides hymnum in Minervam componere iussus erat (cf. or. XXXVII § 1 τὰ φανθέντα); μικρὰ dicit παράφθεγμα. sententia est: 'ex quibus iustum de me licuit iudicium facere, ea tu consulto praetermisisti, ut pusilla quaedam memoratuque plane indigna, quae praeter ipsam rem collegisti (παρεξέλεγες), componeres, aves imitatus nihil nisi micas caenae ipsius colligentes. (§ 103) tantillus es: sume ergo me παραφθεγμα illud edidisse, ut tu haberes quae vituperares; omnia enim laudare coactus perditus esses homo' 16 ἀπίησ A¹ (-ηισ corr. Aʳ) με] μοι Q¹, με σοι U 18 πυθο/χρηστον (cum ras. sup. υ et ον) S¹, quatenus agnoscitur 19 πάντα Wil.: πάντασ O ὄφλεισ A¹SQ: ὀφείλεισ AʳUT 20 prius αἰτία A¹ (-ίᾶι corr. Aʳ) 21 ἐξετάσῃσ ASTQ² (Q¹ incertum) 22 δοκοῦσι U 23. 24 quae erat virgula post ἐγκαλεῖς post θεῶν posuit Wil., quae erat post καιροῦ sustuli 24 ἀναμνήσω] orator quanquam iam inde a § 98 in paraphthegmate versatur (cf.

τοῦ μεγάλου διαλεγόμενος τὸν μὲν ἄλλον χρόνον εὐσταλῆ φησιν καὶ
κόσμιον αὐτὸν εἶναι καὶ ἥκιστα ἀλαζόνα, ἡνίκα δ' εἰς τοὺς ἀγῶνας
ἴοι καὶ ὑποθερμαίνοιτο, οὐδὲν μικρὸν λέγειν οὐδ' ὑποστέλλεσθαι,
ἀλλὰ καὶ αὐτὸν καὶ τοὺς στρατιώτας ἐξαίρειν. εἰκότως· ἐὰν γάρ,
ὦ τᾶν, ἐξέλῃς τὸ κέντρον ἐκ τῆς ψυχῆς, ἀνῄρηκας τὸ τῆς ἀνδρείας
ἐφόδιον. κἀμὲ οὕτως ἐξέταζε, καὶ ἔτι μεῖζον προστίθει· εἰ μὴ 105
μέλλων ἀγωνιεῖσθαι, ἀλλ' ἐμβεβηκὼς [ἀγωνιζόμενος], εἰ παρ' αὐτὴν
τὴν χρείαν, εἰ τοῦ κρείττονος ὤν, εἰ ζέοντος τοῦ λόγου, εἰ πρῶτον
μὲν αὐτὸς ἐλαυνόμενος, εἶτα τοὺς πολλοὺς τῷ αὐτῷ κέντρῳ κινῶν,
ταῦτα παρεφθεγξάμην ἐπιστροφῆς εἵνεκα καὶ κοινῆς ὠφελείας τῶν
ἀκουόντων, ὃ καὶ τῶν προοιμίων ἐπαινοῦμεν καὶ προσδεῖν αὐτοῖς
φαμεν, κἂν εὑρίσκῃς ἃ λέγω προσόντα, τόλμησον εἰπεῖν· 'οὐχ ὅδ'
390 J ἄνευ⟨θε⟩ θεοῦ τάδε μαίνεται, ἀλλὰ παρούσης τῆς Ἀθηνᾶς, ᾗ τὰ
526 D κράτιστα τῆς σωφροσύνης ἀνεῖται'. ἤκουσας δέ που καὶ Ὁμήρου 106
περὶ ἀγωνιστῶν λέγοντος (O 605 sqq.)·

μαίνετο δ' ὡς ὅτ' Ἄρης ἐγχέσπαλος, ἢ ὀλοὸν πῦρ
οὔρεσι μαίνηται, βαθέης ἐν τάρφεσιν ὕλης·
ἀφλοισμὸς δὲ περὶ στόμα γίνετο·

καὶ οἶσθα δὴ τἀπὶ τούτοις, ἵνα σοι καὶ χαρίσωμαι. νὴ Δί' ἀλλὰ
βάρβαρος οὗτος καὶ κατέχειν αὑτὸν οὐ δυνάμενος. τὸν δ' ἕτερον 107
τί φῶμεν, τὸν κάλλιστον τῶν Ἀχαιῶν; οὐκ ἀναμνησθήσῃ πῶς αὖ
καὶ τοῦτον ὁπλίζει μετὰ τὴν ἀπόρρησιν τῆς μήνιδος;

ἐν δὲ μέσοισι κορύσσετο δῖος Ἀχιλλεύς,
τοῦ καὶ ὀδόντων μὲν καναχὴ πέλε· τὼ δέ οἱ ὄσσε
λαμπέσθην ὡς εἴ τε πυρὸς σέλας, ἐν δέ οἱ ἦτορ

καιρός p. 173, 23; 174, 24; 178, 2), tamen finxit se sensim paullatimque in paraphthegma delabi, cum artificiose rem ita institueret, ut ad testium enumerationem, ac si orationem recolligeret, redire videretur

2 ἥκιστ' U 4 αὑτόν SQ^1 στρατιώτασ Q^1: συστρατιώτασ ASUTQ^2; Cyro milites non συστρατιῶται sunt; interpolatio e p. 176, 5 hausta 5 ἀνῄρηται TUQ p. corr. ἀνδρίασ SU 6 προστίθει deleri vult Wil. 7 ἐμβεβηκὼσ καὶ ἀγωνιζόμενοσ U ἀγωνιζόμενος seclusi, glossema ad ἐμβεβηκώς 8 τοῦ κρείττονος ὤν] i. e. ἐνθουσιάζων πρῶτοσ UT 9 αὐτὸς om. Q 11 προοιμίων] πρὸ ἡμῶν UTQ^2 αὐτοῖσ UTQ^2: αὐτῶν AS, αὐτὸν Q^1 12 post φαμεν punctum sustuli 13 ὅδ'] ut Eustath., ὅ γ' libri Hom. E 185 ἄνευθε Homeri plerique: ἄνευ ASQT (Hom. Vindobon.), ἄνευγε U 16 μαίνετο δ' ὡσ ASQ (Hom.): μαίνετο δ' ὥστ' U, μαίνεται δ' ὡσ T ἢ A^r (ᾗ ci. Faber ad [Long.] l. c.) 17 οὔρεσσι A 18 δὲ] γὰρ Q γίνετο Hom.: γίνετ' AS, γίνεται UTQ^2 (Et. M. 177, 48; γίγνεται [Long.] l. c.), γένετο Q^1 19 nonne σοί ⟨τι⟩ καί? χαρίσομαι S 20 βάρβαρος] Hector αὑτὸν T^1 p. corr. $S^2Q^2U^2$: αὐτὸν O 23 μέσσοισι ASQ a. ras. T 24 πέλεν O 25 ὡσείπερ πυρὸσ U

δῦν᾿ ἄχος ἄτλητον· ὁ δ᾿ ἄρα Τρωσὶν μενεαίνων
δύσατο δῶρα θεοῦ (*Τ* 364—368).

ὁρᾷς ὅτι πάντα ὁμοῦ τῷ ἀνδρὶ προστίθησιν, ὀδόντων κρότον, πῦρ
ἐν ὀφθαλμοῖς, ὀργὴν εἰς τοὺς πολεμίους, λύπην ἐπὶ τῇ συμφορᾷ,
108 *καλλωπισμὸν εἰς τοὺς συστρατιώτας. Ἐννοῦς μὲν δὴ καὶ Ἐνυαλίου*
χορευταὶ τοῦτον ἵστανται τὸν τρόπον, οὔτε τὴν γνώμην ἀτρεμεῖν
δυνάμενοι, πολὺ δὲ ἧττον ἔτι τὼ χεῖρε ἀτρεμίζοντες, κινεῖται δὲ
ἄτοπόν τινα κίνησιν καὶ τὰ χείλη καὶ πᾶν μέρος τοῦ σώματος,
καί τις αὐτοὺς θαυμαστὴ κατέχει κρᾶσις λύπης, ὀργῆς, ἐπιθυμίας,
λογισμοῦ· οἳ κἂν εἰς λόγους ἔρχωνται, μεταξὺ τῶν ἔργων τοιαυτὶ
λέγουσιν ‘ἆσσον ἴθι’ (Hom. *Ζ* 143) *καὶ*

δυστήνων δέ τε παῖδες ἐμῷ μένει ἀντιόωσιν (*Ζ* 127).

109 *τοὺς δὲ Ἑρμοῦ τε καὶ Μουσῶν χορευτάς, περὶ οὓς τὰ τῶν πτε-*
ρωτῶν λόγων κάλλη τε καὶ τολμήματα Ζεὺς ὁ θεῶν βασιλεὺς ἔταξεν
εἶναι, πότερα εἰς γῆν κάτω βλέποντας ὥσπερ τοὺς Ἐρεμβοὺς οὕτως 527 D
ἀξιώσεις ἀποδείκνυσθαι τὰ σφέτερ᾿ αὐτῶν ἔργα, μηδὲν τῶν καν-
θηλίων διαφέροντας, μέσους ἐγρηγορότων καὶ καθευδόντων, ἢ μη-
δὲν ἀμβλυτέρους ὄντας φαίνεσθαι τῶν ἐκ Κορυβάντων ἤ τινος
ἄλλου δαίμονος θερμοῦ κατεχομένων, ἀλλ᾿ ἅμα τῷ μέλει κινεῖ-
110 *σθαι τὰ γιγνόμενα; ἀλλὰ τοῦ μὲν Διομήδους οὐκ αἰτιᾷ τὴν κόρυν*
οὐδὲ τὴν ἀσπίδα πῦρ ἀφιεῖσαν, ὥς φησιν Ὅμηρος (*Ε* 4), *ἀλλὰ καὶ*
θαυμάζεις καὶ μεγάλων αὐτὸ ποιεῖς σύμβολον, ὧν δ᾿ ἐξ αὐτῆς τῆς 391 J
κεφαλῆς ἀνίησι τὸ πῦρ ἡ θεός, τούτοις οὐδὲ συγγνώμης μεταδίδως;
καὶ ποίας μάχης τοσαύτην θέρμην φήσεις ἡγεῖσθαι, ὅσην τῶν
ἐμψύχων λόγων καὶ ἀληθινῶν; πάντα μὲν γὰρ ἴσως κατὰ Δαρεῖον

---

1 *τρωσὶ* O 2 *δύσσατο* Q (Junt.); *δύσετο* Hom. *θεοῖο* QU (Junt; Homeri Vindob. Lips.) 3 *πάνθ᾿* U 4 *τῇ* om. U 5 *συστρατιώτας*] ex *στρατιώτασ* corr. pr. m. ipsa A; cf. v. l. p. 175, 4 *Ἐννοῦς*] *ἐνίουσ* A a. ras., *ἐνίοισ* S^{1}A p. ras.; *Ἐννοῦς — χορευταί*: cf. v. 13, p. 177, 24; or. XXVI § 105; Nonn. XXVII 119 *ἐνυαλίοιο χορείης* XLIII 74 *Ἐνυαλίῳ δὲ χορεύων* *δὴ* s. l. Q 8 prius *καὶ* om. Q 10 *τοιαυτὶ*] *τοι* in ras. Q^2 (*ταυτὶ* Junt.) 13 *δ᾿* U 15 *βλέποντασ* UTS^{2}Q^2: *βλέποντα* AS^{1}Q^1 *εἰς γῆν — Ἐρεμβοὺς*] cf. Schol. ad Hom. *δ* 84; Strab. I 42. XVI 784 16 *ἀξιώσεισ* sic O *ἀπο-δείκνυσθαι* sic O; *ἐπιδείκνυσθαι* Junt. (edd.) 20 *γινόμενα* U *κόρυν*] *υ* in ras. Q^2 (*κόρην* Junt.) 22 *ποιῇ* U 23 *ἡ θεὸς*] Minerva, cuius ad hymnum *παράφθεγμα* dixit 24 *φήσεισ ἡγεῖσθαι* UTS^2: *φῇσ* (-*ῇσ* Q) *εἰσηγεῖσθαι* AS^{1}Q *ὅσην* A^{1}U: *ὅσον* A^{r}SQT 25 *Δαρεῖον*] hoc Darei dictum, quod aliunde non notum (Rsk.) videtur esse, Heracliteam philosophiam sapere consentaneum: cf. Heracl. frg. XXVIIII B. quod Hippolytus interpretatur *κόσμον κρίσιν — διὰ πυρὸς γίνεσθαι*) et quae ad frg. XXII Bywater congessit; ceterum Dareus Persa Parsus Heracliteae doctrinae assecla inventum scriptoris Graeci eiusdem rationis et forte eiusdem aetatis, cuius epistolae quae Heracliti sub nomine ad Dareum datae ferebantur (Bywater l. c. p. 70 sq.)

τὸ πῦρ ἐκόσμησεν, καὶ οὐ δυνατοῦ μᾶλλον τὸ ῥῆμα ἢ ἀνδρὸς σο-
φοῦ· λόγων δ' αὕτη πηγὴ μία, τὸ ὡς ἀληθῶς ἱερὸν καὶ θεῖον
πῦρ τὸ ἐκ Διὸς ἑστίας, ἐφ' ᾧ καθεύδειν οὐκ ἔνι δή που τὸν τετε-
λεσμένον τε καὶ ὑπὲρ τὸ μέσον φερόμενον. σὺ δὲ τηνικαῦτα ἀξιοῖς 111
σκοπεῖν εἰς σὲ καὶ τοὺς σοὺς ὀφθαλμούς, δεδοικότα ὥσπερ παῖδα
μή τι γρύξειεν ὅ σοί τινα ἀηδίαν οἴσει· καὶ τίθης οὐ τῷ χειμάρρῳ
ὅρια, ἀλλὰ τῷ Νείλῳ, καὶ ταῦτα ὁμοῦ τῷ μεγέθει τὴν συμμετρίαν
ἔχοντι. οὐκ οἶσθ' ὅτι ὥσπερ τὰ παρ' Ἡφαίστου ὅπλα αὐτὰ καθ'
αὑτὰ κινούμενα ἀνὴρ ἐκεῖνος ἐποίησεν; οἶμαι δέ που καὶ τοὺς τοῦ
Ἀπόλλωνος ὀϊστοὺς αὐτοὺς ἐφ' αὑτῶν ἐπηχῆσαι συνοργισθέντας
αὐτῷ. οὕτω κἀν τοῖς ἀγῶσι τοῖς περὶ τοὺς λόγους τοὺς παρὰ 112
τῶν θεῶν πολλὰ τοιαῦτα αὐτῶν τῶν λόγων ἰδίᾳ κινουμένων ὥσπερ
ἔκφορα γίγνεται, καί τινα ἠχὴν παρέχεται τότε ὁ λόγος ἀναγκαῖον
528 D *καὶ ἀκόλουθον τῇ ῥύμῃ καθάπερ βέλος τι σὺν ῥοίζῳ φερόμενον.*
δέδοικα μὲν οὖν μὴ παρὰ κωφὸν λέγω καί τινα τρόπον ἐξορχοῦμαι 113
δεικνὺς ἀμυήτῳ τὰ ἱερά· ὅμως δὲ ὥσπερ ἐν μύθῳ τις ἀπόρρητος
λόγος τοῖς μὲν ἀκούειν δυνατοῖς εἰρήσεται, σοὶ δὲ οὐδὲν μᾶλλον.
λέγω γὰρ οὖν ὡς ἐπειδὰν περιέλθῃ τὸ τοῦ θεοῦ φῶς καί, τὸ 114
λεγόμενον δὴ τοῦτο, ἀστράψῃ δι' ἅρματος, οἷα δὴ ταῖς Μούσαις
ἅρματα οἱ ποιηταὶ δεδώκασιν, καὶ κατάσχῃ τὴν ψυχὴν τοῦ λέγον-
τος, ὥσπερ τι πόμα παρελθὸν ἐξ Ἀπόλλωνος πηγῶν, εὐθὺς μὲν
τόνου καὶ θέρμης ἐνέπλησεν μετ' εὐθυμίας, ἦρεν δὲ τοὺς ὀφθαλ-
μοὺς ἄνω καὶ τὰς τρίχας διέστησεν, βλέπει δ' οὐδ' εἰς ἓν ἄλλο ὁ
τοιοῦτος, εἴτε χορευτὴν εἴτε βάκχον βούλει λέγειν, οὔτε παρὸν οὔτε
392 J *ἀπόν, ἀλλ' ἢ πρὸς αὐτοὺς τοὺς λόγους καὶ τοὺς ταμίας αὐτῶν,*

---

1 *δυνατοῦ*] *δυνάστου* ci. Rsk. 3 *πῦρ* om. Q *ἑστίας* scripsi: *ἔστιν ἃσ* AS a. ras. Q (*ἐστινὰσ* S p. ras.), *ἐστιν* UT 4 *ὑπὲρ τὸ μέσον* scripsi: *εἰσ τὸ μέσον* O; *τὸ μέσον* i. q. *τὸ κοινὸν καὶ σύνηθες*; ad sententiam cf. § 116. 142 *τηνικαῦτ'* U 6 *τινὰηδίαν* S¹ *οὐ* ASQ¹U: *οὐχὶ* TQ² 7 *καὶ ταῦτα κτὲ.*] ludit in *συμμετρίᾳ*, quae cur Nilo flumini, ut oratori, vindicari possit, explicat orator or. XXXVI § 115; ceterum *συμμετρίαν* pro *καθαρότητα* eum in sententia quasi proverbiali (Callim. h. I 108 sq., *π. ὕψ.* 35, 4) posuisse monet Wil. 8 *Ἡφαίστου ὅπλα*] Hom. *Σ* 376; cf. or. XXXIX § 11 9 *ἀνὴρ* Ddf.: *ἀνὴρ* O 10 *ἐφ' ἑαυτῶν* U *ἐπηχῆσαι*] *π* in ras. A², *ἐφηχῆσαι* S(A¹?); Hom. *Α* 46 sq. 11 *παρὰ* AS¹Q: *περὶ* UTS² 13 *ἀναγκαίαν* UTS² 14 *τι βέλοσ* U 15 *ἐξορχῶμαι* U 18 *παρέλθῃ* Q², cf. v. 21 19 *ἀστράψῃ* UTS²: *ἀστράψαι* AS¹Q; *τὸ λεγόμενον*: *ὁπόταν δι' Ἅρματος ἀστράψῃ* Strab. IX 404, Suid. s. v. *Ἅρμα*, Eustath. ad *Β* 499 (Wil.); Aristidi aliam proverbii explicationem quam his scriptoribus probatam fuisse apparet 20 *οἱ ποιηταὶ*] cf. Diels, Parmenides Lehrgedicht p. 20 21 *πόμα* sic O 23 *βλέπει δ' εἰσ οὐδὲν ἄλλο* U 25 *ταμίας αὐτῶν*] sc. *τοὺς λογίους θεούς*

ὥσπερ οἱ πρὸς τοὺς ἄλλο τι ὀρέγοντας ἑαυτοῖς βλέποντες, καὶ
115 *ταῦθ᾽ ὅταν ἐξ ὑψηλῶν προτείνωσιν, καί τι ἔπος, φησί, προέηκεν ὅπερ ἄρρητον οὐ φορητὸν ἦν — φέρει γὰρ ὁ καιρὸς πόλλ᾽ ἅ τις οὐκ ἂν ἐννοήσειεν ἰδιώτης τῶν τοιούτων ἀγώνων — καὶ οὐκ ἔστιν ἀνέντα τὴν γνώμην οὐδ᾽ ὑποθέντα ἑαυτὸν τοῖς ἀκροαταῖς, ὃ προσήκει κέντρον τῶν λόγων διασώσασθαι, ἀλλ᾽ ἡ θέρμη καθάπερ τι φάρμακον μόνη δὴ παραπέμπει καὶ κατευθύνει καθάπερ ναῦν αὐτὸν [τὸν λόγον] καὶ τοῖς ἐναντίοις χώραν οὐ δίδωσιν· ἡνίκ᾽ ἂν δὲ αὕτη προλίπῃ, ὑπορρεῖ τὰ τῶν λόγων καὶ τὰ τῆς νάρκης νικᾷ, καὶ ἀνάγκη δὴ κάτω φέρεσθαι τὸν τοιοῦτον ῥήτορα ὑπὸ τῆς ἀμβλύτητος ἀποψυχόμενον, καθάπερ τινὰ αἰετὸν τῶν πτερῶν ὑφιέντα.*
116 *Ἔχω δέ σοι καὶ λόγον τινὰ ἱερὸν διελθεῖν, ἀκούσας νύκτωρ* 529 D
οὐ πάλαι παρά του τῶν κρειττόνων, οἷόν ἐστι τὸ χρῆμα τῆς θείας μανίας. εἶχεν δέ πως ὧδε ὁ λόγος. ἀνάγκη τὸν νοῦν, ἔφη, κινηθῆναι τὴν πρώτην ἀπὸ τοῦ συνήθους καὶ κοινοῦ, κινηθέντα δὲ καὶ ὑπερφρονήσαντα θεῷ συγγενέσθαι καὶ ὑπερέχειν. καὶ οὐδέτερόν γε, ἔφη ὁ διδάσκων, θαυμαστόν· ὑπεριδών τε γὰρ τῶν πολλῶν θεῷ
117 *τε ὁμιλήσας ὑπερέχει. τάδε μέν σοι τῆς ἱερᾶς, ὡς οἱ ποιηταὶ* (Eurip. frg. 114 N.²) *καλοῦσι, νυκτὸς ἀπομνημονεύματα διὰ κεράτων μὲν ἥκοντα, στιλπνότερα δὲ ὡς ἀληθῶς ἐλέφαντος παντός. ὥστ᾽ εἰ καὶ μηδένα μηδ᾽ ἀφ᾽ ἑνὸς εἴδους εἴχομεν εἰπεῖν ἐφ᾽ αὐτῷ τι φρονήσαντα, μηδ᾽ ἦν ἀναγκαῖον τῶν λόγων τὸ τοιοῦτον πάθημα, ἡμᾶς δ᾽ εἰς ταύτην ὁ θεὸς νῦν ἦγεν, οὐκ ἂν τὰ πρεσβεῖα δή που συμφορὰν ἐποιούμεθα. σὺ δ᾽ αἰτιᾷ τὸ σύμβολον αὐτοῦ τοῦ ῥήτορος.*
118 *ἢ πρὸς θεῶν ἀκροατὴς μὲν οὐχ ὅστις σφόδρα σώφρων, ἀλλ᾽ ὅστις ἐπίσταται κινεῖσθαι βέλτιστος καὶ ὅστις ἀπαντᾷ τοῖς λεγομένοις, ῥήτωρ δὲ οὐχ ὁ θερμότατος καὶ πρῶτος αὐτὸς αὑτοῦ συνιεὶς ἀρι-*

---

2 *φησί*] Hom. ξ 466 *καί τι ἔπος προέηκεν ὅπερ τ᾽ ἄρρητον ἄμεινον προέοικεν* QT 3 *πολλὰ|τισ* A^1, *πολλά· τίσ* SQ^1, *πολλὰ ἅ|τισ* A^2 4 *ἰδιώτησ τῶν* sic O 8 *τὸν λόγον* seclusi: *ναῦν//τὸν λόγον* A, fuit *αὖ* in ras.: *ναῦν τὸν λόγον* SQUT *ἡνίκ᾽ ἂν* A^1: *ἡνίκα* $SQUTA^2$ 9 *αὐτῆι* A^1 (corr. A^r) *προλίπει* Q, *προλίποι* U 10 *ὑπὸ* sic O 11 *ἀετὸν* A^1 (corr. A^r) Q^1 14 *ἀνάγκη κτἑ.*] eadem refert or. L § 52 17 *πολλῶν ⟨ὁμιλεῖ θεῷ⟩ θεῷ* Canter ex or. L l. c. *συγγενέσθαι θεῷ, συγγενόμενον δὲ*; neque necessarium neque verisimile propter grammaticam (*τε — τε*) 19 *διὰ κεράτων*] per corneam somniorum portam: Hom. τ 562 sqq. 20 *ὥστ᾽* A a. ras. QUT: *ὅτ᾽* A p. ras. S 21 *μηδένα μὲν μηδ᾽* U *ἐπ᾽ αὐτῷ* O (correxi) 22 *μηδ᾽ ἦν*] *μὴ δεῖν* Q 23 *που* om. T 24 *ῥήτορος*] *ῥήματος* Canter (prob. Ddf.) male: 'tu vero incusas insigne veri oratoris' (sc. *θείαν μανίαν*); cf. Baumgart, Ael. Aristid. p. 117, 108 *σύμβολον τοῦ ῥήτοροσ αὐτοῦ* U 27 *αὐτὸσ αὐτοῦ* A^1 (corr. A^r) S^1U^1

στος, ἀλλ' ὅστις ἡττᾶται τῶν ἀκροωμένων ἢ παρ' ἐκείνων δεῖται
μαθεῖν ὁποῖ' ἄττα ἐστὶν ἃ λέγει; σκόπει δὴ καὶ τοῦτο. φημὶ γὰρ 119
αὐτῶν εἵνεκα τῶν λόγων συμβαίνειν ἀνάγκην πολλάκις παραφθέγ-
393 J ξασθαι τόν γε δὴ καθαρῶς ἁπλοῦν καὶ φιλάνθρωπον, εἰ δὲ μή,
τοὺς πολλοὺς ἐκφεύγειν ἔστιν ἃ τῶν κρειττόνων ἢ λαθεῖν. οἷον
τί λέγω; ἔστιν κάλλη περὶ λόγους, ὡσαύτως δὲ περὶ ποίησιν, καί
530 D τινες ἰδέαι καὶ πόρρω καὶ ἐγγὺς ἀλλήλων, ἃς ἅμα μὲν πάσας
λαβεῖν οὐ ῥᾴδιον, μέρος δὲ ἕκαστος ἀποτεμόμενος κατὰ τοῦτο
εὐδοκίμησεν· Ὅμηρον δέ, εἰ βούλει, ποιητῶν ἐξαίρει λόγον. ὅταν 120
οὖν τις ἀγώνισμα ποιήσηται διὰ πάντων τῶν καλῶν τούτων διεξ-
ελθεῖν καὶ πάσας μίξεις μῖξαι περὶ τοὺς λόγους, καὶ πρῶτον
μὲν τὰ ἤθη πρέποντα τοῖς καιροῖς ἀποδοῦναι, ἔπειτα τὰς συζυ-
γίας, οὗ μὲν ἀκριβείας δεῖ, ἐνταῦθα ὥραν προστιθείς, οὗ δ' ἐργα-
σίας, ἐνταῦθα τάχος, τῷ δὲ περιττῷ σαφήνειαν, χάριν δὲ οὗ σε-
μνότης, οὗ δὲ εὕρεσις, ἐνταῦθα διαχείρισιν, οὗ δὲ τολμήματα, ἐν-
ταῦθα ἀσφάλειαν, ἐφ' ἅπασι δὲ ῥᾳστώνην καὶ δρόμον — καί μοι
παρίει περὶ τούτων ἄμεινον σοῦ καὶ τῶν σοὶ προσομοίων ἐπίστα-

---

TESTIMONIVM: 6 ἔστι — 180, 5 ὡραία Aristid. art. rhet. I 395 W. (II 501 Sp.)

3 εἵνεκα sic O 5 ἐκφεύγειν] pendet ex ἀνάγκη; ἐκφεύγει ἔστιν ἃ ci. Rsk.[2] ἢ Rsk.[2]: μὴ O; 'quae meliora sunt quam ut lateant' Rsk.[2], recte τὰ κρείττω 'lumina orationis' interpretatus (eiusdem significationis τῶν κρειττόνων or. XLII § 14) spreta priore explicatione 'homines elegantiores, arbitri', quam secutus τοὺς κρείττονας μὴ λαθεῖν οἷόν τε λέγω. ἔστι ci. Baumgart l. c. p. 6*; ἢ μαθεῖν ci. Wil. οἷον τί scripsi: οἷόν τι O, cf. p. 150, 23 6 δὲ ⟨καὶ⟩ περὶ Rsk.[2], placet 8 ἀποτεμόμενοσ UTArs: ἀποτεμνόμενοσ ASQ τοῦτον AS a. ras. Q a. ras. 9 εὐδοκίμησεν (ηὐ) Q pr. m., ηὐδοκίμησεν AST ὅμηρον sic O ποιητῶν ἐξαίρει λόγον] ποιητὴν ci. Finckh (prob. Spengel), falsus; ut poeseos pater sic eloquentiae hominibus serioris aetatis Homerus audivit, Antisthenis imprimis et stoicorum auctoritatem secutis (Lehnert, de schol. ad Hom. rhetor. [Lips. 1896] p. 97 sqq.); scite ita exemit Homerum in utroque litterarum genere pollentem, ut ad verba Platonis (symp. 176 C) alluderet: Σωκράτη δ' ἐξαιρῶ λόγον, ἱκανὸς γὰρ καὶ ἀμφότερα ἐξαίρω (ε) U pr. m., ἐξαιρῶ Ars ὅταν] apodosis post parenthesin p. 180, 1 incipit 11 μῖξαι ⟨τὰς⟩ περὶ Rsk.[2] καὶ πρῶτον — 12 συζυγίας omissis add. καὶ πρῶτον — συζυγίασ οὗ μὲν mg. Q[1] πρῶτον μὲν] πρῶτον μὲν χρὴ Ars 12 συζυγίας] explicatur eis quae secuntur, ἀκρίβεια — ὥρα, ἐργασία — τάχος κτἑ. 13 ἀκριβείας δεῖ] ἀκρίβεια Ars προσθείς Ars ἐργασίας] βραχύτης Ars, ubi τραχύτης ci. Spengel; ἐργασία: 'artificia oratoria vel artificiosa ratio'; ἐξεργασίας ci. Rsk.[2], frustra 14 δὲ om. Q[1] 15 διαχείρισιν S[2] (hic ci. Rsk., in Arte Spengel, ἡ διαχείρησις Ars): διαχειρίζειν O 17 παρίει AS[1]TQ[2]: παρήει Q[1], παρείη US[2]; 'concede me arbitrum horum praestantiorem esse te hominibusque tui similibus'; verba καὶ — ἐπίστασθαι, ut par est, in Arte omissa (item εἰ βούλει v. 9)

σθαι —, σκοτοδινιᾷ δὴ πᾶς ἐνταῦθα ἀκροατὴς καὶ οὐκ ἔχει τίς
γένηται, ἀλλ᾽ ὥσπερ ἐν παρατάξει κυκλούμενοι θορυβοῦνται καὶ
ὡς ἕκαστος ἔχει φύσεως ἢ δυνάμεως οὕτως ἐπαινεῖ, ὁ μὲν τῆς
λέξεως τὴν ἀκρίβειαν, ὁ δὲ τοῦ νοῦ τὴν λεπτότητα ὡς ὡραία· ὁ
121 δὲ ῥήτωρ ὑπὲρ αὐτῶν ῥήγνυται. τί φῄς; οὐχ ὁρᾷς τὸ ἀγώνισμα,
οὐδὲ ἀπὸ πολλοῦ· ἀλλ᾽ εἰς ἑκάτερον, φησί, τῶν αὐλῶν ἐμοῦ χωρὶς
αὐλοῦντος καὶ πάσαις ἅμα ταῖς ἁρμονίαις χρωμένου κάθησαι πρὸς
ἑνός τινος τῶν δακτύλων κίνησιν βλέπων, ὥσπερ ἂν εἰ καὶ ἐν λύρᾳ
ἢ κιθάρᾳ πάντων ὁμοῦ δεικνυμένων μιᾶς χορδῆς ἦχου δοκοίης 531 D
122 ἀκούειν. . . . . διδάσκει σε ὁ ῥήτωρ, ἄλλου μὲν οὐδενὸς εἵνεκα, ἴχνος
δέ τι θεῖον σῴζων ἐν αὑτῷ καὶ προνοούμενος καὶ σοῦ καὶ ἑτέρων,
μάλιστα δὲ αὐτῆς τῆς φύσεως τῶν λόγων, ὅπως αὐτῶν τὰ σπέρ-
ματα εἰς γνῶσιν ἐλθόντα σωθείη κατὰ τὸ δυνατόν. ταῦτ᾽ ἐστίν,
ὦ τἀμὰ μὲν εἰδώς, τὰ σαυτοῦ δ᾽ ἀγνοῶν, ἃ κἀμὲ πρῴην ἐκίνησεν.
123 σὺ δὲ τὸν νόμον μεταβάλλεις καὶ τὴν τάξιν ἐναλλάττεις, ἣν ἡ φύσις
κατέδειξεν οὐκ ἐν ἀνθρώποις μόνον, ἀλλὰ καὶ τοῖς ἄλλοις ζῴοις,
αὕτη δ᾽ ἐστὶν ἀκούειν τοῦ βελτίονος, καὶ νομίζεις τὸν αἰετὸν οἷόν 394 J
τ᾽ εἶναι τὸ ἴσον κινεῖσθαι τῷ κολοιῷ, οὗ καὶ προσιόντος ἔτι πόρ-
ρωθεν δήλη τοῖς ὁρᾶν καὶ ἀκούειν δυναμένοις ἡ ἀλκὴ σχίζοντος
124 τὸν ἀέρα, ὥσπερ ὅταν ναῦται τῇ κώπῃ τὴν θάλατταν. δῆλος δὲ
καὶ λέων ἐπιβρυχώμενος † οἷα δράσει, μὴ ὅτι μέσων †. σὺ δ᾽ ἀπαι-

---

1 σκοτοδινιᾷ δὲ (γὰρ ci. Spengel) ἐνταῦθα πᾶς Ars τίς] τί Ars 2 τῇ post ἐν add. Ars 3 ἕκαστος] in ἕκαστ^{οσ}ον corr. Q[2] 4 λεπτότητα, ⟨ὁ δὲ⟩ ὡς Canter; λεπτότητα, ὁ δὲ ὡς ὡραῖα, ὁ δὲ ἄλλος ἄλλο τι Ars ὡς ὡραία] 'alius elegantiam' vertit Canter, unde ὡραίαν P. Stephanus (ὡραῖα AT[1] a. corr.) 6 φησί] sc. ἡ παροιμία (cf. Schmid p. 266, 10; Th. W. Rein, Sprichwörter . . . bei Lucian [Tubing. 1894] p. 3); fort. φασί; φημί ci. Baumgart l. c. p. 8, 5 8 ἂν s. l. Q[1] (om. Junt.) 9 ἦχον TQ[2] 10 lacunam indicavi; sententia fuerit: ⟨at rectius iudicare nunc⟩ 11 αὑτῶ S[2]U[2]: αὐτῷ O καὶ σοῦ — 12 αὐτῆσ omissa add. mg. A pr. m. καὶ προνοούμενος post αὐτῆς (v. 12) Q καὶ post σοῦ s. l. Q 12 δ᾽ U 13 σωθῇ ci. Wil. 14 δὲ Q 17 ἀετὸν A[1] (corr. A[r]) Q p. corr. 19 ἡ ἀλκὴ US[2] (ci. Canter): τῇ ἀλκῇ AS[1]QT, propter τῇ κώπῃ 21 ἐπιβρυχώμενος] ἐστὶ βρυχώμενοσ U; ἔτι βρυχώμενος Rsk.

μὴ ὅτι μέσων SQUT, μα^{σ}σῶν A, at ^{σ}α῀ corr. A[2] (α in ras., cuius tamen forma litterae ε pristinae convenire non videtur; acc. pristinus ʹ agnoscitur); μὴ ὅτι μέσον Junt.; verba corrupta del. Canter (P. Stephanus, Jebb.); confido fuisse: ὅσα δράσει ἀλκῇ διατελέσων; corruptelae initium ΑΛ(Κ)Η (cf. v. 19) in ΜΗ depravatum; tum interpolator supervenit (cf. ad p. 185, 15; 186, 18); διατελέσων etiam or. XLVII § 26 (cf. Kühner-Blass Gr. Gr. II 458). ceterum cf. Max. Tyr. XXXI 3 (idem quod Aristides probaturi): αἰετοῦ κλάγξαντος ἢ λέοντος βρυχησαμένου γνωρίσαι ἄν τις τῷ λυπηρῷ τῆς ἀκοῆς τὴν ῥώμην τοῦ φθεγγομένου

τεῖς ἵππου μὲν δρόμον, σχῆμα δὲ τῆς κεφαλῆς ὄνου, πράγματα
οὐχὶ συμβαίνοντα· ἐκείνων δ᾽ οὐκ ἤκουσας (Hom. *Z* 509 sqq.)·

ἀμφὶ δὲ χαῖται
ὤμοις ἀίσσονται· ὁ δ᾽ ἀγλαΐηφι πεποιθώς,
ῥίμφα ἑ γοῦνα φέρει μετά τ᾽ ἤθεα καὶ νομὸν ἵππων.

ὄνῳ δὲ ἀρκοῦν ἐστι γαύρωμα ἀπαλλαγῆναι τοῦ φορτίου, ὃ τῆς ἐφ᾽
ἡμέρᾳ χρείας εἵνεκα τῷ δεσπότῃ περιφέρει, πλείους τῶν βημάτων
τὰς πληγὰς ἐκλέγων. ἀλλὰ γὰρ ᾠχόμην ὥσπερ κατὰ ῥοῦν ὑπὸ 125
τοῦ λόγου φερόμενος· ἐπάνειμι δὴ ἐπ᾽ ἐκεῖνο, ὅτι ἀξιοῖς μετα-
βάλλειν τὸν τῆς φύσεως νόμον, ὃς κελεύει τὴν τῶν κρειττόνων
ὑπερβολὴν ἀνέχεσθαι καὶ ζῆν πρὸς τὸ ἡγούμενον. αἰσχρὸν τῷ 126
στρατηγῷ βλέπειν εἰς τοὺς στρατιώτας, καλὸν δέ γε τοῖς στρα-
532 D *τεύμασιν εἰς τοὺς στρατηγούς, ὥσπερ, οἶμαι, τοῖς χορευταῖς εἰς*
τὸν ἡγεμόνα, τοῖς ναύταις εἰς τὸν κυβερνήτην, τοῖς δήμοις εἰς τὸν
ἄρχοντα, τοῖς ἀκροαταῖς εἰς τὸν ῥήτορα. εἰ μὲν οὖν ῥήτωρ τις
ἡμῖν ἐξ ἀκροατοῦ μετεσκεύασαι, ὥρα σοι παραλαμβάνειν τὸν θρό-
νον, εἰ δὲ μικρὸς μικρὰ ἀπολαμβάνων περὶ ταῦτα διατρίβεις, ἐγὼ
μὲν οὐδὲν εὔφημον ἐπενεγκεῖν ἔχω σοι, βούλομαι δ᾽ ὃ μικρῷ πρόσθεν
ἔφην (§ 105 sqq.) *διὰ πλειόνων ἐξετάσαι, τὸ τῆς αἰτίας, ἐπειδή γε καὶ*
σὺ συμφαίης ἂν τὰ πολλὰ ταύτῃ κρίνεσθαι.

Εἰ μὲν γὰρ ἐγὼ τούτου χάριν, ὅπως ἢ μειράκια ὑπαγοίμην ἢ 127
πατέρας τινὰς κακοδαίμονας ἐξαπατήσας ἐπάραιμι τελεῖν ἐμαυτῷ
μισθούς, οὕτω ταῦτα σεμνῶς [ἂν] ἦγον, καὶ μὴ μόνον εἰ πρώην, ἀλλὰ
καὶ ὁποτοῦν ἐν τῷ παντὶ χρόνῳ τοιούτου τινὸς ἡττηθεὶς ὁτιοῦν ἢ
μικρὸν ἢ μεῖζον εἴρηκα ἢ πεποίηκα, ὅ τι βούλει χρῶ λαβών, οὐ
παραιτοῦμαι· εἰ δ᾽ ὡς ἡ τοῦ λόγου φύσις εἰργάζετο καὶ προῆγεν,
οὕτω διεκείμην καὶ τῶν ἐμαυτοῦ λόγων ἠκροώμην ὡς ἀλλοτρίων,
μᾶλλον δὲ ταύτῃ γε καὶ παντάπασιν ἠλαττούμην καὶ ἐπειχόμην, οὐχ
395 J *οἷός τε ὢν βακχεύειν καὶ μετ᾽ ἀδείας τῆς ἡδονῆς ἀπολαύειν, ὥσπερ*
ἄν, εἰ ἑτέρου τὸ βιβλίον ἦν, οὐδ᾽ ἂν πηδῶν ᾐσχυνόμην, τί τὴν ἐγ-

---

2 *δ᾽* om. Q 9 *δὴ*] *δ᾽* U 12 *καλὸν — στρατηγούς* omissa add. mg. U² (omisso *γε*) 16 *ἡμῖν* omissum add. mg. Q¹ 19 *τὸ τῆς αἰτίας*] 'quae mihi causa fuerit edendi *παράφθεγμα* illud' 21 *ἐπαγοίμην* U; *ἐπ(ὑπ-* Q²)*άγοιμεν* Q 23 *ἂν* seclusi; *ἀνῆγον* ci. Canter, *ἐνῆγον* Rsk.; 'si quae ad artem meam pertinent (*ταῦτα*), tanto in honore et gravitate habui'; ludit *ἦγον — ὑπαγοίμην* (v. 21) — *προῆγεν* (v. 26) 26 *εἰργάζετο*] cf. Theophr. c. pl. VI 19, 9 *ἡ ἁλμυρὶς ἐργάζεται καὶ κρατεῖ*; *ἐβιάζετο* ci. Wil. *προῆγεν* Rsk.: *προήγετο* O 28 ante *οὐχ* add. *ὡσ* Q 29 *τ᾽ ὢν* U *μετὰ* Q 30 *τί τὴν*] apodosis; sententia: si solis orationis virtutibus intentus ad illam tanquam non ad meam, sed alterius attendebam, immo si plausibus quos auctor

κράτειάν μου θαυμάζειν ἀφεὶς αἰτιᾷ τὰ μηδὲν ἐμοὶ προσήκοντα;
128 *ἐγὼ τοίνυν ὑπερβολὴν ἔτι ποιήσομαι· ἔστω ταῦτα πάντα ἄρ-* 583 D
ρητα· ἐκεῖνο πρὸς θεῶν ἔχεις εἰπεῖν, ὡς ἄρα χρείας μὲν οὐδεμιᾶς ἕνεκα οὐδὲν ἔδρων, τηνάλλως δὲ σοφιστοῦ νόμῳ καὶ χαυνότητι ταῦτα ἐκομψευόμην καὶ σχήματος εἵνεκα; οὐ πάντες ἐμοὶ συνίσασιν ὅσον τούτων χωρίς εἰμι; οὐ πᾶν ἕτερον τὸ ἡμέτερον; οὐκ ἐπ᾽ ἔσχατον μὲν ἀληθείας ἥκοντας τοὺς λόγους ἐκ τῶν δυνατῶν ὁρᾶτε, ἐπ᾽ ἔσχατον δ᾽ ἀληθείας πᾶσαν τὴν περὶ αὐτῶν βουλὴν ἅπαντες ὁρᾶτε; ποίαν ἢ χειρῶν ἐγὼ κίνησιν ἢ χειλῶν παραγωγὴν
129 *ἐξεπίτηδες περαιτέρω τοῦ μετρίου νενόμικα; ποῖον ἐσθῆτος σχῆμα λυπηρόν, ὥσπερ ἤδη τινὲς αὐτοὺς ἀπέκρυψαν τοῖς ἱματίοις, ἴσως μὲν τιμησάμενοι τῆς ἀξίας αὐτοῖς; ἐγὼ δ᾽ οὔ· καίτοι πλείονος σκέπης ἢ κατὰ τοὺς πολλοὺς δεόμενος, ὅμως τὸ πρόβλημα τοῦτο ἔφυγον. ἀλλὰ ἄλλο τι τοιοῦτον πώποτε ἐπλασάμην; ἀλλὰ ὀρχοῦμαι δίπτυχα ὥσπερ ἕτεροί τινες; ἀλλὰ προσήκει μοί τι κακῶν ἀλλοτρίων; ἀλλ᾽ εἰς τοσοῦτον ἥκει μοι σχολῆς; ἀλλ᾽ ἔμοιγε ἱκανόν, ἂν περὶ αὐτοὺς τοὺς λόγους καὶ τἀναγκαῖα πραγματευόμενος οἷός τε ὦ διαγίγνεσθαι, μηδὲν ἐπακτὸν κακὸν ἐμαυτῷ*
130 *προστιθέμενος. οὐκοῦν ἀφθεὶς ὑπὸ τοῦ λόγου ταῦτ᾽ ἔλεγον· ὥστ᾽ εἰ ὅτι μάλιστα μὴ δεῖ μὲν παραληρεῖν, ὡς σὺ φῄς, ἐκ δὲ τῆς τοῦ λόγου ῥύμης καὶ τὸ τοιοῦτον ἐπέρχεται, τί τῆς ἀδυνάτου συμβουλῆς πλέον; ὥσπερ ἂν εἴ τινα ὑπὸ πνεύματος ἁρπασθέντα ἐν τῇ*

---

in aestimandis suis ipsius orationibus ipse sibi tribuere solet, ultro me privabam atque prorsus me compescebam, ita ut neque bacchari neque plena purave voluptate frui mihi liceret, sicuti (cum) exsultare me non puduisset, si illius orationis tanquam alienae auditor fuissem (hoc si quamvis delectatus mea oratione non faciebam, sed me continebam): quid hanc continentiam meam premis silentio, imponis crimina indigna?

3 *ἐκεῖνο δὲ πρὸσ* U 4 *ἕνεκα* sic O *ἔδρω* A^1 (corr. A^2) Q^1, *ἔδρα* S^1 cf. v. l. p. 8, 3 *τὴν ἄλλωσ* A^1 (corr. A^2) S^1, *τηνάλωσ* S^2Q p. ras. 5 *ἕνεκα* U 7 *(ἀλη)θείας* — 8 *ἀλη(θείας)* omissa add. mg. Q^1 8 *ὁρᾶτε* cave deleas; est gradatio *ὁρᾶτε* — *ἅπαντες ὁρᾶτε* *αὐτὸν* Q^1 9 *χειλῶν*] *χειλέων* Q 11 *αὐτοὺσ* A^1 (corr. A^r) S^1Q^1 12 *τιμησάμενοι* scripsi: *τιμήσαντεσ* O *τῆς ἀξίας*] i. e. mortis, cf. *ἑαυτοὺς* — *ἱματίοις*: moribundi caput amictu velant (lugentes intellegit Wil.) *αὐτοῖσ* ASQT *ἐγὼ δέ, καίτοι* ci. Wil., fort. recte 13 *πρόβλημα*] cf. Plut. qu. symp. 691 D; *περίβλημα* ci. Wil. 14 *τοῦτ᾽* et *ἀλλ᾽* U 15 *ὀρχοῦμαι δίπτυχα*] Plat. Euth. 276 D *ὥσπερ οἱ ἀγαθοὶ ὀρχησταὶ διπλᾶ ἔστρεφε τὰ ἐρωτήματα* confert Wil. 16 *μοι*] *ἐμοὶ* Q^1, *ἔμοιγ᾽* UQ^2(-*γε*) 17 *ἂν περὶ* A^1QUT: *ἂν εἰ περὶ* A^2 (aut A^r) S *τὰ ἀναγκαῖα* Q 18 *τ᾽ ὦ* U 20 *δεῖ* U (ci. Canter): *δεῖν* ASQT *μὲν* s. l. Q 21 *τί κτἑ.*] quid mihi consilium tuum prodest, ad quod agi nequit (quo ea ut faciam moneor, quae facere non possum)?

θαλάττῃ σὺ κελεύοις ἀτρεμεῖν καὶ μένειν ἀπὸ τῆς ἀκτῆς λέγων·
534 D *'ὁρᾷς, ἐγὼ κάθημαι [σιωπῇ].' καί μοι δοκεῖς κατὰ τὴν παροιμίαν*
τὸν ὑπὸ τῆς ἐχίδνης δηχθέντα αἰτιᾶσθαι, μηδεπώποτ' αὐτὸς δη-
χθείς· ταῦτα δ' ἂν σου Φιλοκτήτης ὁ τοῦ Ποίαντος οὐκ ἠνείχετο
ἀκούων. ἀλλὰ γὰρ ἴσως φήθης με τούτων ἕνα τῶν σοφιστῶν 131
εἶναι, οὓς οἱ προσαγωγεῖς νουθετοῦσιν καλῶς ποιοῦντες — ἐγὼ
γοῦν ἤδη ποτὲ εἶδον σοφιστὴν μεταξὺ λέγοντα ὑπὸ προσαγωγέως
396 J *ἐξαγόμενον, οὕτως ὅ τε προσαγωγεὺς ἀμείνων ᾤετο εἶναι γνῶναι*
καὶ ἅττα ἐκείνῳ ῥητέον καὶ εἰς ὅσον, καὶ αὐτὸς δὴ ἐκεῖνος συν-
εχώρει —· ἀλλὰ μὴ πάντ' ἐν ταὐτῷ φύρε, ἵνα μὴ καὶ γέλωτα ὄφλῃς.
ἡμεῖς τοι καὶ εἰς τὸ σῶμα πληγέντες οὐκ ἐπ' ἀγεννεῖς ἱκετείας 132
ἰατρῶν ἀφικόμεθα, ἀλλὰ καίτοι σὺν θεοῖς εἰπεῖν τοὺς ἀρίστους
τῶν ἰατρῶν φίλους κεκτημένοι κατεφύγομεν εἰς Ἀσκληπιοῦ, νομί-
σαντες εἴτε δέοι σῴζεσθαι, δι' ἐκείνου κάλλιον εἶναι, εἴτε μὴ ἐγ-
χωροῖ, καιρὸν εἶναι τεθνάναι. ἔχοιεν δ' ἂν καὶ οἱ συμφοιτηταὶ 133
φράζειν περὶ τῆς φύσεως τῆς ἐμῆς. ἐγὼ γάρ τοι καὶ παῖς ὢν εἴ
τι ἤρετο ὁ διδάσκαλος ὧν ἠπιστάμην, εἰ ἕτερος ἔφθη ὑπολαβών, οὐκ
ἂν ἔτι ἐφθεγξάμην, ἵνα δὴ μὴ τὰ ἑτέρου δοκοίην λέγειν. παρα-
πλήσια δὲ καὶ τὰ νῦν ἐν Ἀσκληπιοῦ. εἰρήσεται γὰρ καὶ πρὸς
ὑμᾶς τά γε ἀληθῆ, χείρω δὲ καὶ βελτίω νομίζειν ἔξεστιν ὡς ἂν
ἑκάστῳ δοκῇ. οὕτω γὰρ αὖ καὶ πρὸς τοὺς ἐκεῖ συμφοιτητὰς
535 D *καὶ εἶχον καὶ ἔχω, ὥστε ὅστις μὲν μὴ ὑπανίσταται, ἄχθομαι*

---

1 *θαλάσσῃ* U *κελεύοις* Scaliger: *κελεύεισ* O (at *ει* punctis m. inc. notatum A) 2 *σιωπῇ* seclusi; imagini conveniret *ἡσυχῇ*; interpolatio e p. 184, 5 *σιωπῇ ἧσο* fluxit *τὴν παροιμίαν*] cf. ad p. 7, 6 4 *ταῦτα κτέ.*] Soph. Phil. 263 *ὁ τοῦ Ποίαντος παῖς Φιλοκτήτης ὃν* — 267 *πληγέντ' ἐχίδνης* — *χαράγματι ἠνείχετ' ἀκούειν* U 6. 7 *ἐγὼ γοῦν* Wil.: *ἔγωγ' οὖν* O 7 *ποτ'* U 8 *οὕτως* ⟨*ὡς*⟩ Rsk. 9 *καὶ* ante *αὐτὸς* om. U^1 *δὴ* (*ε* superscr.) Q pr. m., *δὲ* in ras. U^2 10 *ἐν αὐτῷ* Q^1 *φύρε ἵνα* legi: *φύρειν ἅ* O; *φύρειν ἵνα* ci. Canter, ut *δεῖ* mente suppleretur (Rsk.) *καὶ* om. Q (Junt.) *ὄφλησ* A^{1}Q^1: *ὀφλήσῃ* A^{r}S^{1}TQ^2, *ὀφλήσει* S^2 *ὀφλήσοι* U; 'at tu forte credidisti tibi conciliatoris munus in me suscipiendum fuisse — novi enim sophistam qui id genus correctoris magisterio libenter passus sit —: tu ne omnia miscueris (neque enim omnia omnibus conveniunt), ne prorsus ridiculus fias'; malitiose ita Aristides significat, sese adversarium adeo non eodem in loco quo se ipsum habere, ut censeat illi cum ipso oratore comparato conciliatoris tantum partes convenire 14. 15 *ἐγχωροίη* US^2 17 *ἤρετο ὁ* U, *ἤρεθ' ὁ* Q^2: *ἤρετο* ASQ^{1}T *ἔφθη*] *ὤφθη* Q^{1}U *ὑποβαλὼν* (*λ β* superscr.) A (corr. A^2), *ὑποβαλὼν* (//// //// superscr.) S 21 *αὖ*] *ἂν* Q (Junt.) *τοὺσ ἐκεῖσε συμφοιτῶντασ* U 22 *ὅστισ* A^r (aut A^2) QUT^2: *ὅτισ* A^{1}S^{1}T^1, *ὅτι* S^2 *μὲν*] *μοι* S^2 ⟨*οὐκ*⟩ *ἄχθομαι* Junt. (edd.), falso: si quis cui non cedit, irascor ei, sin cedit, illi cedo ego

134 *αὐτῷ, ὑπανισταμένῳ δὲ αἰσχυνοίμην ἂν μὴ παρεὶς τὴν χώραν. σὺ δ' εἰ μὲν ὡς ἄρξων ἐνταῦθα ἀφικνῇ, πεῖσον τούτους ὡς σοὶ προσήκει πρὸ ἡμῶν· εἰ δὲ παρίης ἑτέρῳ τὴν ἡγεμονίαν, ἀναμνήσθητι τῶν Ὁμήρου*

> *τέττα, σιωπῇ ἧσο, ἐμῷ δ' ἐπιπείθεο μύθῳ* (*Δ* 412)

καὶ

> *ὧδ' ἔστω, Τρῶες μεγαλήτορες, ὡς ἀγορεύω* (*Θ* 523)

καὶ

> *Πάτροκλος δέ οἱ οἶος ἐναντίος ἧστο σιωπῇ* (*Ι* 190),

στρατήγει δὲ μὴ παρὰ τὸν στρατηγόν. αἰσχρὸν γὰρ ἀμφοτέροις, καὶ σοὶ καὶ τῷ στρατηγῷ.

135 *Μικρὰ δὲ προσθεὶς ἀπαλλάξομαι. καὶ ταῦτα ἐξεπίτηδες ἀπέτεινα, οὐχ ὡς οὐ καὶ ἓν τούτων ὁτιοῦν ἱκανόν, ἀλλ' ἵν' εἰδῇς διὰ πόσων ἀμαθὴς εἶ τῶν ἐλέγχων καὶ ὅσων ἀθέατος καὶ ἀνήκοος δεῦρο εἰσῆλθες ὥσπερ τις βέβηλος παντάπασιν. εἶτα μύστης ὢν τὸν ἱεροφάντην ἐξετάζεις; καὶ ὁ μὲν ἀρτιτελὴς μύστης ἀτιμότερος τοῦ πάλαι μύστου, ὁ δὲ νῦν πρῶτον εἰς μύστας τελῶν κρίνεις τὸν*
136 *μυσταγωγόν; ἀρχαῖον δέ μοι δοκεῖς περὶ Μώμου καὶ Ἀφροδίτης λόγον ἀνανεοῦσθαι. φασὶ γὰρ ὡς ἡ μὲν καθῆστο κεκοσμημένη, ὁ* 397 J
δὲ Μῶμος διερρήγνυτο, οὐκ ἔχων ὅ τι αἰτιάσεται· τελευτῶν δὲ αὐτῆς μὲν ἀπείχετο, τὴν δὲ βλαύτην ἔσκωψεν αὐτῆς· ὥστε ἄμφω συμβῆναι, μήτε δὴ τὴν Ἀφροδίτην ἀκοῦσαι κακῶς μήτε τὸν Μῶμον εἰπεῖν εὖ. καὶ σὺ τὴν σκηνὴν θαυμάζων τὰ παρασκήνια ᾐτιάσω καὶ τοὺς λόγους ἀφεὶς ἐτήρεις τὰ παραφθέγματα. οὕτω πόρρω
137 *τοῦ νόμου βαίνεις. Ἵνα τοίνυν εἰδῇς ὅτι καὶ Σόλων ὁ τῶν νομοθετῶν ἐνδοξότατος παραφθέγγεται, ἄκουε καὶ τούτου. καίτοι τοσοῦτόν γε ἐμὲ τόλμῃ καὶ αὐθαδείᾳ παρελήλυθεν — ταῦτα γὰρ αὐτῷ* 536 D
τὰ ὀνόματα ἐκ τῆς σῆς αἰτίας ἁρμόττει, ὥστ' ἐγὼ μὲν ἔξω τοῦ βιβλίου παρελήρησα, καὶ ταῦτα ἐξαχθεὶς ὑπὸ τοῦ λόγου, ὁ δὲ δὴ Σόλων καὶ βιβλίον ἐξεπίτηδες πεποίηκεν, ὥσπερ ἡμεῖς εἰς τὴν

---

3 *παρ/ίησ* Q, fuit *ε* 4 *τῶν*] *τοῦ* Q[1] 12 *καὶ ταῦτα* ⟨*δ'*⟩ *ἐξεπίτηδες* Rsk. *απέτεινα*] *τ* et *ν* in ras. Q[2]; *ἐπέτεινα* ci. Scaliger 13 *ἱκανὸν* ⟨*ὂν*⟩ Rsk., at cf. Sonny ad Dion. Chrys. anal. p. 180 14 *διὰ — εἶ*] cf. p. 147, 9 *ὅσον* Q *ἀθέατος καὶ ἀνήκοος*] sc. *τῶν δρωμένων* (cf. p. 28, 10 sqq.), et *τῶν λεγομένων*, tanquam in mysteriis (cf. *μύστης, ἱεροφάντης*) 17 *πρῶτον* sic O 18 *δοκεῖς* ⟨*τὸν*⟩ *περὶ* Rsk. *περὶ Μώμου καὶ Ἀφροδίτης λόγον*] cf. Iulian. ep. 59 (p. 574 H.) 19 *καθῆτο* Q 23 *σκηνὴν — παρασκήνια*] ut *λόγους* et *παραφθέγμα* (cf. p. 139 adn.); ceterum cf. Müller, Gr. Bühnenalterth. p. 52, 2; Dörpfeld-Reisch, Gr. Theat. p. 299 26 *καίτοι*] *καί τι* Q[1] *τοσοῦτο γ' ἐμὲ* U[1], at *γ'* postea add. 29 *ὁ*] *οὐ* A[1] (corr. in ras. A[r]) *δὴ* s. l. Q

Ἀθηνᾶν, οὕτως ἐκεῖνος εἰς αὑτὸν καὶ τὴν ἑαυτοῦ πολιτείαν, ἐν ᾧ ἄλλα τε δὴ λέγει καὶ ταῦτα

ἃ μὲν γὰρ εἶπα σὺν θεοῖσιν ἤνυσα,
ἄλλα δ' οὐ μάτην ⟨ἔ⟩ερδον.

ὁρᾷς ὡς αὐθαδῶς καὶ οὐ τῆς σῆς συμβουλῆς; καὶ ταῦτα μέν ἐστιν 138 *ἐν τετραμέτροις, ἐν δὲ τοῖς ἰάμβοις·*

συμμαρτυροίη ταῦτ' ἂν ἐν δίκῃ χρόνου
μήτηρ μεγίστη δαιμόνων Ὀλυμπίων
ἄριστα, Γῆ μέλαινα, ⟨τ⟩ῆς ἐγώ ποτε
ὅρους ἀνεῖλον πολλαχῇ πεπηγότας,
πρόσθεν δὲ δουλεύουσα, νῦν ἐλευθέρα.
πολλοὺς δ' Ἀθήνας πατρίδ' εἰς θεόκτιτον
ἀνήγαγον πραθέντας, ἄλλον ἐκδίκως,
ἄλλον δικαίως· τοὺς δ' ἀναγκαίης ὕπο
χρησμὸν λέγοντας γλῶσσαν οὐκέτ' Ἀττικὴν
537 D *ἱέντας, ὡς ἂν πολλαχῇ πλανωμένους,*
τοὺς δ' ἐνθάδ' αὐτοῦ δουλείης ἀεικέα
ἔχοντας, ἤθη δεσποτῶν τρομευμένους,
ἐλευθέρους ἔθηκα. ταῦτα μὲν κράτει,
ὁμοῦ βίαν τε καὶ δίκην συναρμόσας,
ἔρεξα, καὶ διῆλθον ὡς ὑπεσχόμην.

---

1 *εἰσ αὐτὸν* A[1] (corr. A[2] aut A[r]) Q[1], *εἰσαυτον* S[1] *την αὑτοῦ* U 2 *ἄλλα τε*] *ἅτε* Q *λέγειν* Q *καὶ ταῦτα*] praeter *τα* in ras. arctiore Q[2] 3. 4 Sol. frg. 35 B[4], Aristot. rp. Ath. 12, 3 *εἶπα* Aristot.: *ἄελπτα* O 4 *ἄλλα* Gaisford ad Herod. II p. 722 (*ἀλλ̣α̣δ̣ο̣[ν]* legit in Aristot. Londin. Wilcken, Herm. 1895, 623): *ἅμα* O *ἔερδον* Aristot.: *ἔρδον* ASQ[1]U, *ἔρδον* TQ[2] 5 *οὐ — συμβουλῆς*] cf. p. 168, 26 *οὐ — ψυχῆς* 7—186, 5 Sol. frg. 36, 1—20 B[4], Aristot. rp. Ath. 12, 4 v. 3—22 9 *μέλαινα τῆς* Aristot.: *μέλαινα ἧσ* ASQ[1], *μέλαιν' ἧσ* U (at *η* in ras. U[2]) TQ[2] 11 *δουλεύσασα* Q[1] (Junt.) 12 *θεόκτιτον* QT: *θεόκτιστον* ASU, Aristot. 13 *ἐνδίκωσ* UTQ[2] (*ἐν-* in ras. IV litt.) 14 *ἄλλον δὲ δικαίωσ* ASU 15 *χρησμὸν λέγοντασ* O: *χρειοῦς φυγόντας* Aristot., recte; *λέγοντας* apud Aristidem primitus interpretamentum ad *ἱέντας* v. 16 additum, postquam lineam invasit, causa facta est interpolationis, quam post Aristidem natam esse minime certum 17 *δουλείησ* O; *δουλείην* Plutarch. Sol. 15, *δουλίην* Aristot., recte; neque vero negaveris posse fieri, ut Aristides revera legerit *δουλείης*, modo sumpseris eum *ἀεικέα* intellexisse *αἰκίας* (acc. plur.) 18 *ἤθη* Aristot.: *ἤδη* O *δεσποτῶν* sic O 19. 20 *κράτει ὁμοῦ* ASUQ[1]: *κράτη ὁμοῦ* TQ[2] Aristot. Berolin., quod def. Blass ad h. l., at cf. Kaibel, Stil und Text der *Πολ. Ἀθην.* p. 150 sq., *κρατεεινομου* Aristot. Londin.; *ὁμοῦ* etiam Plut. l. c. 20 *γρ. ξ* *συναρμόσασ* Q, *ξυναρμόσασ* T 21 *ἔρρεξα* U (Junt.), cf. v. l. p. 171, 1

θεσμοὺς δ᾿ ὁμοίως τῷ κακῷ τε κἀγαθῷ
εὐθεῖαν εἰς ἕκαστον ἁρμόσας δίκην
ἔγραψα. κέντρον δ᾿ ἄλλος ὡς ἐγὼ λαβών,
κακοφραδής τε καὶ φιλοκτήμων ἀνήρ,
οὐκ ἂν κατέσχε δῆμον.

139 τίθει δὴ καὶ ὑπὲρ ἡμῶν λέγειν τὸν Σόλωνα· 'ἄλλος δ᾿ ἂν τοῦτο τὸ κέντρον εἰς τοὺς λόγους εἰσενεγκάμενος οὐκ ἂν τοσοῦτο σωφροσύνης εἰσηνέγκατο'. ἐξελέγξεις δέ με, ἡνίκ᾿ ἂν αὐτὸς κτησάμενος 398 J
τὴν αὐτὴν δύναμιν τῶν λόγων, οἶμαι δὲ οὐ ῥᾷστόν σοι, εἶτα μετριώτερον ἐπὶ σαυτῷ φρονῶν ὀφθῇς. ἂν δ᾿ αὐτὸς προσαιτῶν καὶ τῆς ἐφημέρου τροφῆς ἀπορῶν καὶ βλέπων εἰς δύο καὶ τρεῖς ὀβολοὺς ἔγκλημα ποιῇ τῷ βασιλεῖ τῷ γράφοντι 'μηδὲ χρυσοῦ καὶ ἀργύρου δαπάνῃ κεκωλύσθω' (Thuc. I 129, 3) φάσκων ὑπερηφανίαν εἶναι ταῦτα καὶ λόγων κόμπον, ὁμοίως ἀργυρίου καὶ φρενῶν ἀπο-
140 ρῶν ἔσῃ. εἶτα τί φησιν ὁ Σόλων;

εἰ γὰρ ἤθελον
ἃ τοῖς ἐναντίοισιν ἥνδανεν τότε,
αὖθις δ᾿ ἃ τοῖσιν οὕτεροι φρασαίατο, 538 D
πολλῶν ἂν ἀνδρῶν ἥδ᾿ ἐχηρώθη πόλις.
τῶν οὕνεκ᾿ ἀρχὴν πάντοθεν κυκεύμενος
ὡς ἐν κυσὶν πολλαῖσιν ἐστράφην λύκος.

ὁρᾷς ὅτι καὶ Σόλων καλλωπίζεται καὶ σοῦ μεῖζον ἐφ᾿ αὑτῷ φρονεῖ.
141 ἡγεῖτο γάρ, οἶμαι, τὰ εἰς αὐτὸν αὑτῷ ταῦτα ἐγκώμια πεποιημένα λυσιτελεῖν τοῖς ἄλλοις γίγνεσθαι παραδείγματα. διὰ ταῦτα ὁ εἴσω τὴν χεῖρα ἔχων τὸ φθέγμα ἐπαίρεται καὶ τὰ αὑτοῦ κοσμεῖ, δικαίως. τὴν μὲν γὰρ χεῖρα, οἶμαι, εἴσω ἔχειν ἠξίου, τὴν κεφαλὴν δ᾿ οὐ

---

1 θεσμοὺσ O Aristot. Londin. ([θεσ]μὸν Aristot. Berol.) δ᾿] τε Aristot. (deest Berol.) ὁμοίωσ UQ[1] Aristot.: ὁμοίουσ ASTQ[2] τῶ κακῶ τἀγαθῶ Q[1] 7 τοσοῦτο ASQ[2], τοσούτω Q[1], ni fallor: τοσοῦτον UT 8 ἐλέγξεις T[1]

9 post οὐ ras. I vel II litt. Q εἰ τὰ (hoc etiam S[1]) μετριώτερον A, α s. l. add. A[r] (aut A[2]) 12 ποιεῖ S[1] 13 δαπάνη O (edd.) 16—21 Sol. frg. 37 B[4], Aristot. rp. Ath. 12, 4 v. 22—27 17 ἅ τοῖσ O, Aristot. Berol. (ατο . .): αὐτοῖσ Aristot. Londin. ἥνδανε QU 18 αὖθι Q δ᾿ ἃ τοῖσιν ASQT: δ᾿ αὖ τοῖσιν U Aristot. (δὲ) οὕτεροι φρασαίατο Aristot.: ἁ(ἀ- S[1])τέροισ δρᾶσαι διὰ ASQT, ἑτέροισ δρᾶσαι διὰ U; littera φ male in CD discissa, quae non iam intellegebantur interpolata 19 ἐχηρώθη Aristot.: ἐχειρώθη O 20 αρχὴν — κυκεύμενος O: ἀλκὴν — ποιούμενος Aristot.; ad ἀρχὴν mg. γρ. ἀρχή Q 21 κυσὶ AS 22 σοῦ μεῖζον] cf. p. 185, 5 23 εἰσ αὐτὸν AU a. corr. εἰσαυτὸν S ἑαυτῷ U 24 λυσιτελεῖν τοῖς ἄλλοις] cf. p. 156, 8 γίνεσθαι U 25 αὐτοῦ AS 26 τὴν μὲν κτέ.] cf. Aeschin. I 25, Demosth. XIX 251, unde ceteri χεῖρα ἔχειν εἴσω οἶμαι ἠξίου U

κάτω. φέρε δή σε καὶ δι' ἑτέρου τῶν ὀνομ⟨αστοτ⟩άτων παραμυ- 142
θήσωμαι, ἐπειδὴ δειλότερος εἶ τοῦ δέοντος, ἵνα μὴ λέγω θρασύ-
τερος. ἔστιν δὲ ὑπερβολὴ τῶν τοῦ Σόλωνος ἃ οὗτος εἴρηκεν.
σκόπει γάρ· 'τὸν δὲ ὑπερουράνιον τόπον οὔτε τις ὕμνησέ πω τῶν
τῇδε ποιητὴς οὔτε ὑμνήσει κατ' ἀξίαν· ἔχει δὲ ὧδε' (Plat. Phaedr.
247 C)· *εἶδες ὡς ἐξεφύσησεν ἅπαντας τοὺς βασκάνους, γράψας ἐλευ-*
θέρως περὶ τῆς ἑαυτοῦ φύσεως καὶ ὡς εἰκὸς ἦν τὸν βεβαιοῦντα
589 D *τὸν ἐν χειρὶ λόγον, ὡς ἄρα ἡ τῶν κρειττόνων ἐπίπνοια ὑπερ-*
φρονεῖν ποιεῖ τῶν πολλῶν. ἢ τοῖς ἐκ τῶν τριόδων [ἄρα] παρα-
πλησίως ἔχειν δοκεῖ σοι ταῦτα; διαπερανάμενος τοίνυν τὸν λόγον 143
τὸν περὶ τοῦ ἔρωτος ποίαν εὐφημίαν ὕστερον περὶ αὐτοῦ παρα-
λέλοιπεν, ἢ τί τῶν καλλίστων οὐκ εἴρηκεν; πρῶτον μὲν ὡς ὀρθῶς
ἐζήτησε τἀληθές, τῷ τὰ μὲν συναγαγεῖν, τὰ δὲ τέμνειν πρὸς λόγον
εἰδέναι (Phaedr. 265 D sqq.)· *ἔπειθ' ὡς ἐν τάξει τὸν λόγον διέθετο*
(271 B sqq.)· *μέγιστον δὲ πάντων ἐπὶ τῇ μεγαλοπρεπείᾳ φρονεῖ,*
399 J *ὥστε καὶ ἄντικρυς τοῦ ἀντιπάλου καθαπτόμενος εἴρηκεν, εἰ μὴ*
ἄρα οὕτω σφόδρα παῖς εἶ ὥστε νομίζειν Φαίδρου τὰ ῥήματα εἶναι
καὶ οὐ τὸν Πλάτωνα [ὡς τὸν Φαῖδρον] λέγειν· 'τὸν λόγον δέ σου
πάλαι θαυμάσας ἔχω, ὅσῳ καλλίω τοῦ προτέρου ἀπειργάσω, ὥστε
ὀκνῶ μή μοι ὁ Λυσίας ταπεινὸς φανῇ, ἐὰν ἄρα θελήσῃ πρὸς αὐτὸν
ἄλλον ἀντιπαρατεῖναι' (257 C)· *ἐκεῖνα δ' αὖ τί φήσεις· 'φεῦ ὅσῳ* 144
τεχνικωτέρας λέγεις νύμφας τὰς Ἀχελῴου καὶ Πᾶνα τὸν Ἑρμοῦ
Λυσίου τοῦ Κεφάλου πρὸς λόγους εἶναι' (263 D); *ταῦτα οὐ μετὰ*
πάντων ἐγκωμίων εἰς αὐτὸν εἰρῆσθαί σοι δοκεῖ τῷ ἀνδρί, εἴπερ
γε μὴ τὰ Μίδου ὦτα ἔχεις, οὗ τὸ ἐπίγραμμα ἐκεῖνος ἐπέσκωπτε
(264 CD) *προσεικάζων τῷ τοῦ ἑταίρου λόγῳ; καὶ κατὰ πάσας γέ*
που τὰς ἀρετὰς ἀναγκαίως ταῦτα διεξέρχεται περὶ αὐτοῦ. φρο- 145

---

1 *ἑτέρου*] Platonis *ὀνομαστοτάτων* U (ci. Canter): *ὀνομάτων* ASQT, unde *ὀνομαστῶν* Ddf., fort. recte 2 *παραμυθήσομαι* S *ἐπεὶ δειλότεροσ* U (at *ει* in ras. pr. m.) 3 *δ'* QU 5 *οὔτε ποτὲ ὑμνήσει* Plat., fortasse Aristidi reddendum 7 *ὡς εἰκὸς ἦν κτἑ.*] sententia: verbis istis superbis Plato orationem, quam Socratem declamantem facit, eadem confirmat ratione, qua ego meam addito paraphthegmate, confirmare studui; ergo Platonem consentaneum est eodem afflatum fuisse numine, quo ipse in *παράφθεγμα* delatus eram; cf. § 116 8 *ἄρ'* U 9 *ἄρα* ASU, *ἆρα* UQ, om. Junt. (edd.) 11 *ὕστερον*] ea (altera) dialogi parte, quae Socratis orationem excipit *αὐτοῦ* ASQT 13 *τέμνειν / προσ* Q, fuit *ὅ*, ut vid. 16 *ἀντιπάλου*] Lysiae 17 *ῥήματ'* U 18 *ὡς τὸν Φαῖδρον* seclusi 20 *ἄρα καὶ ἐθελήσῃ* Plat. 22 *λέγεις τεχνικωτέρας* Plat. 23 *πρὸς λόγους*] *προλόγουσ* AS[1] *ταῦτ'* U *μετὰ* AS: *μεστὰ* QUT 24 *αὐτὸν* AS 25 *τὰ μήδου* QU a. ras. 26. 27 distinxi (*λόγῳ, καὶ — ἀρετάς; ἀναγκαίως· — αὐτοῦ* Rsk. Ddf.) 27 *αὐτοῦ* AQ[1], *αυτοῦ* S[1]

νίμου μὲν γάρ, οἶμαι, καὶ σώφρονος γνῶναι τὴν ἀξίαν, δικαίου δὲ
τὰ πρέποντα καὶ αὑτῷ καὶ ἑτέροις ἀποδοῦναι, ἀνδρείου δὲ μὴ
φοβηθῆναι τἀληθὲς εἰπεῖν. ὁ δ᾽ αὖ νεμεσῶν ἅπασι τοῖς ἐναντίοις 540 D
τούτων εἰκότως ἐνέχεται, ἕως ἂν μὴ δείξῃ ὡς ἀλλότριοι τοῦ λέ-
146 *γοντος οἱ λόγοι καὶ μείζω δόξαν τῆς ἀληθείας ἐφέλκονται. ἄλλα*
τοίνυν μυρί᾽ ἔχων εἰπεῖν παραλείπω· ἀλλ᾽ ἐπειδὴ Σόλωνος ἐμνή-
σθην καὶ ὧν ἐκεῖνος διαλέγεται περὶ τῆς αὑτοῦ πολιτείας, φέρε
σκόπει, τί αὖ καὶ οὗτος ἐν αὐτοῖς τοῖς νόμοις οὓς ἐτίθει λέγει·
'ταῦτα δὲ νομοθέτῃ προσήκει μᾶλλον εἰδέναι ἢ ποιηταῖς ξύμ-
πασιν.' οὐκοῦν ἄντικρυς δοκεῖ σοι συμπάντων τῶν ποιητῶν πρῶ-
τον καὶ σοφώτατον ἀνακηρύττειν ἑαυτόν; μετ᾽ ἰσχυρᾶς γέ που τῆς
ἀνάγκης οὕτω τοῦτο συμβαίνει. ὅταν γὰρ αὐτὸς μὲν ὁ [φάσκων
εἶναι] νομοθέτης ᾖ, αὐτὸς δὲ ὁ φάσκων δεῖν τοὺς ποιητὰς παρα-
χωρεῖν τῷ νομοθέτῃ καὶ ταῦτα σύμπαντας, πῶς οὐκ εἰς τοὖθ᾽ ὃ
147 *προεῖπον τελευτᾷ; ἆρ᾽ οὖν ἐνεθυμήθης διὰ πάντων τούτων πόσον*
τὸ μεταξὺ σοῦ τε κἀκείνου πρὸς ταῦτα; ἢ πάντων οὖν κατηγόρει
τῶν ἀρίστων ἐν τοῖς Ἕλλησιν, ἢ καὶ ἡμῖν πραότερος . . . . . εἶναι τοῦ
λοιποῦ. ὦ τὰ μὲν ὑπὲρ ἐμοῦ δεδιώς, τὰ δ᾽ ὑπὲρ σαυτοῦ μὴ σκο-
πῶν, καὶ αὐτὸς μὲν κατ᾽ εὔνοιαν ἀξιῶν παρρησιάζεσθαι πρὸς
ἐμέ, ἐμὲ δ᾽ οὐκ ἐῶν πρὸς τούτους παρρησιάζεσθαι κατ᾽ εὔνοιαν,
καὶ σαυτῷ μὲν ἐκ δειλίας παρρησίαν πορίζόμενος, ἐμοῦ δ᾽ οὐκ 400 J
148 *ἀξιῶν τὴν ὀρθὴν καὶ δικαίαν ἐκ φρονήματος εἶναι. Ἔτι τοίνυν*
ἑνὸς ἢ δευτέρου τῶν στρατηγῶν μνησθῆναι βούλομαι. οἶμαι γὰρ
οὐ φαυλοτέραν ὠφέλειαν ἐπενεγκεῖν τῇ Θηβαίων πόλει τὴν Ἐπα- 541 D
μεινώνδου τότ᾽ ἐκείνου φύσιν ἢ σὲ τοῖς σαυτοῦ παρεσχῆσθαι

---

2 *αὐτῶι* AS *ἀνδρείου*] *ει* in ras. A^r, *ἀνδρὸσ οὐ* (vel *οὖ*) A^1, ni fallor 3 *νεμεσῶν* et *ἕως κτέ.*] cf. § 17 7 *διαλέγεται*] *διείλεκται* U *αὐτοῦ* A^1 (corr. A^r) S 10 *σοι πάντων* U 12 *φάσκων εἶναι* seclusi; 'si Plato ipse et legislator et scriptor ille, qui poetas legislatori cedere iubet, nonne edicit se ipsum poetis omnibus esse superiorem?' 13 *εἶναι — φάσκων* om. S^1, add. mg. *εἶναι ᾖ αὐτὸσ — φάσκων* S^2 (omisso *νομοθέτης*) 15 *τούτων ὃν πόσον* A, expunxit A^r, ni fallor 16 *τε* (hoc in ras. ampliore U^2) *καὶ ἐκείνου; πρὸσ ταῦτα ἢ πάντων κατηγόρει* U 17 *πραότεροσ* QUT: *πρότεροσ* AS; *ἠπιώτερος* Junt. imperativum deesse monuit Rsk. (*θέλε, βούλου, τόλμα*), Wil. infinitivum imperativi vice fungi censet (cf. p. 145, 1); sed ne *πραότερος* quidem placet, quoniam tota oratione Aristides non tam clementiam ab adversario rogat, quam flagitat contenditque, ut tribuat quod ipsi debeatur (*τὴν ἀξίαν*); ergo lacuna amplior; e. g. *καὶ ἡμῖν πραότερος ⟨πειρῶ, μᾶλλον δὲ ἐπιεικέστερος⟩ εἶναι*; ad verborum collocationem cf. p. 47, 20 sq. 20 *κατ᾽ εὔνοιαν*] cf. p. 186, 24 21 *ἐμοῦ* AS: *ἐμοὶ* QUT, nescio an verum 22 *ἀξιοῖσ* U^1 24 *ἐνεγκεῖν* U; *ἐσενεγκεῖν* Junt. *ἐπαμινόνδου* A (*ό* puncto superne notatum m. inc.) S^1, *ἐπαμϊ/νώνδου* Q (non fuit *ει*) U a. ras. 25 *τότ᾽* AT: *πότ᾽* SQU

φήσεις. τούτου μὲν γὰρ χωρὶς τῆς ἀπολογίας ἧς ἀρτίως ἐμνήσθην
(§ 88) *καὶ ἕτερόν ἐστιν ἐπίγραμμα κατηγοροῦν τὸ ἦθος ἐν Πελο-*
ποννήσῳ, ὃ πρὸς θεῶν εἴ τις ἀπαλείψειεν, ἆρ᾽ οὐκ ἂν ἀχθεσθείης;
ἐγὼ μὲν καὶ σφόδρα ἄν, οἶμαι δὲ καὶ ἕτεροι τῶν κατ᾽ ἐμέ, ἀλλ᾽
οὐ τῶν κατὰ σὲ ἴσως. τί δὴ τοῦτό ἐστι τὸ ἐπίγραμμα ὃ πάντες
ᾄδουσιν;

Ἡμετέραις βουλαῖς Σπάρτη μὲν ἐκείρατο δόξαν,
Μεσσήνη δ᾽ ἱερὰ τέκνα χρόνῳ δέχεται.

ἐπανόρθωσον οὖν, εἰ βούλει, καὶ τοῦτο τοῖς αὐτοῖς λόγοις, ὅτι
ταυτὶ συνίσασιν ἅπαντες, σὲ δ᾽ οὐ χρὴ γρύζειν. ᾄδουσι δὲ καὶ 149
Χαβρίου τι ῥῆμα, δοκεῖν ἐμοὶ μετὰ τὴν ἐν Νάξῳ ναυμαχίαν εἰ-
πόντος, εἰ δ᾽ ἄρα καὶ πρὸ τῆς ναυμαχίας, οὐ χεῖρον· ᾐνίττετο δ᾽
ἁνὴρ εἰς αὐτόν, ἔφη γὰρ φοβερώτερον εἶναι ἐλάφων στράτευμα
λέοντος ἡγουμένου ἢ λεόντων ἐλάφου.

Οὕτω δή σοι διὰ πάντων ἐπιδέδεικται καὶ ποιητῶν καὶ ῥη- 150
τόρων καὶ στρατηγῶν καὶ ὧν τι ὄφελος ἐν Ἕλλησιν ἀναγκαῖόν τι
κτῆμα καὶ ὥσπερ ἔμφυτον ἡ μεγαλοφροσύνη τοῖς κρείττοσιν, καὶ
ὁ τοῦ Δημοσθένους λόγος (III 32) *εὖ ἔχων· 'ὁποῖ᾽ ἄττα γὰρ ἂν τὰ*
ἐπιτηδεύματα τῶν ἀνθρώπων ᾖ, τοιοῦτον ἀνάγκη καὶ τὸ φρόνημα
ἔχειν'. καίτοι θαυμαστὸν ἐν μὲν τοῖς ἄλλοις κατ᾽ ἀξίαν τῶν ὑπαρ- 151
χόντων ἐγγίγνεσθαι τὸ φρόνημα, ἐν δὲ τοῖς περὶ αὐτὴν τὴν γνώμην
καὶ τοὺς λόγους μὴ πολὺ μᾶλλον οὕτω τοῦτ᾽ ἔχειν· οὐ γὰρ ἄλλο
γε οὐδὲν ἢ καθάπερ πηγὴ καὶ ὁρμητήριον τοῖς λόγοις τὸ φρόνημά
ἐστιν, ὅτῳ περὶ τούτων σχολὴ λογίζεσθαι. δοκεῖ δέ μοι καὶ ὅλως 152
542 D *παντὸς τοῦ Ἑλληνικοῦ σύμβολον καὶ ὥσπερ εἰκὼν εἶναι τὸ τοιοῦτον*
εἶδος τῆς γνώμης. τέχνας μὲν γὰρ καὶ λογισμοὺς τοὺς κατὰ χεῖρα
καὶ ὅσα τοιαῦτα κἂν παρὰ τοῖς βαρβάροις πιστεύοι τις ἐγγίγνε-

---

1 *φήσει* S[1] 2 *ἐν Πελοποννήσῳ*] Thebanorum in arce cum tradat Pausanias (IX 12, 6; 15, 6) Epaminondae statuam cui hi versus insculpti erant extitisse, Aristidi fidem negarunt, praepropero usi iudicio: patet epigramma potius monumento cuidam votivo Megalopolide constituto et dedicato convenire 3 *ἠχθέσθησ* U 4 *ἐγὼ — ἐμέ* omissa add. U[2] mg. 5 *τί δῆτ᾽ ἐστὶ τοῦτο τὸ* U *ἐπίγραμμα*] cf. Preger Inscr. Gr. metr. n. 161, qui recte: 'falso praeter Pausaniam omnes contendunt, Epaminondam se ipsum hunc in modum laudavisse' 8 *μεσήνη δ᾽ ἱερᾶ* T[1] 9 *οὖν καὶ τοῦτο εἰ βούλει* QUT *τοῖσ αὐτοῖσ* AS: *τοῖσ σαυτοῦ* QUT; *τοῖς αὐτοῖς* sc. quibus in mea causa usus es (p. 142, 7 sqq.) 10 *ταυτὶ — γρύζειν*] ad Epaminondam dicta fingit 11 *Χαβρίου τι ῥῆμα*] cf. Plut. mor. 187 D 13 *ἁνὴρ* Ddf.: *ἀνὴρ* O *αὐτὸν* A[1] (corr. A[r]) S[1]Q[1] *φοβερώτερον* QU (Junt.): *φοβερώτατον* AST 15 *ἐπεδέδεικται* T, *ἀποδέδεικται* U 16 *ὄφελοσ καὶ ἐν* QT 21 *ἐγγίνεσθαι* U, item v. 27 22 *ταῦτ᾽* U 24 *δοκεῖ κτέ.*] in fine argumentationis repetit propositionem § 18

σθαι μὴ χείρω, ἡ δὲ τῆς ψυχῆς ῥώμη καὶ τὸ φρονεῖν μετ᾽ ἐλευθερίας ἀνεπαχθοῦς ἀρχαῖον ἄρ᾽ ἦν καὶ ἴδιον τῶν Ἑλλήνων ἀγαθόν. 401 J

153 Θαυμάζω δ᾽ ὅπως εὖ πεφυκὼς πρὸς τὸ παιδαγωγεῖν οὐχ ὁρᾷς τούτους τοὺς ἀργυρίου τὸν ἔπαινον ὠνουμένους οὐ μόνον ἐν ταῖς ἐπιδείξεσιν, ἀλλὰ καὶ ἐν τοῖς θεάτροις. καίτοι οὗτοι τί σοι δοκοῦσιν ἕτερον ποιεῖν ἢ αὐτοὶ σφᾶς αὐτοὺς ἐπαινεῖν; καὶ ταῦτα ἃ μὴ χρή γε καὶ ὃν ἥκιστα ἔδει τρόπον, καὶ πρόσεστιν τὸ τὰ ὄντα ἐλάττω
154 ποιεῖν, ἐπιθήκη τις τῆς ἀνοίας. ἐγὼ δὲ τούτων εἰ μή τῳ ἄλλῳ, ἀλλὰ τούτῳ γε, ὡς ἔοικεν, εἰμὶ κομψότερος· προῖκα γὰρ ἐμαυτὸν ἐπαινεῖν ἀξιῶ, καὶ ταῦθ᾽ ἃ σύνοιδα· ὡς δ᾽ οὐ πολλάκις αὐτὸ δρῶ, συνίσασιν οὗτοί μοι, ὥστ᾽ οὐκ ἀναισθησίας μᾶλλον ἢ καὶ σοφίας τινὸς ἐκφέρω δεῖγμα· ὅτι δ᾽ οὐ ψεύδομαι, τοῦτο καὶ σοὶ συνδοκεῖ.
155 ἓν δέ τί σε λοιπὸν ἐρήσομαι· πρὸς θεῶν, εἴ σοι περὶ παίδων εὐχομένῳ τῶν θεῶν εἴποι τις ὡς ἔσονται μέν, ἔσονται δὲ τούτῳ παραπλήσιοι καὶ τὸ φρόνημα καὶ τοὺς λόγους, ἐμὲ δὴ λέγων, οὐκ ἂν δέξαιο; οἶμαι μὲν κἂν ἐπιδράμοις. εἶθ᾽ ὧν αὐτὸς εἰ τύχοις, εὐχῆς ἂν ἐφῖχθαι δόξαις, ταῦθ᾽ ἡμῖν ὀνειδίζεις; καὶ ὧν χάριν ἂν τοῖς θεοῖς ἔχοις, ταῦθ᾽ ἡμῖν ἐμέμψω, καὶ οὐδὲ τὴν Περσικήν τε καὶ Λακωνικὴν τάξιν τῆς δίκης ἐτίμησας οὐδὲ ἔδωκας τὰ ὀλίγα
156 τοῖς πολλοῖς καὶ τὰ ἐλάττω τοῖς μείζοσιν; Εἰ μὲν οὖν σοι μετρίως ἀπελογησάμεθα· εἰ δὲ μή, σκόπει ὅ τι χρήσῃ σαυτῷ. παιδαγωγήσεις δὲ ἡμᾶς οὔτ᾽ αὐτὸς οὔτε ἕτερος οὐδὲ εἷς· ἱκανὸς γὰρ ὁ προστάτης.

---

3 παιδαγωγεῖν] cf. παιδαγωγήσεις v. 21, neque aliena ab hoc sententiarum ordine quae § 155 continentur; non sine arte redit in conclusione ad eandem notionem a qua exorsus est (§ 3 μεταπαιδεύειν — νουθετεῖν), eandemque similitudinem quam in sententiis voluit esse in orationis figuratione; utroque enim loco (§ 4 : § 155) eadem altercationis figura usus adversarium 'αὐτὸν καθ᾽ αὑτοῦ μάρτυρα' adhibet 4 ἀργυρίου U: ἀργυρίῳ ASQT; qui muneribus et largitionibus redimunt laudationes in theatro renuntiandas, turpiter agunt et simul stulte, cum sumptibus illis res suas familiares minuant; ergo is, qui et ultro ipse se neque crebro laudat, non tam stupidi quam sapientis nomine dignus 8 ἀνοίας] διανοίασ Q 10 ταῦθ᾽ ἃ US²: ταῦτα AS¹QT 11 καὶ om. U 12 ὅτι — συνδοκεῖ] § 2 13 ἓν δ᾽ ἔτι ci. Rsk.², at obstat λοιπόν 16 μὲν] δὲ U 17 δόξαι AS¹ 18 ἡμῖν AU p. ras.: ἡμῶν SQU a. ras. T τὴν Περσικήν — 20 μείζοσιν] τὴν—τάξιν : i. e. τὸ ἴσον ἔχειν, Xenoph. Cyrop. I 3, 18, Polyb. VI 45; οὐδὲ—μείζοσιν: neque condonasti (aequitate usus) pauca (illa) pusillaque (artis meae virtutibus) plurimis et summis (cf. § 9); sententia: tu neque iustus (δίκαιος) neque aequus (ἐπιεικής) iudex fuisti 22. 23 γράφεται ἱκανὸσ γὰρ ὁ τρόποσ S² mg.; προστάτης Aesculapius est, cuius unius magisterio se uti velle profitetur cuiusque testimoniis 'sacros sermones' replevit; simul ludit in hac voce: patroni in iudicio, quod finxit, locus est Subscr. περὶ τοῦ παραφθέγματοσ ASQT

I 751 D
I 504 J

XXIX.
(40) ΠΕΡΙ ΤΟΥ ΜΗ ΔΕΙΝ ΚΩΜΩΙΔΕΙΝ.

Ἔστι μὲν οὐ σμικρόν, ὦ ἄνδρες Σμυρναῖοι, πλεονέκτημα τῷ μέλλοντι πείσειν τὸ πρὸς ἡδονὴν εἶναι τοὺς λόγους τοῖς ἀκούουσιν·

Libri ARDUT = O

Titulus: *περὶ — κωμωδεῖν* T, *συμβουλευτικὸσ περὶ — κωμωδεῖν* AR, *περὶ — κωμωδεῖν συμβουλευτικόσ* U, om. D. — Oratio num ab Aristide conscripta sit, dubitat Schmid p. 11, 25: antithesin enim antithesin excipere, ut legendo defatigeris; ipsum causae statum (*στάσιν*) a rerum veritate abhorrere videri; *τὸ ἴδιον* pro *τὸ αὐτὸ* (p. 192, 4) usurpatum a dictione Aristidea alienum esse. Quod ultimo loco posuit facillime sustulimus adhibita medela certissima (v. ad h. l.); equidem status quomodo suspectus appellari possit non video. de mimis potissimum oratorem dicere inde apparet, quod nimiam scaenicorum lasciviam in motibus ac dictis concessam exprobrat; at vero Aristidis temporibus mimis (vel etiam comoediis) hominum celebrium vel notorum consuetudines moresque expressos esse et perstrictos constat (Friedländer, Sittengesch.[5] II 392—399; 566 sq.); neque negaveris Aristidem, qua erat ostentationis vanitate et superstitionis credulitate, tanquam *εὕρημα* cuivis irrisori vel mimorum concinnatori fuisse, non solum Smyrnaeis, qui qua fuerint in lacessendo procacitate ipse orator (or. XVII § 5) testatus est. atque mimum, in quo Aristidei ingenii et naturae proprietates expressae spectatorum risum movebant, actum esse Dionysiis ex eo concludere licet, quod minime probabile est oratorem sine causa non solum in feriarum enumeratione primo loco Dionysia posuisse (§ 4), sed etiam inter argumentationes memoriam eorum § 20. 29 iteravisse; novimus praeterea Dionysiorum ferias inter celeberrimas Smyrnaeis fuisse (Philostr. v. s. I 25, cf. supra or. XVII § 6 XXI § 4). Denique tertiam quam Schmid movit dubitationem ex ipsa argumentationis ratione ductam, eam, si genus orationis bene reputaveris, non tanti faciendam esse concedes, ut hoc solo quod restat argumento nisus genuinam orationis originem impugnes. non certum quendam adversarium conviciis Aristides petit, totius civitatis saluti consulere instituit; non *ἀντιρρητικός* est oratio, sed *συμβουλευτικός* (§ 3. 33). ergo composita quadam eloquentia opus erat, qua argumentando probaret malam mimorum libertatem sanae mentis rationibus, pietati, civium saluti atque commodis prorsus repugnare; quod ita fecit, ut *κεφάλαια* illa *τελικά* in genere deliberativo solemnia integra redderet: *οὐχ ἡδύ* (§ 5: *τερπνόν* p. 193, 23 *ἐφήδεται* 194, 2), *οὐ καλόν* (§ 6 *κακῶν* 194, 10), *οὐκ εὐσεβές* (pro *δίκαιον*) et *οὐ νόμιμον* coniuncta (§ 7—15. *νόμοις, ἔθεσι* 194, 26; *πρὸς θεοὺς — πρὸς ἡμᾶς αὐτούς* 196, 5), *οὐ δυνατόν* (§ 16—25: *οἷά τε ἦν* 196, 11; *δύνασθαι* 197, 9), *τὸ ἐκβησόμενον* (§ 26), *οὐκ ἔνδοξον* (§ 27—31: *δόξης* 199, 15), *οὐ συμφέρον* (§ 32), *οὐ ῥᾴδιον* (§ 33: *οὐ πολλῶν*), *οὐκ ἀναγκαῖον* (sc. *χρῆσθαι τούτῳ τῷ τρόπῳ τοῦ παιδεύειν*, § 34: *τί — οὐ χρῶνται τοῖς νόμοις*). sed hanc admodum volgarem rerum dispositionem celavit et arte ita texit, ut in duas totam orationem partes digereret, comprobationem dico suae ipsius sententiae et adversariorum refutationem; illi subiunxit priora quattuor capita (*ἡδύ — νόμιμον* § 5—15), huic posteriora (§ 16—34). iam vero ita subiunctis capitibus nova eorum quae in refutatione posita sunt dispositio nascitur; refu-

τῶν δὲ θελόντων νουθετεῖν μὴ ὅτι χρῶνται ταῖς γνώμαις οἱ πολλοὶ ῥᾳδίως, ἀλλ' οὐδ' ἀνέχονται τὸ παράπαν. οὐ μὴν ἀλλ' ὅσα μὲν 505 J τῶν πραγμάτων αὐτὰ ἐφ' αὑτῶν παρακαλεῖ σπουδάζειν, οὐ δεῖ συμβούλου περὶ τούτων, ἀλλ' ἡ φύσις πρὸς τὸ ῥᾷον ἄγει πανταχοῦ, ἃ δὲ τῷ λόγῳ δεῖ διδαχθέντας ἢ διώκειν ἢ φυλάττεσθαι, ταῦτα δὲ τῷ συμβούλῳ καταλείπεται· ὥστ' ἄν τις ἀκούειν μὴ

tatur enim adversarius ἐκ τοῦ προσώπου, (§ 16—19) ἐκ τοῦ χρόνου (§ 20), ἐκ τοῦ τόπου (§ 21), ἐκ τοῦ τρόπου (§ 22—34), ita ut unum illud δυνατόν (§ 16—25) nunc in quattuor sit partes dispertitum, contra quinque cetera capita (τὸ ἐκβησόμενον — ἀναγκαῖον § 26—34) coniuncta cum parte illius iam uno loco τοῦ τρόπου contineantur. dico hanc Aristideam esse disponendi artem; addo, qui fatigari sese argumentorum multitudine profiteantur, se artem oratoris confiteri non percepisse. immo ut sedato usus animo ipsam dictionem optime adornavit, ita argumentatio quam maxime causae probandae inservit. neque enim id studuit, ut mitioribus aut fortioribus motibus lectorum animos adficeret, sed ut libertatem comoedorum cum mentis sanae rationibus non convenire probaret. an vero ei paucis argumentis defungi licet, qui alium eo adducere conatur, ut se insipienter egisse ipse concedat? an nosti dicendi figuram aptiorem ad rei hominisve insipientiam demonstrandam quam antithesin? an orator ad unam eandemque formam semper rediit in antithesi adhibenda? nolo persequi qua arte figuram variaverit: hoc dictum volo et dictionem et argumentationem causae bene aptas esse neque Aristide indignas. addo exemplum: alia huius orationis est ratio, alia orationum XXXIII et XXXIV; videas tamen quaeso, quanta sit in omnibus tribus argumentationis similitudo: unaquaeque scatet et argumentis illis quae e contrario audiunt et spissis exemplorum acervis. Sed sunt etiam alia in ipsa oratione quae Aristidi vel praeter ceteros vel soli convenire videntur. non dico Smyrnaeum esse oratorem (cf. § 31 et ad p. 195, 13), sed quae leguntur § 4 ἄρξομαι — καὶ ἀπὸ τῆς ἐμαυτοῦ συνηθείας (i. e. a dis) certissime Aristidis sunt, utpote qui suae in deos pietatis indefessus fuerit laudator (e. g. cf. p. 54, 6 et or. XXXIII § 17); neque minus pro mea causa faciunt, quae verbis exscriptis proxime subiuncta sunt: φημὶ δὴ χρῆναι τῷ μὲν Διονύσῳ τὴν ἑορτὴν ποιεῖν καὶ νὴ Δία τῇ γε Ἀφροδίτῃ καὶ τοῖς ἄλλοις ἅπασι θεοῖς; dicit igitur: 'Baccho, quin etiam Veneri, feriae habendae sunt, quod me Aristidem concedere sunt fortasse qui mirentur'. qui haec scripsit orator, Hippolyti is personam induerat: Hippolytum et Bellerophontem Aristides ipse se praedicat in fine or. XXXIII, qua de castitate sua gloriatur. denique nullus dubito adfirmare inter dictionem sermonemque huius orationis et ceterarum nihil discrepantiae intercedere; immo memoriae Demosthenicae et Platonicae quas ad p. 192, 4. 194, 25. 199, 7 et 196, 10. 197, 1. 198, 18 adnotavimus arti vere Aristideae indicio sunt

1 δὲ θελόντων AR (item uterque in schol. ad h. l.): δ' ἐθελόντων DUT, cf. v. l. p. 194, 31 3 ἐφ' αὑτῶν Ddf.: ἐπ' αὐτῶν AR, ἐφ' ἑαυτῶν DUT παρακαλεῖν D 4 τούτου AR ῥᾷον scripsi: ἴδιον O (ΡΑΙΟΝ : ΙΔΙΟΝ), imitatur Demosth. VIII 72 (δεῖ) τὸ βέλτιστον ἀεί, μὴ τὸ ῥᾷστον ἅπαντας λέγειν· ἐπ' ἐκεῖνο μὲν γὰρ ἡ φύσις αὐτὴ βαδιεῖται, ἐπὶ τοῦτο δὲ τῷ λόγῳ δεῖ προσάγεσθαι 6 δὲ om. T ὥστ' ἄν] ὡ et" in ras. R²; ὥσθ' ἃ T (non fuit R¹)

βούληται, τὸ συμβουλεύειν ἀναιρεῖ τῷ καθ᾽ αὐτὸν μέρει. ἔτι δὲ ἄλ- 2
λους μέν τινας εἰκὸς ἀγροικίζεσθαι, ὑμᾶς δέ, οἳ καὶ συνέσει καὶ
τῷ πεπαιδεῦσθαι τοσοῦτον προέχειν δοκεῖτε, μὴ πρῶτον μὲν ὅλως
εὐμενῶς ἔχειν πρὸς τὰς ἀκροάσεις τῶν λόγων, ἔπειτα ἄν τις τὰ
βέλτιστα παραινῇ, μὴ [κε]χρῆσθαι μετὰ τοῦ χάριν πρὸς ἔχειν, ἕν
752 D *γέ τι τῶν ἀτοπωτάτων, ὥς γ᾽ ἐμοὶ κρῖναι. εἰ μὲν οὖν ἢ πόνους* 3
τινὰς ἢ πραγματείας ἔμελλον εἰσηγήσεσθαι, πρῶτον μὲν ἀγῶνος
ἴσως ἂν ἔδει, ἔπειτα διδάσκειν ἐπειρώμην ἂν ὡς τῆς παραχρῆμα
ψυχαγωγίας αἱρετώτερον τὸ συνοῖσον τοῖς ὅλοις· νῦν δὲ τοσοῦτ᾽
ἀπέχω τοῦ δυσχερὲς εἰσηγεῖσθαί τι, ὥστ᾽ αὐτὰ δὴ ταῦτα καὶ συμ-
βουλεύσων ἥκω μήτε λέγειν μήτε ἀκούειν δυσχερὲς μηδέν· οὕτω
πολλοῦ δέω πράττειν γέ τι ἢ συμβουλεύειν τῶν δυσχερῶν.
Ἄρξομαι δὲ ὅθεν καὶ ὑμεῖς ἄριστ᾽ ἂν ἀκολουθήσαιτε καὶ ἀπὸ 4
τῆς ἐμαυτοῦ συνηθείας. φημὶ δὴ χρῆναι τῷ μὲν Διονύσῳ τὴν
ἑορτὴν ποιεῖν καὶ νὴ Δία τῇ γε Ἀφροδίτῃ καὶ τοῖς ἄλλοις ἅπασι
θεοῖς, σπένδοντας καὶ θύοντας καὶ παιωνίζοντας καὶ στεφανη-
φοροῦντας καὶ τῶν εἰς εὐσέβειαν μηδὲν ἐλλείποντας, ἐν δὲ τούτοις
ὃ πρόσεστι τοῖς μὲν πολλοῖς ἐπιεικῶς κεχαρισμένον, τοῖς δ᾽ ἐπι-
εικέσι πάντων ἀνιαρότατον, τοῦτ᾽ ἐκποδὼν ἀνελεῖν, λέγω τὰς βλα-
σφημίας καὶ τοὺς κώμους τουτουσὶ τοὺς μεθημερινούς, καὶ νὴ Δία
ἔγωγε τοὺς ἐπὶ ταῖς παννυχίσιν, καὶ μήτε ποιητὰς εἶναι τούτων μήτε
ἀγωνιστάς, μηδὲ παίζειν ἃ μὴ βέλτιον. ὡς ἔχει γε οὕτως· κακη- 5
γορίας ἄκοντας μὲν ἀκούειν οὐ τερπνόν, ἑκόντας δὲ ἀνέχεσθαι
506 J *μελέτη κακοηθείας· τοῦτο δὲ τῶν πρώτων εἰς μοχθηρίαν, καὶ οὔτε*
ἰδιώτου μεῖζον οὐδὲν ἄν τις κατηγορήσειεν οὔτε πόλεως ἢ ὅτι χαίρει
κακοῖς. ὃ γὰρ ἔσχατον εἶναι δοκεῖ τῶν ἀνθρωπίνων ἁμαρτημάτων,
ὁ φθόνος, οὐκ ἔχων παραίτησιν, τούτου μετέχειν ἀνάγκη καὶ τοῦτον
αὔξειν ἐν αὐτῷ τὸν τῆς ἐπιθυμίας ταύτης ἐλάττω. σημεῖον δέ·

---

1 *βούλεται* T *κατ᾽ αὐτὸν* R 3 *τοσοῦτο* U; om. T 5 *μὴ χρῆσθαι* scripsi: *μὴ κεχρῆσθαι* R (ci. Rsk.), *κεχρῆσθαι* ADUT *πρὸς ἔχειν* Ddf., *προσέχειν* ART: *εἰδέναι* DU 6 *ὥσγε μοι* ARUT *πόνουσ ἢ πραγματείασ τινασ* DU 8 *ἐπειρώμην ἂν* ART: *ἂν ἐπειρώμην* D, *ἐπειρώμην* U 9 *τοῖς ὅλοις*] 'omnino', ita invertit Thuc. I 22, 4 *ἐς ἀεί* 10 *ὡσ ταὐτὰ* Junt. (edd); locum eique similes, quibus eadem v. l. est, tractat Foss, declamationes duas Leptineas . . . non esse ab Aristide scriptas (Altenburgi 1841) p. 15 13 *ἄριστα ἂν* RDT *ἀκολουθήσετε* AR, *ἀκολουθήσητε* T 15 *γε*] *τε* DU 16 *παιονίζοντασ* A, *παιανίζοντασ* DU 18 *πολλοῖς*] *ἄλλοισ* DU 19 *ἀνιαρότατον* RDT^{2}: *ἀνιαρώτατον* AUT^{1} 21 *ἔγωγε* ART (sc. *λέγω*): *γε* DU 24 *μελέτηι* AR *κακοηθίασ* A, item p. 194, 3. 4, utroque loco *κα*^{κο}*ηθείασ* R^{1} 28 *αὐτῶι* AR, *ἑαυτῷ* DUT

οὐδεὶς γοῦν οὓς ἀγαπᾷ καὶ οἷς ἀγαθόν τι συμβούλεται, τούτοις
6 κακῶς ἀκούουσιν ἐφήδεται. περὶ μὲν οὖν αἰκίας καὶ βλάβης καὶ 753 D
τῶν τοιούτων ἔξεστιν εἰπεῖν ὡς ἄκων τις ἔπραξεν, τὸ δὲ τῆς κακο-
ηθείας τοσοῦτον διενήνοχεν ὥστε πρῶτον μὲν ἐπώνυμόν ἐστι τῆς
κακίας, ὡς οὐδεμίαν συγγνώμην ἐνδεχόμενον, ἔπειτ' οὐδενὸς πράγ-
ματός ἐστι πρόσρημα, ἀλλὰ φύσεως μηδὲν ἄν τῳ χρηστὸν εἶναι
συμβουλομένης. ὥσπερ δ' αὐτὸ πλεῖστον μετέχει κακίας ἀπὸ τῆς
προσηγορίας ἀρξάμενον, οὕτως ἡ κακηγορία πάλιν αὐτοῦ πλεῖστον
μετέχει μέρος, ἐκ τῆς παρισώσεως ἀρξάμενον τῆς περὶ τοὔνομα·
7 οὕτως ἄμφω κακῶν καὶ φαύλων ἐστὶν ἀνθρώπων. Ἀεὶ μὲν οὖν
οἶμαι τὰ βέλτιστα προαιρετέον καὶ φρονεῖν καὶ λέγειν, ἐν δὲ ταῖς
ἱερομηνίαις καὶ ταῖς ἑορταῖς πῶς οὐκ εἰκὸς ἅπασαν μὲν εὐφημίαν
εἶναι προθυμεῖσθαι, πᾶσαν δὲ γνώμην ἀστειοτάτην, πάντας δὲ
ὡς οἰκειότατα ἀλλήλοις ἔχειν, ὡς τῶν θεῶν ταύτην τὴν φιλίαν
καὶ ὁμόνοιαν βραβευόντων, καὶ νομίζειν γε τὰς ἑορτὰς σχεδὸν ὡς
εἰπεῖν φιλίας συνθήματα, καὶ μήτε θυσίαν οὕτω λαμπρὰν μήτε
σπονδὰς κεχαρισμένας, ὧν οὐχ ἥδιον ἂν εἶναι τοῖς θεοῖς, εἰ τὴν
8 γνώμην ἐκ τῶν δυνατῶν ὡς βελτίστην παρεχοίμεθα; καὶ μὴν τοῦ
γε αἰδεῖσθαι τοὺς θεοὺς τί μεῖζον ἂν εἴη σύμβολον ἢ μηδὲν ἀπηχὲς
μήτε λέγειν μήτε ἀκούειν ἐναντίον αὐτῶν; ἢ φίλου μὲν αἰδεσίμου
παρόντος πολλὰ ἂν ὀκνήσαιμεν εἰπεῖν, κἂν εἴ τῳ δικαίως ἔχοιμεν
λοιδορήσασθαι, τὰς δὲ τῶν θεῶν ἀκοὰς προστησάμενοι ῥᾳδίως οἱ
μὲν ἐροῦμεν, οἱ δὲ ἀκουσόμεθα ἃ μηδ' αὐτοὶ φαῖμεν ἂν εἶναι τῶν
9 καλῶν, ἀλλ' ὡς αἰσχρῶς ἔχοντα οὕτω διασύρομεν; Ἵνα δὲ εἰδῆτε 754 D
ὅτι οὐδὲν καινὸν λέγω, ἀλλὰ πάλαι ταῦτα ἀνωμολόγηται κἂν τοῖς 507 J
νόμοις κἂν τοῖς ἔθεσι τοῖς κοινοῖς, ἐνθυμήθητε μὲν τῶν κηρύκων
τὰς πρώτας φωνὰς εὐφημεῖν ταῖς πανηγύρεσι κελευόντων, ἐνθυ-
μήθητε δὲ τῶν ἱερέων καὶ τῶν καταρχομένων ἡμῖν, ἐπειδὰν θύω-
μεν, ἔτι δ' ὡς αὐτοὶ τοῦτο μάλιστα ἐπὶ ταῖς εὐχαῖς σπουδάζομεν.
10 καίτοι τίν' ἔχει λόγον ἡγεῖσθαι μὲν κάλλιστον ἁπάντων τὴν εὐ-
φημίαν καὶ μάλιστα πρέπειν ἱεροῖς, ἄδειαν δ' εἶναι τοῖς θέλουσι

---

1 γοῦν] οὖν U συμβουλεύεται D 4 τοσοῦτο DU 5 δεχόμενον T ἔπειτα R 6 τῳ] τὸ R 7 συμβουλευομένησ D 9 ἐκ] ἀπὸ T παρισώσεωσ — τῆς περὶ τοὔνομα] i. e. παρονομασία, quod nomen apud idoneos scriptores non obvium Atticista fugit; περὶ τοὔνομα addit, quia παρίσωσις proprie περὶ τὰ κῶλα dicebatur 10 αἰεὶ A[r] 12 μὲν om. T[1] 15 ὁμόνοιαν] ὁμοίαν T ὡς εἰπεῖν suspectum, cf. p. 198, 28 17 εἰ D (ci. Rsk.): ἢ εἰ ARUT 20 ἐναντίον R: ἐναντίων ADUT 21 κἂν] καὶ T 22 ῥᾳδίως om. T 24 διασύραιμεν T; διασύροιμεν ci. Canter 25 κἂν τοῖς νόμοις — κοινοῖς] cf. Demosth. XVIII 114. 275, unde de ἤθεσι apud Aristidem corrigendo cogitare liceret, ni obstaret Demosth. XIX 234 31 πρέπον ci. Wil., fort. recte ἐθέλουσι DU

βλασφημεῖν; καὶ θύοντας μὲν οὕτω κοσμίους εἶναι, οἷς δὲ τὰς
θυσίας ποιοῦμεν θεοῖς, ἐπὶ τῇ τούτων προφάσει τὰ αἴσχιστα
ἀκούειν καὶ λέγειν, καὶ τοὺς αὐτοὺς ἅμα μὲν δυσχεραίνειν ταῖς
κακηγορίαις, ἅμα δ᾽ ὧν κακῶς ἀλλήλους ἀγορεύομεν προστάτας
ποιεῖσθαι; καὶ μὴν εἰ μὲν φίλον αὐτὸ νομίζομεν τοῖς θεοῖς, τὰ 11
ἐναντία ἡμῖν αὐτοῖς γιγνώσκομεν, φυλαττόμενοι ταὐτὸν τοῦτο, ὁπό-
ταν προσίωμεν τοῖς θεοῖς, εἰ δ᾽ ἐχθρὸν ἡγούμενοι χαίρομεν αὐτῷ,
πῶς εὐσεβῶς διακείμεθα; ἢ πῶς διὰ τούτων τιμῶμεν τοὺς θεούς,
ἃ τῶν θεῶν χάριν εἰκὸς ἦν φεύγειν; θαυμαστὸν δέ μοι φαίνεται, 12
εἰ τὰς μὲν τῶν ὀρνίθων φωνὰς ὡς αἰσιωτάτας ἀξιοῦμεν ἡμῖν γίγνε-
σθαι κἂν ἐπὶ τῆς ἐρημίας ὄντες ἢ οὗ τύχοιμεν, τὰς δὲ παρ᾽ ἡμῶν
αὐτῶν οὐδ᾽ ἐπὶ τῶν θεάτρων φυλαξόμεθα μὴ δυσχερεῖς εἶναι. καὶ
τοῖς μὲν τῆς Κληδόνος βωμοῖς προσιόντες βουλοίμεθ᾽ ἂν ὡς εὐ-
φημότατα ἀκούειν, οὕτως ἰσχυρόν τι τὸ τῆς θεοῦ ταύτης ἡγού-
μεθα· ἃ δὲ μηδαμῶς ἀνέχεσθαι χρῆν, ταῦτα ταῖς ἑορταῖς ἀποδώ-
σομεν. καὶ τοὺς μὲν παῖδας κελεύομεν εὐστομεῖν, κἂν τοῖς διδα- 13
σκαλείοις καὶ κατ᾽ οἰκίαν προδιδάσκοντες ὡς ἃ ποιεῖν αἰσχρόν,
755 D οὐδὲ λέγειν καλόν· πάλιν δὲ εἰς ταὐτὸν ἀθροίσαντες παῖδας καὶ
γυναῖκας καὶ πᾶσαν ἡλικίαν κακηγορίας ἆθλα τίθεμεν καὶ τοῖς
ἄριστα ἐκμελετήσασιν ὅπως εἰς κέρδος ἔσται παρασκευάζομεν. ἃ 14
508 J δὲ ποιήσαντας ἢ παθόντας οὐ θέμις εἴσω περιραντηρίων παριέναι,
ταῦτ᾽ ἐν μέσοις ἱεροῖς ᾄδομεν, καὶ θύειν μὲν ἃ μὴ χρὴ δυσσεβὲς
ἡγούμεθα, τιμᾶν δὲ οἷς οὐ χρὴ τοὺς θεοὺς εὐσεβείας μέρει προστί-
θεμεν, καὶ τὴν εὐσχημοσύνην ἐπὶ μὲν τῶν ἄλλων τιμῶμεν, τῶν
δὲ χορῶν ῥαδίως μὲν πάντα σχήματα ὁρῶμεν, ῥαδίως δὲ πάσας

---

2. 3 αἴσχιστα καὶ ἀκούειν καὶ U 5. 6 τἀναντία U 6 γινώσκομεν DU ταυτὸν AR: τὸ αὐτὸ DUT 7 ἐχθρὸν] sc. τοῖς θεοῖς 9 ἃ om. A[1] (add. A[2]) χάριν] ν in ras. A[2]; χάρισ R (fuit sine dubio A[1]) 10 ὡς om. DU[1] αἰσιωτάτουσ D γίνεσθαι T 11 ἐπὶ ταῖσ ἐρημίαισ T 12 μὴ ARDU (at s. l. post μὴ ras.): μὴ οὐ T (ci. Canter, prob. Ddf.); at cf. Kühner, Gr. Gr. II § 516 ann. 7 δυσχερὲσ R 13 Κληδόνος] singulari utitur Smyrnaeus Aristides apud Smyrnaeos, contra plurali Paus. IX 11, 7 ἔστι γὰρ καὶ Σμυρναίοις ὑπὲρ τὴν πόλιν κατὰ τὸ ἐκτὸς τοῦ τείχους Κληδόνων ἱερόν 14 εὐφημότατ᾽ T 17 ἃ ποιεῖν κτέ.] [Isocr.] I 15 (cf. Soph. OT. 1409 Phil. 86)

19 κατηγορίασ (κ s. l.) S pr. m.; cf. v. l. p. 197, 27 19. 20 τοῖσ μὲν ἄριστα U 20 ἐμμελετήσασιν D 21 περιραντηρίων A: περιρραντηρίων RDUT; cf. Meisterhans, Gramm d. att. Insch.[2] p. 73; ποιήσαντες καὶ παθόντες non solum de cinaedica opera dictum (Wachsmuth, Stadt Athen II 411, 1), sed etiam de homicidio et quovis scelere, quo homines polluuntur 22 χρῆν U 24 τὴν μὲν εὐσχημοσύνην ἐπὶ μὲν U εὐσχημοσύνην μέν, ἐπὶ τῶν T 25 δὲ χορῶν Wil.: δ᾽ αἰσχρῶν O

φωνὰς ἀποδεχόμεθα. κἂν μὲν εἷς τις ἀπᾴδῃ τῶν χορευτῶν, τοῦτον
ἐκβάλλομεν, ἂν δ' ἅπας ὁ χορὸς οὕτως ἀμούσως ᾄδῃ, ποιού-
15 μεθα κέρδος. κἂν μὲν ὑπ' ἄλλων οὕτως κακῶς ἀκούωμεν, ὀργι-
ζόμεθα, ἂν δ' ἡμᾶς αὐτοὺς τοῦτο ποιῶμεν, ἑορτὴν ἡγούμεθα ἀλη-
θινήν· οὕτω καὶ πρὸς τοὺς θεοὺς ἀλλοκότως καὶ πρὸς ἡμᾶς αὐτοὺς
πολὺ τἀναντία ἢ προσῆκε διακείμεθα.
16 Καίτοι τολμῶσί τινες λέγειν ὡς ἀγαθὸν τὸ κακῶς ἐξεῖναι λέ-
γειν ἐν τῷ θεάτρῳ, τούς τε γὰρ κακῶς βεβιωκότας ἐξελέγχεσθαι
καὶ τοὺς ἄλλους φόβῳ τοῦ κωμῳδεῖσθαι σώφρονας παρέχειν αὐ-
τούς. ἐγὼ δὲ πολλοῦ σφόδρα ἂν ἡγούμην εἶναι τὴν μέθην, εἰ παι-
δεύειν οἵα τε ἦν ἀνθρώπους, ἀλλὰ μὴ τῶν χαλεπῶν ᾖ μεθύοντας
αὐτοὺς ἑτέρους ποιεῖν σωφρονεῖν, καί, πρὶν αὐτοὺς κατεπᾷσαι,
17 τοῖς ἄλλοις ᾄδειν ὅπως εἰς κάλλος βιώσονται. τίς γὰρ οὐκ οἶδεν
ὑμῶν ὅτι πρῶτον μὲν οὐ πολλῶν τὰ τοιαῦτα παιδεύειν, οὐ μᾶλλόν
γε ἢ νόμους τιθέναι καὶ γνώμας ἐν δήμῳ λέγειν; ἢ τὸν μὲν εἰς
Κόρινθον πλοῦν οὐ παντὸς ἀνδρὸς εἶναι πιστεύσομεν, τὴν δὲ τοῦ
βίου τοῦ παντὸς πορείαν ἥντινα καὶ δι' ⟨οἵ⟩ων δεῖ τῶν ἐπιτηδευ- 756 D
μάτων ποιήσασθαι πᾶς ἀνὴρ εἴσεται καὶ πᾶς ἐπὶ τούτοις τοῖς
οἴαξι καθεδεῖται τῇδε κἀκεῖσε κομίζων τοὺς νέους ὡς ἂν αὐτῷ
18 δοκῇ; καὶ τῶν μὲν ἀθλητῶν ἐγκρίσεις ποιοῦμεν, ὅπως αὐτῶν ὅστις
φαῦλος ἑαυτὸν καταισχύνας ἀπίῃ καὶ δίκην ἅμα δοὺς ἐκ τοῦ σώ-
ματος, τοὺς δὲ τῶν σπουδαιοτάτων ἡγεμόνας καὶ διδασκάλους ἀπὸ
πάντων μὲν ἐργαστηρίων, πάντων δὲ [τῶν σπουδαιοτάτων] . . . . .
οὑτωσὶ φαύλως ἐγκρινοῦμεν; διδασκάλων ἄρα αὐτοὶ δεῖσθαι δό-
19 ξομεν. καὶ θυρωροῖς μὲν οὐ πᾶσιν, ἀλλὰ τοῖς πιστοτάτοις χρώ-
μεθα, ἵνα μή τις αἰσχύνη συμβαίνῃ περὶ τὴν οἰκίαν, παῖδας δὲ

---

2 ἄδῃ T: ἀπᾴδῃ ARDU 3 οὕτω DU 4 ἡγούμεθ' D 6 προσήκει T 7 τὸ κακὸν R 7. 8. λέγειν om. R 9 αὐτούσ AR, ἑαυτούσ DUT 10 σφόδρα ἂν ἡγούμην εἶναι AR: σφόδρα ἂν ἡγούμην ἀξίαν εἶναι T, σφόδρ' ἀξίαν ἂν ἡγούμην (ἂν ἡγοῦμαι U) εἶναι DU; Platonis legum l. I. II spectare oratorem patet 11 ᾖ ART: ἦν DU 12 altero loco αὑτοὺσ R p. corr.: αὐτοὺσ O κατεπᾷσαι Jacobs ad Ach. Tat. p. 511 (coll. or. XXIII § 72): καταπαῦσαι O 13 βιώσωνται RD 14 τὰ om. R 17 οἵων Rsk.: ὧν O 19 ὡς] ὅπωσ T 20 ad ἐγκρίσεισ add. συγκρίσεισ A^r mg. 21 ἀπήιει R 23 μὲν τῶν ἐργαστηρίων U mendum agnovit Canter (vertit 'ex taberna qualibet levissimos quosque tam inepte deligemus' et πάντων — σπουδαιοτάτων in margine adiecit, quia non vertit); 'σπουδαιοτάτων perperam e superiore versu iteratum elisit veram vocem' Rsk.; etiam τῶν secludendum; οἰκημάτων 'lupanarium' addi vult Rsk., quod peccat in nimiam oratoris pudicitiam; multo aptius ἐπιτηδευμάτων vel ἐθνῶν (Platonicum) Wil. 26 συμβαίνῃ DUT: συμβαίνοι AR

509 J *καὶ γυναῖκας καὶ πάντα τὰ τῆς πόλεως πληρώματα καὶ συλλήβδην*
ἔστιν εἰπεῖν τὴν ἀξίαν τοῖς βουλομένοις μεταχειρίζεσθαι δώσομεν·
καὶ ὧν νηφόντων κατεγνώκαμεν, τούτοις μεθύουσι πιστεύσομεν;
Καὶ μὴν οὐδ᾽ ὁ καιρὸς παιδευόντων, ἀλλὰ παιζόντων, εἰ μὲν βού- 20
757 D *λεσθε, ὁ τῶν Διονυσίων, εἰ δὲ βούλεσθε, ὁ τῶν γάμων τῶν ἱερῶν*
καὶ τῶν παννυχίδων. ὥστε πῶς εἰκὸς ἐν ᾧ τῶν ὄντων διδασκάλων
τοὺς παῖδας ἀφίεμεν, ἐν τούτῳ τοὺς μηδὲν προσήκοντας καὶ τοὺς
ἑαυτοὺς εἰσποιοῦντας ἐφιστάναι, καὶ μηδὲ παρ᾽ αὐτοῦ τοῦ τόπου
δύνασθαι μαθεῖν ὅτι ἄλογος ἡ προσποίησις. δεῖ γὰρ τόν γε διδά- 21
σκαλον οὐκ εἰς τὰ θέατρα βαδίζειν κἀκεῖ νουθετεῖν· ταῦτα μὲν
γὰρ ταῖς ἡδοναῖς καὶ ταῖς ψυχαγωγίαις ἀνάκειται· ἀλλ᾽ εἰσὶ τόποι
δήπουθεν ἐπώνυμοι τοῦ προσρήματος, οὗ δεῖ φιλοσοφεῖν, καὶ οὐδ᾽
ἐν τούτοις τοῦτον, οἶμαι, τὸν τρόπον χλευάζοντα καὶ κακῶς ἀνέδην
ἀγορεύοντα, ἀλλ᾽ ὡς χρὴ τοὺς ἐλευθέρους παιδεύοντα καὶ προ-
διδάσκοντα πρὸς τοῖς ἄλλοις καὶ τὴν ἀσχημοσύνην φυλάττεσθαι.
Καὶ μὴν εἰ τοὺς ἀσελγαίνοντας κωμῳδοῦντες τῶν ἄλλων ἀπείχοντο, 22
τάχ᾽ ἄν τις λόγος ἦν· νῦν δὲ ἄρχεται μὲν τὸ πρᾶγμα ἀπ᾽ ἀρχῆς
εὐπροσώπου, τελευτᾷ δὲ εἰς καλὸν οὐδαμῶς. πολλοὶ μὲν γὰρ οὐδὲν
προσῆκον αὐτοῖς ἀκούουσι κακῶς, εἰσὶ δ᾽ οἳ καὶ μηδένα λανθά-
νοντες ὅμως τὴν ἐν τῷ μέσῳ λοιδορίαν διαφεύγουσιν. διὰ τί;
ὅτι οὐ διδασκάλων οὐδὲ σωφρονιστῶν οὐδὲ βελτίους ποιεῖν βου-
λομένων τρόποις χρῶνται . . . . . — αὐτοὺς γὰρ ἂν πρότερον
ἐποίησαν βελτίους —, ἀλλὰ καὶ πρὸς ἔχθραν καὶ πρὸς χάριν τὴν
ἑτέρων, τὸν μὲν ἀργύριον αἰτήσαντες οὐ τυχόντες, τοῦ δ᾽ ἐρασθέν-
τες οὐ πείσαντες, οὕτω ψέγουσιν, καὶ πάλιν αὖ σιωπῶσιν διὰ
θάτερα, ὥστε οὐ τοὺς αἰσχρῶς ζῶντας φανεροὺς καθιστᾶσιν. σκέ- 23
ψασθε δ᾽ οὑτωσί· τίνας μάλιστ᾽ εἰκὸς ἐξωνεῖσθαι τὰς κακηγορίας;
ἆρ᾽ οὐ τοὺς τὰ τοιαῦτα συνειδότας ἑαυτοῖς φαίητ᾽ ἄν; τίνας δ᾽
ὡς ἥκιστα τούτων φροντίζειν; ἆρ᾽ οὐχ οἵτινες αὐτοῖς καὶ τοῖς
758 D *βεβιωμένοις θαρροῦσιν; δῆλόν που. οὐκοῦν τἀναντία τῆς ὑπο-*

---

1 *πληρώματα*] 'omnes civitatis ordines' i. e. omnes incolas (cives et servos); e Plat. rp. II 371 E, quae egregie interpretatur Aristot. pol. (Δ) 1291ᵃ 11 sqq. 2 *ἔστιν* om. DU 5 *βούλοισθε* bis R *γάμων* U: *σάμων* ARDT 7 *ἀφίεμεν* T: *ἀφεῖμεν* ARDU 9 *ἄλογος*] *ἄτοποσ* U (propter *τόπου*) *δεῖ*] *δὴ* R 13 *ἀναίδην* AD 16 *εἰ μὲν τουσ* T 18 *πολλοὶ*] *πολλὰ* R 22 post *χρῶνται* lacunam indicavi; deest subiectum, quod nisi additur, e proxime antecedentibus non calumniatores, sed ceteri cives subiectum intellegendi sunt; e. g. ⟨*οἱ παιδεύειν ἑτέρους προσποιούμενοι*⟩ *αὐτοὺσ* AR a. corr. T 23 prius *καὶ* om. T[1] 24 *ἑτέραν* R 26 *οὐ τουσ* A: *αὐτοὺσ* RDT, *αὐτοὺσ* U *φανερῶσ* U[1] (Junt.) *καθιστᾶσι* O 27 *κατηγορίασ* D Lex. Vindob. p. 72, 16, quae glossa huc referenda; cf. v. l. p. 195, 19

σχέσεως γίγνεται· οἱ μὲν ἀσελγεῖς καὶ αἰσχροὶ ἀθῷοι τῷ λόγῳ,
24 κωμῳδοῦνται δ᾽ οὓς ἥκιστα δεῖ. φέρε δὴ θῶμεν ἀμφοτέρους ἀνα-
μὶξ ἀκούειν κακῶς — οὐ γὰρ ἐκεῖνό γ᾽ ἂν σὺ φαίης, ὡς οὐδεὶς 510 J
μήποτ᾽ ἀκούσῃ κακῶς ἐπιεικὴς ὢν τοὺς τρόπους —, οὐκοῦν οἱ
μὲν δόξης ἠμεληκότες καὶ διεφθαρμένοι καθάπαξ ὑπὸ τῶν αἰσχρῶν
ἐπιθυμιῶν οὐδ᾽ ὁτιοῦν δή που ζημιοῦνται, ἀλλὰ καὶ κέρδος ἂν
θεῖντο ἀγαλλόμενοι τῷ φανεροὶ πᾶσι γίγνεσθαι, οἱ δὲ παρ᾽ ἀξίαν
ἀγωνιζόμενοι πῶς οὐ πολὺ τῶν ἄθλων ἃ τῆς σωφροσύνης εἶναι
25 χρὴ διαμαρτάνουσιν; ὥστ᾽ οὐχ ἵνα βελτίους ὑμῖν ὦσιν οἱ νέοι,
διὰ τοῦτο κωμῳδητέον, ἀλλ᾽ εἰ μηδενὸς ἄλλου χάριν, τούτου γε
παυστέον τοῦ κωμῳδεῖν, ἵν᾽ ἐξῇ τοῖς νέοις ἀσκεῖν ἀδεῶς τὰ βελ-
τίω. τοὺς μὲν γὰρ δὴ φαύλους ἔνι δή που καὶ ἄλλως ἀμύνασθαι,
τοὺς δ᾽ ἐπιεικεῖς ὅταν τοιαῦθ᾽ ὑβρίζωμεν, τίν᾽ ἐροῦμεν λόγον; οἷς
γὰρ μηδ᾽ εὔλογον δίκην [προσήκει] λαγχάνειν, πῶς ἀνυπευθύνως
26 γε ἀτιμοῦν τῷ βουλομένῳ δεδόσθαι προσήκει; εἰ τοίνυν κἀκεῖνό
τις ὑμῶν ὑπείληφεν, ὅτι καὶ τῶν ἐπιεικῶν πολλοῖς αἱρετώτερον
εἶναι δόξει ἀργύριον τοῦ μὴ κακῶς ἀκούειν προΐεσθαι, καὶ τοσούτῳ
μᾶλλον ὅσῳπερ ἂν αἰσχυντηρότεροι τοὺς τρόπους ὦσι, πῶς οὐ
πανταχόθεν δῆλον ὡς δυσχερὴς ἡ κωμῳδία καὶ βέλτιον εἰσάπαξ
ὑφ᾽ ὑμῶν κωλυθῆναι, εἴ γε οἱ μὲν χρηστοὶ δυοῖν θάτερον, ἢ οὐ
δόντες ἀκούσονται κακῶς ἢ ὑπὲρ τοῦ μὴ ἀκοῦσαι κακῶς ζημιώ-
σονται, χρήμασι τὰς βλασφημίας ⟨ἐξ⟩ωνούμενοι, οἱ δὲ μηδὲν
27 φροντίζουσιν ἀκούοντες κακῶς, τί ἔσθ᾽ ὃ πείσονται; Ὅλως δ᾽ οὐκ
ἔνεστι μὴ τῆς τῶν ἰδιωτῶν δόξης ἀπολαύειν κοινῇ τὴν πόλιν. 759 D
ὁποῖοι γὰρ ἄν τινες ὦσιν οἱ κωμῳδούμενοι, τοιοῦτοι πολλάκις οἱ
σύμπαντες ἔδοξαν εἶναι. σκέψασθε δὲ καὶ εἰς τοὺς πατέρας ὑμῶν
τοὺς Ἀθηναίους ἀνενεγκόντες, οὓς αἱ μὲν ἄλλαι συγγραφαὶ κο-
σμοῦσι σχεδὸν [ὡς εἰπεῖν] ἅπασαι, μόνη δὲ ἡ κωμῳδία διέσυρεν
καὶ παρέσχε τοῖς βουλομένοις βλασφημεῖν ἔτι νυνὶ λαβάς· ἔδοξαν

---

1 γίνεται ARDU τῷ λόγῳ] desidero τὸν λόγον 4 ἀκούσῃ] η ex corr. T, ἀκούσει U 7 θοῖντο T γίνεσθαι U 9 χρὴ om. T ὑμῖν ὦσιν AR: ὦσιν ἡμῖν DUT 11 τοῦ] τὸ ci. Wil. coll. v. 19 εἰσάπαξ — κωλυθῆναι; at solet, ni fallor, τὸ μὴ κωμῳδεῖν 12 ἀμύνεσθαι U 14 μηδ᾽ εὔλογον δίκην scripsi: μηδὲ λόγον δίκησ O; boni civis iudicia fugere προσήκει seclusi, post natam corruptelam priorem e proximo versu additum 17 τοσούτωι A (-ι add. A[r]): τόσῳ RDUT 18 ἂν om. U[1] αἰσχυντηρότεροι sic O, cf. Plat. Gorg. 487 B; αἰσχυντηλότεροι Ddf. 19 aut δυσχηρὴς (sic O) — βελτίων aut δυσχερὲς — βέλτιον postulat Rsk. καὶ om. T 20 ἡμῶν T 22 ἐξωνούμενοι scripsi: ὠνούμενοι O; cf. p. 197, 27 οἱ Wil.: εἰ O 23 τί — πείσονται;] quae poena improbos manebit? 24 ἔνεστι] ἔστι DU 28 ὡς εἰπεῖν AR, om. DUT, seclusi; cf. ad p. 34, 8

γὰρ αὐτοὶ παρ' αὐτῶν ἐξελέγχεσθαι. καὶ ὅσον μέν, ὦ γῆ καὶ θεοί, 28
τὸ μέσον τῆς τε νῦν κιβδηλίας καὶ ὁπόση τις ἔν γε ταῖς καλου-
μέναις παραβάσεσιν νουθεσία καὶ παίδευσις ἐνῆν ἐῶ λέγειν. ἀλλ'
οὖν, τό γε τῆς παροιμίας, ἐξ ἀξίου τοῦ ξύλου καὶ πάσχειν ὑπῆρχεν,
511 J εἴ τῳ συμβαίνοι· οὗ δὲ τοσαύτη μὲν λέξεως μοχθηρία, τοσαύτη
δὲ μελῶν ἀσέλγεια, ἔτι δὲ σχημάτων αἰσχύνη, κωμῳδία δ' οὐδεμία
ἐφίκοιτ' ἂν τῶν τούτοις προσόντων κακῶν, τίς τρόπος ἡδονῆς;
καὶ πότερ' ὡς καλὰ ταῦτα ἀνέξεσθε; καὶ τί τούτων αἴσχιον; ἀλλ' 29
ὡς συμφέροντα ἀκούειν ἢ θεωρεῖν; καὶ μὴν διαφθορᾶς γέ ἐστι
συνθήματα· ὅταν γὰρ εἰς συνήθειαν καταστῇ τοῦ κακῶς ἀκούειν
ἀνὴρ ἢ γυνὴ καὶ τὰ χείριστα φέρειν τῶν ὀνειδῶν, εὐχερῶς ἀνίησιν
ἡ γνώμη καὶ διδάσκεται πᾶς τις φαῦλος εἶναι, εἰ καὶ μὴ πρόσθεν
ἦν· ἄλλως τε † τούτων, ὧν οὐδὲν πρὸς τὸν Διόνυσόν ἐστιν. ἀλλ'
760 D ἔμοιγε καὶ τὸ τῆς παροιμίας εἰς τὰς τοιαύτας ἀβελτερίας οὐχ
ἥκιστα ἔχειν δοκεῖ. εἶεν· ἀλλ' εἰς δόξης λόγον θαυμαστά, 30
ὅταν ἐν τοῖς βαλανείοις, ὅταν ἐν τοῖς στενωποῖς, ὅταν κατ' ἀγο-
ράν, ὅταν ἐν ταῖς οἰκίαις γύναια, παιδάρια, πᾶς τις ἐφεξῆς τοιαῦτα
ἐπιμελῳδῇ; καὶ πότερον τοὺς πολίτας μόνον ἐξέσται κωμῳδεῖν;
οὔκουν δεινὸν εἰ τῶν μὲν ξένων εἴσεσθε φείδεσθαι, ὑμῶν δ' αὐτῶν
οὐ τολμήσετε, ἀλλ' οὕτως ἀνόμοιοι τοῖς Λακεδαιμονίοις ἔσεσθε
ὥστ' ἐκεῖνοι μὲν ἅπαντα ἀπόρρητα ἐποιήσαντο τὰ ἑαυτῶν, ὑμεῖς
δὲ καὶ τὰ μηδὲν προσήκοντα λέγειν καθ' ὑμῶν τοῖς βουλομένοις
δώσετε; ἀλλὰ νὴ Δία καὶ τῶν ξένων ἐπιληψόμεθα; πολλὴν ἄρα 31

---

1 *παρ' αὐτῶν* RU 2 *κιβδηλειασ* RTU²; *κοβαλείας* Ruhnken ad Timae. p. 159 *ὁπόση — ἐνῆν*] 'idem est dictum atque *καὶ τῆς νουθεσίας ὁπόση τις ἐνῆν*' Rsk.; ceterum cf. Plat. legg. VII 816 D sq. (cf. XI 935 C sq.); at pervolgata doctrina illa: Anonym. de comoed. IV. IX^{ab} (cf. Strabo I 20; Marc. Aur. XI 6; Dio Prus. or. XXXII 6, qui tamen or. XXXIII 10 contrarias partes amplexus est) 4 *οὖν τότε γε τὸ τῆς* ci. Rsk. *τῆς παροιμίας*] ex Aristoph. ran. 736 sq.; Paroemiogr. Gr. I p. 407 5 desidero *τότε* post *τῳ* *οὗ* sic O 7 *ἐφίκοιτ' ἂν — κακῶν*] cf. Demosth. XIX 65; idem in contrarium conversum adhibet p. 218, 10; cf. etiam ad p. 92, 27 8 *πότερον* DUT *αἴσχιον*] *αἰσχρόν* U, ad quod *μᾶλλον* add. U² mg. 13 *ἄλλως τε τούτων κτέ.*] verba lacunosa; fuerit sententia: 'quis denique negaverit haec ex iis esse, quae nihil ad Bacchum pertinent? immo in tales insulsitates imprimis dictum illud proverbium [*οὐδὲν πρὸς τὸν Διόνυσον*, Paroemiogr. Gr. I p. 137. 289, Rein, Sprichw. ... bei Lucian p. 7 sq.) duco'. *ἄλλως τε* ('praeterea') *τούτων* [*ὧν*] *οὐδὲν* ci. Wil. *ἐστιν*] *ἦν* T 14 *ἀβελτηρίασ* O 15 *ἔχειν* AR: *καλῶσ ἔχειν* DUT. 16 *βαλανείοις*] *βασιλείοισ* U alterum *ὅταν* om. T 17. 18 *τοιαῦτα ἔπη μελωδῇ* DU 19 *οὐκοῦν* (—23 *δώσετε.*) O Junt. (edd.) *φείδεσθαι δ' ὑμῶν αὐτῶν* R (at *αι* in ras. R²) 21 *ὥστε* RDU *ἐποίησαν τὰ* DUT 22 *καὶ τὰ καθ' ὑμῶν προσήκοντα λέγειν καθ' ὑμῶν τοῖσ* U

τὴν εὐποιίαν παρὰ πάντων καὶ τὴν ἐπιμιξίαν ἔξομεν· ἦ που ῥα-
δίως μὲν οἱ πατέρες τοὺς υἱεῖς, ῥαδίως δὲ ἀδελφοὶ πρεσβύτεροι
νεωτέρους κομιοῦσι δεῦρ᾽ ἐπὶ παιδείαν, παρ᾽ οἷς τοιαῦτ᾽ ἐστὶ τὰ
32 ᾀδόμενα. οὐ παύσεσθε στηλιτεύοντες ὑμᾶς αὐτούς; νὴ Δία, ἀλλ᾽
ἀστεῖον τὸ τοῦ σκώμματος. οὔκουν τοσούτῳ μᾶλλον οὐ πολλῶν,
εἴπερ γε μὴ πολλοὺς τοὺς ἀστείους εἶναι δεῖ δοκεῖν; ἡδέως δ᾽ ἂν
ἐροίμην τοὺς χαίροντας τῷ λοιδορεῖν πότερον παίζουσιν ἢ σπου-
δάζουσιν. εἰ μὲν γὰρ παίζουσι, τί προσποιοῦνται νουθετεῖν; εἰ
δὲ σπουδάζουσιν, αὖθις αὖ πυθέσθαι καλὸν αὐτῶν, πότερόν ποτ᾽
ἀληθῆ ταῦτα λοιδοροῦσιν ἢ ψευδῆ. εἰ μὲν γὰρ ἀληθῆ, τί μα-
θόντες οὐ χρῶνται τοῖς νόμοις; ἀλλ᾽ οὗ μὲν δεῖ λέγειν σιωπῶσιν,
οὗ δὲ δεῖ σιωπᾶν λέγουσιν. ἀλλὰ μὴν εἴ γε καταψεύδονται, ἀγα- 761 D
πᾶν εἰκὸς ἦν μὴ πάσχοντας κακῶς, οὐκ ἀγανακτεῖν, εἰ μὴ λέγειν
κακῶς αὐτοῖς ἐξέσται.

33 Οἶμαι τοίνυν ἐγὼ πᾶσι μὲν ταῦτα συμβουλεύων ὀρθῶς ἂν 512 J
ποιεῖν, οὐχ ἥκιστα δ᾽ ὑμῖν· ὅσῳ γὰρ παιδείᾳ καὶ φιλανθρωπίᾳ
προέχειν δοκεῖτε, τοσῷδε αἴσχιον ἃ μὴ χρὴ φαίνεσθαι διώκοντας.

---

3 ἐπὶ παιδείᾳ ci. Rsk., fort. recte τοιαῦτά ἐστι RU 5 οὐκοῦν O; paraphrasis: τοσούτῳ ἐλαττόνων τὸ σκῶμμα, ὅσῳ ἐλάττους οἱ ἀστοί; facetiae non multorum, quia faceti non multi, sed pauci 9 αὖ ART: αὐτῶν U, om. D πότερον τότ᾽ R 13 εἰκὸς om. T 16 δὲ DU 17 αἴσχιον ART: μᾶλλον αἴσχιον DU Subscr. συμβουλευτικὸσ περὶ τοῦ μὴ δεῖν κωμωιδεῖν A

XXX.

I 113 D
I 67 J

ANONYMI
(10) ΑΠΕΛΛΑΙ ΓΕΝΕΘΛΙΑΚΟΣ.

ΠΡΟΘΕΩΡΙΑ

Ἀπελλᾶς εἷς ἐτύγχανεν ὢν τῶν ἐκ τῆς ἀρχούσης βουλῆς, εὐπατρίδης, γένος τῶν ἀπὸ Κοδράτου. παῖς μέντοι ὁ Ἀπελλᾶς ἔτι, γεγονὼς ἀμφὶ τὰ τεσσαρεσκαίδεκα ἔτη, μαθητὴς δὲ τοῦ ῥήτορος τῶν εὖ πεφυκότων τήν τε ψυχὴν καὶ μέντοι καὶ τὸ σῶμα, ὡς αὐτός φησιν (§ 17 sqq.), *ἔμελλε μετ᾽ οὐ πολὺ τὸν τοῦ Ἀσκληπιοῦ διατιθέναι ἀγῶνα. ἐπὶ τούτῳ γενεθλιακόν τινα λόγον διέξεισιν ὁ ῥήτωρ. σύγκειται δὲ ὁ λόγος ἐκ πολλῶν νοημάτων συνεχῶς ἄλληλα διαδεχομένων· ὀξύτητες δὲ καὶ περίνοιαι καὶ τούτων αὐτῶν μεταχειρίσεις ἔκτοποι, ἔτι δὲ παράδοξοί τε εἰσαγωγαὶ τῶν νοημάτων καὶ ἴδιαι τοῦ ὑποκειμένου λεληθότως τε μεταβαίνουσαι θαυμαστῶς ἔχουσιν· τὸ δ᾽ ὅλον οἰκονομία τις ἐκ πολλῶν ἡνωμένη ψυχῆς δίκην διήκει διὰ τοῦ λόγου, ἔτι δὲ σχημάτων γοργότης καὶ τούτων τῆς διαδοχῆς ἁρμονία τοῦ προάγοντος τῷ ἐφεξῆς ἑνουμένου, λέξεώς τε ἀκριβὴς ἐνάργεια καὶ μετ᾽ εὐγλωττίας ἀρχαϊσμὸς φεύγων ὁμοῦ ταπεινότητα καὶ ἀπειροκαλίαν, καὶ προσέτι συνθέσεως ἀκρίβεια χάρις τε πανηγυρικὴ καὶ Ἀφροδίτη λόγου σωφρόνως ἄγουσα τὸ σύγγραμμα. θαυμασίως δὲ ἔχει καὶ τὸ τῆς εὐρυθμίας εὔτροχον, ὅπερ εἰς τὸν Ἀριστείδου τύπον φέρει.*

---

68 J *Ὅσα μὲν δὴ θεοῖς γενεθλίοις τε καὶ πατρῴοις καὶ πρό γε τούτων καὶ μετὰ τούτους τῷ σωτῆρι καὶ τοῦ βίου καθηγεμόνι καὶ*
114 D *πᾶν ὅ τι ἂν εἴποις εἰκότα ἦν, ἀφ᾽ ἑστίας ἀρξάμενα κατηῦκται πρεπόντως· οἷς δ᾽ ἄν τις ἀγῆλαι τήνδε τὴν ἡμέραν, πρεσβεύων γε δὴ τὸν νόμον, ὃς ἐπὶ τούτοις νενίκηκεν, ἐκπληροῦται τὰ νῦν εἰς δύναμιν, πάντων πᾶσαν προθυμίαν εἰσφερομένων, ὥστ᾽ οὐ μικρῷ*

Libri ARDUT = O

Titulus: *ἀπελλᾶι γενεθλιακόσ* hic R a. ras. et post argumentum AR, *ἀπελλᾶ* (fort. = *ᾷ*) *γενεθλιακόσ* UT (Thom. Mag. p. 27, 4); om. D. *ἀπελλᾷ* suspectum, debet *εἰς Ἀπελλᾶν* esse. — Abiudicavi orationem ab Aristide, cuius iudicii alio loco rationem dabo; cf. ad p. 204, 11. — Ex hac oratione excerpta extant vv. *τὸ μέν γε — ἀπήλλακται* (p. 207, 8 — 208, 10) et *τοιοῦτόν ἐστι — ἔχουσα* (p. 209, 10—12) sub titulo peculiari *Ἀριστείδου ἔκφρασισ εἰσ νέον* in Baroc. 56 fol. 107ʳ (unde descripta in Bodl. Langbain. 9 fol. 75), qui titulus causa fuit, ut et Pitra Anecd. Solesm. V 309 et F. Cumont Rev. de philol. 1892, 163 sqq. verba tanquam inedita reprimenda curarent, quamvis iam Jebb (in catalogo librorum manuscriptorum editionis vol. I praemisso) rem recte indicasset.

προθεωρία AR² (in ras. tituli, cf. supra): om. RT(qui totum argumentum in mg.) D totum argumentum om. U. 1 *τῶν* om. RD 2 *Κοδράτου*] *κόδρου* T *γεγονῶσ* sic O 3. 4 *καὶ μέντοι καὶ* D: *καὶ μέντοι* ART 4 *φησιν*] *φ᾽* sic R 9 *τε* scripsi: *δὲ* ARDT 11 *τοῦ πράγοντοσ· τῶι δ᾽ ἐφεξῆσ ἡνωμένω* T 15 *εὔτροχον* scripsi: *ἔντροχον* T, *ἐντρέχον* ARD; *ἐντρεχές* ci. Wil.

18 *ἂν* RDU: om. AT *εἴποισ* AR, *εἴποιο* T: *εἴποι τισ* DU *κατηῦκται*] *υ* in ras. Aʳ; *κατῆκται* D 19 *τις*] *τι* D 21 *ὥστε* R

τῷ παρεῖναι τεκμήρασθαι, πρὸς εὐθυμίας ὁπόσον οὐκ ἰδίᾳ μόνον,
ἀλλὰ καὶ δημοσίᾳ τὸ σχῆμα τῆς πόλεως ἐπιδέδωκεν, ὥσπερ αἴ-
σθησιν ἀθρόαν νῦν γε δὴ μάλιστα λαβούσης, ὅσῳ παραλλάττει τὰς
λοιπὰς εὐδαιμονίᾳ, καθάπερ πᾶσιν οἷς ἐκρίθη πρωτεύειν δικαίοις
2 καὶ τὴν τοῦδε γένεσιν ἔχουσα προσθεῖναι. μάλιστα μὲν γὰρ κἀκεί-
νων ἑκάστη, λέγω δ' ὧν τις καὶ λόγος ἐστὶ καὶ μέγα τοὔνομα, οὐκ
ἀπέχονται μὴ οὐ πολίτην τιθέναι καὶ τῷ προσρήματι τούτῳ καλεῖν,
ὅπου γε καὶ προστάτην, ἀτεχνῶς ὥσπερ τινὲς μητέρες ἀντιποιού-
μεναι παιδός, οἷον δὴ πάρεστιν ὁρᾶν τοῦτον, τὸ μὲν εἶναι μητρὶ
διδοῦσαι τῇ φύσει λαχούσῃ, τὸ κεκλῆσθαι δὲ † οὐδ' αὐτὰς οὐκ
3 ἀφαιρούμεναι. ὅσῳ δ' ἐκείνας ἤδ' ἡ πόλις θεᾶται τῇ γνώμῃ
τὴν φύσιν παρελθεῖν βιαζομένας, διπλασιάζει τὸ φίλτρον· ὥστ'
ἀγαθὴν μὲν τὴν ἔριν ταύτην μόνην μάλιστα καθ' Ἡσίοδον προσ-
ειπεῖν ἐξεῖναι, νικᾶν δὲ ἀναμφισβητήτως ταύτην, ἐφ' ἧς αἵ τε
4 θυσίαι γίγνονται νῦν καὶ οἱ λόγοι. Ἐπεὶ καὶ τοὺς λόγους ἥδε σοι
δίδωσιν, ὦ φίλτατε παίδων, οὐ τουτουσὶ μόνον, ἀλλὰ καὶ τοὺς 115 D
ἐπὶ τῆς ἡμέρας ἑκάστης. ἐμὲ μέν γε σώσας ⟨ὁ⟩ θεὸς ἐκ τῶν ἐσχάτων
τῇ πόλει δέδωκεν, σὺ δ' ὅτου τυγχάνεις ἐξ ἐμοῦ, παρὰ τῆς λαβού-
σης διδούσης ἔχεις· ὥσθ' ὁμοῦ σοι καὶ μητέρα τὴν πόλιν ἐξεῖναι

---

1 *εὐθυμίαν* U (Junt.) 3 *γε* om. T ante *ὅσῳ* add. *καὶ* A² (Junt.) 4 *εὐδαιμονία* / / R¹ agnoscitur *δικαίοισ* (*δικαίωσ* U) *πρωτεύειν* DU; sententia: 'tanquam ortum Apellae iis titulis adiudicans, quibus praelatis civitas Pergamenorum in iudicio tulerat insigne nominis Asiae urbium principis' (cf. nummos Pergamenos, Head H. N. p. 464) 5 *κακεῖνον* R 7 *καλεῖν, ὅπου*] *ν· ὅ* in ras. R² 8 *προστάτην*] 'patronum civitatis'; cum civitates viros celeberrimos vel facundissimos cum liberis posterisque patronos cooptarent, fiebat ut vel pueri e iure hereditatis ('ab origine') patroni civitatis cuiusdam essent (cf. Mommsen, Roem. Staatsr. III 1203, Marquardt, Roem. Staatsverw. I² 187 sq.). ceterum civem non fecerant Apellam civitates illae, sed patronum; hinc profectus rem argutiis persequitur sophista: cum (*ὅπου γε*) illum patronum dicunt, dicunt civem
9 *τοῦτο, τὸ* U (Junt.); *τοῦτον* delendum vid. *τῇ μητρὶ* malim 10 *δὲ οὐ|δ' αὐτὰσ οὐκ* A¹, *δὲ οὐδὲ| / αὐτὰσ///* corr. Aʳ: *δὲ οὐκ αὐτὰσ οὐκ* R, *δὲ αὐτὰσ* (*αὑτὰσ* T) *οὐκ* DUT (prob. Rsk.¹, dubitantius Rsk.²); 'nomen vero etiam sibi tribuunt' vert. Canter, unde *τὸ κεκλῆσθαι δὲ αὑταῖς* ci. Schwarz, Wien. Stud. 1886, 87; conieci *δὲ οὐδέν, αὑταῖς οὖν ἀφαιρούμεναι* 11 *ἐκείνων* D *ἡ πόλισ ἥδε* UT 12 *διπλασιάζει*] i. q. *τοσούτῳ αὔξει τὸ φίλτρον* (erga Apellam) 13 *ταύτην τὴν ἔριν* T *μόνην ⟨ἢ καὶ⟩ μάλιστα* Rsk., at *μάλιστα* ad *ἐξεῖναι* referendum *Ἡσίοδον*] OD. 17 sqq., cf. or. XXIV § 13 *προσειπεῖν*] *πεῖν* in ras. R²; *εἰπεῖν* T 15 *γίνονται* U *νῦν* om. R 17 *μέν γε*] *μέντοι* T *ὁ* addidi, cf. p. 201, 17 18 *τῇ πόλει* — 203, 1 *τεθράφθαι*] orator cum ab Aesculapio ex extremis periculis servatus esset, Pergami degebat, ita ut in ipsa patria (*γνησίως*) Apellae liceret oratore uti artis praeceptore; ita civitas ea, quae accepit per Aesculapium (sc. oratorem eiusque artem), dedit Apellae (*λαβούσης διδούσης*)

69 J *καλεῖν καὶ φάσκειν ἐπὶ τῆς αὐτῆς γνησίως τεθράφθαι. τοῦτο δ' οὐ*
μικρόν ἐστιν εἰς τὸν τοῦ καλοῦ λόγον οἶμαι σοί τε καὶ ταύτῃ. σοὶ 5
μέν γε, εἰ μὴ τὴν πατρίδα ἀτιμάσας ὡς οὐκ ἂν γενναίᾳ ψυχῇ πρὸς
ἄσκησιν ἀρετῆς καὶ παιδείαν ἀρκέσουσαν ξένην εἷλου θεραπεύειν
ἑστίαν, τῇ δ' ὑπάρχει φιλοτιμεῖσθαι δήπουθεν οὐδενὸς ἧττον, ὅτι
σὲ μὴ μόνον ἐνεγκεῖν εὐτύχησεν, ἀλλὰ καὶ προϊόντα ἤδη τὴν ἡλι-
κίαν παρ' αὐτῇ κατέσχεν ἔτι, καὶ τῇ περὶ λόγους καὶ σοφίαν
σπουδῇ μετὰ τῶν ἄλλων ὧν ἔχει καλῶν σὺν ἐκείναις ἢ πρό γ'
ἐκείνων νικᾶν κριθεῖσα. ταῦτά τοι καὶ τῶν ἄθλων τῶν ἐπὶ τούτοις 6
τῶν μὲν ἐγγὺς ἐκ σοῦ τυχεῖν ἐλπίσι χρησταῖς, τὰ δ' ἤδη κεκάρ-
πωται παρὰ τοῦ σοῦ γένους· ἐπεὶ καὶ τοῦτ' οὐ μικρόν ἐστ', οἶμαι,
πρὸς ἀλλήλους ὑμῖν, τὸ μὴ σὲ φῦναι μόνον αὐτὸν ἐπὶ ταυτησὶ τῆς
πόλεως λέγω, προγόνους δ' ἀλλαχόθεν ἀριθμεῖν ἔχειν, ἀλλ' ἄνω-
θεν ἀρξαμένην ⟨τὴν⟩ διαδοχήν, ὅθεν οὐδ' εὑρεῖν ἦν ἂν διὰ χρόνου
μῆκος, εἰ μὴ προσέκειτο ἡ λαμπρότης, μέχρι σοῦ προχωρῆσαι,
116 D *διὰ σοῦ πλήρη τὸν αἰῶνα τὸν ἑξῆς ἀναμένουσαν. ἀπὸ γάρ τοι* 7
Κοδράτου — δῆλον δ' ἐστίν, οἶμαι, καὶ ⟨μὴ⟩ φθεγξαμένου
πᾶσιν ὁμοίως τοὔνομα — ἔξεστιν ἀριθμῷ κατιόντι τὸ γένος εἰς
τοῦτον ὁρᾶν ἅπαν καθαρόν τε καὶ γνήσιον τῆσδε τῆς γῆς βλάστημα,
ποιητὴς ἄν τις εἴποι, καὶ μάλ' ἐπανθοῦν ἑαυτῷ καὶ μᾶλλον ἀν-
θῆσον, ὥσπερ ἀρχόμενον ἀεὶ καὶ μηδέποτε λῆγον, ἔστ' ἂν ἡ τρέ-
φουσα γῆ τουτονὶ τὸν καρπὸν ἀθάνατος μένῃ. κἄμοιγε κἀκεῖνο 8
ἔπεισι θεωρεῖν πλεονέκτημα τοῦ γένους — ἀρτίως γάρ με εἰσῆλθεν
—, τὸ μὲν γὰρ γνησίους πολίτας τοὺς ἀρχηγέτας ἔχειν εἰπεῖν
κοινόν ἐστ' ἴσως καὶ πρὸς ἑτέρους ἀγαθόν, τῷ δ' ἀπὸ τοῦ Κο-

---

1 *τετράφθαι* ADU 4 *παιδείαν* DU: *παιδείασ* ART *εἷλον* A^1 (corr. A^r) R 6 *ηὐτύχησεν* ART an *τῇ ἡλικίᾳ*? 7 *αὐτῇ* ADUT 8 *ἐκείναις — ἐκείνων*] ceteras dicit civitates, cf. v. 4 *ξένην — ἑστίαν* 10 *ἐγγὺσ ἐκ σοῦ* AT^1 p. corr. (U^1 a. corr. ut vid.): *ἐγγὺσ ἐκ τοῦ* RT^1 a. corr., *ἐγγύσ ἐστιν ἐκ σοῦ* U^1 p. corr. (*ύσ ἐστιν ἐκ* in ras. arctiore), *ἐγγύσ ἐστι τοῦ* D 11 *ἐστιν* UT 14 *τὴν* addidi 15 *προσέκειτο* R: *προέκειτο* ASUT *μέχρι σου* DUA^2: *μέχρισ οὗ* A^{1}RT 15. 16 *προχωρῆσαι καὶ διὰ* T 17 *Κοδράτου*] C. Antius A. Iulius Quadratus, de quo cf. Fränkel, Inschr. v. Pergamon p. 298 sqq., Dessau, Prosopogr. imp. Rom. II p. 209 n. 338 17 *μὴ* addidi 18 *κατιόντι*] *κατιὸν* Rsk., fallitur: ‛licet tibi in enumeratione (progeniei) descendenti (inde ab initio) videre’ 19 *γνήσιον· τὸ δὲ τῆσ γῆσ* D 20 *τισ* om. DU^1 (post *εἴποι* add. U^2), cf. p. 7, 12; Eur. Herc. 178 *τοῖσι γῆς βλαστήμασι Γίγασι* *ἐπανθοῦ* A^1 (corr. A^r) R *καὶ* posterius abesse vult Wil. *ἄνθησαν* R 21 *ἀρχό|μενον* R pr. m. (ras. super ε) *αἰεὶ* A^{r}T^2; ‛acsi gens oriundi solum compos esset, non desiendi’ 22 *γῆ* abesse vult Wil. *κἄμοιγε* Ddf.: *καί μοι γε* O *κακείνωσ* D (*κἀκεῖν' ὡσ* Baroc. 136) 23 *με*] *μοι* D 25 *ἕτερον* D *τῶι — 204, 1 γεγονότι* A, *τὸ — γεγονότι* R: *τὸ — γεγο-*

δράτου γεγονότι χωρὶς τῶν ἄλλων τῶν ἐκείνῳ προσόντων ἀναστρέ-
9 φει πρὸς τοὺς λοιποὺς τὸ πλεονέκτημα. τοῖς μέν γε αὐτὸ τοῦτο
ὑπάρχει φιλοτιμεῖσθαι τὸ πολίτας εἶναι, καὶ τοῦτ᾽ ἔστιν αὐτοῖς
τὸ μέγιστον, ὥσπερ οὖν ἔστιν· ὁ δ᾽ ὑπὸ τοῦ θεοῦ κληθεὶς ὡς
ἀναληψόμενος τὴν πόλιν ὑπὸ χρόνου κεκμηκυῖαν αὐτὸ τοῦτο ὅπερ 70 J
ἐστὶν ἐποίησεν, ὥστ᾽ εἶναι λοιπὸν τὰ μὲν ἄλλα γένη τῆς πόλεως
φάσκειν, τοῦδε δὲ τοῦ γένους τὴν πόλιν· καίτοι τοῦτό γε οὐκ ἐμὸς
ὁ λόγος, ἀλλ᾽ ἡ πόλις αὐτὴ συνομολογεῖ καὶ κέκραγεν ἐν τοῖς 117 D
βουλευτηρίοις, ἐν τοῖς θεάτροις, ἐν ταῖς ἐκκλησίαις, ἐν ᾧ μέρει
10 καὶ φήσαις, ἐπεὶ καὶ πᾶν ὑπ᾽ ἐκείνου κεκόσμηται. Τούτων δὲ
οὕτως ἐχόντων, ὅσα μὲν ἔγγονοί τε καὶ παῖδες ἐκείνου καὶ παίδων

νέναι DUT; Quadrati gentis progeniei praeter alia eximia, quae ei sunt, id singulare est, quod quae aliorum est laus (ingenuitas nempe), ea illi quasi in contrarium conversa obvenit; ceterae enim gentes in eo gloriantur, quod ipsae sunt civitatis Pergamenae, huic genti gloria propria, quod ipsius est civitas Pergamena
5 ὑπὸ τοῦ χρόνου T 7 τοῦδε δὲ DUTA² in ras. arctiore: τοῦδε R (et certo A¹) οὐκ ἐμὸς ὁ λόγος ἀλλὰ] ad Euripid. Melanippae κοὐκ ἐμὸς ὁ μῦθος, ἀλλ᾽ ἐμῆς μητρὸς πάρα (frg. 484 N.²); cf. pro Rhetor. II p. 41, 21 Ddf.
8 ὁ om. DU 9 ᾧ DU: τῷ ART 11 ἔγγονοί] ἐκεῖνός Rsk., falsus. haec orator (§ 10—12): 'Quae cum ita sint (quoniam de Quadrato locum absolvi), bene me rem ita esse administraturum confido, ut praetermissis iis, qui Quadratum in gentis progenie proxime insecuti sunt, ad eos me convertam qui aetatis sunt nostrae. praetermittam autem illos propterea, quia tam magnae illorum res videntur esse, ut, nisi splendida quadam quis utitur fortuna, difficillimum sit memoriam vel unius (ἑνὸς p. 205, 5) e summis illis viris delecti digne persequi. cur igitur in totius gentis memoria ita pericliter, ut non solum eas res, quae nobis spectantibus et praesentibus fiebant, tractem (non seponam, ἐγκαταλιπὼν sc. ἐν τῷ λόγῳ), sed etiam pristinas illas res oratione prosequar praeter recentiores has (πρὸς τοῖς προκειμένοις, quae cum ne ipsae quidem parvae, fortasse maiores priscis sint, proprium quasi votum requirunt (quo deorum auxilium ad tractandas maximas illas res mihi conciliem)? ergo optimum visum est de intermediis pueri maioribus (qui inter Quadratum et Apellam avum fuerunt) verba non facere, sed de iis, qui quadantenus (paulo ante enim mortui erant, de quibus dicturus est, avus et pater Apellae) oculis nostris obversantur, breviter catenus dicere, quatenus ad rem praesentem opus esse videtur. ipsum autem pueri nomen memoriam eorum, quae ad hanc meam orationem faciunt, suggerit (Apellas Frontonis filius), quippe quod nomina eorum de quibus dicturus sum complectatur (p. 205, 12). atque Frontonem patrem sat est dicere omnium virtutum participem fuisse; quibus vero laudibus Apellam avum extollam?' Ex his consequitur Apellam maiorem Quadrati filium non fuisse, sed fuisse qui inter Apellam maiorem et Quadratum intercederent; quam rationem confirmant p. 206, 4 sq. τοῦ πάππου — τῶν λοιπῶν προγόνων, quorum postrema, si unus Quadratus intellegendus esset, sensu carerent. iam vero si Apellas minor non nepos Quadrati, qui etiam a. 114 p. Chr. inter viros fuit (Fränkel ad Inschr. v. Pergam. n. 451), habendus est, fieri non potest, ut orationem ab Aristide viginti novem annos

*παῖδες, τοῦτο δὴ τὸ ποιητικόν, τὴν Ῥωμαίων ἑλόμενοι πολιτείαν
λαμπροὶ λαμπρῶς διῆλθον, ὀρθῶς ἄν μοι δοκῶ ποιῆσαι παραλι-
πών. μικρῶν μέν γε ὄντων ἐμέμνητ' ἄν τις ἀεὶ τὸ προστυχὸν τῷ
λόγῳ σεμνύνων, μεγάλων δ' ὄντων, οὐ μὲν οὖν ἐχόντων ὑπερβολὴν*
118 D *ὥστ' ἔργον ἑνὸς εἶναι μνησθέντα διελθεῖν ἀξίως μὴ σύν τινι λαμ-
πρᾷ τύχῃ τοῦ λόγου, τί ἄν τις τά γ' ἐν χερσὶν ἐγκαταλιπών, ἃ μηδ' αὐτὰ
μικρὰ — εἰ μὴ καὶ μείζω τῶν ἀρχαίων ἐκείνων — ὄντα εὐχῆς προσ-
δεῖται, περὶ τοῦ παντὸς ἔτι πρὸς τοῖς προκειμένοις ἀποκινδυνεύοι;
κράτιστον δ' ἂν εἴη τοὺς διὰ μέσου προγόνους τοῦ πάντα ἀρίστου
παιδὸς ἀφέντα, τῶν γ' ἐν ὀφθαλμοῖς τρόπον τινὰ ὄντων μνη-
σθῆναι βραχέα, καὶ τούτων ὅσα γε πρὸς τὸν παρόντα τείνει λόγον.
ὑποβάλλει δ' αὐτὸ τοὔνομα τοῦ παιδός, ὥστ' οἴκοθεν οἴκαδε
γένους τε ὁμοίως καὶ λόγου τὴν ἀρχὴν δίδωσιν.*

Γενναῖος μὲν δὴ καὶ καλὸς κἀγαθὸς καὶ πᾶσαν μετελθὼν 11
*ἀρετήν, ὅσης ἄνθρωπον ἡ φύσις ἠξίωσεν τῶν ὀνομάτων τουν-
τωνὶ γενόμενον, ⟨ὁ⟩ πατὴρ τοῦδε τοῦ παιδός, ὁ Φρόντων, περὶ οὗ
τί ἂν λέγοιμεν, προληψομένων ἅ τις ἂν εἴποι τῶν ἀκροωμένων,
ἅτ' οἶμαι μὴ πάλαι μεταστάντος τἀνδρὸς εἰς τὴν καλλίω τε καὶ
θεοφιλεστέραν λῆξιν, πλὴν εἴ τις Ὁμηρικῶς* (δ 611) *βραχείᾳ προσ-
ρήσει τὸ πᾶν δηλώσειεν εἰπὼν 'αἵματος εἶς ἀγαθοῖο, φίλον τέκος'.*
71 J *ἀλλ' ὁ τοῦ πατρὸς αὐτῷ πατήρ, τούτῳ δὲ ὁμώνυμος, Ἀπελλᾶς* 12
119 D *ἐκεῖνος — ἀρχὴν γὰρ οἶμαι ταύτην μικρῷ πρόσθεν ὁ λόγος ἐν-
εδίδου — ποῖός τις ἡμῖν; τῶν μὲν ἄλλων οὐδὲν εἴποιμ' ἂν τῶν ἀδο-*

---

nato (secundum subscriptionem) habitam esse censeas: Apellas minor Quadrati pronepos (vel quo eum nomine significare mavis) ad seriora tempora revocandus, quam quae certis finibus vitae Aristidis conveniant (cf. Berl. philol. Wochenschr. 1896, 1609)

1 *τὸ ποιητικόν*] cf. Plat. rp. II 363 D 3 *ἐμέμνητο|ἂν* D *αἰεὶ* A[r]UT[2] 5 *ἔργον — τύχῃ*] cf. Panath. I p. 151, 15. 18 Ddf. *ἑνὸσ* ART: om. DU *εἶναι* T: *εἶναι μέρουσ* ARDU *ἀξίως* om. R[1] 7 *εὐχῆς προσδεῖται*] cf. or. XXVI § 2 9 *πάντ'* U; *παντὸσ* D 10 *τρόπων* R[1]T a. ras. 13 *γένους*] hic *γένος* non de tota Quadrati gente, sed de ea gentis familia sola dictum, quam ultra avum Apellam se persequi noluisse orator significat vv. *ἀρχὴν — ταύτην μικρῷ πρόσθεν* (v. 22), quae ad nostrum locum referenda 14 *κἀγαθὸς*] *καὶ ἀγαθὸσ* T 15 *ὅσησ ἄνθρωπον* sic O *ὀνομάτων*] *'νομ* in ras. R[2] 15. 16 *τουτωνὶ γενόμενον, ὁ* scripsi: *τούτων, εἰ* (*εἶτα* A[2]) *γενόμενοσ* ARDT, *τούτων ὁ γενόμενοσ* U; omnem virtutem Fronto exercuit, quam per humanam naturam licet exercere ei, cui alterautra ex appellationibus illis (patris nempe et avi, cf. v. 12) obvenit, i. e. pater bonus erat. ΓΕΝΟΜ/Ο pro *γενόμενοσ* habuerunt scribae *πατὴρ* om. T[1] *τοῦδε | παιδὸσ* R[1] 20 *εἰπὼν* om. T[1] *ἦσ* R[1] post *τέκος* add. *οἷ' ἀγορεύεισ* R ex Homero 21 *αὐτῷ*] *αὖ* Rsk.[2] *ὁμώνυμοσ δὲ τούτω* T 22 *ἀρχὴν*] cf. ad v. 13 23 *οὐδὲν ἂν εἴποιμ' ἂν* RD

μένων εἰς μέσον, οὐκ ἀνδρείαν, οὐ μεγαλοψυχίαν, οὐχ ὅσων ἐθνῶν
ἐπῆρξεν, οὐδ' ὅσας τιμὰς ἐκ βασιλέων ἐκαρπώσατο, τούτων οὐδέν·
ταῦτα μὲν γὰρ εὔξασθαι δεῖ ποτ' εἰπεῖν περὶ τοῦδε τοῦ νῦν ὄντος
ἡμῖν, καὶ χρηστάς γ' ἔχειν ἐλπίδας ὡς πατρὸς ἀμείνων οὐ μόνον
οὗτός γε, ἀλλὰ καὶ πάππου, προσθήσω δ' ὅτι καὶ τῶν λοιπῶν
προγόνων καθεστήξει, δοκοῦν τοῖς τε ἄλλοις θεοῖς καὶ τῷ Παιῶνι.
13 *ἀλλ' ὃ κοινὸν ἤδη θεωρῶ τούτῳ τε κἀκείνῳ καθάπερ τοὔνομα,*
τούτου μοι μνησθῆναι δοκῶ τὰ νῦν ἐν καιρῷ, καὶ μάλ' †ἀρχόμενος
τοῦ λόγου τὸ πρόσω περαίνειν ὑπερβῆναί θ' ὑπὸ περιττῆς ἡδονῆς
14 *οὐκ ἔχων. ἀτάρ, ὦ δέσποτ' Ἀσκληπιέ — μικρῷ μέν σε πρόσθεν ἐπὶ*
ταῖς εὐχαῖς ἐκάλουν, παρείης δ' ἐπὶ παντὶ καὶ μάλιστ' ἐπὶ τοῖς
νυνὶ λεγομένοις —, ὦ δέσποτα, σὸν ἔργον ἦν ἄρα καὶ τοῦτο καὶ τῆς
σῆς χάριτος σόφισμα. πρότερον μὲν γὰρ τὸν Ἀπελλᾶν ἐκεῖνον
οὕτω σφόδρ' ἐποιήσω φίλον ὥστ' οὔτ' ἀναπαυομένου σύ γε καὶ
καθεύδοντος ἠμέλεις οὔτ' ἐγρηγορότος καὶ πονοῦντος ἀφίστασο,
ἀλλ' ἡμέρα τε καὶ νὺξ ἐποίει ταὐτὸ πάντα τρόπον ἐκ μέσου, φασί,
πυρὸς τὸν ἄνδρα σῴζειν· τίνα δ' οὐκ ἂν οὗτός γε καὶ ἐκ 'πυρὸς
αἰθομένοιο' βουληθεὶς ἀναρπάσειεν, ὅπου γε καὶ πυρὶ σῴσειεν
15 *ἄν, εἰ τοῦτο βούλοιτο; νυνὶ δ', ὡς ἔοικεν, ἡμῖν ἕτερον ἀντ'* 120
αὐτοῦ τὸν θεράποντα σεαυτῷ τρέφεις, ὥσθ' ὁμοῦ τοὔνομα τοῦ
πάππου καὶ τὴν ἐκ σοῦ τιμὴν αὐτὸν διαδέχεσθαι. καί μοι δοκῶ σέ
τ' ἂν φιλονικῆσαι τῷ πατρὶ τῷ σῷ κἀμαυτὸν Ὁμήρῳ κατὰ τοῦτο·
σοί τε γὰρ ἄμεινον τῷ παντὶ τοῦ Δηλίου παρὰ τοῖς βωμοῖς βλα-

---

1 *ἀνδρίαν* DUR[2] (*l* in ras.) 2 *ὑπῆρξεν* RDU[1] *οὐδ'* Ddf.: *οὔθ'* O *βασιλέωσ* (ν supra) U pr. m. 4 *πατρὸς* — 6 *προγόνων*] ita ut Apellas vel eam, quam Homerus (*β* 276 sq. *παῖδες—παυροὶ δέ τε πατρὸς ἀρείους*) summam liberorum laudem dixit, superet 7 *ἀλλ' ὃ κτέ.*] dicit: ut nomen idem nepoti est quod avo, ita idem Aesculapii favor et benevolentia erga nepotem atque erga avum 8 *ἀρχόμενοσ τῶ πρόσω* (omissis *τοῦ λόγου*) R; verba corrupta; pro *ἀρχόμενος* ci. *ὀρεγόμενος* vel *γλιχόμενος* Rsk., ita ut v. 9 pro *θ'* e Junt. *δ'* reciperet, hoc fortasse verum 10 *ἀτάρ*] cf. Schmid p. 303; v. 9—11 distinxit Wil. 11 *παρίησ* R *μάλιστα* DU 12 *ἔργον ἦν ἄρα* AT: *ἦν ἔργον ἄρα* RD, *ἔργον ἄρ' ἦν* U 14 *σφόδρα* DU *καὶ* om. R[1] (Baroc. 136) 16 *ἡμέρα* (= -*ρᾳ*) *τε καὶ νυκτὶ* D; sententia: nihil referebat dies noxne esset ad servandum virum illum; *σῴζειν* sc. *ὥστε*; *σῴζων* ci. Wil., quod ex *ἀφίστασο* aptum vult (distinguens *ταὐτό, πάντα*) *ταυτὸ*(.) *πάντα* DTU[2]: *ταῦτα πάντα* A[1]U[1], *ταῦτ'· ἅπαντα* R (*ταῦθ' ἁπάντα* A[2]) 17 *τὸν ἄνδρα — ἐκ πυρὸς* om. R[1]D *πυρὸς αἰθομένοιο*] e. g. Hom. *K* 597 18 *γε* sic O *πυρὶ σώσειεν ἂν* sic D, *πῦρ ἴσωσ εἶεν ἂν* AR: *πῦρ· ἴσώσ εἴη ἂν* UT; nota ineptum lusum *ἐκ πυρὸς — πυρὶ σῴζειν* 19 *ἀντ'* om. AR 21 *καί μοι* sic O; *δοκῶ μοι* c. acc. c. inf. non Aristideum (cf. Schmid p. 96) 22 *φιλονεικῆσαι* O, fort. tamen apud hunc scriptorem tolerandum *πατρὶ*] Aesculapii *κατὰ τοῦτο* DUT: *κατὰ τούτον* A, *κατουτοι* (τα supra) R, *τα* add. R[2] 23 *τοῦ|δ' ἡλίου* R; *Δηλίου* sc. *φυτοῦ*

*στάνει τὸ φυτόν, ἐμοί τ' ἔξεστιν αὐτὸ φῆσαι σόν γ' εἶναι φυτόν,
ἀλλ' οὐχ ἑτέρῳ καθάπερ ἐκεῖνος ἀπεικάσαι. Πῶς δ' οὐχὶ τοῦ* 16
*σωτῆρος αὐτοῦ τὸ πρέμνον, καὶ μάλ' ἐν ἀκηράτοις Χαρίτων
κήποις, ἐξ οὗ τῆς μακαρίας προῆλθε γαστρός, ἐκτρεφόμενον;*
72 J *ἔξεστι δ' οὐ μόνον αὐτὸ ταῖς ῥίζαις τοῦ γένους, αἳ δὴ προειρην-
ται, ἀλλὰ καὶ τοῖς ἐπανθοῦσιν αὐτῷ κατὰ ταυτηνὶ τὴν ἡλικίαν
συμβαλεῖν καὶ μάλ' ἐναργῶς, κἀκ τῶν εἰς ψυχὴν κἀκ τῶν εἰς σῶμα
φερόντων οὑτωσὶ διελόμενον. τὸ μέν γε τῆς ψυχῆς πρᾶον φθάνει* 17
*τὴν ἀκμὴν τῆς ἡλικίας σπεῦδον εἰς τὸ γῆρας, οὐ μὴν κεκμηκυίᾳ
προσέοικεν ἡ πραότης, οἵαν ἐνειργάσαντο πολλοῖς αἱ κατὰ τὸν
βίον ἀνάγκαι, συνηβᾷ δὲ ἀνακεκραμένη πρέποντι φρονήματι. θεω-
ρείτω δ' ἀπὸ τῆς βολῆς τῶν ὀφθαλμῶν, εἴ τις ἀπολέλειπται τοῦ
μαθεῖν ἔργῳ τὸ λεγόμενον· οὔτε γὰρ ἐπανεστᾶσιν ἀτενεῖς οὔτε
ὕπνῳ δή τινι καθῃρημένοις ἐοίκασιν ὑπὸ ταπεινότητος, ἀλλ'
ἡσυχῇ σεμνότης ἥμερος ἐγείρει τὸ βλέμμα. χάρις τοίνυν, ἡ παισὶν* 18
*ἐκ θεῶν δῶρον προτεθεῖσα καθάπερ ἔκ τινος ὁμολογίας, οὔ τί
που γυμνὴ κατὰ τοὺς ζωγράφους, ἀλλ' αἰδῶ πολλὴν ἐπαμφιασα-
μένη, πᾶσι τοῖς μέρεσιν ἐντέτηκεν. οὐκοῦν οὔτε ἐμειδίασεν ἄλλος
σὺν Ἀφροδίτῃ τοσαύτῃ οὔτε μὴν ἔστησεν ἐρυθήματι κινούμενον*
121 D *ἤδη τὸν γέλωτα. οὐ τοίνυν οὔτε τὸ θυμοειδὲς αὐτὸν ἐπιλέλοιπεν,
ᾧ τεκμήραιτ' ἄν τις τὴν ἀρρένων φύσιν, οὐδέ γε εἰς ἀγρίαν καὶ
θηριώδη ταύτην ἐρεθιζόμενον ἐπεξῆκται· δείγματα δ' ἀμφοῖν τού-*

---

1 *αὐτὸν* U a. ras. *εἶναι τὸ φυτόν* T 2 *ἑτέρῳ* ARD(U^1?): *ἕτερον* TU^2; sententia: 'ego Apellam plantam tuam dicere possum, aliter atque Homerus, qui Nausicaam non simpliciter Apollinis plantam dicit, sed comparat tantum cum alia (*ἑτέρῳ*), Apollinis planta Deliaca'; Hom. ζ 162 sqq. 3 *ἐν ἀκηράτοις Χαρίτων κήποις*] miscet Pindari *ἐξαίρετον Χαρίτων νέμομαι κᾶπον* (O. IX 27) et Euripidis *ἀλλ' ἀκήρατον — λειμῶν' ἐαρινὸν διέρχεται. Αἰδὼς δὲ — κηπεύει* (Hippol. 76 sqq.); cf. v. 15 et 17 *χάρις — αἰδῶ* 4 *τῆς μακαρίας — γαστρός*] haec meo quidem iudicio ab Aristidis natura et indole abhorrent 5 *ἔξεστι δ' αὐτὸ, οὐ μόνον ταῖσ* T 7 *καὶ* s. l. U^1 post *ψυχὴν* c. xv litt. erasae T (spatium lineolis repletum) 8 *τὸ μὲν γε κτἑ.*] cf. p. 213, 9 sq. 9 *οὐ⟨δὲ⟩ μὴν* Schwarz l. c. 86 *κεκμηκυίᾳ* T: *κεκμηκυῖα* ARDU; cf. *καθῃρημένοις* v. 14 12 *ὀφθαλμῶν*] *ὀμμάτων* D 13 *ἐπανεστᾶσιν* TU: *ἐπαναστᾶσιν* AR^2D (-*τάσιν*), *ἐπανάστασιν* R^1 14 *καθῃραμένοισ* U 15 *σεμνότησ ἥμεροσ* AR: *σεμνότητοσ ἵμεροσ* D (ἴ-)UT *ἐγείρει* A^1 (cf. *ὕπνῳ* v. 14): *ἐρείδει* RDUT, *ἐνείρει* A^r 16 *προστεθεῖσα* ci. Cumont l. c.; *χάρις* tanquam praemium (*δῶρον*) pueris ex stipulatione (ut fit in certaminibus) proposita 17 *κατὰ τοὺς*] *κατ' αὐτοὺσ* R 19 *μὴν*] *μὲν* A^1, corr. A^r 22 *ταύτην*] *ὀργὴν* Rsk., *ταραχὴν* Jacobs Lect. Stob. p. 66, *λύτταν* Cumont l. c.; at ut *ἐρεθιζόμενον* ad *τὸ θυμοειδὲς* sic *ταύτην* ad *φύσιν* referendum: 'ut non tam virilis quam bestialis naturae (*τὸ θυμοειδές*) videatur esse' *ἐξῆκται* T

των αὐτὸς παρέσχηται, νῦν μὲν τῷ προσώπῳ τὴν κίνησιν τῆς
ψυχῆς ἐπίδηλος ὤν, νῦν δὲ ἀτρέμα πείθων αὐτὴν ἡσυχάσαι καὶ
19 γαλήνην ἱστάς. Πειθὼ δὲ ἐν ταῖς σπουδαῖς καὶ παιδιαῖς τίς ἂν
ἀπὸ τῶν τούτου χειλῶν ἀναστήσειεν οὐ φθεγξαμένου μόνον, ἀλλὰ
καὶ σιωπῶντος; οὔτε γὰρ εἰπὼν ἄν τις ἐντρέψειεν οὕτως ὡς οὗτος
ὃ βούλεται τῇ σιωπῇ προδείξας, οὔτ᾽ ἂν ὁ Νέστωρ ἔτι δόξειεν
[ἂν], γέρων γε ὢν ἐκεῖνος, ἐοικότα φθέγγεσθαι μέλιτι παρὰ τοῦ-
τον ἐξετασθείς. συνελόντι δ᾽ οὔτε σπουδάζει δίχα φαιδρότητος,
ἀλλὰ πᾶν, κἂν ᾖ χαλεπόν, οὐκ ἔστιν ἑορτῆς ἄνευ πραχθῆναι, τό
20 τε ἐν τῷ μέρει τερπνὸν αὐτῷ σπουδῆς οὐκ ἀπήλλακται. εἰ δὲ
ὀρθῶς ἡμῖν ὁ τοῦ Πλάτωνος ἐπικελεύει λόγος, χρὴ δὲ οἴεσθαι 73 J
τοῦτο οὕτως ἔχειν, ὥστε ἐν ταῖς παιδιαῖς ʽτῶν μαθημάτων ὅσα
ἀναγκαῖα προμεμαθηκέναι προμανθάνειν, οἷον τέκτονα μετρεῖν ἢ
σταθμᾶσθαι, καὶ πολεμικὸν ἱππεύειν παίζοντα ἤ τι τῶν τοιούτων
ἄλλο ποιοῦντα, καὶ πειρᾶσθαι διὰ τῶν παιδιῶν ἐκεῖσε τρέπειν
τὰς ἡδονὰς καὶ ἐπιθυμίας τῶν παίδων οἷ ἀφικομένους δεῖ τέλος
ἔχειν᾽, τοῦτ᾽ εἰ δεῖ φῆσαι καλῶς ἔχειν τῷ Πλάτωνι — καὶ γάρ πως
ἔτυχον αὐτῶν ἀπομνημονεύσας οὔτ᾽ ἀφελὼν οὐδὲν οὔτε προσθείς —,
τίς [ἂν] ἡμῖν ἐκ τῆς ἀ⟨γέ⟩λης τῶν παίδων, ᾧ γε ἵππων μὲν ἁμιλ-

---

2 ἐπίδηλος ὢν] ἐπιδηλῶν ci. Rsk. 3 Πειθὼ] iam Suadam inducit Gratiarum (cf. p. 207, 3) comitem; nota frigidissimam transitionem (πείθω — πειθώ) παιδίαισ A[1] (corr. A[r]), eadem mg. add. παιδείαισ 4 χειλέων U, cf. v. l. p. 182, 9 ἀναστήσειεν] ἀποστήσειεν ci. Cumont l. c.; sententia: ʽSuadam, quae labris Apellae insidet, nemo e sede hac ita excitaverit, ut pueri voluntati non utique oboediens sit᾽ (i. e. quivis summa Apellae pulchritudine et eloquentia se subigi patitur); ineptissime invertit Eupolidis (frg. 94, 5 K.) de Periclis eloquentia dictum πειθώ τις ἐπεκάθιζεν ἐπὶ τοῖς χείλεσιν 5 οὕτως] οὗτος, ut videtur, R[1] 7 ἂν secl. Cumont l. c. μέλιτι] cf. Hom. A 249 τοῦτον] τούτω, solum ω (non accentus) R[2] in ras. (R[1] incertum) 8 οὔτε ART: οὔποτε DU δίχα] apud Aristidem unicum foret exemplum, cf. Schmid p. 95 9 ἑορτῆς ἄνευ] ἄνευ pronomini subiunctum (ut pro Rhet. II p. 14, 18 Ddf. τούτων ἄνευ, Schmid p. 64) apud scriptores Atticos invenitur, substantivo subiunctum poeticum, quare Aristides eo uti non solet. ʽἑορτῆς corruptum᾽ Pierson (cf. ad p. 171, 22); at cf. Plat. Phaedr. 276 B παιδιᾶς τε καὶ ἑορτῆς χάριν δρῴη ἄν, qui locus cuivis sophistae causa fieri potuit dilatandi vocis ἑορτῆς notionis propriae fines πραχθῆναι ADUT: προαχθῆναι RT[2] mg. c. γρ. 12 παιδιαῖσ καὶ τῶν R, locus Platonicus (Leg. I 643 C) incipit καὶ δὴ καὶ τῶν μαθημάτων; cf. v. l. p. 205, 20 15 ποιοῦντα sic O 16 ἀφικόμενοσ U ἀφικομένους αὐτοὺς δεῖ Plat. (Euseb.) 17 τοῦτ᾽ εἰ] τ᾽ εἰ in ras. A[2] (A[1] incertum) 19 ἂν seclusi τῆς ἀγέλης scripsi: τῆς ἄλησ T, τῆς ἄλλησ A[1]RDU; τῆσ ἄλλησ τῶν παίδων συμμορίασ τούτω παράλληλοσ A[2]; ἀγέλαι (παίδων et ἀνδρῶν) Plat. legg. VII 794 A, III 694 E; ceterum praeter Lacedaemoniorum et Cretensium notissimae ἀγέλαι νέων ex inscriptionibus Asiaticis γ᾽ T

λαι καὶ κυνῶν ἀσκήσεις ἀφεῖνται, τοσούτου δεῖ τι τῶν χειρόνων
122 D νοσεῖν ἢ κατὰ ταῦτα ἐν οἷς ὅ τε νῦν βίος ἐστὶν αὐτῷ καὶ ὁ λοιπὸς
μέλλει γενήσεσθαι; λέγων δ' .... ἀγῶνες παιδικοὶ κατὰ τὰς παλαί-
στρας καὶ λόγων ἅμιλλαι· προϊὼν δ' ἤδη τῇ παιδιᾷ μαντεύεται 21
τὸ μέλλον ἀτεχνῶς τὴν ἑαυτοῦ τύχην γυμνάζων, καὶ δικαστὴς ἤδη
κάθηται. πάντως οὐκ ἠγνόηκεν ἡ φύσις τὴν διὰ τῆς παιδιᾶς
ὁδὸν ἐπὶ τὴν ἀληθῆ τύχην, καὶ τούτῳ γε οὐκ ἄν τις ἐπιτιμήσειεν
ὡς ἀδίκως δικάσαντι, καθάπερ τῷ Κύρῳ φασὶ τὸν διδάσκαλον τῆς
δικαιοσύνης, ἐπεὶ καὶ Κύρου τὴν δικαστικήν ἐστι σοφώτερος, παρ'
οὐδενὸς αὐτὴν ἐκμαθών. τοιοῦτόν ἐστι καθαρὰ φύσις, ἐξ ἀκηράτου 22
γε τοῦ κηροῦ πλασθεῖσα κατὰ τὸν Πλάτωνα (Theaet. 194 E), μέσην
ὑγροῦ τε καὶ μαλθακοῦ καὶ τοῦ σκληροῦ καὶ λιθώδους τὴν πλάσιν
ἔχουσα. τί δ' ἂν εἴποις, ὅταν εἰς θεὸν ἡγεμόνα τοῦ παντὸς ἀναφέρῃ
καὶ θεόν, ᾧ μέλειν ἐκ προγόνων αὐτὸς ἐδόθη, πρέπων γε πατέρων
ἀγαθῶν ἀγαθὸς διάδοχος ἔκγονός τε καὶ παῖς καὶ πᾶν ὅσον προσει-
πεῖν ἔξεστιν; Ὦ τρὶς ἐκεῖνοι καὶ πολλάκις εὐδαίμονες, οἳ τὴν μόνην 23
τῷ γένει τῷ τῶν ἀνθρώπων ἀποδοθεῖσαν ἀθανασίαν ἐν σοὶ καρ-
123 D πούμενοι, καὶ μετὰ τῆς μνήμης τῆς ἑαυτῶν κλῆρόν σοι μεγαλο-
πρεπέστερον τῶν ὑπό τε γῆς καὶ ὑπὲρ γῆς θησαυρῶν καταλιπόντες
τὴν ἑαυτῶν δόξαν, ἧς ἐπιβιβάζει σε τὰ νῦν ἀσφαλῶς ⟨ὁ⟩ θεὸς αὐτὸς
74 J ἐπιστὰς αὐτὸν αἰτήσας ὅσον αὐτός τε ἐβούλετο καὶ τοῦ γένους ἡ
πρόσθεν ἀπῄτει τάξις. οἷα γὰρ οἷα ταυτηνὶ τὴν μακαρίαν ἡμέραν 24

2 *νοσεῖν*] intellege: *τοσούτου δεῖ νοσωδῶς (τὴν διάνοιαν) διακεῖσθαι πρός τι τούτων* (sc. *ἵππων — ἀσκήσεις* p. 208, 19 sq.), *ἃ δὴ χείρω τούτων ἐστὶν ἐν οἷς κτἑ.* *ἐστὶν* om. U 3 *μέλλει γενήσεσθαι* DUT: *μέλλει ἐνήσεσθαι* AR (unde *ἐνέσεσθαι* ci. Ddf., at hiatum fugit orationis auctor) *λέγων* A a. ras. R: *λόγων* DUT, *λέγω* A p. ras. (Junt.) lacunam indicavi; e. g. *λέγων δὲ ⟨καὶ πράττων καὶ παίζων καὶ σπουδάζων ἐμφανῶς ἐνδείκνυται ὅτι πάντ' αὐτῷ νῦν⟩ ἀγῶνες —, προϊὼν δ' ἤδη τῇ παιδιᾷ κτἑ.* *παιδικοὶ* scripsi: *παῖδεσ οἱ* O 4 *προϊὼν*] i. e. graviora tractans vel quae provectioris sunt lusus; tamen *τῇ παιδιᾷ* ad *μαντεύεται — γυμνάζων* redit (*ἡ ἀληθὴς τύχη* 'condicio futura' opposita) 6 *πάντωσ* A: *πάντωσ δ'* RDUT; cf. p. 210, 13 sq. *ἠγνόησεν* T, *ἠγνόηται* D *τὴν*] *τῆσ* R 8 *ὡσ|δ' ἀδίκωσ* R *φασὶ*] Xenoph. Cyr. I 3, 16 sqq. (Wil.), cf. Herod. I 114 11 *τὸν* erasum R 12 *⟨τοῦ⟩ ὑγροῦ* Cumont l. c. 13 *ἀναφέρῃ*] non ad *φύσιν*, sed ad deum ipse Apellas virtutem (iustitiam) suam refert 14 *καὶ θεῶν* U[1] *μέλλειν* T a. ras. *αὐτὸς* scripsi: *αὐτῶν* ARDT, *αὐτῷ* U 15 *ἔγγονοσ* D 17 alterum *τῷ* om. T; sententia e Plat. symp. 208 B (206 E) 18 *κλῆρόν κτἑ.*] imitatur [Plat.] Menex. 247 B (Kaibel) 19 *τῶν δ' ὑπό τε* R *γῆσ* ART: *γῆν* DU *ὑπὲρ* Rsk.: *περὶ* O *γῆς* scripsi: *γῆν* O, cf. p. 31, 20 (v. l.) 20 *ἐπιβιβάζει*] verbi (ut *ἐπιβαίνειν*) c. gen. coniuncti alterum exemplum schol. Aristoph. pac. 141 *ὁ* add. Wil. 21 *αὐτὸν αἰτήσασ* ARD, *αὐτὸν αἰτήσασ* U: *αὐτὸσ αἰτήσασ* T *τε* R (ci. Ddf.): *γε* ADUT. 22 *οἷα — οἷα* O (edd.; corr. Schwarz l. c. p. 87)

*καὶ θεοῖς κεχαρισμένην ἑτέρα μετ᾽ οὐ πολὺ διαδέξεται, δυοῖν ἀρ-
χαῖν ἔτους ἑνὸς εἰς ταὐτὸ συνιουσῶν· ἥ τε γὰρ παροῦσά σοι τῆς
γενέσεως ἀρχὴ μέγιστον, ἀγαθὸν ἐπάγουσα τὸν ἐνιαυτὸν ἐξ ἀρχῆς
εἰς τέλος, ἥ τε αὐτίκα διαδεξομένη ταύτην ἑτέρα πάλιν ἀρχή,
καὶ ταῦθ᾽ ἑνὸς οὖσα ἔτους καὶ ταὐτοῦ, καθέστηκεν, τὸ πατρῷόν*
25 *σοι ⟨καὶ⟩ προγονικὸν ἐπὶ χρηστῇ τύχῃ στρόφιον ἀποδιδοῦσα. καί
μοι δοκεῖ προλαβὼν ὁ θεὸς τὴν [ἔτι παίδων] . . . νενομισμένην τιμὴν
ἐπὶ τοῖς τῶν ἱερῶν Ἀσκληπιείων ἄθλοις ἀποδοῦναί σοι, πατρόθεν,* 124 D
*ὡς πολλάκις εἴρηται, κἀκ τῶν ἄνωθεν πρὸ τοῦ πατρὸς εἰς σὲ
καθήκουσαν, ὥσθ᾽ ἅμα τε πεπληρωκέναι πᾶν ὅσον ἦν θέμις καὶ
μεταβαίνοντα λοιπὸν ἐκ παίδων εἰς ἄνδρας, ᾗπερ οὖν ὁ βασίλειος
τάττει νόμος, ἀποδεδόσθαι λοιπὸν ἤδη ταῖς ἐκ τοῦ βασιλέως εἰς*
26 *σὲ τιμαῖς, ἃς τοῖς τηλικούτοις ἀνδρουμένοις ἤδη νέμει. πάν-
τως οὐ πόρρω μαντικῆς ἡμῖν ἐστιν, Ἀπόλλωνος ὤν. ὦ χρη-*

---

1 *δυεῖν* A(at *ει* puncto notavit A^r) D *δυοῖν|||ἀρχαῖν* U 1. 2 *ἀρχαῖσ* ex *ἀρχαῖν* ut vid. (non invicem) corr. T^1 2 *ταυτὸν* U 3 *μέγιστον*] praedicatum, sc. *καθέστηκεν* v. 5; *ἀρχὴ μεστὸν ἀγαθῶν* ci. Rsk. *ἀγαθὸν* RDUT: *ἀγαθῶν* A 4 *ἥ τε κτέ.*] intellege: *ἡ — διαδεξομένη* (sc. *ἀρχή*, 'initium'; subiectum) *καθέστηκεν ἑτέρα πάλιν ἀρχή* ('munus'; praedicatum), *καὶ ταῦθ᾽ ἑνός — ταὐτοῦ*, i. e. et haec *ἀρχή* unum (totum) annum complectitur eundemque cuius altera illa *ἀρχή* (initium) est 5 *οὖσα* scripsi: *ὄντοσ* O *ἑνὸσ ἔτουσ ὄντοσ* U *καὶ ταῦτ᾽ οὐ* A^1 (-*τ᾽ οὖ* A^r) R 6 *καὶ* add. Rsk. *στρόφιον* Schwarz l. c. p. 90: *τροφεῖον* O 7 *δοκεῖ* O: *δοκεῖν* A^r *ἔτι παίδων* seclusi: *ἔτι* ART, *ἔτ᾽ ἐκ* D *ἔτι|ἐκ* U; *ἐπὶ* Baroc. 136, quod probaverunt Jebb, Ddf., Schwarz, *τὴν ⟨οὐκ⟩ ἐπὶ παίδων νενομισμένην* vel *τὴν ἐπὶ παίδων ⟨οὐ⟩ νενομισμένην* Rsk., qui omnes v. *προλαβών* refutantur; *ἔτι παίδων* aut interpolatum aut corruptum ex *ἔτι παιδὶ* (*παι* with *δ* above), quod glossema ad *προλαβὼν* (— *ἀποδοῦναί σοι*) extrusit notionem velut *ἀνδράσι* 8 *Ἀσκληπιείων* scripsi (apud atticistam): *ἀσκληπείων* ADUT^2, *ἀσκληπίων* R(-*ιῶν*) T^1, quod utrumque in nummis et inscriptionibus (Head. H. N. p. 443. 629. 676. CIA. III 1202, 31. CIG. 3208; Mionnet Suppl. VII 638, 35. CIA. III 1146); cf. v. l. p. 80, 24 *ἄθλοις* om. U^1 9 *κἀκ* Rsk.: *καὶ* O *πρὸ* sic O; *πρὸς* Junt. (edd.); vv. *πρὸ τοῦ πατρὸς* suspecta 10 *καθήκουσαν* Rsk. ('redit enim ad *τιμήν*'): *καθηκουσῶν* O *πεπληρωκέναι*] *σε* ex *εἰς σὲ* mente supplendum esse monet Rsk.; sed aegre careo pronomine, quia fere necessario ex antecedentibus *Ἀσκληπιόν* subiectum intellegitur *πᾶσαν ὅσον* R 11 *ἥπερ* A(ʹ A^2) R 12 *εἰς* om. D 13 *νέμει πάντωσ· οὐ* A 14 *ἀπόλλωνοσ ὤν· ὦ* D *ἀπόλλωνοσ ὦν ὦ* A^1 *ἀπόλλωνοσ· ὧν ὦ* R: *ἀπόλλωνοσ ὄν· ὦ* UTA^2(*ὄν ὦ*). *Ἀπόλλων, ὅσῳ* ci Rsk.[2], *Ἀπόλλωνος, ὅπου* Schwarz l. c. p. 91, falluntur. Sententia: 'Aesculapius ante legitimum tempus sacerdotio te ornavit, ut nihil obstet, quominus sumpta toga virili in cursum honorum descendas, quem imperatorum lex sanxit. omnino non caret (deus, cf. v. 7) vaticinatione vera, Apollinis cum filius sit. o praeclaram illam spem (quam ex omine illo praecipere animo licet), praeclaram hanc quam mox (Apella sacerdotio fungente) ipsis his oculis redditam videbimus'

*σταὶ μὲν ἐλπίδες ἐκεῖναι, χρησταὶ δὲ αἱ νῦν εἰς ὀφθαλμοὺς ἡμῖν
αὐτίκα ἥξουσαι. ἐγὼ μέν γε ἤδη τινὸς κουφότητος αἰσθάνεσθαί μοι
δοκῶ, καθάπερ Διομήδης Ὁμήρῳ (Ε 122) πεποίηται πρὸς τῆς Ἀθηνᾶς
ἐλαφρός τε ὁμοῦ τὰ μέλη καὶ καθαρὸς τὰς ὄψεις, καὶ κατέχειν
ἐμαυτὸν ὑπ᾽ εὐφροσύνης οὐκ ἔχω. καλοὶ μὲν γὰρ καὶ κοσμεῖν ἴσως* 27
*ἁρμόττοντες καὶ οἱ παρελθόντες ἤδη σοι τῆς γενέσεως ἐνιαυτοὶ
....δηλοῦν ἅπαντα τὰ σοὶ προσόντα, πολὺ δέ μοι δοκεῖ καλλίων ἐκεί-*
125 D *νων ὅδε ὁ νυνὶ παρὼν εἶναι, μόνον τῶν μετ᾽ αὐτὸν ἡττησόμενος,
τὰ δ᾽ ἄλλα τοὺς ἑξήκοντας ἤδη νικῶν· ἐν ᾧ σε προσβλέψομεν οἰ-
κεῖοί τε καὶ συγγενεῖς καὶ διδάσκαλοι καὶ ἡλικιῶται καὶ πᾶν φί-
λιον γένος ἥδιω προσβάλλοντα τὴν ὄψιν ἀπὸ τῆς ἁλουργίδος τῆς
ἱερᾶς τοῦ σωτῆρος πρέποντά τε τῇ ὥρᾳ τοῦ ἔτους τὴν τῆς ἡλι-
κίας ὥραν, ἀτεχνῶς ‛ἀστέρι ὀπωρινῷ ἐναλίγκιον᾽ καὶ κατ᾽ ἐκεῖνον*
75 J *τὴν αἴγλην ἀφιέντα· ἁρμόττων γε ὁ ἀγωνοθέτης οὑτωσὶ τῷ προ-
ελομένῳ.*

Σὰ ταῦτα, ὦ δέσποτα, οὕτω γὰρ ἄμεινον εἰς ἀρχὴν ἀναγαγεῖν 28
*τὸν λόγον ἐπευξάμενον αὖθις, σὰ ταῦτα. φέρ᾽ οὖν αὐτὸς ἡμῖν
τοὺς οἴακας ἑλών, ὥσπερ οὖν ἤδη κατέχεις, ἔκσῳζε τὸν οἶκον, δι-
δοὺς μὲν ἐκ τοῦ μεγάλου βασιλέως τούτῳ τιμὰς ἅσπερ οἱ τούτου
πρόγονοι παρὰ τῶν ἐκείνου προγόνων ἐκαρποῦντο, διδοὺς δὲ αὐτῷ
βασιλεῖ καὶ γένει τῷ βασιλέως τὸν αἰῶνα πάντα διοικεῖν, ὥσπερ
οὖν ἔλαχεν ἐκ Διός, τούτῳ τε τὸν πεπρωμένον ἐν εὐδαιμονίᾳ δι-
άγειν παρασχὼν χρόνον, παισὶν ἐκ παίδων, τὴν διαδοχὴν τοῦ γένους
τῇ τε πόλει καὶ σεαυτῷ διαφύλαττε.*

---

2 *μοι* om. R[1]; ad v. 2—5 cf. Aristid. or. LIII § 1 7 ⟨*καὶ*⟩ *δηλοῦν* Rsk.; *δηλοῦντες* ci. Schwarz l. c. p. 90 (debebat *δηλώσαντες* esse) *τὰ* om. D *δ᾽ ἐμοὶ* R 8 *μόνων* DUT *αὐτῶν* T *ἡττηθησόμενος* ci. Canter, non necessarium 9 *τοὺσ ἑξήκοντα* D (sic) 11 *προσβαλόντα* R 13 *ἀστέρι — ἐναλίγκιον*] Hom. *E* 5 14 *γε* Rsk.: *τε* O; cf. p. 209, 14 *ὁ* D: om. ARUT *οὑτωσὶ* RDU a. corr.: *οὑτοσὶ* ATU p. corr. 16 *ἀγαγεῖν* T 17 *φέρε* R 18 *ὥσπερ*] ad *ω* mg. *ο* add. A[1] aut A[r] *ἑλών*] *ἔχων* ci. Rsk. 19 *τούτω* DUT: *τούτου* AR 21 *τῷ*] *τοῦ* D *πάντα* sic O 22 *ἔλαχον* ci. Wil., fort. recte *τοῦτο* D; *τούτῳ* sc. *τῷ γένει* (oppositum *γένει τῷ βασιλέως*), ad quod appositio *παισὶν ἐκ παίδων* 24 *φύλαττε* DU. Subscr. *γενεθλιακόσ· ὑπεβλήθη πρὸ μιᾶσ τοῦ ἀναγνωσθῆναι ἐν τῆι καθέδρα τῇ ἐν περγάμω αὐτοῦ ὄντοσ ἐτῶν κθ* A[r]; *ἀπελλᾶ γενεθλιακόσ* T

XXXI. I 126 D
(11) ΕΙΣ ΕΤΕΩΝΕΑ ΕΠΙΚΗΔΕΙΟΣ. I 75 J

*Ἡ μὲν ἐπίδειξις οὐδαμῶς εὐτυχὴς οὐδὲ κατ' ἐλπίδας, ἀναγκαία
δὲ τῆς τε πόλεως ἕνεκα καὶ τῶν οἰκείων τῶν Ἐτεωνέως καὶ προσ-
έτι γε ἡμῶν αὐτῶν παραμυθίας. οἶμαι δ' εἰ καὶ μήπω πρόσθεν
θρῆνοι κατ' ἀνθρώπους ἐνομίσθησαν, νῦν γε ἐπὶ τῷδε δικαίως
ἂν ἄρξασθαι. τί γὰρ οὐκ ἄν τις ὀδύραιτο; πότερον τὴν ἡλικίαν
ἣν ἔχων οἴχεται, ἢ τὴν ἀνδρείαν ἢ κέκρυπται κακῶς, ἢ τὴν σωφρο-
σύνην ἧς οὐδ' ἂν παράδειγμα ῥᾳδίως εὕροι τις, ἢ τὰς ἐλπίδας
ὧν στέρεται μὲν αὐτός, στέρονται δὲ οἰκεῖοι καὶ φίλοι καὶ πόλεις
2 καὶ πᾶν ὅσον εἰς τὴν νῦν Ἀσίαν τελεῖ; ποῖος ταῦτα Σιμωνίδης
θρηνήσει, τίς Πίνδαρος ποῖον μέλος ἢ λόγον τοιοῦτον ἐξευρών; 127 D
τίς χορὸς ἄξιον φθέγξεται τοιούτου πάθους; ποία δὲ Δύσ-
ηρις Θετταλὴ τοσοῦτο πένθος ἐπένθησεν ἐπ' Ἀντιόχῳ τελευτή-
3 σαντι, ὅσον νῦν μητρὶ τῇ τούτου πένθος πρόκειται; Οὐ μὴν
ἀρκέσει σιωπῇ θρηνεῖν οὐδ' ὅσον βοῶντας τοὔνομα, ἀλλά τι καὶ 76 J
κόσμον τῷ θρήνῳ προσέσται. τί γὰρ καὶ φοβησόμεθα μὴ λέγοντες
ψευσώμεθα, οὗ τὸ μὲν γένος τοσοῦτον πρῶτον ἔν τε τῇ πόλει καὶ
τῇ Ἀσίᾳ, ὥστε μηδ' ἂν ἓν' ἀμφισβητῆσαι; πάντες γὰρ ὡς εἰπεῖν
καθ' ἕνα πρωτεύουσιν· καὶ μὴν τῷ γε πρὸς πατρὸς τὸ πρὸς μη-*

Libri SDUT = O; pauca adnotavi e B

Titulus: *εἰσ ἐτεωνέα ἐπικήδειοσ* UT: *ἐτεωνέωσ ἐπικήδειοσ* S; om. D. Orationem enarravit J. Bauer, die Trostreden des Gregor. v. Nyssa in ihrem Verhältniss zur antiken Rhetorik (Marpurgi 1892) p. 27 sqq. 2 *πόλεως*] Cyzici, cf. p. 215, 22 et Herm. 1897, 500 3 *οἶμαι — 5 ἄρξασθαι*] cf. Liban. III 274, 16 sqq. 4 *κατ' ἀνθρώπου* Rsk.², at sententia est 'inter homines' 6 *ἢ τὴν ἀνδρείαν* D: *καὶ τὴν ἀνδρείαν* U(*-ίαν*) T, *ἢ τὴν ὥραν* S, *γρ. ὥραν* U² mg.; cf. p. 215, 18 *μᾶλλον δὲ ἀνήρ* 7 *οὐδ' ἂν* SD: *οὐδὲν* UT 8 *οἰκεῖοι* scripsi: *οἰκέται* O *πόλεισ* S a. ras. UT: *πόλισ* DS p. ras.; articulus omissus (⟨*ἡ*⟩ *πόλις* ci. Rsk.) pluralem verum esse demonstrat; 'complurium urbium civem Eteoneum ut clarissimi patris filium fuisse hinc colligendum 9 *τὴν νῦν Ἀσίαν*] Asiam provinciam (cf. p. 25, 3), cuius Cyzicus erat (Marquardt, Röm. Staatsverw. I 334. 340) 11 *χορὸς*] *Στησίχορος* ci. Taylor ad Lysiam p. 686; Stesichorum naenias (*θρήνους*) non composuisse monet Wil. *Δύσηρις Θετταλὴ*] schol. Theocr. 16, 34 *ὁ Ἀντίοχος Ἐχεκρατίδου* (principis Thessaliae, Larissaei) *καὶ Δυσήριδος* (corr. Valesius: *σίριδοσ*) *υἱὸς ἦν, ὥς φησι Σιμωνίδης* (frg. 34 B.⁴); cf. Anacr. ep. 103. 109 B.⁴ (L. Weber, Anacreontea [Gottingae 1895] p. 31 sq.; Wil.) 14 *σιωπῇ — τι καὶ κόσμον — προσέσται*] cf. or. XXXIX § 3 15 *φοβηθησόμεθα* T 16 *ψευσόμεθα* D *γένος — πρῶτον*] cf. Herm. l. c. *τοσούτῳ* ci. Rsk., at cf. p. 217, 12 *ἔν τε* om. D 17 *ὥστε*] *ὡσ* D *ἕνα* D 18 *τῷ* UT *τό* SD *τὸ*] *τῶ* ex *τὸ* corr. D¹S²

τρὸς ἐφάμιλλον. αὐτοὶ δὲ οἱ γονεῖς ὁ μὲν ἀνδρῶν γνωριμώτα-
τος, ἡ δὲ γυναικῶν σωφρονεστάτη, ἀλλὰ καὶ εἰς παίδων τῶν
αὑτῆς ἐπιμέλειαν κρείττων ἢ γυνή. τροφὴ δὲ καὶ φύσις ἀξία τῆς 4
γενέσεως, ᾧ γε τροφὸς μὲν καὶ φύλαξ ἡ μήτηρ, σῶμα δὲ καὶ ψυχὴ
πρέποντα ἀλλήλοις. ἰδεῖν μέν γε κάλλιστος καὶ μέγιστος καὶ τελεώ-
τατος τῶν ἐν τῇ ἡλικίᾳ καὶ πλεῖστον ἡδονῆς τῷ θεωμένῳ προσ-
βάλλων, τὸν δὲ τρόπον κοσμιώτατος καὶ ἐλευθεριώτατος, μεγαλο-
πρεπείᾳ μετ᾽ ἀφελείας ἐμπρέπων, ὥστ᾽ οὐκ ἦν εἰκάσαι πότερον
παῖς ἐστιν ἢ νεανίας ἢ πρεσβύτης. τὸ μὲν γὰρ ἀποίητον παιδός,
ἡ δὲ ἀκμὴ νεανίου, φρόνησις δὲ πρεσβύτου. ἦν δ᾽ ἀγασθῆναι τῆς 5
128 D *μὲν συνέσεως τὸ μηδαμῇ θρασὺ μηδὲ ἰταμὸν μηδὲ αὔθαδες, ἀλλ᾽*
ἐν σχολαίῳ τῷ ἤθει τὸ ἀγχίνουν εἶναι, τῆς δ᾽ αὖ σωφροσύνης τὸ
μηδαμῇ νωθρὸν μηδὲ ὕπτιον μηδὲ ναρκῶδες, ἀλλ᾽ ὥσπερ ὥρας
ἠρινῆς εὖ κεκραμένης ⟨τὸ⟩ ἐξ ἴσου τὴν ὀξύτητα τῇ πραότητι καθ-
εστάναι καὶ μήτε τὴν σωφροσύνην μήτε τὴν χάριν εἰς ἄλληλα βλά-
πτεσθαι. ὅς γε τῆς μὲν μητρὸς οὕτως εἴχετο ὥσπερ οἱ πρὸς τῷ 6
μαστῷ παῖδες, τὸν δὲ ἀδελφὸν ὡς παῖδα ἠσπάζετο, τῶν δὲ μαθη-
μάτων οὕτως εἴχετο ὥσπερ οὐκ ἐξὸν ἄλλως αὐτὸν ζῆν. ἃ δ᾽ ἤκουσε
παραχρῆμα ἠπίστατο, ἰδὼν δ᾽ εὐθὺς ἂν ἔγνω ποῖός τις ἀνὴρ καὶ
πότερον ἀσπάζεσθαι χρὴ ἢ φυλάττεσθαι. νομίσας δὲ εὖ ἔχειν τὸ
77 J *Ὁμηρικὸν τὸ ʽοὐκ ἀγαθὸν πολυκοιρανίη᾽* (*B* 204) *καὶ τοὺς διδα-* 7
σκάλους τοὺς πολλοὺς εἰς ἀμαθίαν μᾶλλον φέρειν, προείλετο μὲν
διδάσκαλον ἐξ ἁπάντων ὅντινα δὴ καὶ προείλετο, οὐ γάρ ἔμοιγε
εὐπρεπέστερόν ἐστι λέγειν, τούτῳ δ᾽ οὕτω προσέκειτο ὥστε ἅπαντα
πράττων, ὅσα τὸν φιλομαθέστατον καὶ φιλοστοργότατον προσῆκεν,
οὐδεπώποτε ἔδοξεν ἑαυτῷ τῆς ἀξίας ἐγγὺς εἶναι. [*καὶ*] *συνὼν μέν* 8
γε οὕτως ἔχαιρεν ὡς μόνον τοῦτον βιώσιμον ὄντα αὑτῷ τοῦ βίου
τὸν χρόνον· εἰ δέ τι κωλύσειεν, ἠνιᾶτο μέν, ᾐτιᾶτο δ᾽ οὐδεπώποτε.
ἀκροώμενος τοίνυν οὕτω σφόδρα τῶν λόγων ἦν ὥστ᾽ οὐκ ἐσχόλαζεν
ἐπαινεῖν, ἀλλ᾽ ὥσπερ οἱ διψῶντες σιωπῇ πίνουσιν, οὕτως ἐκείνῳ

---

3 *αὐτῆσ* DS[1] 8 *μετ᾽ ἀφελείας* Rsk.: *μετὰ φιλίασ* O 14 *κεκραμένην* ci Rsk. (abundaret aut *εὖ* aut *ἐξ ἴσου*) *τὸ* addidi; constructio: (*τῆς σωφροσύνης ἀγασθῆναι ἦν*) *ὥσπερ — κεκραμένης τὸ ἐξ ἴσου — καθεστάναι* 18 *εἴχετο* om. U *ζῆν αὐτὸν* U *δ᾽* UT: om. SD 19 *ἂν ἔγνω*] *ἀνέγνω* D 20 *δ᾽* UT 24 *εὐπρεπέστερόν* scripsi: *εὐπρεπέστατόν* O; cf. or. LI § 35 *οὕτωσ* T 25 *φιλοστοργώτατον* UT a. ras. 26 *καὶ* seclusi, cf. U 27 *γε* om. U *αὐτῶ* O 29 *οὕτωσ* T 30 *ὥσπερ οἱ κτἑ.*] cf. Plat. symp. 214 B *οὔτε τι λέγομεν ἐπὶ τῇ κύλικι οὔτ᾽ ἐπᾴδομεν, ἀλλ᾽ ἀτεχνῶς ὥσπερ οἱ διψῶντες πιόμεθα;* (cf. or. XXXIX § 3) aut *ἤρκει ἐκείνῳ* aut aptius *ἐκείνῳ ⟨γ᾽⟩ἤρκει* (Kaibel) scrib., ut hiatus vitetur, quem Aristides fugit in hac oratione; quae contra afferri possunt *χρὴ*(,) *ἢ* v. 20 et *νυκτὶ ἑκάστῃ* p. 214, 7, *τινὶ ὡς* 215, 15 iustam habent excusationem

ἤρκει δέχεσθαι τὰ λεγόμενα, τῷ σχήματι καὶ τῷ νεύματι καὶ τῇ 129 D
φαιδρότητι τὴν χαρὰν ἐμφανίζοντι, ἣν ἐπὶ τοῖς λόγοις εἶχεν. ἀεὶ
δ' ἂν εὗρες αὐτὸν ἢ βιβλίον μεταχειριζόμενον ἢ λόγους ποιοῦντα
ἢ τὴν μητέρα εὐφραίνοντα οἷς διηγεῖτο ἢ οἷς ἐπεδείκνυτο, πάντως
δ' ἐν τούτῳ τῷ σχήματι πᾶν πράττοντα ⟨ὃ⟩ καὶ γραφῇ μιμήσα-
9 σθαι κάλλιστον ἦν. ἃ δὲ τοῖς ἐνταῦθα ἥκουσιν ἡλικίας ἐφ' ἡμέρᾳ
καὶ νυκτὶ ἑκάστῃ παίζεται, ταῦτ' ἐκείνῳ καθάπερ μῦθοί τινες
ἦσαν· ἀλλὰ γυναικῶν μὲν μία σύσσιτος ἦν ἡ μήτηρ, παίδων δὲ
εἷς ἀδελφός, φίλοι δὲ οἱ ταὐτὰ προῃρημένοι καὶ κατὰ τοὺς αὐτοὺς
10 συνιόντες λόγους· 'ὁ δ' ἔπρεπε καὶ διὰ πάντων'. ἄγαλμα δ'
ἄν τις ἔφησεν τῆς Αἰδοῦς αὐτὸν εἶναι, ᾧ γε τὰ μὲν πολλὰ σιωπᾶν
ἐξήρκει, εἰ δέ τι φθέγγοιτο, ἔδει φλέγεσθαι· οὔκουν ἄλλως γ' ἂν
ἤκουσας αὐτοῦ φωνήν, ἀλλὰ χρῆν ἢ ἐρυθριάσαντα εἰπεῖν ἢ εἰ-
πόντα ἐρυθριᾶν· οὕτως ἀθέατος καὶ ἀνήκοος καὶ ἄπειρος ἁπάντων
τῶν αἰσχίστων διεβίω. λόγους δὲ καὶ παιδείαν εἶδε μόνα, ὅς καὶ
τελευτῶν εἰς ταῦτα ἐτελεύτησεν, [εἰς] πανηγυρικὸν καὶ μελέτας
11 βοῶν. Ὦ πάντα σὺ κάλλιστε παίδων, ὦ τῆς μὲν προσηκούσης
ἡλικίας οὐκ ἐπιλαβόμενος, τῆς δ' ὑπαρχούσης σεμνότερος καὶ πρε- 78 J
σβύτερος φανείς, σὲ ποθοῦσι μὲν ἡλικιωτῶν χοροί, ποθοῦσι δὲ
πρεσβύτεροι, ποθεῖ δὲ ἡ τὰ μέγιστα ἐπὶ σοὶ πόλις ἐλπίσασα, ἣν
σὺ πρώην πρῶτα δὴ καὶ τελευταῖα εὔφρανας. μητρὶ δὲ ποῖαι
νύκτες ἢ τίνες ἡμέραι λοιπόν, ἣ πρὶν μὲν ὡς καλλίτεκνος ἥδετο,
12 νῦν δὲ ἐξελήλεγκται δυστοκήσασα. ὦ κύκλοι μὲν ὀφθαλμῶν ἐκείνων 130 D
κεκλειμένοι . . . . . . τὸν ἅπαντα ἤδη χρόνον, κεφαλὴ δὲ ἡ πρότερον
χαριεστάτη νῦν ἐν κόνει, χεῖρες δὲ ἀφανεῖς· ὦ πόδες οἷον φέρον-
τες τὸν δεσπότην ὑπεδώκατε. ὦ νυμφίου ⟨σύ⟩ γ' ἐλεεινότερος ἄρτι

---

1 *καὶ τῶ* sic O 5 *ὃ* add. Rsk. 9 *ἀδελφός* legi: *ἀδελφόσ* O *ταῦτα* D 10 *ὁ δ' — πάντων*] Hom. *M* 104 *ἄγαλμα — Αἰδοῦς* et *φλέγεσθαι*] ex Aristoph. nub. 995. 992 (Jacobs, Ddf.) 11 *ἔφησε* O(-*ν* B) 14 *οὕτως* (supra *οσ*) T pr. m., *οὗτοσ* B *ἄπειροσ* (supra β) *καὶ ἀνήκοος* (supra α) U[1]; cf. cf. p. 184, 14 15 *εἶδε*] *οἶδε* U[1], *ᾖδε* U[2]; cf. oppositum *ἀθέατος* 16 *εἰς* secl. Rsk. 18 *σεμνότεροσ φανεὶσ καὶ πρεσβύτεροσ* T (B) 19 *σε///ποθοῦσι* S 21 *πρώην πρῶτα*] cf. ad p. 215, 10 22 *καλλίτεκνοσ* SDU: *καλλίπαισ* T, cf. *δυστοκήσασα* 23 *δ'* T *ἐξελήλεκται* D (sic) *ἐξελήλεγκται ὡς δυστοκήσασα* Junt., at cf. e. g. p. 92, 27 24 *κεκλεισμένοι* UT post *κεκλειμένοι* spatium sex litt. vacuum relictum in S, unde (cf. ad p. 78, 9) lacunam indicavi; deest fort. adverbium 25 *ἐν κόνει*] cf. or. XIX § 2 post *ἀφανεῖς* epitheton ad manuum laudes pertinens desiderat Rsk. 26 *σύ* addidi *γ'* scripsi: *τ'* S a. ras. T, om. DUS p. ras.; neque *τ'* ferri potest neque hiatus (cf. ad p. 213, 30); praeterea pronomen desideratur (-ΙΟΥϹΥ), cf. v. 17 *ἐλεινότεροσ* U *ἄρτι* adiectivi locum tenens ad *νυμφίου* trahendum

καομένου καὶ στεφάνοις μᾶλλον πρέπων [ἢ θρηνεῖν], οἵαν ἐν ὥρᾳ
τὴν ἀωρίαν ἐκίνησας, ὡς, πρὶν ὑμέναιον ᾀσθῆναί σοι καιρὸν εἶναι,
τοὺς θρήνους ᾄδειν κατέλαβεν. ὦ σχῆμα κάλλιστον, ὦ φθέγμα
κοινὸν τοῖς Ἕλλησιν αὐξανόμενον, οἴχῃ δὴ προοιμιασάμενος το-
σοῦτον εὐφράνας, ὅσον λυπῆσαι μειζόνως. ἐπέρχεταί μοι τὸ τοῦ
Πινδάρου (frg. 136 B.[4]) προσθεῖναι, ʽἄστρα τε καὶ ποταμοὶ καὶ κύ-
ματα πόντουʼ τὴν ἀωρίαν τὴν σὴν ἀνακαλεῖ. ὦ τοῦ δευτέρου πτώ- 13
ματος, οἷος ἐφʼ οἵῳ τῷ νεῷ κεῖσαι· ὦ τῆς ἐπιθήκης, οἷον αὖ τὸ
131 D δεύτερον ἡμῖν ἔσεισεν· ὦ τοῦ τραγικοῦ δαίμονος, ὃς προδείξας
ἀρτίως βουλευτήρια καὶ λόγους καὶ ζῆλον καὶ χαρὰν πόρρω τούτων
ἐν βραχεῖ κατέκλεισε τὸ δρᾶμα. ὦ συμφοραὶ κοιναὶ λογίων καὶ
χθονίων θεῶν. Τί ποτε καὶ ἀποκρίνωμαι πρὸς τὰ ψηφίσματα; 14
ἢ τοῦτο ὅτι Ἐτεωνεὺς οἴχεται παρὰ τοὺς κρείττονας; ὦ δεξιώτατε
παίδων, οἷόν σοι πέμπω βιβλίον, οἵων τὰ νῦν ἀπολαύεις λόγων.
ἀλλὰ γὰρ ὥσπερ ἐν τραγῳδίᾳ τινὶ ὡς ἀληθῶς μεταξὺ τῶν ὀδυρ-
μῶν δοκῶ μοι κατακούειν φωνῆς ἀπὸ μηχανῆς θεοῦ τινος μετα-
βάλλοντος τὸν θρῆνον εἰς εὐφημίαν ὡδὶ λέγοντος· ʽπαύσασθε, ὦ 15
ἄνθρωποι, οὐκ οἰκτρὸς ὁ παῖς, μᾶλλον δὲ ἀνήρ, οὐδὲ ἐλεεῖσθαι
79 J δίκαιος τῆς πορείας ἣν ἐστείλατο, ἀλλʼ εἴπερ τις ἄλλος, ἔχει καλῶς
γε δὴ τὰ ἀνθρώπεια. οὐ γὰρ Κωκυτὸς οὐδὲ Ἀχέρων τοῦτόν γε
εἰλήφασιν οὐδὲ θήκη κρύψει παραλαβοῦσα, ἀλλʼ εὐκλεὴς καὶ ἀγή-
ρως ἤδη τὸν λοιπὸν ἅπαντα χρόνον περίεισιν ἥρως, Κυζίκου πάρ-
εδρος, τιμηθεὶς ὑπὸ Ἀπόλλωνος πατρῴου κατὰ ταὐτὰ Ἀμύκλᾳ

1 *στεφάνουσ μᾶλλον πρέπειν* D(B) *ἢ θρηνεῖν* O, seclusi, glossema e v. 3 haustum ad explicandum comparativum; *ἢ θρήνοις* U² (ci. Canter) 2 *ἀθῆναι σοι* D *εἶναι, ⟨ὁ τοῦ⟩ θρήνους* Rsk.²; at *κατέλαβεν* ad usum Herodoteum impersonaliter dictum 4 an *αὐξανόμενον ⟨ἄν⟩*? *προοιμιασάμενος*] cf. ad v. 8 6 *προσθεῖναι*] *ει* in ras. S² (*προσθῆναι* B) 7 *ἀνακαλεῖ*] *ἀνακλάει* Hartung ad Pind. frg.; at cf. p. 76, 26 8 *οἷος*] *οἷσ* D *τῷ νεῷ* SUT: *τῶν νεῶν* in *τῶν νέων* corr. D m. inc.; Aristides mortem Eteonei praematuram tanquam alteram Cyzici cladem opponit priori, qua affecti erant Pio imperante Cyziceni aedibus Cereris et Proserpinae (*χθονίων θεῶν* v. 12) terrae motu (*ἔσεισεν*) excisis; cf. quae exposui Herm. 1897, 497 sqq. *αὖ τὸ δεύτερον* U (ci. Canter): *αὐτὸ δεύτερον* T, *αὐτοδεύτερον* S, *ἂν τὸ δεύτερον* D *οἷον — ἔσεισεν*] Reiskio tragici, Kockio (CAF. III 445 frg. 191) comici videntur esse 10 *βουλευτήρια καὶ λόγους*] in curia, ubi saepius illa aetate rhetores declamabant (Berl. philol. Wochenschr. 1896, 1609), Eteoneus paulo ante (*ἀρτίως*, cf. *πρώην* p. 214, 21) primum (*προοιμιασάμενος* v. 4) declamaverat 11 *τὸ δρᾶμα κατέκλεισεν* T; cf. p. 216, 18 12 *ψηφίσματα*] sc. *παραμυθητικά* (Rhein. Mus. 1894, 424 sqq.) 18 *ἀνήρ* legi: *ἀνὴρ* O 20 *δὴ* T in confinio paginarum (fol. 229ʳᵛ) omissum in mg. add. T² (aut T¹) 22 *Κυζίκου πάρεδρος*] herois Cyzici (Marquardt, Cyzicus p. 135 sq., Roscher, Lex. d. gr. u. r. Mythol. II 1774) 23 *πατρῴου*] cf. or. XXVII § 5 *κατὰ τὰ αὐτὰ* D

καὶ Ναρκίσσῳ καὶ Ὑακίνθῳ καὶ εἰ δή τις ἄλλος ἐπὶ εἴδει καλῷ
16 κρείττονα ἢ κατὰ ἄνθρωπον ἀρετὴν ἐκτήσατο. ἑτέραις οὖν ἤδη
τιμαῖς αὐτὸν τιμητέον καὶ ἑτέρως παραπεμπτέον, ὡς κρείττω δα-
κρύων ὄντα καὶ τὴν ἀποικίαν οὐκ ἄνευ θείας μοίρας πεποιημένον.
πάντως δὲ ἡ μὲν τελευτὴ κοινὸς ἅπασιν ὅρος πρόκειται, τὸ δὲ
τῶν καλλίστων ἑαυτὸν ἀξιώσαντα μετ' εὐκλείας καταλῦσαι θεοῖς
τε καὶ ἀνθρώποις ἄμεμπτον, τοῦτο δὲ οὐκ ἐπὶ πάντας, ἀλλ' ὀλί-
17 γοις δή τισι τῶν πάντων ἀπεδόθη. βίος δὲ πᾶς ἀνθρώπου βραχὺς
καὶ οὐ πολλοῦ τινος ἄξιος εἰς ἀριθμοῦ λόγον, ἀλλ' ἐάν τε Ἀργαν- 132
θώνιον ἐάν τε Τιθωνὸν λέγῃ τις ἐάν τε τὸν τὰς τρεῖς γενεὰς
διαρκέσαντα Νέστορα τὸν Πύλιον, πάντας τούτους τοὺς χρόνους
συνθεὶς εὑρήσεις ἔλαττον μέρος ὄντας τοῦ παντὸς αἰῶνος ἢ ὅσον
εἰπεῖν. οὐ δεῖ δὴ φιλοψυχεῖν οὐδὲ τὴν εὐδαιμονίαν τούτῳ μετρεῖν,
εἴ τις ὡς πλεῖστα ἔσχε πράγματα οὐδ' εἴ τις τοῦ μακροῦ γήρως
ἀπέλαυσεν, οἷα δὴ ἀπολαύειν εἰώθασιν ἄνθρωποι, ἀλλ' ἡγεῖσθαι
τούτῳ κάλλιστ' ἔχειν ὅστις τὴν δοθεῖσαν αὐτῷ τοῦ βίου μοῖραν
ἐν τοῖς καλλίστοις ἐξέπλησεν καὶ [ὅστις] ὥσπερ ποιητὴς ποθούν-
18 των ἀκούειν ἔτι καὶ δρᾶν κατέλυσε τὸ δρᾶμα. ὁ δὲ δὴ εὐδαίμων
τε καὶ ζηλωτὸς ἅπασι καὶ νεωτέροις καὶ πρεσβύταις πορεύεται,
τοσαῦτα ἀπολαύσας τοῦ βίου, ἐφ' οἷς μόνοις εὐκτὸν ἦν γεννᾶσθαι,
ἀπαθὴς κακῶν, ἄπειρος πραγμάτων, εὐκλεής, ἐν λόγοις καὶ μαθή-
μασιν καὶ ἐπαίνοις τραφείς, ἀπὸ τῆς φίλης καὶ ὁμοσκήνου μητρὸς
στειλάμενος παρὰ τὴν ἀρχαίαν μητέρα· εἰ δέ τῳ μὴ ἱκανῶς δοκεῖ
19 τῆς δόξης ἀπολαῦσαι, ἀναπληροῦν χρὴ νῦν ἐπικοσμοῦντας ὡς ἥρωα,
. . .† ἀπόντων † δὲ ἐν ἀσφαλεῖ τῶν ἐπαίνων ἤδη'. ταῦτα χρὴ δοκεῖν 80 J

---

7 δὲ] abundat in apodosi; sustuli punctum quod erat ante τοῦτο 8 ἀνθρώπων T 9 ἀλλ' ἐάν τε κτὲ.] verba imitatur Basilius ad iuv. de util. litt. Graec. 10 ἀργανθόνιον S¹ 10 λέγῃ] η in ras. S² 12 ὄντα D 16 τοῦτον U αὐτῷ U²: ἑαυτῷ O; fuit cum delebam 17 ἐν] ἐκ T ὅστις seclusi: ὅστισ ὥσπερ DUT, ὥσπερ ὅστισ S¹ (ὅσπερ ὥσ τισ S²) 22 καὶ ἐπαίνοις] laudes quae ei ἐν λόγοις καὶ μαθήμασιν proficienti impertitae sunt; an μαθήμασιν ἐπ' ἐπαίνοις? 23 δοκεῖ S¹ a. ras. T: δοκῇ S¹ in ras. D, δοκοίη U 24 χρῆν νῦν U¹ in ras., alterumutrum primitus deerat 25 lacunam indicavi deletaque plena post ἥρωα distinctione distinxi post ἤδη, ubi dei orationem finiri asyndeton (ταῦτα χρὴ) docet; sententia fuit: nihil etiam valet invidia nec possunt infringi calumniis laudes mortuo impertitae; cf. τὸ ψεύσασθαί τι κατ' αὐτῶν (sc. τῶν τετελευτηκότων) καὶ τὸ βλασφημεῖν οὐχ ὅσιον ὡς κατὰ βελτιόνων καὶ κρειττόνων (cf. v. 2, p. 217, 5; 215, 13) ἤδη γεγονότων Plut. cons. ad Apoll. p. 115 C (cf. Rohde, Psyche 224, 2; adde Aristid. Quatt. II 391, 11 Ddf.); Gregor. Nyss. in Melet. (Patrol. Gr. XLVI) 856 A Migne καὶ γὰρ ἀκίνδυνον τὸ μακαρίζειν λοιπόν· οὔτε φοβοῦμαι τὸν φθόνον; suppleverim ἀπόν⟨τος μὲν φθόνου παντός, ὄν⟩των δὲ

ἀκούειν τῶν κρειττόνων καὶ οὕτως ἔχοντας τῆς ἀληθείας ἂν μᾶλλον τυγχάνειν νομίζειν κἀκείνῳ ποιεῖν κεχαρισμένα. καλὸν δὲ καὶ ἐν
133 D *σκολιοῖς ὥστε Ἁρμόδιον ᾄδειν ʽοὔ τι που τέθνηκας'* (PLG. III. 646, 10 B.[4]) *λέγοντας, ἀλλ' εἴπερ τις ἄλλος, ἐν μέσοις ἀναστρέφῃ τοῖς εἰδόσι καὶ πολίταις καὶ ξένοις. ὦ βιοὺς μὲν ὡς ἐν ἱεροῖς καὶ τελευτήσας κρείττων ἢ κατὰ ἄνθρωπον. ὦ κόσμος καὶ φίλοις καὶ γένει καὶ πόλει, ὦ πρῶτα τῆς καθ' ἡλικίαν ἀρετῆς ἔχων, τάδε σοι τὰ παρ' ἡμῶν, τὰ δὲ λοιπὰ μελήσει τῇ πόλει κοινῇ.*

XXXII.

I 80 J
I 134 D
(12) ΕΠΙ ΑΛΕΞΑΝΔΡΩΙ ΕΠΙΤΑΦΙΟΣ.

Ἀριστείδης τῇ βουλῇ καὶ τῷ δήμῳ τῷ Κοτυαέων χαίρειν.

Εἰκὸς μὲν ἦν καὶ ἀπὸ πάσης τῆς Ἑλλάδος ὡς ὑμᾶς ἰέναι συναχθεσθησομένους ἐπὶ τοιαύτῃ συμφορᾷ καὶ κοσμήσοντας ἄνδρα τῶν Ἑλλήνων τοσοῦτον πρῶτον· ἐγὼ δ' οὖν πέμπων καὶ τάττων ἐμαυτὸν εἰς τοὺς οἰκεῖον τὸ συμβεβηκὸς νομίζοντας οὐκ ἄν μοι περιεργάζεσθαι δοκῶ. ὅσα γὰρ νομίζεται κατ' ἀνθρώπους καλὰ 2
καὶ ἔντιμα ὀνόματα καὶ παισί τε ἡδονὴν ἔχοντα καὶ πρεσβυτέροις αἰδέσιμα, οὐδὲν τούτων ἀνὴρ ἐλλελοιπὼς ἦν ἐμοί, ἀλλὰ καὶ τραφεὶς ὑπ' ἐκείνῳ καὶ παιδευθεὶς καὶ ὅσων ἡ τύχη παρέσχε μετὰ ταῦτα κοινωνήσας πάντων διὰ σπουδῆς, τροφέα, διδάσκαλον, πατέρα, ἑταῖρον, πάντ' εἶχον καλεῖν· μέγιστον δ' ἦν ἡμῖν πρὸς ἀλλήλους ὅτι ἴσον φρονῆσαι ἐπ' ἀλλήλοις εἴχομεν, ἐγὼ μὲν ἐκείνῳ διδασκάλῳ φιλοτιμούμενος, ὁ δ' ἐν οἰκείας δόξης μέρει τὸ καθ'
81 J *ἡμᾶς τιθέμενος. ἕως μὲν οὖν ἐξῆν ὡς ἐκεῖνον πέμπειν, ἐποίουν* 3
τοῦτο, καί τις ἦν ἡμῖν οὐκ ἄμουσος διατριβὴ περὶ λόγους διὰ

Oratio XXXII: libri SDUT = O; pauca notavi e B

---

4 *ἐν μέσοις ἀναστρέφῃ*] cf. Gregor. Nyss. l. c. 861 A   5 iunge *μὲν — καί*, quod colori poetico inservit sicut et *ὥστε* v. 3 (pro *ὡς*) et *πρῶτα* v. 7 (ubi articulus desideratur; *πρωτεῖα* ci. Rsk.)   6 *κρείττων* Baroc. 136: *κρεῖττον* O *κατ'* U   Subscr. *εἰσ ἑτεωνέα ἐπικήδειοσ* T

Titulum om. D   9 *κο/τυαέων* S; nescio an in ipsa compellatione *Κοτιαέων* restituendum sit, quae forma et in titulo CIG III *add.* 3827 *s* (= Kaibel E. G. 362) et in nummis (Head H. N. 561) unica invenitur; cf. etiam Kretschmer, Einl. in d. Gesch. d. gr. Sprache p. 202   11 *ἐπὶ τῇ τοιαύτῃ* U   *καὶ* om. S[1]   14 *κατὰ* S(B)   16 *ἀνὴρ* legi: *ἀνὴρ* O   17 *πάρεχε* S[1]

*γραμμάτων· ἐπειδὴ δ' οὐκέτ' ἔξεστιν ἐκείνῳ διαλέγεσθαι καὶ οὐδ'
ἃ πρώην ἔτυχον πέμψας ἀπεδέξατο ταῖς ἡδίσταις ἐμοὶ χερσίν,
ὑπόλοιπον ἦν ὡς ὑμᾶς ἀποστεῖλαι, τὴν τῆς πόλεως ἑστίαν ἀντ'
ἐκείνου θέμενον. ἐδόκουν γὰρ οὕτως Ἀλέξανδρόν τε διπλῇ τιμῇ
τιμῆσαι, ἅμα μὲν αὐτοῦ μεμνημένος τὰ πρέποντα, ἅμα δὲ ὑμᾶς* 135 D
*οἰκειούμενος δι' ἐκεῖνον, ὑμῖν τε δὶς ἂν ποιεῖν κεχαρισμένα, δη-
μοσίᾳ τε θαρρῶν ὑμῖν καὶ μεμνημένος ἀνδρὸς οὗ πλεῖστον λόγον
ποιεῖσθε, οἶμαι δ' οὐχ ὑμεῖς μόνον, ἀλλὰ καὶ πάντες ὅσοι καὶ*
4 *ὁπωσοῦν τελοῦσιν εἰς Ἕλληνας. συμβαίνει δ' ἐμοὶ τῇ μὲν γνώμῃ
πάντων ἐφικνεῖσθαι τῶν ἐκείνου καλῶν, τῷ λόγῳ δὲ ἀπόρως ἔχειν
ἐπεξελθεῖν. ἀθρόα γὰρ πάντα ἐπέρχεται, ἃ καθ' ἕκαστον μὲν
εἰπεῖν ἀδύνατον, ἀρχὴν δὲ οὐδὲ πειρᾶσθαι καιρὸν ἔχειν μοι δοκεῖ·
ἀπὸ μέρους δ' εἰ λέγοιμι, δέδοικα μὴ βελτίων ὦ σιωπῶν.*
5 *Ἐκεῖνος γὰρ ἓν μὲν καὶ πρῶτον ἁπάντων μετέθηκε τὸ γιγνό-
μενον περὶ τοὺς ἐπαίνους· τοσοῦτον γὰρ ἀπέσχε τοῦ διὰ κοινό-
τητα γένους εὐδοκιμεῖν, οἷον ἔθνει προσφεύγων ἢ πόλει, ὥστε
παλαιότατον μὲν δή που γενῶν τὸ ὑμέτερον καὶ ἐν τῷ κοινῷ
γένει τῶν Φρυγῶν ἡ πόλις αὖ, καθά φασιν, ἡ ὑμετέρα, ὁ δὲ
καὶ τῇ πόλει καὶ τῷ γένει σύμπαντι τὴν φιλοτιμίαν αὐτοῦ
παρέστησεν, καὶ πᾶσιν ὑμῖν οὐ μικρὸν καύχημα πρὸς τοὺς Ἕλλη-*
6 *νας ἐκείνου πολίτας εἶναι. διδασκάλοις δὲ χρήσασθαι μὲν λέγε-* 136 D
*ται τοῖς ἀρίστοις, ὑπερβαλόμενος δ' οἷον παῖδας ἅπαντας φαί-
νεται. ἐφαψάμενος δὲ τοῖς χρόνοις τῆς ἡλικίας ἁπάντων τῶν
ἐνδοξοτάτων τῶν μὲν ἀρχαιοτάτων μαθητής, τῶν δ' ἐπὶ τούτοις
[ἁπάντων] τῶν μὲν διδάσκαλος, τῶν δὲ συνεργὸς κατέστη. καὶ
ὁποίους μέν τινας ἀπειργάσατο ἐροῦσιν ἕτεροι, οἷς δ' αὖ συν-*
7 *επαίδευσεν οὐδεὶς ἦν ἐκείνων μείζων αὐτοῦ. καὶ μὴν οἱ μὲν ἄλλοι* 82 J
*τῶν μεγάλων ὀρεγόμενοι τὰ μικρὰ παριᾶσιν, ὁ δὲ ἀρξάμενος ἐκ
τῶν βραχυτάτων ἄχρι τῶν τελεωτάτων διεξῆλθεν, ὥσπερ φασὶ καὶ*

---

1 *οὐκέτ'*] in ras. arctiore U^1; *οὐκ* D *ἐκείνῳ* omissum add. S^2 mg. *καὶ* suspectum 2 *ἃ*] S^2 in ras. 3 *ἦν* om. D *ἀποστεῖλαι* O; *ἐπιστεῖλαι* U^2 (cf. p. 222, 21) 4 *τε* UT(B): om. SD *τιμῇ* sic O 6 *ποιεῖν*] *εἰπεῖν* U *δημοσίᾳ τε θαρρῶν — μεμνημένος*] 'cum et litteris his testor, tantum me humanitate vestra confisum esse, ut haec ad vos scribere non dubitarem, et verba facio' 9 *δ' ἐμοὶ* T: *δέ μοι* SDU *γνώμῃ* SDU: *μνήμῃ* T(B); cf. or. XXXVII § 10 *ἐνθυμηθῆναι ῥᾷον ἢ διελθεῖν λόγῳ* 15 *τοσοῦτο* U *ἀπέσχε*] *ἀπέσχεσθε* D, *ἐπέσχε* U^1 19 *σύμπαντι* om. S^1 *αὑτοῦ* O 20 *παρέστησεν* scripsi: *κατέστησε* O (-*ν* B); cf. Panath. I p. 234, 8 Ddf. 22 *ὑπερβαλλόμενοσ* T *οἷον* Büchner Philol. 1890, 182: *ὅσον* O 24 *ἀρχαίων* U; antiquissimos dicit scriptores 25 *ἁπάντων* seclusi 26 *ἐροῦσιν*] *ὁρῶσιν* S^1; ad sententiam cf. p. 213, 23 sq. 29 *φασὶ*] proverbium ap. Plat. Gorg. 497 C; cf. Plut. Demetr. 31 *τὴν τελετὴν ἅπασαν ἀπὸ τῶν μικρῶν ἄχρι τῶν ἐποπτικῶν καταλαβεῖν*

μυεῖσθαι θεμιτὸν εἶναι τὰ μικρὰ πρῶτον. ἕτεροι δὲ τὰ μὲν ἴχνη
καὶ τὰς ἀρχὰς μέχρι πολλοῦ διηρευνήσαντο, μᾶλλον δὲ καὶ κατ-
έτριψαν ἐν τούτοις τὸν ἑαυτῶν βίον, ὧν δὲ ἕνεκα ταῦτα ἐξευρεῖν
ἄξιον οἱ μὲν ὅλως οὐκ εἶδον, οἱ δ᾽ οὐκ ἐφίκοντο, ὡς ἔοικεν, ὁ δ᾽
ὥσπερ ὁδόν τινα ἐξ ἀρχῆς διηρευνήσατο, οὐδὲν οὐδαμοῦ παριεὶς
τῶν σχολῆς καὶ ὁποσηστινοσοῦν ἀξίων. καὶ γάρ τοι κατέστη
τοῖς Ἕλλησιν ἀντὶ ταμιείου κοινοῦ· ἦν γὰρ ὅτου τις δέοιτο
τῶν εἰς παιδείαν παρ᾽ ἐκείνου λαμβάνειν, ὥσπερ ἐκ πηγῶν ἀρυ-
όμενον. τὸ δὲ δὴ μέγιστον τῶν ἐκείνου καὶ μάλιστα ἄξιον ἐπιση- 8
μήνασθαι, ὃ καὶ πρὸς αὐτὸν ἔγωγέ ποτε εἶπον διαλεγόμενος· πάντα
γὰρ ὥσπερ λέγω διεξελθὼν τὰ μαθήματα καὶ οὐδὲν ἔσθ᾽ ὅ τι οὐκ
ἀκριβέστερον τῶν ἐφ᾽ ἑκάστῳ καθημένων, οὔτε τὸ σοβαρώτατον
αὑτῷ τῶν ὀνομάτων ἐπεγράψατο, ἀλλ᾽ ἔμεινεν ἐπὶ τοῦ ἀρχαίου,
137 D καὶ τοὺς ἄλλους οὐκ ἀπεστέρει τῶν διατριβῶν, ἀλλὰ συμπράττων
ἑκάστοις ἦν φανερὸς καὶ συναύξων κατὰ δύναμιν ἀεί. καὶ γὰρ οὖν 9
οἱ μὲν ἄλλοι μείζους διὰ τὰς τέχνας γίγνονται, ὁ δὲ καὶ τὴν τέχνην
αὐτὴν μείζω τῷ παρ᾽ ἑαυτοῦ μέρει κατέστησεν· πολλαχόθεν γὰρ
αὐτὴν ἦρεν, ὥστ᾽ ἀπ᾽ ἐκείνου τὸ σχῆμα ἔχειν. τοῖς μὲν γὰρ ἄλ-
λοις ἐξαρκεῖ τῶν καθ᾽ αὑτοὺς ὑπερσχεῖν, ὁ δὲ συμπάσης ἁπλῶς
τῆς τέχνης πρωτεύσας φαίνεται. τῶν γὰρ ἄλλων τῶν ἐνταῦθα
παιδείας ταχθέντων τῶν μὲν κρίσεως εὖ σχεῖν δοξάντων, φωνὴν
δὲ οὐδένων γενομένων, τῶν δ᾽ εἰπεῖν μὲν ἐξικνουμένων, τῇ δ᾽ ἐπι-

---

1 ἴχνη] exspectares στοιχεῖα, at cf. Aristot. hist. anim. IX 588 a 33 ἴχνη καὶ σπέρματα 2. 3 κατέτριψαν] ι in ras. S² 4 alterum οὐκ] οὐδ᾽ D (B) 5 διηρευνήσατο S(διερ-)DT(B): εἰσ τέλοσ διηρευνήσατο U (Baroc. 136), εἰσ τέλοσ add. S² mg.; eadem comparatio § 13 καὶ μὴν καὶ — ἀφίκετο, qua consulto eum plus semel de Marci stoici (cuius cf. V 3. 14; I 9; III 11; VI 26) magistro uti apparet οὐδαμοῦ DU: om. ST(B) 8. 9 ἀρρυόμενον T(B) 13 αὑτῷ τῶν UT: αὐτῶν τῶν SD(B) ἀρχαίου] κριτικόν se dixisse Alexandrum suspicatus est Schmid p. 8, 17; at Marcus (I 10) γραμματικόν (cf. Steph. Byz. s. v. Κοτιάειον. — ἔνθα ἦν Ἀλέξανδρος ὁ Ἀσκληπιάδου γραμματικὸς πολυμαθέστατος) eum vocat, quod nomen illum non credo usurpaturum fuisse, si ipse magister γραμματικόν se appellari noluisset; critici autem nomen Aristidi in odio fuisse inde certo concluditur, quod criticorum or. XXVIII § 26. 54 nisi summo cum contemptu mentionem non facit; nam quos ibi γραμματιστάς per ludibrium dicit, κριτικοί ipsi se vocabant. quod vero nomen γραμματικοῦ dixit ἀρχαῖον id non ita fecit, ut omnino nomen κριτικοῦ antiquius esse γραμματικοῦ (cf. Dion. Pr. LIII § 1) perhiberet, sed in eo laudem positam voluit, quod Alexander id nomen, quod primitus (ἀρχαῖον, cf. ad. p. 221, 4) cum modestia ipse sibi imposuerat, postea (gloriam nanctus) non commutavit cum superba κριτικοῦ appellatione 15 κατὰ] καὶ κατὰ S¹ 16 γίνονται U 21 εὖ σχεῖν] σχεῖν εὖ D, at ιν εὖ postea, ut videtur, ad finem versus in mg. add. D¹; εὖ ἔχειν Rsk. 22 τῶν — ἐξικνουμένων omissa add. S² mg.

στήμη οὐ πολλὰ ὡμιληκότων, τῶν δ' αὖ πολυμάθειαν ἐπασκη-
σάντων, ὑπὸ δ' αὐτῆς ταύτης εἰς τὰ κρείττω τυφλωθέντων καὶ
10 *μεθέντων τὸ βέλτιστον, πάντα δὴ συλλαβὼν εἷς ἀνὴρ εἶχεν. Καὶ*
μὴν τό γε φωνῆς οὕτως ἔχοντα μὴ εἰς συγγραφάς τε καὶ τοιοῦτον
σχῆμα ἀναχωρῆσαι, ἀλλ' ἑλέσθαι τὴν τοῖς παλαιοῖς Ἕλλησι δια-
κονίαν, πῶς οὐχ ὅμοιον τῷ πρὸς τοὺς φοιτῶντας ἀφθόνῳ καὶ 83 J
ἀφειδεῖ, δι' ὃ τῶν τε μαθημάτων εὐθέως ἐνεπίμπλη καὶ ὅσους
ἑώρα βίου δεομένους συστάσεις αὐτοῖς καὶ τάξεις ἐπορίζετο; ὥστε
πλείστους δὴ εἷς ἀνὴρ οὗτος παιδεύσας τε καὶ διαδοὺς φαίνεται
καὶ γενόμενος ἀκριβῶς τοῖς Ἕλλησιν ἀντ' οἰκιστοῦ. εἰκάσαι δὲ
ἔξεστι τὸ κατ' αὐτὸν καὶ ταῖς μητροπόλεσιν· ἄλλους γὰρ ἄλλοθι 138 D
τῆς γῆς κατῴκισεν ἐπ' ὠφελείᾳ αὐτῶν τε ἐκείνων καὶ τῶν χρω-
11 *μένων. μόνος δὲ καὶ τὸν Ἡσίοδον* (OD. 26) *ἤλεγξεν ἔργῳ ψευ-*
δόμενον ποιήσαντα ὅτι καὶ ἀοιδὸς ἀοιδῷ φθονέει· ἦν γὰρ τῶν
ὁμοτέχνων οἷον πατὴρ κοινὸς καὶ πάντες ἐπ' ἐκείνῳ πλείους ἐλ-
πίδας εἶχον ἢ ἕκαστος ἑαυτῷ. μόνος δ' ἰδιώτας τε οὐκ ἤλεγχεν καὶ
παρὰ τοῖς δεξιοῖς εἰς τὰ πρῶτα ἐθαυμάζετο, καὶ μόνος πλήθει
12 *τε καὶ ἀκριβείᾳ μαρτύρων ἐνίκα. ἦν δὲ καὶ τοῖς περὶ τοὺς λόγους*
φιλοτιμία ἐκείνῳ συγγεγονέναι καὶ τοῖς ἄλλοις ἐνδόξοις τε καὶ
λαμπροῖς ἀντ' ἄλλου τινὸς τῶν εἰς τὸ ὑπερέχειν τὸ ἐκείνῳ χρω-
μένους φαίνεσθαι. ὥστ' ἦν ἅπασιν ἀσπαστός, καὶ ὁπότε μὴ δη-
μοσιεύοι, ἢ παρὰ τοῖς δυνάσταις ἂν ἦν ἢ ἐν αὐτῷ τῷ βασιλέως
13 *οἴκῳ. καὶ μὴν καὶ τὰς μετὰ τῶν βασιλέων διατριβὰς ὥσπερ ὁδῷ*
τινι χρησάμενος οὕτως ἐποιήσατο· διὰ παντὸς γὰρ τοῦ Ἑλληνικοῦ
πρωτεύσας καὶ πεῖραν ἑαυτοῦ παρασχὼν μυρίαν, οὕτως καὶ εἰς
βασιλέως αὐλάς τε καὶ ἀκοὰς ἀφίκετο. ἐκ δὲ τούτου ἕτερος παρ' 139 D
ἑτέρου παραλαμβάνων αὐτὸν εἶχεν ἀντ' ἄλλου κόσμου τῶν βασι-
14 *λικῶν. γενόμενος τοίνυν ἐπ' ἐξουσίας καὶ δυνάμεως τοσαύτης*

---

1 *ἐπασκησάντων* scripsi: *ἀπασκησάντων* S, *ἀσκησάντων* DUT 4 *τό*] *τόν* D *οὕτω σχόντα* S^1 *συγγραφάς*] sc. quas declamaret (cf. *φωνῆς*) 5 *τὴν — διακονίαν*] rhetores cum orationes suas declamarent, Graecis ipsorum aequalibus se dabant, Alexander Graecis antiquis, quorum scripta interpretaretur 7 *δι' ὃ* legi: *διὸ* O (edd.) *ἐνεπίμπλη* SU: *ἐνεμπίπλη* T, *ἐνεπίπλη* D 8 *αὐτοῖσ* om. S^1 *τάξεις*] 'stipendia' (Wyttenbach Lex. Plut. p. 821); *συντάξεις ἐπόριζεν* ci. Kaibel, verbum fort. verum 9 *διαδοὺς*] cf. v. 11 *ἄλλους — κατῴκισεν*; *ἐφοδιάσας* ci. Kaibel 16 *ἑαυτῷ*] corr. ex *ἐφ' αὑτῷ* U^1 *τ' οὐκ* U 20 alterum *τὸ* UTS^2: *τῷ* S^1D *ἐκείνουσ* D 21 *ἦν*] in ras. ampliore U^1 (aut U^2), *εἶναι* D *ἀσπαστόσ* SDU^2: *ἄπαυστοσ* U^1T *δημοσιεύοι*] in patria artem publice profitebatur 22 *τοῖς δυνάσταις*] qui familiae imperatoriae erant, imprimis M. Aurelio et L. Vero *βασιλέως*] Pii imperatoris 24 *γὰρ* om. U^1 25 *ἑαυτοῦ* UT: *ἐξαυτοῦ* S^1 (expuncto *ἐξ* corr. *αὑτοῦ* S^2), *αὐτοῦ* D 27 *λαμβάνων* U *βασιλικῶν*] *βασιλείων* ci. Rsk. 28 *ἐπ'* UT: om. SD

ὥστε καὶ τροφέως χώραν, οὐχὶ διδασκάλου μόνον τῶν παίδων ἔχειν,
τὴν μὲν ἄλλην σωφροσύνην καὶ κοσμιότητα ὅσην παρέσχετο οὐ
φαῦλον ἔργον διηγήσασθαι· ἔπραττε δὲ ταὐτὸν ὅπερ καὶ περὶ τὰς
ἀρχαίας διατριβάς. ἔν τε γὰρ ταῖς διατριβαῖς δυσχεροῦς μὲν οὐ- 15
δενὸς οὐδενὶ πώποτε τῶν πάντων αἴτιος γενέσθαι λέγεται, ἀγαθοῦ
δὲ ἀεί τινος καὶ μαθηταῖς αὐτοῖς καὶ παιδαγωγοῖς αὐτῶν· καὶ
84 J *γὰρ ἐλευθέρους ἀφεθῆναι καὶ ἑτέρων τιμῶν τυχεῖν πλείστοις δὴ*
⟨εἷς⟩ πάντων αἴτιος Ἀλέξανδρος ἐγένετο, μάλιστα μέν, οἶμαι, τοιού-
τους παρέχων ἑκάστοις τοὺς παῖδας ὥστε καὶ τοὺς ἀκολουθοῦντας
καὶ μετέχοντας τῆς εἰσόδου τῆς παρ᾽ ἐκεῖνον εὐδοκιμεῖν παρὰ τοῖς
ἐπιστήσασιν, ἔπειτα καὶ αὐτὸς ἐκ τοῦ φανεροῦ τὰς τοιαύτας χά-
ριτας ἀντὶ τῶν συνήθων τοῖς ἄλλοις αἰτούμενος. παραπλήσια δὲ
καὶ ἐν τοῖς βασιλικοῖς πράγμασιν. ἐλύπησε μὲν γὰρ οὐδένα πώ-
ποτε, ἀγαθὸν δέ τι καὶ συγγενεῖς καὶ φίλους καὶ πατρίδα καὶ
πόλεις ἐργαζόμενος διεβίω. Μυρία δὲ εὐεργετήσας μυρίους οὐδένα 16
140 D *πώποτε τῆς εὐεργεσίας μισθὸν ᾔτησεν, τῆς μέντοι τέχνης οὐκ*
ᾐσχύνετο λαμβάνων. ἐδόκει γὰρ αὐτῷ λυσιτελεῖν τοῖς νέοις μαθη-
μάτων εἵνεκα τολμᾶν προίεσθαι, καὶ ταῦτα ὅστις δυνατός· ἐπεὶ τούς
γε ἀδυνάτους οὐκ ἠνώχλει ἀλλὰ καὶ παρ᾽ αὑτοῦ προστιθέντα αὐ-
τὸν ἴσμεν. οὐ τοίνυν ἀπὸ μὲν τῆς τέχνης καὶ τῶν συνουσιῶν το- 17
σαῦτα ὠφέλει, τὰ δ᾽ εἰς πράξεις τε καὶ πολιτείαν ἑτέρων ἡττήθη.
εἰδείητε δ᾽ ἂν ὑμεῖς μάλιστα, κἀγὼ παρ᾽ ὑμῶν τινων ταῦτα πυν-
θάνομαι, ὡς ὑμῖν μικροῦ πᾶσαν τὴν πόλιν ἐκ καινῆς ἀνώρθωσεν·
οὕτως οὐ μόνον λόγος ἦν τι⟨ς⟩ τὸ ἐκείνου πρᾶγμα. ὃ δὲ τῶν οἰκο- 18
δομημάτων πλείονος ἄξιον, ἡ σωφροσύνη καὶ τὸ δίκαιον, ἡγού-
μενον πάντων ὧν ἐκεῖνος καὶ λέγειν καὶ πράττειν ἠξίου, καὶ τὸ
μηδαμοῦ τὴν χρείαν ἐκβαίνειν, ἀλλ᾽ εἶναι νοῦν ἐχούσας τὰς φιλο-
τιμίας ἃς ὑμῖν προυξένει. οὐ μὴν οὐδ᾽ ἐπὶ τούτῳ προῖκα χρηστὸς
ἦν, ἀλλ᾽ οἱ μέγιστοι τῶν κόσμων ὑμῖν τῆς ἐκείνου μεγαλοψυχίας

---

3. 4 *τὰς ἀρχαίας διατριβάς*] pristinas', quas habebat, antequam Caesarum magister factus est (Wil.) 8 *εἷς* addidi (i. e. *οὐδεὶς ὅστις πλείους ἐλευθερωθῆναι ἐποίησεν*), postquam distinctionem, quae ante *πλείστοις* ferebatur, sustulit Wil., qui *δὴ τούτων αἴτιος* proposuit; cf. p. 220, 9. 224, 9 et ad 222, 24 14 *πατρίδα* Rsk.: *πατρίδας* O; quominus probato qui traditur plurali conieceris Alexandrum complurium urbium in civitate fuisse (cf. ad p. 212, 8), impediunt et quae proxime insecuntur (*καὶ πόλεις*) et totum epistolae consilium ac ratio 14. 15 *καὶ πόλεισ* omissum add. U[1] mg. 19 *αὑτοῦ* S[2]: *αὐτοῦ* O *προτιθέντα* D 21 *ὀφέλει* S[1] *πολιτείασ* UT 24 *τις* Canter: *τι* O 28 *τούτω* SD: *τούτων* UT; 'neque vero quod hac ratione (i. e. moderatione sapienti usus) commodus esse voluit, frustra (*προῖκα*, 'ut nihil commodi ad civitatem redundaret') commodus erat'

19 σημεῖόν εἰσιν. ἡγοῦμαι δ' εἰ καὶ μηδὲν πώποτε ἀνάλωσεν εἰς
ὑμᾶς, ἔκ γε τῶν ἄλλων ὧν ἔλεγεν καὶ ἔπραττεν ὑπὲρ ὑμῶν εἰκότως
ἂν αὐτὸν εὐεργέτην νομίζεσθαι· εἰ δ' αὖ μηδὲν ἄλλο μήτ' εἶπε 141 D
μήτ' ἔπραξε, τοσαῦτα δὲ οἴκοθεν εἰσήνεγκεν, εἰκότως ἂν αὐτὸν ἐν
20 πρώτοις εὐδοξεῖν. καὶ μὴν εἰ μήτε ἀπὸ χρημάτων μήτε ἀπὸ τῶν
ἄλλων χρήσιμος ὑμῖν ἐγένετο δημοσίᾳ, τό γ' ἐν τούτῳ καταστῆναι
τάξεως αὐτὸν ἐν τοῖς Ἕλλησιν εἰκότως ἂν ὑμῖν εἶχε φιλοτιμίαν· 85 J
ἡ γὰρ ἐκείνου δόξα κοινὴ τῆς πόλεως γεγένηται. μέγα γὰρ καὶ
πόλει καὶ ἔθνει ἕνα τὸν πρῶτον παρέχεσθαι· ὑμεῖς δὲ καὶ διαφε-
21 ρόντως ἑτέρων τῆς ἐκείνου τύχης ἀπελαύσατε. οὐδενὶ γὰρ τῶν
πάντων οὕτως ὠνομάζετο ἡ πατρίς· ἀλλ' ὥσπερ οἱ ἄλλοι πα-
τρόθεν ἢ ἀπὸ τῶν ἄλλων πραγμάτων γνωρίζονται, οὕτως ἐκεῖνος
μετὰ τῆς πόλεως εὐθὺς ἠκούετο. ἐπεὶ κἂν τοῖς βιβλίοις ἃ διωρ-
θοῦτο τοῦτο ἐγκαταλέλειπται σύμβολον· ἐπὶ γὰρ τῷ Ἀλεξάνδρῳ
παράγραμμα ἦν ἡ πατρίς, ὥστε ὁσάκις τις ἐκείνου μέμνηται, τοσαυ-
τάκις ὑμεῖς εὐδοκιμεῖτε, καὶ καθέστηκεν ὑμῶν ἡ πόλις ἐν μητρο-
22 πόλεως σχήματι τῇ ἀρχαίᾳ Ἑλλάδι. Ἀνθ' ὧν δικαίως τόν τε τάφον
κοσμεῖτε καὶ ὡς ἀρχηγέτην καὶ οἰκιστὴν τιμᾶτε τοῖς πᾶσιν τὸν
ἄνδρα καὶ ψηφίζεσθε ἃ τοῖς πρώτοις κτίσασι τὴν πόλιν ὑμῶν.
ταῦτα γὰρ οὖν μικρόν τί με ὡς ἐπὶ τῇ συμφορᾷ παρεμυθήσατο
ἀκούσαντα, καὶ διὰ ταῦτα μάλιστα ἐπιστεῖλαι προήχθην ἀγασθεὶς
23 τῆς γνώμης. αἰσχρὸν γὰρ εἰ Ἀμφιπολῖται μὲν Βρασίδᾳ θύειν
ἠξίουν ὡς ἥρωι καὶ οἰκιστῇ ὅτι αὐτοὺς Ἀθηναίων ἀπέστησεν, ὑμεῖς 142 D
δὲ ὃς ὑμᾶς συνέστησεν ἅπασι τοῖς Ἕλλησι καὶ ὃς δυσχεροῦς μὲν
οὐδενὸς οὐδενὶ πώποτε αἴτιος κατέστη, πάντας δὲ ὠφελῶν καὶ
λόγῳ καὶ ἔργῳ διετέλεσεν ἀφ' ὑμῶν ἀρξάμενος τῆς πατρίδος, τοῦ-
τον μὴ ἐμέλλετε ἐν ἀρχηγέτου μοίρᾳ τιμήσειν κοινοῦ γε τοῖς Ἕλ-
24 λησιν, ὡς ἐγώ φημι. καὶ μὴν εἰ Ὅμηρον Σμυρναίοις παρασχέσθαι
καὶ Παρίοις Ἀρχίλοχον καὶ Βοιωτοῖς Ἡσίοδον καὶ Κείοις δὴ Σιμω-
νίδην καὶ Στησίχορον Ἱμεραίοις καὶ Θηβαίοις Πίνδαρον καὶ Μυτι-
ληναίοις Σαπφὼ καὶ Ἀλκαῖον καὶ ἑτέροις ἑτέρους τινὰς φέρει

2 γε US p. ras.: τε S a.ras. DT 3 μηδὲν SD: μηδὲν μὲν UT 4. 5 ἐν πρώτοις om. U 16 καὶ — Ἑλλάδι] quia Alexandri Cotiaensis e museo antiquae Graeciae scriptorum recensiones prodierant 19 fort. ἃ ⟨καὶ⟩ τοῖς; conditores Cotiaei ignoti videntur esse; in nummis Cotiaensium Hercules et Telephus (Head N. H. p. 561) 20 οὖν] οὐ ci. Rsk.² ἐπὶ ⟨νέᾳ⟩ τῇ συμφορᾷ vel ἐπὶ ⟨τοσαύ⟩τῃ συμφορᾷ mavult Rsk.; desidero ἐπὶ ⟨γε⟩ τῇ 22 γὰρ] μὲν T (proximum μὲν non om.) Ἀμφιπολῖται] ι in ras. S² Βρασίδᾳ] Thuc. V 11 23 ἡμεῖσ S 24 δυσχεροῦς κτέ.] eadem p. 221, 4 sq. 27 γε Rsk.: τε O 29 βιωτοῖσ T κίοισ UT δὴ] δὲ ci. Rsk., at cf. or. XXXVI § 108 30 μιτυληναίοισ O 31 καὶ Ἀλκαῖον om. U

*φιλοτιμίαν — τὰς γὰρ Ἀθήνας ἐῶ τὰ νῦν —, ἦ που καὶ ὑμᾶς μέγα
φρονεῖν εἰκὸς ἐπὶ τῷ τούτους ἅπαντας κοσμήσαντι καὶ δείξαντι.
οἶμαι γὰρ εἴ τις θεῶν ἔδωκεν αὐτοῖς ἀνάστασιν ἔτι τούτου ζῶντος,* 25
86 J *πάντας ἂν εἰς ταὐτὸ τοὺς ὁμοτέχνους αὐτοῦ συναγαγόντας παρὰ
τούτου κελεύειν μανθάνειν ἃ χρὴ περὶ αὐτῶν φρονεῖν καὶ λέγειν.
ἐγέλων δ' ἔγωγε ἐπὶ τοῖς τὸν Πλάτωνα προϊσταμένοις καὶ περὶ
τοῦτον μόνον φιλοσοφοῦσιν, ὁ δὲ τῷ Πλάτωνι παντὸς ἄλλου μᾶλλον
γνώμην ἐμὴν κεχαρισμένος· [καὶ] τοσοῦτον τοὺς ἄλλους ἐνίκα ποιη-*
143 D *ταῖς, λογογράφοις, ἅπασι τοῖς ἄνθεσιν ὅσοις αἱ ὧραι, φασί, φύ-
ουσιν. καὶ μὴν τοῦτό γε οὐθ' ὑμᾶς λανθάνειν εἰκὸς οὔτε τοὺς* 26
*ὕστερον ὡς καλὰ μὲν καὶ ἃ γράψας κατέλιπεν καὶ βελτίονα τῶν
ὁμοφύλων πάντων, ὅμως δὲ μικρὰ ἄττα εἴδωλα τῆς ἐκείνου παι-
δείας τε καὶ γνώμης· τοσοῦτον ἐνίκα ταῖς συνουσίαις· ὥστ' ἔμοιγε
τὸ τοῦ Πλάτωνος αὐτοῦ παρίστασθαι, παιδιὰν εἶναι δοκεῖν τὰ ἐν τοῖς
γράμμασι πρὸς τὰς ὁμιλίας αὐτὰς τῶν σοφῶν ἀνδρῶν· ὥστε τοῦτό
γε μήποτε οἰηθῇ τις ἐκ τούτων ὄψεσθαι πάντα τὸν Ἀλέξανδρον,
καίτοι τὸ τῆς Ὁμηρικῆς συγγραφῆς ἀποχρῶν καὶ ταύτῃ κόσμος
εἶναι πολλαχῇ. δοκεῖ δέ μοι καὶ τὸ Αἰσώπου πρᾶγμα κομψὸν* 27
*μέν τι γενέσθαι καὶ σοφόν, τῇ δὲ Ἀλεξάνδρου παιδείᾳ παραβαλεῖν
παιδιά· ἐπεὶ πόστον μέρος ἦν τῶν Ἀλεξάνδρου τὰ Αἰσώπου σοφά;
τοσοῦτον τὰ δεύτερα τῶν πρώτων βελτίω ὑμῖν ἐξήνεγκεν ἡ γῆ. Θαυ-* 28
*μαστὸν δὲ καὶ τοῦτο· μόνῳ γὰρ αὐτῷ τὸ δαιμόνιον πάντα ὁμαλῶς
συμμετρησάμενον φαίνεται, σῶμα μὲν κάλλιστον καὶ ἰσχυρότατον
καὶ ὑγιεινότατον καὶ γεραρώτατον· οὔκουν ἔμοιγε κριτῇ οὐδεὶς οὕτως*

---

2 *κοσμήσαντι καὶ δείξαντι*] tanquam de artifice dictum; Luc. somn. 8 *Φειδίας — ἔδειξε τὸν Δία* 4 *αὐτοῦ* scripsi (*αὐτῷ* ci. Rsk.): *αὐτῶν* O 5 *αὐτῶν* O 6 *τοῖσ τοῦ πλάτωνοσ* U^1 7 *τούτων* T a. corr. *μᾶλλον* UTS^2 mg.: om. S^{1}D; cf. v. l. p. 59, 18 8 *κεχαρισμένως* (sc. *ἐφιλοσόφει*) ci. Rsk.^{2} *καὶ* secl. Rsk. (cf. v. 13); verbum latere putat Kaibel; *τοσοῦτον καὶ* traici vult Wil.; nihil profecit Baumgart Ael. Aristid. p. 14, 6 9 *φασί*] cf. or. XLIV § 16; Xenoph. an. I 4, 10; cyneg. 5, 34 (*ὧραι φέρουσι*, cf. *ὧραι φύουσιν — χῶραι φέρουσιν* or. XXVI § 11), comparat praeterea Kaibel Cypr. frg. 3, 2 Ki. *ἐν ἄνθεσιν εἰαρινοῖσιν, οἷα φέρουσ' ὧραι* 12 *ἄττα*] *τὰ* S^1 13 *τοσοῦτον δ' ἐνίκα* S^{2}U^2 14 ⟨*ἐπ'*⟩ *αὐτοῦ* Rsk.; at ad ipsum Platonem orator provocat (Phaedr. 277 E sq.), quo luculentius quae de consuetudine inter Platonem et Alexandrum intercedente modo dixerat probaret *παι//////διὰν* nunc S, *δι* in ras. S^2 16 *ἐκ τούτων*] sc. *τῶν γραμμάτων* 17 *Ὁμηρικῆς συγγραφῆς*] titulus *Ἐξηγητικά* erat *ταύτῃ — πολλαχῇ*] quod artem scribendi attinet, multifariam laudi ei est (Wil.) 18 *τὸ τοῦ αἰσώπου* D 19 *μέν τι* S: *μέντοι* DUT *παραβαλεῖν παιδιά* UT: *μὴ παραβαλεῖν* DS^2, *μὴ περιβαλεῖν* S^1 20 *πόσον* DU; fuit comma post *σοφά* 21 *πρώτων* sic O; invertit proverbium *δευτέρων ἀμεινόνων*, cf. ad p. 22, 22; etiam Cotiaensem Aesopum dicebant (Suid. v. *Αἴσωπος*) 22 *πάνθ'* UT

*ὡραῖος καὶ καλὸς ὡς ἐκεῖνος ἐν μυχῷ τοῦ γήρως. ψυχὴ δὲ ἡμερω-
τάτη καὶ παντὸς καλοῦ φυὴν μετεσχηκυῖα, παιδεία δὲ εἰς ὑπερ-
βολὴν καὶ δόξα πρὸς ἀξίαν καὶ τιμαὶ παρ' ἰδιωτῶν καὶ παρὰ* 144 D
*βασιλέων παραπλήσιαι κατὰ τὴν ἑκατέρων τάξιν· καὶ κλῆρος οἴκου
προϊὼν ἀεὶ καὶ πόνοι μετὰ ῥᾳστώνης καὶ βίου πέρατα μή-
κιστα, ὡς δ' εἰπεῖν, πᾶν εἶδος εὐχῆς συνεληλυθὸς καὶ τὸ δίκαιον
θεωρούμενον μετὰ τῆς τύχης. καίτοι πάντα τὸν αὐτὸν λαβεῖν ἐδόκει* 87 J
μέχρι τούτου τῶν ἀδυνάτων εἶναι, ὁ δὲ ἢ πάντων ἢ τῶν γε δὴ
29 *πλείστων ἀνὴρ εἷς τυχὼν φαίνεται. γνοίη δ' ἄν τις ἐξετάσας ἓν
μόνον αὐτοῦ τὸ περὶ τὴν συνουσίαν τὴν πρὸς τοὺς βασιλέας καὶ
παραθεὶς τὴν Ἀριστοτέλους πρὸς Φίλιππον καὶ Ἀλέξανδρον γενο-
μένην. ὡς ἡ μὲν ἐκείνου οὐ παντάπασιν ἀναίτιος τοῖς Ἕλλησιν,
ἀλλ' ἐδόκει τοῖς ἀνταγωνισταῖς καὶ τοῖς πολεμίοις συνεῖναι τοῦ
κοινοῦ γένους, ἡ δὲ τούτου μετὰ τῆς δυνάμεως τὴν εὐδοξίαν εἶχεν.
οὐ γὰρ δυσμενέσι καὶ τοῖς πολεμίοις τῶν Ἑλλήνων, ἀλλ' εὐεργέ-
ταις, οὐδ' ἐπὶ τῷ κοινῷ κακῷ τῶν ὁμοφύλων συνῆν, ἀλλὰ καὶ
πρὸς τῷ μηδὲν ἐναντιοῦσθαι καὶ ὠφελῶν εἴ τι δυνατὸν ἀεὶ τὸν
εἰς χρείαν ἐλθόντα τῶν Ἑλλήνων καὶ δημοσίᾳ πᾶσιν ἀντὶ προ-*
30 *ξένου καθεστηκώς. τὴν δ' αὖ Πλάτωνος πρὸς Διονύσιον, ὄντα
μὲν δή που τὸν Διονύσιον ὅστις ὤφθη καλῶς ὕστερον ἐν Κορίνθῳ
— ἀλλ' ἐῶ τοῦτο, ἀλλ' ὅ γε ἐβουλόμην εἰπεῖν περὶ τῆς ὁμιλίας
ὅτι γενναίαν μέν, εὐτυχῆ δὲ οὐκ ἔξεστι προσειπεῖν· αὐτῷ δὲ ὑπῆρξεν
ἀμφότερα, καὶ βούλεσθαι τὰ βέλτιστα ἀεὶ καὶ τυγχάνειν. καὶ γὰρ
οὖν οὐ ῥᾴδιον εὑρεῖν ὁποτέρῳ τῷ γένει μᾶλλον ἀνὴρ τίμιος, πό-
τερα τῷ Ῥωμαίων ἢ τῷ Ἑλληνικῷ, οὕτω πολλοῦ τοῖς ἄρχουσιν* 145 D
31 *ἄξιον παρέσχεν ἑαυτόν. ἐν τίσι δὲ ἀνθρώπων οὐκ εἰκὸς ἐκείνου
λόγον εἶναι καὶ πάλαι καὶ νῦν; τίνες οὕτως ἐπ' ἐσχάτοις οἰκοῦσι;
τίνες οὕτω τῶν καλῶν ἀναίσθητοι; τίς οὐ δακρύσει τῆς φήμης*

---

1 *ἐν μυχῷ τοῦ γήρως*] 'in extrema senectute', oppositum fictum ad *ἐπὶ γήραος οὐδῷ*, quod eadem qua Plato (rp. I 328 E) ratione orator interpretatus est, sc. 'ineunte senectute', cum notio 'extremae senectutis' sit volgaris 2 *παντὸς καλοῦ*] *ἀγαθοῦ παντὸς* Thom. Mag. p. 378, 13 (cf. *καλοῦ παντὸσ* Baroc. 136) *φυὴν*] nihil mutandum, cf. e. g. *φωνὴν* p. 219, 21 6 *συνεληλύθοσ* (ει supra) U pr. m. *καὶ τὸ δίκαιον κτὲ.*] 'i. e. *καὶ ἐφάνη τοῖς θεωροῦσι δικαίως τυγχάνειν τῶν καλῶν*' (Wil.) 8 *ἢ πάντων* sic O 10 *τὴν ⟨μὲν⟩ Ἀριστοτέλους* Canter 18. 19 *προξένου* S (add. *κοινοῦ* S² mg.): *κοινοῦ προξένου* D, *προξένου κοινοῦ* UT 19 *Διονύσιον ὄντα — που τὸν* om. U 20 *Διόνυσον* D; *Διονύσιον — ἐν Κορίνθῳ*: schol. Demosth. XX 162 *παροιμία· Διονύσιος ἐν Κορίνθῳ*; Cic. ad Att. IX 9, 1 23 *ἀεὶ τὰ βέλτιστα* U 24 *οὖν* abesse vult Rsk.² *ἀνὴρ* legi: *ἀνὴρ* O 26 *ἐν τίσι κτὲ.*] cf. or. XVIII § 10 XXII § 2 28 *οὕτω*] *οὗτοι* D

ἐπελθούσης; καὶ γὰρ εἰ καθ' ὥραν ὁ θάνατος, ἀλλ' οὐ τοῖς γε
Ἕλλησιν ὡραῖον ἀνδρὸς τοιούτου στερηθῆναι. ἦ που νῦν ἅπασα 32
μὲν ποίησις ἀπήνθηκε, πᾶσα δὲ συγγραφὴ [συνέσταλται], πάντα δ'
ὑπολέλοιπε τὸν ἐξηγητὴν καὶ προστάτην οὐκ⟨έτ'⟩ ἔχοντα, χήρα δ'
ἡ τέχνη, συνέσταλται δ' ἀναγκαίως μικρὰ μικρῶς τοῖς πολλοῖς. ὃ
δέ φησιν Ἀριστοφάνης (frg. 643 K.) *περὶ Αἰσχύλου σκότον εἶναι τεθνη-*
κότος, τοῦτ' ἄξιον καὶ περὶ τούτου νῦν εἰπεῖν εἰς παιδείας λόγον.
88 J *ὦ σχῆμα κάλλιστον, ὦ τῶν Ἑλλήνων πρεσβύτατε, ὦ διὰ βίου θαυ-* 33
μασθείς· ὦ ποθεινὸς μὲν τοῖς ἐντυχοῦσι, ποθεινὸς δὲ καὶ τοῖς
ἄλλοις ἐντυχεῖν, μακαριστὸς δὲ καὶ τῆς τελευτῆς ἧς πυνθανόμεθα,
ὃς οὐκ ἐν νόσοις ἀναλωθεὶς οὐδὲ ὀδύναις πληγείς, ἀλλὰ διημε-
ρεύσας ἐν τοῖς εἰωθόσιν, ὥσπερ κληθεὶς ὑπὸ τοῦ δαίμονος μεθ-
ῆκας ἐπὶ τῷ βιβλίῳ τὴν ψυχὴν καὶ κατ' ἐπωνυμίαν ἐτελεύτησας
τὸν βίον, ὥσπερ οἵ τι ἄλλο ἐξειργασμένοι δι' ἀκριβείας, εἰς τέλος
ἅπασαν δὴ τὴν πορείαν τοῦ βίου διεξελθὼν καὶ τὰ σαυτοῦ πράξας
146 D *εἰς τὸ ἔσχατον τῆς δυνάμεως. εἰ δὲ ἀληθεῖς οἱ Πινδάρου λόγοι* 34
καὶ Πλάτωνος καὶ παντὸς τοῦ περὶ Ἀλέξανδρον ἐργαστηρίου καὶ
διατριβαί τινές εἰσι τῶν ἐν Ἅιδου, ἦ που νῦν ποιητῶν τε χοροὺς
εἰκὸς ἵστασθαι περὶ ἐκεῖνον, ἀρχομένων ἀπὸ Ὁμήρου τὴν δεξιὰν
προτεινόντων καὶ λογοποιῶν καὶ συγγραφέων καὶ ἁπάντων ὡς αὐ-
τὸν ἑκάστου καλοῦντος καὶ μεθ' αὑτοῦ σκηνοῦσθαι κελεύοντος,
ταινιούντων, ἀναδούντων, καὶ οὐ δή τοι μετὰ κρίσεώς τε καὶ ἀμφισ-
βητήσεως πρὸς ἕτερον, ἀλλ' ἀπὸ τῆς πρώτης βοῆς· οἶμαι δὲ οὐδὲ
καταβήσεσθαι πολλῶν ἐτῶν κεφαλὴν ἀξιόχρεω πρὸς τοῦτον ἀγω-
νίσασθαι, ἀλλ' εἶναι διηνεκῆ τὸν θρόνον αὐτοῦ ὡς ἀρίστου κήρυκος
τῶν Ἑλλήνων καὶ ἐξηγητοῦ.

147 D *Μηδεὶς δ' ὑμῶν νεμεσήσῃ, εἰ μεταξὺ γράφων πρὸς ὑμᾶς ταῦτα* 35

---

3 *συνέσταλται* seclusi (e v. 5), cf. p. 36, 4. 5   4 *οὐκέτ'* scripsi: *οὐκ* O, cf. v. l. p. 218, 1   5 *συνέσταλται*] mortuo eo, qui artem auxerat et augebat, criticis gregariis ars quasi in artum gyrum arte compressa est   9 *καὶ* sic O   12. 13 *μεθῆκασ* (*ἀφ* s. l.) U pr. m.   13 *ἐπὶ*] *ομοῦ* S[1], *ἐπὶ* s. l. add. S[2]   *κατ' ἐπωνυμίαν*] i. q. *ὥσπερ γραμματικός*; grammatici artem exercens (librum in manu tenens) obiit (contra 'i. e. vere grammatica *ἀκριβείᾳ*' Wil.)   15 *τὰ σαυτοῦ πράξασ* UTS[2]: *τὰσ αὐτοῦ πράξεισ* S[1]D   16 *Πινδάρου*] referunt ad Pind. frg. 129. 130 B.[4]   17 *παντὸς — ἐργαστηρίου*] omnium quos Alexander tractavit scriptorum veterum (Rsk.); at cf. pro rhet. II 41, 23 Ddf., quem ad locum pro *Ἀλέξανδρον* ci. *τοῦτον* Kaibel, illud falsum interpretamentum ratus, quod veram lectionem extrusisset, cui sententiae favet or. XXXVIII § 23   19 *τὴν — προτεινόντων*] cf. Hyper. epitaph. § 35   20 tertium *καὶ* s. l. D[1]   *ὡσ αὐτὸν* O   21 *μετ' αὐτοῦ* O (corr. Ddf.)   22 *καὶ οὐ δή τοι κτέ.*] ad Aristoph. ran. 785 alludit; item v. 25 ad eiusdem v. 761 sqq. 1515 sqq.   *τοι* ST: *τι* DU   23 *ἀλλὰ πρὸσ πρώτησ* S[1]   27 *γράφων πρὸσ* DU: *γράφων καὶ πρὸσ* T, *γράφων///πρὸσ* S   *ταῦτα*] § 27—34

ἀπεφθεγξάμην, ἐπεὶ καὶ αὐτῆς τῆς ἐπιστολῆς αἴτιον τὸ βούλεσθαι
περὶ ἐκείνου καὶ ἀκούειν καὶ λέγειν. οὐ μὴν οὐδὲ δάκνεσθαί
γε ἐπὶ τῷ ἀνδρὶ ἔγκλημα, οὐδ' εἰ τηλικοῦτος ὢν οἴχεται·
μάλιστα μὲν γὰρ οὐ τὰ νεώτατα εἰκὸς ἀσπάζεσθαι, ἀλλὰ
τὰ σπουδαιότατα. ἔπειτα καὶ ἡ ζημία τοσούτῳ μείζων ὅσῳ
μεῖζον καὶ σπανιώτερον τὸ ἕρμαιον ἄνδρα ἐν τούτῳ γήρως
ἰδεῖν οὕτω τοῖς πᾶσι πράττοντα, καὶ διὰ πάντων σῴζοντα τὴν
36 ἕξιν ὑγιείας μνήμης συνέσεως φαιδρότητος τῶν ἄλλων. πολὺ γὰρ 89 J
μᾶλλον ἔτι ζῶντος εἰκὸς ⟨ἦν⟩ ἀγωνιᾶσαι, μή ποτε ἀπαλλαγείη, καὶ
προσορᾶν, ἕως ἐνῆν, ὥσπερ ἄλλο τι ἀγαπητὸν ἢ τελευτήσαντος τὴν
ἡλικίαν ὑπολογίζεσθαι. ἀλλὰ ταῦτα μὲν οὐ δέος μή τις ὑμῶν ἐπιτι-
μήσῃ, οὓς ἅπαν ἀκούω καὶ ποιεῖν καὶ λέγειν. ἐπιστρέψω δὲ πρὸς
37 ὑμᾶς αὖθις τῷ λόγῳ, βραχέα δ' ἔσται τὰ λοιπά. Φημὶ γὰρ
ὑμᾶς τοῖς τε ἄλλοις ἅπασι δικαίως ἐκεῖνον τιμᾶν καὶ τῶν οἰκείων
αὐτοῦ μεμνημένους ὀρθότατ' ἂ⟨ν⟩ ποιεῖν καὶ προσήκοντα τῇ πάσῃ
γνώμῃ, γυναῖκα μὲν τὴν ἐκείνου καθάπερ τινὰ ἱερὰν νομίζοντας
καὶ ἀγαθοῦ τινος δαίμονος λῆξιν, εἰ θέμις εἰπεῖν, συγγενεῖς δὲ
τοὺς ἐκείνου κάλλιστα ὑπομνήματα ἐκείνου νομίζοντας, παῖδας δὲ 148 D
τοὺς μὲν πρεσβυτέρους δι' αἰδοῦς ἁπάσης ἄγοντας, τὸν δὲ νεώ-
τατον ἐκτρέφοντάς τε ὡς προθυμότατα καὶ ἐπιτροπεύοντας δη-
38 μοσίᾳ. συμβέβηκε δὲ αὐτῷ πάθος οὐ φαυλότατον· πλείστους γὰρ
Ἑλλήνων παιδεύσας ὁ πατὴρ αὐτοῦ καὶ παῖδας δὲ ὧν ἐπαίδευσε
παιδεῦσαι ἐφικόμενος τὸν υἱὸν οὐκ ἐξίκετο τὸν αὑτοῦ, ἀλλ' ἑτέρου
δεῖται διδασκάλου ὁ τοῦ κοινοῦ τῶν Ἑλλήνων. ὑμεῖς δὲ καὶ ταύ-
την τὴν συμφορὰν καὶ πᾶσαν τὴν περὶ τὸ συμβεβηκὸς δυσχέρειαν
ἀνασώσασθε, ὡς ἐν πατέρων μοίρᾳ προεστῶτες, συνελόντι δ' εἰ-
39 πεῖν τὴν ἑστίαν τὴν Ἀλεξάνδρου δημοσίαν ὑμῶν νομίζοντες. Πα-
ρακελεύσασθαι δέ μοι ταῦτα ἀναγκαῖον· ὅπερ γὰρ καὶ ἐν ἀρχῇ
τῆς ἐπιστολῆς (§ 2) εἶπον ἢ ὅ τι βούλεσθε καλεῖν τὸ βιβλίον, πολ-
λαχῇ μοι τὰ ἐκείνου προσῆκεν· ἐπεὶ καὶ τῆς φιλίας ἣν ἐφίλουν
ἐκεῖνον πρέποντας τοὺς καρποὺς ἐκομιζόμην· οὗτοι δ' ἦσαν οὐχ

5. 6 ὅσῳ μεῖζον omissa add. S^2 mg. 7 τοῖς πᾶσι] 'quoquo modo', cf. τοῖς ὅλοις p. 193, 9 8 ὑγείασ U 9 ἦν addidi 10 προσορᾶν] προσορῶν D 11 ὑμῶν] ci. ὑμῖν Rsk.^{2}, errat; dicit Aristides se non timere ne quis Cotiaeensium ipsum ob ea quae modo dixit reprehendat, cum ipsi Cotiaeenses nihil non faciant, ut Alexandri memoriam colant 13 τὸν λόγον ci. Rsk.; orationem deflexerat inde a § 28 14 τοῖς τε ἄλλοις ἅπασι] p. 222, 18 15 ὀρθότατ' ἂν scripsi: ὀρθότατα O; quae vv. ὑμᾶς — τιμᾶν dicuntur faciunt Cotiaeenses, quae secuntur ut faciant Aristides hortatur, cf. v. 28 20 τε ὡσ Baroc. 136: τέωσ O 22. 23 ἐπαίδευσεν ἐφικόμενοσ S, παιδεῦσαι add. S^2 mg. 23 αὐτοῦ SD 28 γὰρ sic O 29 βούλεσθ^{ε}αι D^1 31 τοῦ καρποῦ T a. corr.

ἧττον † φιλοῦντα ἐφίλουν· ἔδειξε δὲ χωρὶς τῶν ἄλλων καὶ οἷς ὅτε
ἐνόσουν ἐν Ῥώμῃ ἔπραξεν, οὐδὲν ὅ τι οὐ γιγνόμενος τῶν εἰς σω-
τηρίαν ἔμοιγε, καὶ τοῦ γε εἰς τὴν οἰκείαν σωθῆναι μετὰ τοὺς θεοὺς
90 J αὐτὸς αἰτιώτατος κατέστη. καὶ μὴν τά γε ὕστερον τί τις ἂν λέ- 40
γοι; ἠνίασε δέ με καὶ ἡ παράκλησις αὐτοῦ, μυρία γὰρ δὴ ἐπὶ μυ-
ρίοις καὶ αὐτὸς παρὼν καὶ διὰ γραμμάτων ὕστερον ᾔτει με τῶν
συγγραμμάτων τῶν ἐμῶν ἀναθεῖναι μετὰ τῶν ἄλλων βιβλίων ὑμῖν,
ἐπαγγελλόμενος τάξιν αὐτοῖς τὴν πρώτην· ἐγὼ δ᾽ ἔτι ἐπισκέψα-
σθαι αὐτὰ χρῄζων οὐκ εἶχον ὑπακοῦσαι. οὕτως οὔτε ἀνέγραψεν
149 D Ἀλέξανδρος βιβλία ἡμέτερα οὔτε ἔγνω τὰ πλείω. ἀλλὰ μὴν τήν
γε ψῆφον ἣν ἤνεγκεν ἀεὶ περὶ τῶν λόγων τῶν ἡμετέρων, φθόνου
μὲν οὐκ οἶδα εἰ κρείττω, μείζω δὲ ὑπερβολῆς ἤνεγκεν· ἃ πάντα
καὶ μεμνῆσθαί με ἐκείνου καὶ συμφορὰν οὐ φαύλην ἄγειν τὸ συμ-
βεβηκὸς ποιεῖ, καὶ προσέτι μὴ δοκεῖν πολυπραγμονεῖν πρὸς ὑμᾶς
νυνὶ διαλεγόμενον. ἐβουλόμην δ᾽ ἂν καὶ τὸ σῶμα βέλτιον ἔχειν 41
μοι τῶν τε ἄλλων εἵνεκα καὶ ὅπως κἀμοί τι ἔχοιτε χρῆσθαι· ὡς
ἐγὼ τοὺς ἐκείνῳ προσήκοντας ἴσον ἐμαυτῷ προσήκειν ὑπολαμβάνω.

II 571 D
II 416 J

XXXIII.

(51) ΠΡΟΣ ΤΟΥΣ ΑΙΤΙΩΜΕΝΟΥΣ ΟΤΙ ΜΗ ΜΕΛΕΤΩΙΗ.

Οὐκ ἀμφοτέρων ἄρα τῶν καιρῶν διήμαρτον, εἴπερ χάριεν μὲν ἥκοντα ἐκ τῆς ἀποδημίας δέξασθαι καὶ προσειπεῖν, ἄλλως τε καὶ

Oratio XXXIII: libri ARDUT = O

1 φιλοῦντα ἐφίλουν] corrupta; οὗτοι δ᾽ ἦσαν ⟨τίνες⟩; οὐχ ἧττον κτἑ. Wil.; [οὗτοι δ᾽ ἦσαν] — ἐφίλουν (sc. οἱ καρποί) ci. Kaibel; ipse φιλοῦντος [ἐφίλουν] temptavi 2 ἐν Ῥώμῃ] cf. or. XLVIII § 63 sqq. 7 ἀναθῆναι T 8 ἐπαγγελόμενοσ T¹ 9 οὔτε ἀνέγραψεν] 'neque in catalogum (ἀναγραφή) recepit (quem bibliothecae publicae Cotiaeensium Alexander composuerat)' 14 μὴ πολυπραγμονεῖν δοκεῖν D (sic). — Subscr. ἐπὶ ἀλεξάνδρῳ ἐπιτάφιοσ T

Titulum om. D; orationem testatur Themistius titulum imitatus (or. XXXIV) πρὸς τοὺς αἰτιασαμένους ἐπὶ τῷ δέξασθαι τὴν ἀρχήν 18 ἀμφοτέρων] duos dicendi καιρούς distinguit: alter est, quem amici reditus praebuerat, alter quem iterata (cf. ἐπανήκοντα et δευτέρων ἀμεινόνων p. 228, l. 6) amici profectio praebet (καιρὸν p. 228, 2); illo usus non erat orator, hunc ipsi nunc dari gaudet (Rsk. et Wil.), praesertim cum haberet quem amico dedicaret προπεμπτικόν; forte fortuna enim ipsius oratoris res tulerant, ut eodem illo tempore (ὁ καιρὸς συνῆγεν p. 228, 3) Aristides orationem compositam haberet, cuius exordium integrum vv. σκιαμαχεῖν κτἑ. (§ 3—6) etiam nunc legitur. hanc iam brevi praemisso alloquio (§ 1. 2) ut προπεμπτικόν amico dedicat

ἀφ᾽ ὧν συνευξάμεθα ἐπανήκοντα· εἴη δ᾽ ἂν τι καὶ προπέμψαι
ἅμα τῷ μέλει· σὺ δὲ τοῦτον ἥκειν τὸν καιρὸν ἀπέδωκας· ἐδεξά-
μεθα οὖν, ἐπειδὴ καὶ ὁ καιρὸς οὕτω συνῆγεν. θεοῦ δέ, φησὶν
Πίνδαρος (frg. 108 B.[4]), δείξαντος ἀρχὴν εὐθεῖα δὴ κέλευθος ἑλεῖν 417 J
2 τὸ προκείμενον. καὶ δῆτα σοὶ μὲν πλεῖν [ἡμῖν] ἐξ οὐρίας τε καὶ
ἐπὶ χρηστοῖς καὶ δευτέρων ἀμεινόνων ἀγγέλλεσθαι, ἡμῖν δ᾽ αὖ τὰ 572 D
ἡμέτερα ἐξ οὐρίας τε ἀγωνίζεσθαι καὶ ‘ῥοθίῳ κώπῃ’ παρενεγκεῖν
ἅπαντας Ἕλληνας, ὅσον πλεῖστον ἔξεστιν, Ἀσκληπιός τε προστάτης
ἡμέτερος καὶ Ζεὺς ὁ πάντα νέμειν κύριος παρέχοι διὰ τέλους. καὶ
ταῦτα μὲν δὴ ταῦτα. μέτειμι δὲ ἐπὶ ἕτερον προοίμιον κατὰ Στη-
3 σίχορον (frg. 46 B.[4]). Σκιαμαχεῖν μὲν οὖν πως οἶδ᾽ ὅτι δεῖ,
πρὸς οὓς γὰρ εἰρήσεται τὰ λεγόμενα οὐχ ἥκουσιν· ὥστε συμβαίνει
ἅμα μὲν σχεδὸν ὥσπερ ἂν εἰς μάτην γίγνεσθαι τοὺς λόγους, ἅμα
δ᾽ εἶναι σαφέστατον ὡς ὀρθῶς καὶ προσηκόντως εἰρήσονται. αὐτό-
θεν γάρ που φανερὸν ὅτι οὐ τὸ ἡμέτερον αἴτιον οὔτε νῦν οὔτε
ἄλλοτε πώποτε σὺν θεοῖς εἰπεῖν, ἀλλ᾽ ἡ τούτων περὶ πάντα συν-
ήθης ῥᾳθυμία. σκεψώμεθα δὲ ὥσπερ ἀντωμοσίαν τινὰ ἢ γραφήν.
4 ἀδικεῖν φασί με τὰς μελέτας τῶν λόγων οὐ συνεχεῖς ποιούμενον·
εἶναι γὰρ ἂν πάντα ἐπ᾽ ἐμοί τε καὶ ὑπ᾽ ἐμοί, καὶ τοῦτο ὁμαλῶς
ὑπὸ πάντων λέγεσθαι τὸ ‘εἰ ἐβούλετο’ καὶ ‘ἂν βουληθῇ, πότε;’ τοῦτ᾽
5 ἔστι τὸ ἔγκλημα. εἰ μὲν οὖν κεχαρισμένον τινὰ ἀκοῦσαι λόγον
ζητεῖτε, ὥσπερ ἡνίκ᾽ ἂν πανηγυρίζων τυγχάνω, ληρεῖτε, εἰ δ᾽ ἀν-
έξεσθε τἀληθῆ λέγοντος, οὐ πάνυ μέμψεως ἄξιος ἡγοῦμαι φανήσε-
σθαι. πάντως δὲ οὔτε πανήγυρις τὸ νῦν εἶναι οὔτε παρουσία
τοσαύτη ξένων, ἐν οἷς ἐξελεγχόμενοι δυσχερῶς οἴσετε — λέγω γὰρ
οὖν ὡς πρὸς παρόντας τοὺς ἄνδρας — ἀλλ᾽ ἐν ἐλάττοσιν ἢ ἐπὶ
6 Ληναίῳ τὰ τῆς παρρησίας ἔσται. διελέχθην μὲν οὖν ὑμῖν καὶ

---

1 συνευξόμεθα RD 2 ἅμά τῳ D ἥκειν] ci. ἡμῖν Canter; desidero νῦν 4 Πίνδαρος] cf. or. XXVII § 2 ἑλεῖν] add. γρ. εὑρεῖν U[2] mg. (Junt.) 5 σοὶ DUA[2]: σὺ A[1]RT ἡμῖν seclusi; dittographia correcta 6 δευτέρων ἀμεινόνων] cf. ad p. 22, 22 ἀγγέλλεσθαι] ἀγάλλεσθαι R (Baroc. 136) 7 ῥοθίῳ ⟨καὶ⟩ κώπῃ ci. Rsk.; at cf. Eur. I. T. 407 8 προστάτης] cf. or. XXVIII ex. 10 ἐφ᾽ ἕτερον e Baroc. 136. Monac. 432 reddunt Stesichoro, cuius ipsa verba ab Aristide adferri opinantur; quod non magis credo quam, quod Bergk suspicatus est, etiam vv. εἰς μάτην — γίγνεσθαι v. 13 Stesichoro Aristidem debere, quippe cuius frg. 47 μάτας εἰπών feratur 11 πως om. RD 12 εἴρηται R[1] 13 γίνεσθαι U 14 σαφέστερον DU 17 σκεψάμεθα D ἢ γραφήν suspecta Kaibelio 20 καὶ ἂν βουληθῇ, πότε; legi: κἂν βουληθῇ ποτε, O; ‘si vellet’ et ‘si vult, quando?’ τοῦτο DU 22. 23 ἀνέξεσθαι D 25 οἴσεσθε D, οἴεσθε R λέγω κτὲ.] cf. v. 11 et ad p. 142, 1 26 ἐν ἐλάττοσιν] ἐναλλάττουσιν RD; respicit Aristoph. Ach. 504 (Ddf.) 27 διελέχθην μὲν AU (at -θην in ras. IV litt. U[1]): διελέχθημεν RDT

πρότερον περὶ τούτων, ἡνίχ᾽ ὁ λοιμὸς ἤκμαζεν, τοῦ θεοῦ παρελθεῖν
573 D *κελεύσαντος· εἰρήσεται δὲ καὶ ταῦτα τῆς αὐτῆς γνώμης ἐχόμενα,*
ἵν᾽ εἰδῆτε ὅτι ἐγὼ μὲν οὐδ᾽ ἐν αὐτοῖς τοῖς σφαλερωτάτοις καιροῖς
418 J *ἠξίουν ῥᾳθυμεῖν, ἕτεροι δ᾽ εἰσὶν οἷς λόγων ὀλίγον μέλει.*

Πρότερον μὲν οὖν ἔγωγε οὐκ ᾔδειν πρὸς τί ποτ᾽ εἴη λεγό- 7
μενον τὸ προσεγκαλεῖν τοὺς φῶρας, νυνὶ δέ μοι δοκῶ γιγνώσκειν.
ὅταν γὰρ οἷς ἀπαντᾶν ἐπὶ τὰς μελέτας καὶ τὰς ἀκροάσεις προσ-
ῆκον, τοῦτο παρέντες ὡς οὐδεὶς ἔσθ᾽ ὁ λέγων αἰτιῶνται, πῶς οὐ
τὰ σφέτερ᾽ αὐτῶν ἑτέρων λογίζονται, ὥσπερ ἂν εἴ τινες ἡλίου
καθαρῶς φλέγοντος μύσαντες λέγοιεν τὸ φαινόμενον οὐκ εἶναι.
ἀλλ᾽ οἶμαι, ταῦτα μέν ἐστιν αὑτοὺς ἐξαπατώντων, δοκούντων δὲ
ἑτέρους. ὡς δ᾽ εἰκός τέ ἐστι καὶ δεῖ διανοεῖσθαι περὶ τούτων,
εἰ βούλεσθε, ἀκούσατε. ἐγὼ νομίζω τὰς τέχνας καὶ τὰ ἐπιτηδεύ- 8
ματα ἄχρι μὲν τοῦ μεταχειρίζεσθαι πρὸς τοὺς μετιόντας εἶναι,
τὸ πέρα δ᾽ οὐκέτι πρὸς τούτους, ἀλλ᾽ εἶναι διττὴν χρῆσιν ἁπάσης
τέχνης, τὴν μὲν αὐτοῦ τοῦ τὸ ἔργον μεταχειριζομένου, τὴν δὲ τῶν
χρωμένων. ὅταν μὲν οὖν τις ἐκλίπῃ τὰς οἰκείας πράξεις, ὑπεύ-
θυνος κατὰ τοῦτο· ὁ γὰρ δὴ χρῆσθαι βουληθεὶς κεκώλυται· ὅταν
δ᾽ ὁ μὲν ὡς οἷόν τε μάλιστα ἐργάζηται τὰ ἑαυτοῦ, οἱ δ᾽ ἐκποδὼν
ὦσιν, οὐχ ὁ πράττων, οἶμαι, τὰ δέοντα ὑπεύθυνος, ἀλλ᾽ οἱ μὴ
χρώμενοι. τί χρὴ τὸν ἰατρὸν τὸν ἀγαθὸν ποιεῖν; παρεσκευάσθαι 9
τὰ φάρμακα, τὴν χεῖρα, τὴν ἐπιστήμην· χρῆσθαι δὲ τούτοις κε-
λεύειν οὐκέτι τῆς τέχνης ἐστίν, ἀλλὰ δεῖ τὸν κάμνοντα βαδίζειν ἢ
πέμπειν ὡς ἐκεῖνον. ἂν δέ γε ὁ ἰατρὸς δέηται τοῦ σωθῆναι δεο-
μένου, ἢ νὴ Δί᾽ ὁ κυβερνήτης τῶν πλεῦσαι δεομένων, ἢ τῶν ἀμφισ-
574 D *βητούντων ὁ δικαστὴς ἢ τῶν στρατιωτῶν ὁ στρατηγὸς ἢ ὁ ῥήτωρ*
τῶν ἀκροατῶν, ἄνω ποταμῶν ἅπαντ᾽ ἂν εἴη τὰ πράγματα. μὴ 10
γὰρ ὅτι ἐν τοῖς σπουδαίοις καὶ τοσοῦτον ἀξίᾳ προήκουσιν, ἀλλ᾽
⟨οὐδ᾽⟩ ἐπὶ τῶν βαναύσων τεχνῶν οὐδαμοῦ τοῦτο ἐνομίσθη, τοὺς
δημιουργοὺς παρὰ τοὺς χρῄζοντας ἰέναι δεησομένους αὐτοῖς χρῆ-
σθαι, ἀλλ᾽ οἱ μὲν χρῄζοντες οἰκοδομῆσαι δέονται τῶν τεκτόνων,

---

1 *ὁ λοιμὸς ἤκμαζεν*] cf. or. XLVIII § 38, L § 9 2 *καὶ ταῦτα κτέ.*] cf. p. 147, 9 *ἔχομεν* R (leg. *-όμεν᾽*) 5 *εἴη τὸ λεγόμενον τὸ* DU a. ras.; cf. ad p. 232, 4 6 *γινώσκειν* U 7. 8 *προσῆκε* ci. Rsk. 9 *σφέτερα* DU *τινοσ* R 10 *λέγοιεν* scripsi: *λέγωσι* O (*λέγουσι* Baroc. 136, prob. Ddf.) 11 *αὐτοὺσ* A[1] (corr. A[r]) R *δ᾽* DU; abesse vult Kaibel 15 *πέρα* A: *πέρασ* RDUT 16 *τοῦ// τὸ* D 17 *χρωμένων*] sc. *τῷ τῇ τέχνῃ παρεσκευασμένῳ* *τις* om. DU *ἐκλείπῃ* T, fort. recte 20 *ὦσιν*] *εἰσιν* U[1] 21 *παρεσκευά//σθαι* T, at *εσ* in ras. pr. m. (*παρασκευάσασθαι* Baroc. 136) 23 *δεῖ*] *δὴ* D 24 *γ᾽* RU 26 *ὁ* om. D 27 *ἄνω ποταμῶν*] cf. ad p. 244, 6 *πάντ᾽* U 28 *ὅτι*] *ὡσ* R 29 *οὐδ᾽* add. Rsk.[2] *τοῦτο*] *τοῦ τότε* R 30 *αὐτοῖσ* ADUT 30. 31 *χρησθῆναι* D

οὐχ οἱ τέκτονες τούτων· γεωργὸς δὲ ἐπὶ τὰς τοῦ χαλκέως βαδιεῖται
θύρας, ὅταν ἢ σμινύης ἤ τινος ἄλλου τῶν τοιούτων δεηθῇ, καὶ
πάλιν γε ὡς ἐκεῖνον ὁ χαλκεύς, ὅταν σίτου. κουρέα δὲ ἤδη πώποτ'
εἶδες προσιόντα τῳ καὶ λέγοντα 'ὦ βέλτιστε ἀνδρῶν, παράσχες μοι
κεῖραι σεαυτόν, ἢ τῶν ὀνύχων ἀφελεῖν, ἢ ξέσαι, ταῦτα γάρ ἐσθ' 419 J
ἡ 'μὴ τέχνη'; ἀλλ' οἶμαι, κἂν ἀλουργίδα τις φορῇ κἂν ὁπωσοῦν
ᾖ σεμνός, αὐτὸς εἶσι παρ' ἐκεῖνον ἢ καλεῖ γε ὡς αὑτόν, ὅταν του
τῶν ἐκείνου δεηθῇ. καὶ τί δεῖ μακρόν τινα ἐκτείνειν κατάλογον
τεχνῶν; σχεδὸν γὰρ πάντα ὡς ἔπος εἰπεῖν οὕτως ἔχοντα εὑρή-
11 *σομεν. εἶθ' οἱ μὲν οὐδ' αὐτοὶ μεῖζον φρονεῖν οὐδενὸς ἀξιώσαιεν*
ἄν, οἶμαι δ' οὐδ' ἴσον τοῖς ἄλλοις, ἀλλὰ καὶ τέχνην ταύτην ἔχου-
σιν ὑπηρετεῖν τοῖς πολλοῖς, οὗτοι μὲν τοὺς δεησομένους ἀναμε-
νοῦσιν καὶ οὐ ταπεινωθήσονται περαιτέρω τοῦ σχήματος, οἱ δὲ
τὴν καλλίστην καὶ τὴν ἐλευθεριωτάτην ἐπαγγελλόμενοι δύναμιν,
δι' ἧς ἅπαντα πράγματα ἐξετάζεται καὶ δοκιμάζεται, καὶ μικρὰ
καὶ μείζω καὶ καλλίω καὶ θάτερα, οὗτοι δ' οὐκ εἰ μηδὲν ἄλλο, 575 D
τούτους γε μιμήσονται, καὶ τὴν μὲν τῶν λόγων ἐπιμέλειάν τε καὶ
μελέτην αὐτοῖς προσήκειν νομιοῦσιν, τὸ δ' ἢ τούτοις ἢ ἑαυτοῖς
12 *χρῆσθαι, τοῦτο δ' ἑτέρων ἔργον ἡγήσονται; καὶ ὡς ἔοικεν ὁ μὲν*
σκυτοτόμος καὶ ὑφάντης, ἐὰν ἀφέντες ἐφ' ᾧ κάθηνται περιέρ-
χωνται συλλέγοντες τοὺς προσφοιτήσοντας, οὐ μόνον οὐ πράξουσι
τὰ ἐπιβάλλοντα ἑαυτοῖς, ἀλλὰ καὶ διαφθεροῦσι τὰς τέχνας, ὁ δὲ
ῥήτωρ ἐὰν τοὺς λόγους ἀφεὶς τοὺς ἀκουσομένους συλλέγῃ, κάλλισθ'
οὕτω περὶ τῶν ἑαυτοῦ βουλεύσεται; οὔκ, ἀλλ' οὕτω καὶ μάλιστα,
13 *ὥς γ' ἐγὼ φαίην ἄν, τὰ ὑπάρχοντα διαφθερεῖ. καὶ μὴν εἰ παν-*
ταχοῦ τὸ τὴν τάξιν λιπεῖν αἰσχρὸν καὶ παρὰ τοὺς νόμους, ῥήτωρ
γε μάλιστ' ἂν οὕτω λίποι τὴν τάξιν, εἰ τοὺς τυχόντας θεραπεύων
14 *φαυλότερον τὸ καθ' αὑτὸν τὸ σχῆμα τῆς τέχνης ποιοῖ. σκέψαι*

---

1 *οὐχ οἱ*] *οὐχὶ* D 3 *γε* om. D *ἐκείνου* R *πώποτε* AU 4 *πάρασχέ* RDU 5. 6 *ἔσθ' ἡ 'μὴ* ATU² mg. c. *γρ.* voluit R¹ p. corr. (dedit *ἥ/μὴ*), *ἔσθ' ἡ ἐμὴ* R¹ a. corr.: *ἐστιν ἡμῖν ἡ* D, *ἐσθ' ἡμῖν ἡ* U (at *σθ* in ras. pr. m.) 6 prius *κἂν*] R² in ras. unius litt. *φορῇ*] *ῆι* R² in ras. posterius *κἂν* AUT: *καὶ* RD *ὁπωσοῦν*] *ο//σουν* R¹ agnoscitur 7 *παρ'* AT: *πρὸσ* RDU *ἢ* DUT (at in ras. pr. m.): *καὶ* AR; cf. p. 229, 23 *αὐτὸν* O *ὅταν τούτων ἐκεῖνοσ* R 10 *οἱ* ART (add. schol. mg. *προσυπακουστέον τὸ ἔχοντεσ* A^r R) 11 *καὶ*] *κἂν* A² 12 *δεομένουσ* T¹ a. corr. 14 *ἐλευθεριωτάτην* RU: *ἐλευθερωτάτην* ADT 16 *οὐκ εἰ*] *εἰ καὶ* U 18 *αὐτοῖσ* ART, *ἑαυτοῖσ* D *δ' ἢ*] *δὴ* A 19 *δ'* AT: *δὴ* RDU 20 *περιέρχωνται* A^r et post corr. et U¹ et T¹: *περιέρχονται* O 24 *οὕτω καὶ μάλιστα* om. RD 25 *γ'* om. DU 26 *τὸ*] *τῷ* R post *ῥήτωρ* add. *δέ* A^r in mg. interiore versus initio 27 *οὕτωσ* R *λίπῃ* DU 28 ante *φαυλότερον* add. s. l. *οὐ* A² *τὸ καθ' αὑτὸν τὸ* A: *κατ' αὐτὸν τὸ* T, *τὸ καθ' αὑτὸν* RD, *καθ' αὑτὸν* U *ποιοῖ* AR: *ποιεῖ* DUT

γὰρ εἴ σοι τῶν καλῶς ἐχόντων ἢ λόγον † καταλιπόντων εἶναι δοκεῖ
τοὺς μὲν γῆμαι προθυμουμένους παρὰ τὰς τῶν κορῶν θύρας καθ-
έζεσθαι, θεραπεύοντας ἢ αὐτὰς ἢ γονέας ἤ τινα ἄλλον τῶν προσ-
ηκόντων, τοὺς δὲ τῶν λόγων ἐπιθυμητὰς εἶναι φάσκοντας ἀμελή-
σαντας θεραπεύειν τὸν ῥήτορα αὐτὸν καὶ πειρᾶσθαι πείθειν ἀμωσ-
γέπως προσέσθαι σφᾶς εἰς τὴν κοινωνίαν, ἔπειτα καταιτιᾶσθαι
420 J *καὶ λέγειν ὡς ἄρα οὐ βούλεται. καὶ τίς ὦ πρὸς θεῶν σοι Κάλχας*
ἢ Μόψος ταῦτα ἐμαντεύσατο; οὐ γὰρ αὐτὸς ἐπειράθης. καὶ μὴν 15
οὐδὲ ἐκεῖνό γ' ἔστ' εἰπεῖν ὡς ἄρα οἱ μὲν τὰς ἄλλας ἐπιστήμας ἢ
τέχνας μετιόντες ἴσασι καλῶς ἃ δεῖ βεβουλεῦσθαι περὶ αὐτῶν, οἱ
δ' ἐπὶ τῶν λόγων ὄντες μόνοι πάντων ἢ μάλιστά γε ἀγνοήσουσιν.
576 D *ἀλλ' αὐτὸ δὴ τοῦτο καὶ κάλλιστον καὶ μέγιστον καὶ ἀληθινώτατόν*
ἐστιν ὑπὲρ τῶν λόγων εἰπεῖν, ὅτι τοὺς μὲν ἄλλο τι πράττοντας
οὐδὲν κωλύει τὰ μὲν τῆς τέχνης ἐπίστασθαι, τὸ δ' ὅπως χρὴ βεβου-
λεῦσθαι περὶ αὐτῶν ἀγνοεῖν· οἱ δὲ λόγοι χωρὶς τῆς ἄλλης δυνάμεως
καὶ τὸ πῶς προσοιστέον ἐστὶν αὐτοῖς παρέχουσι γιγνώσκειν. εἰ-
κότως· οἷς γὰρ περὶ τῶν ἄλλων κρίνειν προσήκει, κομιδῇ περί γ'
αὐτῶν ἀγνοεῖν οὐκ εἰκός ἐστιν.

Φέρε δὴ τούτων οὕτως ὑποκειμένων τοὐμὸν θεάσασθε, κἂν 16
μὲν εὑρίσκητε ἢ ῥαθυμοῦντα ἤ τι τῶν πάντων ἄλλο προὐργιαίτερον
τῆς ἐν τοῖς λόγοις διατριβῆς ποιούμενον, ἢ νῦν ἢ πρότερον λέγω,
μᾶλλον δ' ὅλως ἐλλελοιπότα ὑπερβολὴν τῆς περὶ ταῦτα προθυμίας
τε καὶ σπουδῆς, αἰτιᾶσθε καὶ μέμφεσθε ὅ τι βούλεσθε· εἰ δὲ καὶ ⟨τοῦ⟩
σκώμματος οὐδὲν ἴσως ⟨ἐλ⟩λελοιπότα, ὡς ἄρα αὐτὸ χρῆμα λόγος τις
εἴη, πέρα δ' οὐδέν μοι περιείργασται πώποτε πλὴν ὅσα πρὸς
θεούς, ταῦτα δ' εἴργασται μὲν καὶ πέπρακται σὺν αὐτοῖς εἰπεῖν

---

1 *καταλιπόντων* corruptum; sententiam *ἢ κατά γε λόγον ὄντων* desidero; *λόγον καταλειπόντων* ci. Wil. ('*εἰ τοῦτο γίγνεται, οὐδεὶς καταλείπεται λόγος, ἀλλὰ πᾶν τὸ λελογισμένον ἀνατέτραπται*'); *ἢ ⟨ὑπὸ⟩ λόγον πιπτόντων* ci. Kaibel 2 *τὰς* om. D 3 *αὐτὰς*] *αὐτοὺσ* R 3. 4 *προσηκόντων*] *προκειμένων* R 5 *αὐτὸν* DU^{2}: *αὐτῶν* ARU^{1}T; aut pronomen abesse aut *τὸν πατέρα αὐτῶν* vult Kaibel 6 *προέσθαι* R 7 *σοι* om. U 8 *ἐπειράσθησ* T a. ras. (Junt.) 9 *οὐδ'* U *γε* D *ἔστιν* U 10 *βουλεύεσθαι* R^{1} 11 *τὸν λόγον* R 18 *αὐτῶν* A^{1} (corr. A^{2}) RDU 20 *εὑρίσκηται* T^{1} *τῶν πάντων ἄλλο* AT: *τῶν ἄλλων πάντων* R, *τῶν ἄλλων* DU 22 *ἐλλελοιπότα* TU (at prius *λ* in ras. U^{2}): *εἰ λελοιπότα* AD; R detritum *ὑπερβολὴν*] rem augens pro *τι* (*οὐδὲν προθυμίας ἐλλείπειν* usitatissimum) dixit; [*ἐλ*]*λελοιπότα* Schmid, Philol. 1889 (II), 56 23 *τοῦ* add. Wil. coll. [Dionys.] a. rhet. p. 33, 12 Us. 24 *⟨ἐλ⟩λελοιπότα* Kaibel (cf. Wil.): *λελοιπότα* O; pendet ex *εὑρίσκητε* (inde a. *πέρα δ'* v. 25 constructio mutata); *λέλοιπα* vel *⟨ἐλ⟩λέλοιπα* ci. Wil. 25 *εἴην* AUT a. corr.: *εἴη* RDT p. corr. (*η* s. l. add. fort. pr. m.) *περιείργασται* — 232, 1 *περιείργασται*] ludit: 'nihil praeter artem colui — deos nunquam nimis anxie vel curiose colui'

εἰς δύναμιν τὴν ἡμετέραν ὡς ἐπιμελέστατα, περιείργασται δ' οὐ-
δαμῶς — εἰ ταῦθ' οὕτως ἔχοντα φαίνοιτο, συγκαλύψασθε ἐπ' ἀμφο-
τέροις οἱ μήτε χρῆσθαι τολμῶντες καὶ προσέτι τὰς γυναῖκας μιμού-
μενοι, ἅς φασιν, ἐπειδὰν αὐταὶ μηδὲν ὧν δεῖ τῇ γνώμῃ ποιῶσι,
τοῖς ἀνδράσι περιτρέπειν τὰ σφέτερ' αὐτῶν ἁμαρτήματα καὶ κα- 577 D
17 *κά. Σκοπεῖτε δὴ καθάπερ τινὰς εὐθύνας ἐξ ἀρχῆς ἐξετάζοντες*
ὡς δυνατὸν διὰ βραχυτάτων. ἐμοὶ γὰρ ἔδωκεν ὁ θεὸς νέῳ ἔτ' ὄντι
χρῆσθαι διδασκάλοις . . . καὶ φήμας πρώτας παρ' ἐκείνων ἦ μὴν
18 *πρωτεύσειν γενέσθαι μοι. ἀρξάμενος δ' ἐξ ἐκείνου δεῦρ' ἀεὶ δια-* 421 J
γέγονα σχολάζων μαθήμασι καὶ λόγοις ὅσα μὴ χρεία σώματος δι-
εκώλυσεν ἢ χρόνων περίοδοι συμφορὰς ἐνεγκοῦσαι μείζους τῆς προαι-
ρέσεως. ἀλλ' ὅμως κἂν τούτοις διεγιγνόμεθα ὥσπερ τις Ὀδυσσεύς,
ἐχόμενοι τῆς σχεδίας, ἅτε οὐδ' ἔρημοι πλέοντες ἡμεῖς γε, ἀλλ'
ὑπὸ τῷ μεγίστῳ καὶ φιλανθρωποτάτῳ τῶν κυβερνητῶν, ὃς ἡμῖν
19 *ἀεὶ τοὺς . . . ἀνεῖχεν τὸ μὴ καταδῦναι. μόνοι δὲ ὧν ἴσμεν Ἑλλήνων*
οὐ πλούτου χάριν, οὐ δόξης, οὐ τιμῆς, οὐ γάμων, οὐ δυναστείας,
οὐ προσθήκης οὐδεμιᾶς τοῖς λόγοις ἐπεχειρήσαμεν, ἀλλ' αὐτῶν
ἐρασταὶ καθαρῶς καταστάντες ἐτιμήθημεν τὰ πρέποντα ὑπὸ τῶν
20 *λόγων. ἄλλοις μὲν οὖν ὁμιλία παιδικῶν ἡδύ, τοῖς δὲ ὡς πλεῖστα*
λούσασθαι, τοῖς δ' εἰς πλῆθος πιεῖν, τοὺς δ' ἵπποι καὶ κύνες
ἐξέπληξαν· καὶ νὴ Δία, οἱ μὲν παιδιᾷ προσέχοντες ἀφεστᾶσι τῶν
λόγων, οἱ δ' ἕτερ' ἄττα σπουδάζοντες. ἐμοὶ δὲ λόγοι πάσας προσ-
ηγορίας καὶ πάσας δυνάμεις ἔχουσι· καὶ γὰρ παῖδας καὶ γονέας
καὶ πράξεις τε καὶ ἀναπαύσεις καὶ πάντα ἐθέμην τούτους· καὶ 578 D
τὴν Ἀφροδίτην ἐπὶ τούτοις καλῶ, ταῦτα δέ μοι παίζεται καὶ
ταῦτα σπουδάζεται, τούτοις χαίρω, τούτους ἀσπάζομαι, ἐπὶ τὰς

---

3 *κεχρῆσθαι* R, cf. v. l. p. 193, 5 4 *φασιν*] cf. Alexid. frg. 146, 8 K. (CAF. II 350) *αὗται δ' ἀδικοῦσαι καὶ προσεγκαλοῦσ' ἔτι* (p. 229, 6) *αὐταὶ* Rsk.: *αὗται* O *μὴ δὲ ὧν* R *τῇ γνώμῃ* displicet 5 *σφέτερα* D 7 *νέωι* AR: *νέω μὲν* DUT *ἔτι* T 8 lacunam indicavi; confido fuisse *τοῖς ἀρίστοις*, cf. or. XXXII § 6 *ἦ μὴν*] *ἡμῖν* R 9 *ἐκείνων* R 9. 10 *διαγέγονα* sic O 10 *χρεία* DUTA pr. m. mg.: *χροία* A *χροιὰ* R 12 *κἂν* U^2 (ci. Rsk.^{2} Ddf. ad *καὶ ἐν* Baroc. 136): *καὶ* O 14 *ὑπὸ τῶν μεγίστων καὶ φιλανθρωποτάτων κυβερνητῶν* R 15 *ἀεὶ τουσ* (*τού* supra) A (at *τού* add. A^2), *ἀεὶ τοὺσ* RT, *ἀείτασ* D pr. m. (unde *ἀήτας* ci. Ddf.); *ἀεὶ τοῖσ λόγοισ τούτοισ* praeter *ἀεὶ* U^2 in ras. multo artiore (U^1 incertum); *ἀεὶ τοὺς λόγους* Junt.; lacunam indicavi; deest aut navigii nomen aut vox qualis *πυρσοὺς* (cf. Eur. Med. 482 *ἀνέσχον σοι φάος σωτήριον*) *τὸ μὴ καταδῦναι*] i. q. *ὥστε* (*ἡμᾶς*) *μὴ καταδῦναι* 19 *ὁμιλίαι* RD *παιδικαὶ* (*ῶν* supra) R pr. m. 20 *πιεῖν*] *ποιεῖν* T a. ras. 21 *παιδείαι* A^1 (corr. A^r) 22 *δὲ ἕτερ'* R 23 *ἔχουσι*] ου ex ω corr. T^1 (sic) 24 *τούτουσ* ATU^2: *τούτοισ* RDU^1 26 *τούτουσ* UTA^r (aut A^2): *τούτοισ* A^{1}D, *τούτ* R nunc, sup. *τ* altero ras.

τούτων φοιτῶ θύρας, καὶ πολλὰ ἂν ἔχων ἔτι πρὸς τούτοις ἕτερ᾽
εἰπεῖν, παραλείπω τοῦ μὴ φορτικὸς εἶναι δοκεῖν. Ἀλλὰ μὴν 21
ὑπέρ γε τῆς δόξης οὕτω διενοήθην ἀπαντῶσαν μὲν αὐτὴν δέχε-
σθαι καὶ στέργειν· ἦ γὰρ ἂν παντάπασιν βλὰξ εἴην τις· πραγ-
ματεύεσθαι δὲ μηδὲν εἰς αὐτὴν ἔξω τῶν λόγων αὐτῶν καὶ τῆς
περὶ τὸν βίον ὀρθότητος συμφώνου τούτοις, ἀλλ᾽ εἰ μέν τις εἰς
ταῦτα ὁρῶν βούλοιτο θαυμάζειν, εἰ δὲ μή, χαίρειν ἐᾶν. παρόδους 22
τοίνυν εἰς τὸ δημόσιον πλείστας ὧν ἐγὼ σύνοιδα ἐποιησάμην, καὶ
ταῦτα μὴ πόρρωθεν, εἰ βούλεσθε, ἀλλ᾽ ἐξ αὐτῶν τῶν παρόντων
τουτωνὶ χρόνων σκέψασθε. τίνα γὰρ πανήγυριν ἡμεῖς ἢ τίνα σύλ-
λογον παρεῖμεν τὸ μὴ οὐ κοσμῆσαι τὴν πόλιν ἐν τῷ μέσῳ; καὶ
422 J *ταῦτα οὐκ ἐνδείᾳ δόξης. σὺν γὰρ θεοῖς εἰπεῖν τοσαύτη γεγένηται*
ὥστε μὴ ἀγωνίζεσθαι δεῖν ὑπὲρ τοῦ λαβεῖν αὐτήν, ἀλλ᾽ ἀσφαλῶς
ἔχειν σιωπᾶν ὑπὲρ τοῦ τὴν οὖσαν διασώσασθαι. καὶ μὴν τοῖς 23
ἰδίᾳ συνεῖναι σπουδάσασιν οὐκ ἀγωνιζόμενον μόνον παρέσχον ἐμαυ-
τόν, ἀλλὰ καὶ παραδεικνύντα ἐπιεικῶς ἐξ ὧν ᾤμην τι βελτίους ἔσεσθαι.

Εἶεν. τὰ μὲν ἡμέτερα τοιαῦτα καὶ τούτοις παραπλήσια. σκέ- 24
ψασθε δὲ καὶ τὰ ὑμέτερ᾽ αὐτῶν ἐν τῷ μέρει πρὸς ταῦτα, ὦ δυσ-
έρωτες ὑμεῖς, † οὐ φιλεῖτε μὲν οὑτωσὶ διαφερόντως καὶ τῶν
Ἑλλήνων ἄκρον εἶναι πεπιστεύκατε, καὶ ταῦτα κἂν τοῖς γυμνασίοις
579 D *καὶ κατὰ τὴν ἀγορὰν βοᾶτε, πεπόνθατε δέ — οὐδὲν ἐρῶ πικρό-*
τερον, θαρρεῖτε — ταὐτὸν τοῖς παισὶ τῶν ἐπιφανῶν ἀνδρῶν. καὶ
γὰρ ἐκείνοις ἀρκεῖ τοὺς πατέρας αὐτοῖς εἶναι τοιούτους, αὐτοὶ δ᾽
ὡς τὰ πολλὰ τρυφῶσιν, καὶ ὑμῖν ἀρκεῖ παρεῖναι ἐμὲ καὶ λέγειν, τὸ δ᾽
ἀπαντᾶν καὶ μετέχειν τῶν ξένων ⟨εἰς⟩ ἅπαν ἠξιώσατε εἶναι. ἀλλ᾽
ἀντὶ τοῦ βαδίζειν ἐπὶ τὰς ἀκροάσεις περὶ τὰς κολυμβήθρας οἱ 25
πλείους διατρίβετε, εἶτα θαυμάζετε, εἴ τινες ὑμᾶς τῶν λεγόντων
λανθάνουσιν· τὸ δ᾽ ἀληθὲς οὐ βούλεσθε, οἶμαι, πρὸς ὑμᾶς αὐτοὺς
λέγειν, ὅτι οὐκ ἔνεστι λίθων ἐρῶντας οὐδὲ λουτρῶν ἐξηρτημένους
οὐδ᾽ ἃ μὴ δεῖ τιμῶντας τὰς περὶ τοὺς λόγους διατριβὰς γιγνώ-
σκειν, ἀλλὰ τὰ ὑμέτερ᾽ αὐτῶν ἀνατίθετ᾽ ἐμοὶ καὶ βλασφημεῖτε μετ᾽

---

1 *ἔτι* om. U *ἕτερ᾽* om. DU 2 *παραλείπω/* R 3 *οὕτωσ* R 7 *μή*] *μὴν* T 11 *παρεῖμεν*] *εῖ* in ras. U[1] (aut U[2]), *παρῆμεν* T *τὴν πόλιν*] Smyrnam 13 *ἀλλ᾽ — σιωπᾶν* omissa add. U[2] mg. 14 *καὶ μὴν καὶ τοῖς* T 15 *συνεῖναι* U[2] (ci. Canter): *συνιέναι* ARDT, *συνι*[ν] U[1] 18 *ὑμέτερα* R 19 *οὐ κτέ.*] corrupta; *οἳ φιλεῖτε* ci. et in versione 'me' add. Canter; *ὑμεῖς. οὐ φιλεῖτέ μ᾽ οὑτωσὶ — βοᾶτε;* ci. Wil., fort. nimis rhetorice 21 *οὐδὲν ἐρῶ* AU[1]: *οὐδὲν δὲ ἐρῶ* TU[2], *οὐδὲν· ἐν ὧι* R, *οὐδὲν ἐν νῶ* D 22 *παισὶ*] *πᾶσι* R 25 *μετέχειν*] sc. *τῶν ἐμῶν λόγων* (e *λέγειν* supplendum) *εἰς* addidi; 'interesse declamationibus meis plane a vobis alienum (*τῶν ξένων*) putatis'; pro *ἅπαν* ci. *ἁπλῶς* Kaibel *ἠξιώσατ᾽* U 29 *λίθων*] cf. p. 50, 31 sq. 30 *γινώσκειν* U 31 *ἀνατίθετέ μοι* ART

εὐφημίας, ʽεἰ γὰρ ἐβούλετοʼ καὶ τοιαυτὶ λέγοντες, ὡς νῦν γε νυστά-
26 ζοντα δηλονότι. καίτοι λόγος μὲν λόγον, ὥς φησιν Ὅμηρος, ἀμεί-
βεται, καὶ ὁποῖ' ἄττ' ἂν εἴπῃς τοιαῦτ' ἀντακούσεσθαι χρὴ προσ-
δοκᾶν, ῥήτορα δ' εἶναι φάσκοντα λαβόντα αἰτίαν οὐ προσήκουσαν
27 μὴ χρήσασθαι τοῖς οἰκείοις ὀργάνοις ἔσχατα συμφορᾶς. Ἐγὼ
τοίνυν θεῶν εὐμενῶν ὄντων τοὺς μὲν κατ' αὐτοὺς τοὺς λόγους
ἀγῶνας οὐ σφόδρα φήσαιμ' ἂν δεδιέναι, δέδοικα δὲ τοὺς δεινοὺς
ἀνταγωνιστάς. εἴπω τίνας; τοὺς λίπα ἀληλιμμένους τουτουσὶ καὶ
τὸν φοίνικα περικομίζοντας, οὐκ εἰς ἀκροάσεις μὰ Δία ῥητόρων 423 J
συγκαλοῦντας, ὥσπερ ἐγὼ καὶ περὶ Κῶν ταυτηνὶ τὴν Μεροπίδα 590 D
καὶ ἐν Κνίδῳ ποτὲ εἶδον ἐπ' ἐμαυτοῦ γενόμενον, ἀλλ' ἴστε ὅ τι;
δεξαμενὰς ἐπαινοῦσιν, καὶ ʽδεῦρ' ἄγ' ἰὼν νῆα κατάστησονʼ, καὶ
τοῖς καταίρουσι τοιαῦτ' ἐπαγγέλλουσιν καὶ τοιαῦτα προξενοῦσιν.
28 ὅταν οὖν ἑτέρωθεν μὲν ὁ ῥήτωρ ἀγωνιούμενος εἰσίῃ, ἑτέρωθεν δὲ
ὁ ῥέμβος ὑμῖν ἀμφιθαλὴς ἥκῃ τὰ τοιαῦτα ὑπισχνούμενος, εἰκότως,
οἶμαι, συμβαίνει τὴν νίκην ἐκείνου τοῦ μέρους γίγνεσθαι, καὶ μήτε
πρεσβύτερον μηδένα μήτε νεώτερον ῥᾳδίως ἐθέλειν σωφρονεῖν.
ταῦτ' ἐστὶν ἃ τοὺς λέγοντας ὑποσκελίζει, ταῦθ' ὥσπερ νέφος ἢ
29 σκοτόμαινα ἐπισκοτεῖ πᾶσι τοῖς περὶ παιδείαν καλοῖς. πρὸς δὲ 581 D
τούτοις οἱ κατάπτυστοι σοφισταὶ πείθουσιν ὑμᾶς, ὡς ἄρα καὶ τῷ
Ὁμήρῳ τοῦτο μέγιστον ὑπάρξειεν υἱὸν Μέλητος γενέσθαι. πᾶς

---

1 νυστάζοντοσ U^{2} (Baroc. 136; νυστάζοντι alia m. rec. U) 2 λόγον] λόγου U^{1} Ὅμηρος] Υ 250 ὁππποῖόν κ' εἴπησθα ἔπος, τοῖόν κ' ἐπακούσαις; cf. pro Quatt. II 169, 19 Ddf. 3 ὁποῖα RD ἀντακούσεσθαι Valckenaer (in notis ineditis) et Rsk. (alter alterius nescius): ἂν ἀκούσεσθαι O; cf. Soph. O. T. 543 sq. 5 ἐσχάτησ D, ἐσχάτη^{α}σ U pr. m.; ceterum cf. pro rhetor. II 5, 7 sq. Ddf. 8 ἀληλειμμένουσ A 9 φοίνικα] φοινικοῦντα ci. Schmid p. 234 (Philol. 1889 [II], 56, coll. Rohde, Griech. Rom. p. 307, 2), falsum vel propter verbum (debuit φοροῦντας esse); palma victoriae rhetoricae insigne (cf. Luc. rhet. praec. 27 καὶ ἡττῶμαι μὲν τὰ πλεῖστα, οἱ φοίνικες δὲ ἐπὶ τῇ θύρᾳ χλωροὶ καὶ ἐστεφανωμένοι· τούτοις γὰρ ἐπὶ τοὺς δυστυχεῖς χρῶμαι τοῖς δελέασιν), quam cum ostentatione circumferunt 10 περὶ κῶν T περικων A, περικωνὶ R: περὶ κῶ DU, cf. ad or. XXXVIII § 11 ταυτηνὶ] cf. p. 82, 20 Σύμης ταυτησὶ 11 ὅ τι; δεξαμενὰς Rsk.: ὅτι δεξαμενὰς O 12 ἐπαινοῦσιν] ἀπαιτοῦσι R δεῦρ' — κατάστησον] e cantu Sirenum, initia vv. Hom. μ 184. 185 14 οὖν omissum add. U^{2} mg. εἰσίῃ UT^{1} mg. (εἰ/σιη/ T^{1} in textu): εἶσι· ἢ A (η postea erasum), εἶσιν· ἢ R, εἶσιν D 15 ὁ ῥέμβος ὑμῖν D: ὁ ῥέμνοσ A (spiritus sup. ρ A^{2}) ὑμῖν A, ὑμῖν ὁ ῥέμνοσ R, ὁ πρέμνοσ ὑμῖν UT; hoc si Aristides scripsisset, ut atticista τὸ πρέμνον dedisset ἀμφιθαλὴς] proprie dictum: rhetor, qui urbes civitatesque circumire solebat (ὁ ῥέμβος), ut artem suam ostentaret, palmulis et laurea corona decoratus erat (cf. ad. v. 9) τὰ om. DU 16 γίνεσθαι R, γενέσθαι U 20 ὑμᾶσ] ex ἡμᾶσ corr. T^{1}

τις οὖν ἴεται σπουδῇ παρὰ τὸν πατέρα αὐτοῦ φιλοσοφήσων ἐκεῖ,
καὶ οὐδὲ ἐξ αὐτῶν τούτων ἐνθυμηθῆναι δύνασθε εἰ τὰ μάλιστα
ἀληθῆ λέγουσιν, ὅτι οὐδ᾽ αὐτῷ τῷ Ὁμήρῳ ἤρκει παρὰ τὰς ὄχθας
ἐσκηνῆσθαι τοῦ πατρὸς οὐδὲ τοῖς ἰχθύσι συμπαρανεῖν ἀδελφοῖς
οὖσιν ἑαυτοῦ, ὡς ὁ τούτων λόγος, ἀλλ᾽ οὕτως αὐχμηρόν τινα ἐβίω
βίον ὥστε πολλαχῇ δῆλός ἐστι στέργων, εἰ τῶν ἀναγκαίων εὐπο-
ροίη· λουτρὰ δὲ αὐτοσχέδια καὶ δὴ ἐπ᾽ ὀνήσει καμνόντων σωμάτων,
ὥς φησι Πλάτων (leg. VI 761 C), *ἀπεδέχετο, περαιτέρω δὲ οὐκ*
εἴα τρυφᾶν. τὸ δὲ πλείστην ἅπασιν ἁπάντων ὀλιγωρίαν ἐμπε- 30
ποιηκὸς ἡ ἀδιήγητος αὕτη φθορά. πᾶς γάρ τις δεδιὼς μὴ φθά-
σειεν προδιαφθαρείς, αὐτὸν ἐλπίζων ἀπόλλυσιν, πάντα μὲν τὰ
αἴσχιστα ἐν κέρδους τάξει τιθέμενος, πᾶν δ᾽ ὅσον χρηστὸν ζημίαν
καὶ πόνους ἄλλως ὑπολαμβάνων, ὡς εἰ μὴ ἀμφότερα λωβηθεὶς
ἀπίοι παρὰ τοὺς πλείονας, καὶ τὴν γνώμην καὶ τὸ σῶμα, οὐκ ἐσο-
μένης αὐτῷ χώρας ἐκεῖ. τὸ δ᾽, οἶμαι, πᾶν τοὐναντίον ἦν, ἐπειδὴ 31
582 D *τοιαῦτα ἐφέστηκεν· ἀπολαῦσαι τοῦ βίου τὰ κάλλιστα, ἕως ἔξεστιν,*
424 J *ἵν᾽ εἰ μὲν τῆς σῳζομένης μοίρας εἴημεν, ἐν τοῖς καλλίστοις σῳζώ-*
μεθα, ἐν μαθήμασι καὶ λόγοις, καὶ μὴ τὴν ὕειον ἁρμονίαν ἡρμο-
σμένοι νύκτα ἐκ νυκτὸς καὶ ἡμέραν ἐξ ἡμέρας κυλινδώμεθα, εἰ δὲ

---

1 *ἴεται* (*ἴεται* ARD[1]U[1]) — *φιλοσοφήσων*] ironice pro *λουσόμενος* 2 an *ἐξ αὐτῶν τῶν τούτου*] quae iam secuntur; praeparat *ὅτι* v. 3 3 *ὅτι*] *ὡσ* R *ἤρκει* sic O *παρὰ τὰς ὄχθας κτἑ.*] cf. or XVII § 15 4 *ἐσκηνησθῆναι* D 6 *πολλαχῇ*] *πανταχῇ* TU[2] 7 *δὴ ἐπ᾽ ὀνήσει* Canter e Platone: *διαπονητὶ* O 8 *περαιτέρω* ADUTR pr. m. mg. c. *γρ.* (-*ωι*): *παρ᾽ ἑτέρων* R 10 *ἀδιήγητοσ* ART: *ἀδιήγητόσ ἐστιν* DU *φορά* D *γάρ* s. l. add. T[1] 10. 11 *φθάσῃ* ci Wil., fort. recte 11 *προδιαφθαρείς*] 'ne prius moriatur', cf. v. 14 *πλείονας*, inferos *αὐτὸν* O *ἐλπίζων*] i. e. *ὥσπερ ἐπ᾽ ἐλπίσι χρησταῖς* 13 *ἄλλουσ* R 14. 15 *ἐσομένοισ* D 15 *χώρασ ἔκειτο δ᾽ οἶμαι* R 16 *ἐφέστηκεν* ARDU: *ἀφέστηκεν* T (at *στη* in ras.); 'quoniam talia (qualia fabulis feruntur) nos manent' *ἀπολαῦσαι* DUT (at totum verbum in ras. pr. m.), *ἀπόλλυσαι* R, *ἀπόλλησαι* A, quae s. l. extant add. m. rec. (minio usa) [*παῦσ*]; infinitivus pendet ex notione verbi *ὑπολαμβάνειν*, quae e v. 13 mente supplendum ad *τοὐναντίον ἦν* 17. 18 *σωζώμεθα* RDU[1]: *σωζόμεθα*, ut vid., A[1], *σωζοίμεθα* TA[r]U[2] 19 *ἐκ*] *ἐν* D *κυλινδώμεθα* scripsi: *κυλινδοίμεθα* ART[1] a corr., *καλινδοίμεθα* DU (*ι* post *ο* in ras. inc. m.) T[1] post corr. A m. rec. (minio usa, cf. ad v. 16); *καλινδεῖσθαι* Atticis erat 'versari qualibet in re', ita ut notioni contemptus macula deesset, *κυλινδεῖσθαι* proprie versari in re contemptu digna (homine indigna: *ὕειος ἁρμονία*)' dicebant; cf. e. g. Plat. Phaedr. 257 A *περὶ γῆν κυλινδουμένην αὐτὴν* (sc. *ψυχὴν*) *καὶ ὑπὸ γῆς ἄνουν* et Polit. p. 309 A *τοὺς δ᾽ ἐν ἀμαθίᾳ τ᾽ αὖ καὶ ταπεινότητι πολλῇ κυλινδουμένους* *εἰ δὲ μή*] monet Wil. Aristidem cum ceteroquin mysteriorum Eleusiniorum doctrinam et religionem sequatur (*ὕειον ἁρμονίαν ἁρμόττεσθαι* i. q. *ἐν βορβόρῳ κεῖσθαι*, cf. ad. p. 31,

32 *μή, κέρδος γ' ἦ πᾶν ὅ τί τις προὔλαβεν. ἢ πρὸς θεῶν λούσα-*
σθαι μὲν κέρδος ἐστὶ ζῶντα, ὃ καὶ τελευτήσαντι μένει δήπουθεν,
λόγων δὲ ὧν εἴργεσθαι μετὰ τὴν τελευτὴν ἀνάγκη, τούτων ζῶντα
ἀπολαῦσαι, καὶ αὐτὸν λέγοντα καὶ ἑτέρῳ παρόντα, ἀηδία, καὶ τῇ
μὲν ἑταίρᾳ συγγενέσθαι κεφάλαιον εὐδαιμονίας, ἀνδρὶ δὲ τῷ πρώτῳ
τῶν Ἑλλήνων συγγενέσθαι καὶ ὁσονοῦν εἰς κατάραν τελεῖ; καὶ
τῇ μὲν γαστρὶ χαριστέον, ἐξ ἧς αἱ πλεῖσται τῶν νόσων, ὅσα δ'
εἰς λόγους, ὕθλον ἄλλως καὶ σκιὰν ὑποληπτέον, ὦ χρηστοὶ καὶ τὴν
33 *οἰκουμένην ὑμεῖς παιδεύοντες πρὶν ὑμᾶς αὐτούς; ἀλλ' ὥσπερ ἐμὲ*
ἀξιοῦτε βούλεσθαι λέγειν, οὕτως ὑμῖν αὐτοῖς παρακελεύσασθε ἐμὲ
ποιεῖν βούλεσθαι λέγειν, εἰ δὲ μή, ἑκάτεροι τὸ ἑαυτῶν πράξομεν.
ἐγὼ μὲν γὰρ οὐδ' οὕτως ἀνήσω λέγων, ἕως ἂν ⟨ὁ⟩ θεὸς εὐμενὴς
ἦ, ὑμεῖς δὲ ἀγνοήσετε ἀεί.
34 *Ταῦτ' οὖν, εἰ μὲν βούλεσθε, ἀπολογία, εἰ δὲ βούλεσθε, ἐπι-* 583 D
τίμησις ἀπ' εὐνοίας, εἰ δὲ καί, ὡς ἀμφότερα εἰρήσεται, ἀλλ' οὖν
ἀληθῆ γε καὶ συμφέροντα ἀκούειν ἅπασιν εἴρηται. '*ἢ οὖν παυστέον*',
φησὶ Δημοσθένης (X 76), '*τούτων τῶν ἐθῶν*', *ἢ τοῦ γ' Ἱππολύτου*
καὶ τοῦ Βελλεροφόντου μὴ ῥᾳδίως οὑτωσὶ καταψεύδεσθαι.

---

3), hic negare videri manere homines apud inferos iusta iudicia, quae fierent secundum dicta ac facta a vivis illis edita

1 *ἦ*] in *εἴη* corr. T^1, ut vid. 2 *τελευτήσαντι* scripsi: *τελευτήσαντα* O 4 *τῇι*] *ῇι* in ras. R^1 5 *ἑταίρᾳ*] *αι* in ras. R^1T^1(?), *ἑτέρα* D 6 *καὶ ὁσονοῦν*] 'vel tantillum', ad *συγγενέσθαι* referendum 8 *λόγους*] *υσ* in ras. R^2 9 *ἀλλ'* — 10 *αὐτοῖς* AT: om. RDU 10 *παρακελεύσεσθε* R 11 *ποιεῖν ἃ βούλεσθαι* DU, *ποιεῖν ἃ βούλεσθε* R (*ἃ βου* paene evanida); *ἃ* propter lacunam (RUD) *ἀλλ'* — *αὐτοῖς* interpolatum 12 *οὕτωσ ἀνίσωσ λέγω ἐὰν θεὸσ* R *ὁ* addidi 13 *ἀγνοήσαιτε* A *αἰεὶ* A^r 14 *ἀπολογία* scripsi: *ἀπολογίαν* O *δὲ βού-λεσθε*] *εσθε* R^2 in ras 14. 15 *ἐπιτίμησις* scripsi: *ἐπιτίμησιν* ADUTR^2 mg., om. R^1 15 *εἰρήσεται*] *εἰρήσθω* ci. Wil.; *ἡγήσεσθε* vel talequid vult Kaibel, ut accusativi serventur 17 *τούτων τῶν ἐθῶν*] *τοῦτο* (*τὸ*) *ἔθοσ* R^1, *παυστέον τούτων τῶν ἐθῶν* R^2 mg. 18 *καταψεύδεσθαι* A^1R (U^1?): *καταψεύδεσθε* DTA^2U^2, cf. *γενέσθαι* p. 22, 21, *φάσκειν* p. 145, 1; Hippolyto et Bellerophonti sese comparat, quia ipse insons ut illi insontes iniustis calumniis petiti sunt (Rsk.). — Subscr. *πρὸσ τοὺσ αἰτιωμένουσ ὅτι μη μελετῴη* A (praeter *πρὸσ τὸ* in ras.; in fine errore *ὅτι μὴ λετώιη*) T

XXXIV.

II 543 D
II 401 J
(50) ΚΑΤΑ ΤΩΝ ΕΞΟΡΧΟΥΜΕΝΩΝ.

Χαρίεντές γέ εἰσιν οἱ τῶν σφετέρων ἀγαθῶν περὶ τοὺς λόγους,
544 D *ἵν' εὐφήμως ἄρξωμαι, τοὺς ἀκροατὰς αἰτιώμενοι καὶ λέγοντες ὡς*
545 D *ἄρα τούτου χάριν ἐκβαίνουσι τοῦ ῥυθμοῦ καὶ τῆς ὀρθότητος, ἵν'*
546 D *ὡς πλείστους ἀρέσαι δυνηθῶσιν. καίτοι εἰ μὲν συγγνώμην αἰτοῦν-*
402 J *τες ταύτῃ τῇ σκήψει καταχρῶνται, πῶς ἐπαινεῖσθαι γ' ἀξιοῦσιν;*
χωρὶς γὰρ ἔπαινός τε καὶ συγγνώμη, καὶ ὅτε μηδ' αὐτοὶ σφᾶς
αὐτοὺς ἐπαινοῦσι, σχολῇ γ' ἂν παρὰ τοῖς ἄλλοις εἰκότως ἐπαι-
νοῖντο. εἰ δ' αὖ μηδέν ἐστι τοῦ τρόπου δυσχερές, ἀλλ' ὀρθῶς
ἔχει, τί δεῖ τοὺς πολλοὺς αἰτιᾶσθαι καὶ καταφεύγειν ἐπὶ ταύτην
τὴν παραίτησιν, ἀλλ' οὐ τὸν τρόπον ὡς ὀρθῶς ἔχει δεικνύναι;
ἀλλ' οἶμαι, κομψοί τινές εἰσιν καὶ διπλᾶ κρούουσιν, ἵν' ἐὰν μὲν 2
λάθωσιν, ταύτῃ κεκρατηκότες ὦσιν, ἂν δὲ φωράσῃς, ἔχωσιν ἀνα-
χώρησιν καὶ λέγωσιν ὡς οὐδ' αὐτοὶ τὸ βέλτιον ἠγνόουν, ἀλλ' ἑτέ-
ρων ἕνεχ' ἡμάρτανον. ἔστι δὲ τοῦτο ἡ πρώτη καὶ μεγίστη ψῆφος,
ἣν αὐτοὶ καθ' αὑτῶν δι' ὑπερβολὴν σοφίας φέρουσιν. ἐγὼ γὰρ 3
εὐξαίμην ἂν μάλιστα μὲν καὶ παρὰ τοῖς ἄλλοις ἅπασιν εὐδοκιμεῖν,
τὴν δ' οὖν ἀρχὴν ἀφ' ἑστίας εἶναί μοι καὶ πείθειν ἐμαυτὸν πρῶ-
τον, καὶ μὴ τὸ τῆς κυνὸς τῆς ἐν τῷ μύθῳ παθεῖν, μηδ' ἐν ὅσῳ
τὴν ἔξωθεν συλλέγω δόξαν, ἣν αὐτῷ μοι περὶ ἐμαυτοῦ προσῆκεν
547 D *ἔχειν διαφθεῖραι, μηδὲ φθάσαι τὴν τοῦ φαῦλος εἶναι πίστιν κατ'*
ἐμαυτοῦ λαβών, πρὶν τὴν τοῦ σπουδαῖος παρὰ τοῖς ἄλλοις βεβαι-
ώσασθαι. τοσοῦτον δ' ἔμοιγε ἀπολογίας ἀπέχειν δοκοῦσιν, ὅταν

Libri ARDUT = O

Titulum om. D. titulo praemittit *ἀριστείδου · ῥήτορος* A; *τῶν* om. Thom. Mag. p. 73, 1; 195, 13; 332, 13 (habet 366, 4), ut Baroc. 136. Laur. 60, 9. Ambros. B 69 sup. Vat. 74. 77. 930. 1151 alii; de origine corruptelae cf. ad subscriptionem A (p. 252) — De orationis temporibus cf. ad p. 147, 9. — 4 *πλείστουσ* A^{1}(R^{1}?): *πλείστοισ* DUTA^{2}R^{2} 5 *γε* R, om. U^{1} 6 *ὅτ/* (ε supra) U, *ε* add. U^{2}; *ὅτι* nunc R, at *ι* in ras. R^{2} 7 *αὑτοὺσ* R; om. D *εἰκότως* om. U^{1} 9 *ἔχει* ADU: *ἔχοι* R, om. T *δεῖ*] *ει* in ras. A^{2} (A^{1} incertum) 10 *ὀρθὸσ* ex *ὀρθῶσ* (sic) corr. T^{1}, ut vid. *ἔχειν* D (hic) 11 *διπλᾶ κρούουσιν*] cf. Hes. v. *διπλῆ* 12 *λάθωσι* A^{r} mg.: *ἕλωσιν* O *φωράσησ* T, *φωράσητσ* (i. e. -ΗΙC vel ΗΤЄ) A^{1}, ad quod add. *τισ* A^{r} mg.: *φωράσῃ τισ* DUA^{2}(in textu) R^{2} (*τισ* in ras., R^{1} incertum) 13 *ὡσ οὐδ' αὐτοὶ κτἑ.*] cf. Xenoph. de redit. 1, 1 14 *εἵνεχ'* T 18 *μύθῳ*] Aesop. fab. 233 H. 19 *προσῆκεν*] cf. ad p. 126, 21 21 *λαβὼν πρὶν* sic O 22 *τοσοῦτο* U^{1} p. corr. *δοκοῦσιν ἀπέχειν* DU

ταῦτα λέγωσιν, ὥστε δύ' ἀνθ' ἑνὸς ποιεῖν τὰ ἐγκλήμαθ' ἑαυτοῖς,
ἓν μὲν εἰ τοιαῦτ' ἀσελγαίνουσιν περὶ τοὺς λόγους, ἕτερον δὲ εἰ
4 τούτου χάριν, ὡς ταύτῃ βελτίους κριθήσεσθαι μέλλοντες. καὶ μὴν
ὅταν γε ὡς ἡμᾶς εὐθέως πιστεύσοντας οἷς πλάττονται καὶ τἀλη-
θὲς οὐχὶ συνήσοντας παράγειν ζητῶσιν, ἄλλην αὖ τρίτην ταύτην
ἀμαθίαν ἐμφανίζουσιν, εἰ μὴ νομίζουσι φωρᾶσθαι. τὸ δ', οἶμαι,
5 τοιοῦτόν ἐστιν. οὐδεὶς ἑκὼν μεθίησι τὸ βέλτιστον· ἀλλ' οὐ.....
Πλάτων καὶ Πίνδαρος πολλαχῇ μὲν καὶ ἄλλῃ σοφοί, καὶ δὴ καὶ
κατὰ τόνδε τὸν λόγον οὐχ ἥκιστα, ὁ μὲν οὑτωσὶ λέγων (frg. 226 B.[4])·
'οὔτις ἑκὼν κακὸν εὕρετο' καὶ πάλιν ὁρμηθεὶς ἐκ τῶν περὶ τῆς
Ἐριφύλης λόγων 'ὢ πόποι, φησίν (frg. 182 B.[4]), οἷ' ἀπατᾶται 403 J
φροντὶς ἐπαμερίων οὐκ εἰδυῖα'· ὁ δ' ἄνω καὶ κάτω δήπου δι-
ορίζεται καὶ δείκνυσι τὰ ἁμαρτήματα ὡς ἀκούσια καὶ ὅτι οὐδεὶς
6 ἑκὼν φαῦλος. μηδ' ἡμεῖς ὑπὸ τούτων πειθώμεθα, ὡς ἄρ' ἔχον- 548 D
τές τι βέλτιον παρ' ἑαυτοῖς, εἶθ' ἑκόντες τοῦτ' ἀφέντες τὸ χεῖρον
ἀλλάττονται. οὔκουν χρυσόν γ' ἂν ἔχοντες ἠλλάττοντο μόλυβδον
ἀντ' αὐτοῦ, οὐδ' εἰ πάντες ἄνθρωποι κροτήσειν ἔμελλον· οὐδὲ
μελίνην ἀντὶ πυρῶν, οὐδ' ἀντ' οἴνου τρύγα καὶ ταύτην σαπράν,
οἶμαι δὲ οὐδὲ ψίαθον ἀντὶ ξύστιδος, οὐδ' αὖ βύρσης ὄζειν, μύρων
7 ἐξόν. ἀλλὰ ταῦτ' ἐστὶν ἀνθρώπων ὑποκοριζομένων τὴν αὑτῶν
φαυλότητα καὶ δυστυχίαν, οἳ τὸ μὲν δίκαιον, οἶμαι, καὶ ἀληθὲς
οὐκ ἐθέλουσι λέγειν, ὅτι τὴν ὀρθὴν οὔτ' ἴσασιν οὔτε δύνανται
πορεύεσθαι, φασὶ δὲ τοῖς ἀκροαταῖς χαριζόμενοι ταῦτα ποιεῖν,
ὥσπερ ἂν εἰ τῶν ὑποκριτῶν οἱ ἐκπίπτοντες καὶ μὴ δυνάμενοι τὸ
δρᾶμα περαίνειν κατὰ φύσιν τοῖς θεαταῖς φάσκοιεν χαριζόμενοι

TESTIMONIVM 20 ὑποκοριζομένων — φαυλότητα schol. Aristoph. nub. 68 ed. Zacher, Jahrb. f. cl. Phil. Suppl. XVI 673

1 δύο RD ἐγκλήματ' A 4 γε ὡς] γε et ' in ras. R[2] ὡσ ἡμᾶσ εὐθέωσ ART: ἡμᾶσ εὐθέωσ DU (Junt., unde ἡμᾶς ⟨ὡς⟩ εὐθέως Rsk.); ἡμᾶς εὐθέως ὡς Norrmann tanquam e libro suo 7 ἀλλ' οὐ A[1]; ἀλλ' ὁ RTA[r] (aut A[2]), ἀλλὰ DU; lacunam indicavi sec. A[1]; e. g. ἀλλ' οὐ⟨δὲ τὸ χεῖρον προσίεται ἑκών· καὶ τούτου μάρτυρες οὐχ οἱ τυχόντες, ἀλλὰ⟩ Πλάτων κτέ.; cf. v. 14 sqq. 8 καὶ ὁ πίνδαροσ RT ἄλλῃ TU[1] p. corr. A[2]R[2]: ἄλλοι A[1]D (et sine dubio R[1]U[1] a. corr.) καὶ post δὴ om. R[1] 9 κατὰ τὸν γε τὸν D 12 ἐπαμερίων AT(ex ἐπ' ἀ- corr. pr. m.), ἐφαμερίων (π suprascr.) R, π R[1] sup. ras., in qua postea φ add. R[2]: ἐφαμερίων DU ἰδυῖα ci. Boeckh ap. Pind. 16 γ' ἔχοντεσ ἂν DU μόλυβδον R[2]: μόλιβδον O (quanquam R[1] non certum), atticistae non convenit 17 οὐδ' εἰ πάντεσ οἱ ἄνθρωποι D, οὐδ' οἱ πάντεσ ἄνθρωποι U 19 ξύστιδος] de accentu (ξυστίδος O edd.) cf. schol. Theocr. II 74 schol. Aristoph. nub. 70 20 ταῦτά DU αὑτῶν R[1]DT, ἑαυτῶν schol. Aristoph. 22 οὐ θέλουσι U 24 εἰ] οἱ U[1]

ταῦτα ποιεῖν, καὶ συρίττεσθαί γε καὶ κλώζεσθαι ὑπ᾽ αὐτῶν τῶν
θεατῶν ἀντὶ ταύτης τῆς χάριτος. φαίη τις ἄν· ‛οὐκοῦν καὶ ὑμεῖς
ὑπὸ τῶν ἀκροατῶν᾽; ἀλλὰ μή πω ταῦτα. ἀλλὰ τί κωλύει καὶ 8
τοὺς πτωχοὺς τοὺς τὰ ῥάκια ἀμπεχομένους οἴκοι μὲν αὐτοῖς ἕτερα
εἶναι φάσκειν πάνυ γενναῖα ἱμάτια, πρὸς δὲ τοὺς ἔξω σχηματί-
ζεσθαι; οὔκουν ὅ γ᾽ αὐτὸς ποιητής, οὗ μικρῷ πρόσθεν ἐμνήσθην
549 D (p. 288, 8 sqq.), *ἔφη τὰ καλὰ τρέπειν ἔξω τοὺς ἀγαθούς; ὥστ᾽ εἰ μὲν* 9
ὡς περὶ καλλιόνων τῶν λόγων διαλέγονται, τί δεῖ τοῖς πολλοῖς
ἐγκαλεῖν, εἰ τούτων ἐρῶσιν; εἰ δ᾽ ὁμολογοῦσιν ἡμαρτῆσθαι, τοὐ-
ναντίον ἢ προσῆκε πράττουσιν. πολὺ γὰρ μᾶλλον εἰκὸς ἦν αὐτοὺς
ὅπως τι βέλτιον ἐροῦσι σκέψασθαι τῶν ἀκουσομένων καὶ συνεσο-
μένων εἵνεκα ἢ τὰ ὑπάρχοντα ἀγαθὰ ἀφανίζοντας τὰ χείρω δει-
κνύναι, καὶ ταῦτα ἐξεπίτηδες πορίζομένους. οὔκουν εἴς γε τὰς 10
404 J *πομπὰς τὰ χείριστα ἔχοντες βαδίζομεν, ἀλλὰ κἂν εἰ μή τῳ εἴη*
οἴκοθεν, αἰτοίμεθα, ἵν᾽ ὡς κάλλιστα ἔχοντες φαινοίμεθα θαἰμάτια,
τὰ σκεύη, τοὺς ἵππους, πᾶν ὅτουπερ ἂν ἡ πομπὴ δέηται. ὥσθ᾽ 11
ὅταν φῶσιν ἐπείσακτα ταῦθ᾽ ἑαυτοῖς εἶναι καὶ πεπορισμένα καὶ
τῆς ἀρχαίας ἰδέας ἑκόντες ἐκβαίνειν, ἐρωτᾶν χρὴ πότερον χείρονος
οὔσης ἢ βελτίονος. εἰ μὲν γὰρ βελτίονος, πῶς οὐ τετύφωνται, εἰ
τὴν οἰκείαν καὶ πλείονος ἀξίαν ἀφέντες τὴν φαυλοτέραν ἅμα καὶ
μηδὲν προσήκουσαν διώκουσιν; ἀλλὰ μὴν εἴ γε χείρονος φήσουσιν,
οὐκ ἐγχωρεῖ λέγειν ὡς ἄρα ἑκόντες προΐενται τὸ βέλτιον, ὅ γε μήτ᾽
ἐκτήσαντο μήτε εἶδον πώποτε. οὐ γὰρ περὶ ὧν πλημμελοῦσιν
550 D *ἀπολογία τοῦτό γ᾽ ἐστίν, ἀλλ᾽ ὁμολογία τοῦ κἂν χείρω τούτων*
εἰπεῖν, εἰ ταῦτ᾽ ἐκωλύθησαν. ἡδέως δ᾽ ἂν πυθοίμην παρ᾽ αὐτῶν 12
εἰ καὶ πηρωθέντας αὐτοὺς ἤτοι νὴ Δία τοὺς ὀφθαλμοὺς ἢ τὰς
χεῖρας ἢ καὶ ἄλλ᾽ ὁτιοῦν τοῦ σώματος, ἡδέως ἂν ἰδόντων τῶν

---

1 *ποιεῖν* — 3 *ἀκροατῶν* distinxi; fuit *ποιεῖν — χάριτος φαίη — ἄν. οὐκοῦν — ἀκροατῶν.* *γε*] in ras. R^2 2 *ὑμεῖς*] *ὑ* in ras. R^2, *ἡμεῖσ* D; sc. *συρίττεσθε καὶ κλώζεσθε* (Rsk.) 4 *ῥάκι᾽* U *αὐτοῖσ* ADUT *ἕτερ᾽* DU; *ἕτερον* A^1 (corr. A^2 aut A^r) 6 *οὐκοῦν* O (edd.) 7 *ἔφη*] Pind. P. III 83 8 *τῶν λόγων*] ‘de *suis* orationibus’ 10 *εἰκὸσ αὐτουσ ἦν* DU 11. 12 *συνεσομένων* scripsi: *συνεισομένων* A^1, *συνησομένων* A^rRDUT 12 *ἕνεκα* DU 14 *ἀλλ᾽ εἰ καὶ μή* D 15 *αἰτοίμεθα* scripsi: *αἰτούμεθα* O *θαἰμάτια* Valckenaer (in notis ineditis; iterum Ddf.): *θοιμάτια* ARUT, *ἱμάτια* D (praecedit -*θα*) 16 *ὅτουπερ*] *ὅτι περ* D^1 a. corr. (Junt.) 17 *ἐπείσακτα ταῦθ᾽ — καὶ πεπορισμένα*] invertit comici incerti de noverca versus III 425 frg. 110, 5 K. *ὡς ἐπείσακτον κακὸν κατὰ τῶν ἑαυτοῦ πραγμάτων πεπορισμένος* 18 *χείρουσ* A^1 (corr. A^r, ut vid.) 19 *π ου* (*ῶσ* superscr.) R, et *ῶσ* in ras. et ᾽ R^2 19. 20 *εἰ τὴν* sic O 23 *πλημελοῦσιν* TD(-*σι*) 24 *τοῦτ᾽ ἔστιν* RU 25 *ταῦτ᾽*] sc. *ἃ νῦν λέγουσιν* 27 *καὶ* om. D *ἄλλ᾽ ὁτιοῦν*] *ἀλλ*|||*οῦν* agnoscitur R^1, *ἄλλό τι οὖν* A (alter spiritus post eras.); *ἄλλο ὁτιοῦν* D

ἀκροατῶν, ἑτοίμως ταῦτα ὑπηρετήσουσιν, ἢ τῶν μὲν τοῦ σώματος οὐδὲν ἂν προοῖντο εἰς τὴν ἑτέρων ἡδονήν, τῶν δ᾿ ἐν τῇ ψυχῇ τὸ
13 βέλτιστον διαφθείροντες οὐδεμίαν ζημίαν τίθενται. ἐγὼ μὲν οὖν ὅταν τούτων ταῦτ᾿ ἀκούω λεγόντων, οὐκ ἀπέγνωκα τὸ μὴ καὶ τοὺς χωλοὺς τολμήσειν λέγειν ὡς ἄρα οὐκ ἄκοντες ἐνταῦθ᾿ ἥκουσι τύχης, ἀλλ᾿ ἑκόντες τὼ σκέλη προήκαντο, ἵν᾿ ὡς ἥδιστοι τοῖς ὁρῶσι φαίνοιντο. ἀλλ᾿ ὅστις μὲν οὕτω δύσερως οὐκ οἶδα ἔγωγε, θῶμεν δ᾿, εἰ βούλει, καὶ πάντας. ἀλλὰ τίς οὕτω δυστυχὴς ὅστις ἑκὼν αἱρεῖται δυστυχεῖν; ἢ τίς εἰς τὴν ἑτέρου χάριν αὑτῷ λυμαίνεται;
14 ὅπου γὰρ καὶ τὸ εὖ ποιεῖν διὰ τοῦτο ὁρῶμεν σπουδαζόμενον, ὅτι ἐξ αὐτοῦ καὶ τὸ ἀντ᾿ εὖ πείσεσθαι προσδοκᾶν ἐστιν, ἦ που τό γε ὑπὲρ τοῦ χαρίσασθαί τῳ κακῶς διαθεῖναι τὰ ἑαυτοῦ παντάπασι πᾶς τις ὀκνήσειεν ἄν. ἢ πολλῆς γ᾿ ἂν εἴη τῆς ἀλογίας τῶν μὲν φίλων τοὺς οὐκ ἐθέλοντας ἀντ᾿ εὖ ποιεῖν φαύλους ἡγεῖσθαι, αὑτὸν δὲ τοσαύτην ὑπερβολὴν ποιήσασθαι ὥστε πρότερον αὑτῷ τὰ χείριστα χρήσασθαι, πρὶν εὖ τι ποιῆσαι τοὺς χρωμένους, καὶ πρὶν 405 J
εἶναι δῆλον ἥντινα τῆς προθυμίας κομιεῖται χάριν, αὑτὸν τῶν
15 ὄντων τὰ βέλτιστ᾿ ἀφαιρεῖσθαι. οὐ γὰρ δὴ τό γε τοῦ Ζωπύρου καὶ τοῦ Κεφαλλῆνος παράδειγμ᾿ ἂν εἴποιεν, ὧν ὁ μὲν τὴν ῥῖνα 551 D
τὴν ἑαυτοῦ καὶ τὰ ὦτα λωβησάμενος εἰσῆλθεν εἰς Βαβυλῶνα, ὁ δὲ πληγαῖς αὑτὸν αἰκισάμενος ʽκατέδυ Τρώων πόλιν εὐρυάγυιαν᾿,
16 ὁ μὲν Βαβυλῶνα λαβεῖν, ὁ δὲ Τροίαν ἐσπουδακώς. πρῶτον μὲν γὰρ οὐκ ἴσα δήπου τὰ ἆθλα, κρατῆσαι πολεμίων καὶ τὰ ὦτα γαργαλίσαι τινῶν. ἔπειτ᾿ αὐτὸ τοὐναντίον ἐκ τῶν παραδειγμάτων ἀπαντᾷ. εἰ γὰρ ἐκεῖνοι μὲν οὕτω σφόδρα καρτερεῖν ἠπίσταντο ὥστε μηδὲ τοῦ σώματος φείδεσθαι τοῦ ἑαυτῶν, ἀλλὰ τὰς ἐσχάτας ἀλγηδόνας καὶ πόνους ὑπομένειν ὑπὲρ τοῦ μηδὲν τῶν ἐξ ἀρχῆς ἐγνωσμένων ἐγκαταλιπεῖν, οὗτοι δ᾿, ἐξὸν ἄνευ πραγμάτων καὶ τα-

---

2 πρόειντο U ἑτέραν D τῶν δ᾿ ἐν τῇ ψυχῇ RTU² mg.: τῶν δὲ τῆι ψυχῆι A, τῶν δὲ τῆσ ψυχῆσ D, τὸ δὲ τῆσ ψυχῆσ U 4 τούτων ταῦτ ᾿ἀκοίω ARD: ταῦτ᾿ ἀκούω τούτων U, ταῦτ᾿ ἀκούω T, fort. recte 6 τὸ σκέλοσ U¹ προ/ήκαντο T 7 φαίνωνται (οι, το suprascr.) R pr. m. 9 εἰς τὴν] in ras. R² αὐτῶ R¹D(-ῷ), ἀστῶ T λυμαίνεται] s. l. add. γρ. λυμανεῖται R² 11 αὐτοῦ τὸ καὶ RT ἐστιν, ἤ] ἐστι/| R¹ agnoscitur, ἐστίν,| ἤ corr. R² 12 τῳ Baroc. 136: τῷ O 13 ἦ O (edd.) τῆς suspectum; πολλή γ᾿ ἂν εἴη τις ἀλογία ci. Kaibel 15 αὑτῷ D¹ p. corr. A²R²: αὐτῷ O 17 αὑτὸν A^r DTR² (᾿ et ὸν corr., super τ ras.), αὐτῶν A¹ 19 κεφαλῆνος U παράδειγμα DU εἴποιεν Canter (et Norrmann): εἴποιμεν O ὧν U (Baroc. 136, unde Jebb Ddf.; ci. Canter): ὥσ ARDT ὁ μὲν] cf. Herodot. III 153 sqq. 21 πληγαῖς — εὐρυάγυιαν] Hom. δ 244. 246. 249 ἑαυτὸν DU αἰκισάμενος] σα T² in ras. paulo ampliore 22 πρῶτον sic O 24 ἐπεὶ ταυτὸ A¹ (corr. A²) R; ἔπειτ᾿ αὐτῶ U¹

λαιπωρίας τὴν ὑπόθεσιν διασῴζειν τὴν ἑαυτῶν, αἱροῦνται μαλα-
κίζεσθαι, πῶς οὐχὶ δικαίως ὁτιοῦν ἂν πάθοιεν; ἐγὼ μὲν γὰρ
ἀκεῖνοι σφᾶς αὐτοὺς ἔδρασαν, ταῦτ᾽ εἰκότως ἂν τούτους ὑπὸ τῶν
ἄλλων παθεῖν οἴομαι, παροινίας ἕνεκα καὶ ὕβρεως τῆς εἰς τοὺς
λόγους. ἦ κομιδῇ γ᾽ ἂν ἐκείνους μιμήσαιντο ὑπὲρ τοῦ τὴν τάξιν
μὴ λιπεῖν, οἳ νῦν ἐπὶ τῷ λιπεῖν πάντα ποιοῦσιν, ἵνα μὴ λέγω
πάσχουσιν. ἔτι τοίνυν Ὀδυσσεὺς μὲν καὶ Ζώπυρος οὐκ οὔσης 17
ἴσως ἄλλης ἁλώσεως αὐτοῖς τῶν πολεμίων οὕτω ταῦθ᾽ ὑπέστη-
σαν· οὗτοι δὲ τί καὶ φήσουσιν; πότερ᾽ οὐκ εἶναι τοῖς βελτίστοις
καὶ τοῖς ὀρθοτάτοις λόγοις ἄγειν καὶ πείθειν ἀνθρώπους; ἀλλ᾽
552 D αἰσχρὸς ὁ λόγος, οὐ μόνον ψευδής. ἀλλ᾽ ἐξὸν ἐκείνως ἄγειν οὕτω
μᾶλλον αἱρεῖσθαι; περιττὴν ἄρα τὴν αἰσχύνην προστίθενται.
πάλιν δὲ ἀναλάβωμεν. ‛οὐκ ἔσθ᾽ ἕτερον τρόπον ἀνθρώπους ἄγειν ἢ 18
τοῦτον᾽· δῶμεν τοῦ λόγου χάριν, εἰ δοκεῖ. οὐκοῦν εἰ μὲν χωρὶς
μὲν τὸ βέλτιον, χωρὶς δὲ τὸ ἄγειν, τί δεῖ τὸ βέλτιον προΐεσθαι,
406 J εἴπερ, κἂν μὴ ἄγωμεν, τό γε βέλτιον τούτου πράττομεν; εἰ δ᾽
ἐστὶν ὁμοῦ τό τε ἄγειν καὶ τὸ βέλτιον, εἰ μὲν ἐκεῖνο βέλτιον, ἐκεί-
νως ἄγειν ἔστιν, εἰ δ᾽ οὕτω μόνως ἄγειν συμβαίνει, τοῦτο βέλ-
τιον. τί οὖν διαιροῦσιν καὶ χωρὶς μὲν τὸ βέλτιστον τιθέασιν,
χωρὶς δὲ ἃ τῶν ἄλλων ἕνεχ᾽ ἡμάρτανον; ἐμοὶ μὲν γὰρ ἄντικρυς
οὑτωσὶ μεθύειν δοκοῦσιν περὶ τοὺς λόγους ὅταν εἰς ταῦτα κατα-
φεύγωσιν.

Καὶ μὴν ὅτι γε οὔτ᾽ ἀληθῆ λέγουσιν οὔτ᾽ ἀληθέσιν προσ- 19
όμοια, ἀλλὰ τῷ μέλλοντι καὶ πείσειν ἀνθρώπους καὶ ὅλως ὑπο-
χειρίους ἕξειν, τὴν βελτίστην καὶ τὴν ἐρρωμενεστάτην καὶ πάντως
ἀδιάφθορον καὶ ἄμεμπτον ἐκ τῶν δυνατῶν ἰτέον καὶ προαιρετέον,
καὶ συχνοῦ λόγου δεῖξαι καὶ βραχέος πάνυ, βραχέος μὲν λέγω, διὰ
τὸ σφόδρα οὕτω σαφὲς εἶναι, μακροτέρου δέ, ὅτι μυρίοις ἄν τις

---

4 παροινίασ R (at ι R^2 in ras.): πορνείασ ADUTR^2 s. l. c. γρ. (-νίασ); cf. v. 21 μεθύειν — περὶ τοὺς λόγους (p. 243, 3 παροινοῦντας) εἵνεκα T ὕβρεως] ωσ R^2 in ras. 5 ἢ O (edd.) γ᾽ ἂν] γὰρ A 9 πότερον|οὐκ D 11 ἐκείνως] οἰκείωσ D οὕτωσ D 12 προστίθεται D 14 μὲν O: expunxit U^2, om. Upsal. Rolamb. 28 sec. Norrmannum (item Junt.; prob. Ddf.) 16 τούτον O: τοῦτο Junt. πράξομεν ci. Wil., fort. recte τούτου — 17 καὶ τὸ βέλτιον omissa add. R^1 mg. 17 τε] γε DU εἰ μὲν καὶ ἐκείνως ἄγειν ἐστίν, ἐκεῖνο βέλτιον mavult Rsk., fallitur; sententia: ponamus iuncta esse τὸ ἄγειν et τὸ βέλτιον (ita ut quod in hoc idem in illud faciat): ergo si illud (ἐκεῖνο, τὸ ἄγειν) utique melius est, licet illo modo (quo vos vultis) ἄγειν; sin hic modus solus (οὕτως μόνως, i. e. τούτῳ μόνῳ [sc. τῷ βελτίονι] ἄγειν) facit, ut persuadeamus (i. e. si τὸ βέλτιον sit ἄγειν), hoc βέλτιον est 19 βέλτιστον ARDT, βέλτι//ον U: βέλτιον Junt. 21 ταυτὰ A 24 prius καὶ AR a. ras. T: om. DUR p. ras. ὅλουσ R^1T 28 σφόδρα οὕτω] cf. p. 20, 5; Sonny, ad Dion. Chrys. anal. p. 162

20 ἔχοι καὶ τεκμηρίοις καὶ παραδείγμασι δεικνύναι. Πρῶτον μέν, εἰ
βούλει, τοὺς τῶν πολέμων ἀγωνιστὰς ἐνθυμηθῶμεν, ποτέρως ἂν 553 D
μᾶλλον αὐτοί τε σῴζοιντο καὶ τοὺς ἀντιτεταγμένους τρέποιντο καὶ
χειροῖντο, πότερον βεβαίοις καὶ ὑγιέσιν καὶ στεγανοῖς τοῖς ὅπλοις
χρώμενοι ἢ τὸ μὲν ξίφος καττιτέρου φέροντες, φλοιοῦ δὲ τὸν
θώρακα πεποιημένον, τὸ δ' αὖ δόρυ σύκινον, καὶ κράνος δὴ καὶ
21 ἀσπίδα ὡς ἀπὸ τούτων εἰκάσαι; ἐγὼ μὲν γὰρ οἶμαι τὴν περὶ
ταῦτα ἀκρίβειαν καὶ τὸ ἐξ ἀρχῆς τε ἐκ βελτίστων καὶ ὡς βέλτιστα
κατεσκευάσθαι καὶ παρὰ τὴν μάχην ἀντέχειν εἰς σωτηρίαν ἅμα καὶ
δόξαν καὶ νίκην καὶ πάνθ', ὅσα ταύτης ἄν τις τῆς μερίδος θείη, δια-
φέρειν τοῖς ἔχουσι καὶ χρωμένοις, ῥαγέντων δὲ ἢ κλασθέντων ἤ
τιν' ἄλλον συντριβέντων τρόπον ἢ καὶ οἴκοθεν εὐθὺς χαύνων καὶ
σαπρῶν ὄντων κληρονομεῖν τὰ σώματα τῆς τύχης καὶ μηδὲ τοῖς
πάνυ γενναίοις ὑπάρχειν εὑρεῖν ὅ τι χρήσωνται. ταῦτά γε καὶ
Ὅμηρος μαρτυρεῖ· καὶ γὰρ ἐκείνῳ τῶν ἡρώων οἷς ἂν τὰ τῆς 554 D
αἰχμῆς ἀνακοπῇ, οὐκ ἐθέλουσιν ἵστασθαι, πολὺ δὲ ἔτι μᾶλλον, 407 J
ἐπειδὰν ὅλως κατάξωσι τὰ δόρατα· ἀλλ' ἀπέρχονται καταλιπόντες
22 τὴν μάχην, οἰσόμενοι στερεώτερα. πάλιν αὐτήν, εἰ βούλει, τὴν
μάχην ποτέρως ἄμεινον ποιοῦνται, τὴν τάξιν φυλάττοντες καὶ
συνεστηκότες καὶ ἀλλήλους τε ὡς δυνατὸν μάλιστα αἰδούμενοι καὶ
τοῖς παραγγέλμασιν ἐμμένοντες, ἢ τούτων μὲν ἁπάντων ὑπεριδόν-
τες, τοῦ δ' ἐν τῷ παραχρῆμα δοκοῦντος γλυκέος εἶναι ἡττηθέντες,
τὰς δὲ ἀσπίδας ὁμοῦ τῇ πρώτῃ σάλπιγγι ῥίψαντες, νόμον δὲ καὶ
τάξιν καὶ κόσμον ὥσπερ ὕθλον τινὰ καὶ φλυαρίαν κρίναντες;
Ὅμηρος μὲν γὰρ οὐδὲ λέγειν ἐᾷ τῶν αἰσχρῶν οὐδὲν τοὺς ὀρθῶς
προσέχοντας μάχῃ. ὃ καὶ θαυμάζω, εἰ πολεμοῦσι μὲν αἰσχύνῃ
λέγειν ἃ μὴ κάλλιον, λέγουσι δ' ἅ γ' αἰσχύνῃ λέγειν οὐ χεῖρον.
23 Φέρε δὴ καὶ τοὺς ἐπὶ τῶν στεφανιτῶν ἀγώνων σκεψώμεθα, οἷον

---

1 prius καὶ om. D τεκμηρίοις καὶ παραδείγμασι] incipit ea argumentationis ratio, qua eadem orator paulopost in or. XXVIII usus causam suam comprobare studuit, congestis, dico, undique exemplis et testimoniis; neque vero ipse sibi copias illas conquisivisse videtur, sed adscitis antiquiorum collectionum auxiliis utramque orationem (cf. ad p. 245, 22; 247, 6; 250, 6) adornasse καὶ πρῶτον μὲν Norrmann tanquam e libro suo 2 πολέμ/ων U (πολεμίων Baroc. 136)
5 καὶ τὸ ξίφος ἀντὶ χαλκοῦ καττιτέρινον Thom. Mag. p. 195, 5 φλοιοῦ DU² (Junt.): φλοιῷ ARU¹T 12 τινα DU οἴκοθεν εὐθὺς] cf. p. 137, 20
13 σαπρῶν] σαφῶν R 14 χρήσονται RD 15 ⟨παρ'⟩ ἐκείνῳ Norrmann p. 152; at cf. or. XXXVII § 29 Αἰσχύλῳ — ᾖσεν 17 κατάξωσι — στερεώτερα οἰσόμενοι] Hom. N 248. 257 (Wil.) 19 ποιοῦνται, ⟨πότερον⟩ τὴν ci. Rsk. (cf. v. 2. 4), at cf. p. 249, 26 sq. 23 πρώτῃ om. DU 24 καὶ κόσμον om. R¹
25 μὲν γὰρ] δὲ U 27 κάλλιον scripsi: κάλλον A¹ (in mg./; κάλλὸν A²), καλὸν RDUT

τὸν Δωριέα τὸν Ῥόδιον καὶ Γλαῦκον τὸν Καρύστιον καὶ Μίλωνα
δὴ καὶ Πουλυδάμαντα καὶ πάντας ὧν εἰκόνες χαλκαῖ, πότερον
θρυπτομένους καὶ παροινοῦντας καὶ ταὐτὰ ταῖς ὀρχηστρίσι στρε-
555 D φομένους ἐστεφάνουν οἱ τῷ Διὶ τῷ Ὀλυμπίῳ τὸν ἀγῶνα κοσμοῦν-
τες, ἢ καρτερίαν θαυμαστήν τινα καὶ ῥώμην ὁμοῦ ψυχῆς τε καὶ
σώματος παρασχομένους, ἃ τὰς μεγίστας καὶ βεβαιοτάτας ἡδονὰς
καὶ αὐτοῖς τοῖς ἔχουσι καὶ τοῖς συνειδόσι προξενεῖ. πρὸς Διός, 24
ἵπποι δὲ ἄριστοι καὶ θαυμασιώτατοι καὶ μάλιστα καθ' ἡδονὴν
τοῖς θεωροῦσιν ἆρ' οὐχ οἵτινες ὡς ἐρρωμενέστατα καὶ διαρκέ-
στατα καὶ μηδὲν ἔξω τοῦ δρόμου βάντες ἀπήνυσαν, πανταχοῦ τὴν
οἰκείαν ἀρετὴν σῴζοντες καὶ φύσιν; ταὐτὸν ⟨ἄρ'⟩ ἄριστόν τε καὶ
ἥδιστον εἰς τὴν ἑαυτοῦ χρείαν. Ἐπεί τοι καὶ τὰ τῶν σωμάτων 25
κάλλη τοῦτον ἔχει τὸν τρόπον, ἐάν τε Γανυμήδην εἴπῃς ἐάν τε
Πέλοπα ἐάν θ' ὁντινοῦν, ἅμα τῇ λήξει τῆς τύχης καὶ τοὺς ὁρῶν-
408 J τας ἐφέλκεται· καὶ πάνυ γ' εἰκότως. δεῖ γάρ, οἶμαι, κάλλει μὲν
χάριν εἶναι, χάριτος δὲ ἔρωτα ἐξηρτῆσθαι. ὅτῳ γὰρ ἄν τις χαίρῃ,
τοῦτ' ἀνάγκη ποθεῖν. διὸ τῶν μὲν αἰσχρῶν οὔ φασιν ἔρωτα εἶναι,
τῶν δὲ καλῶν κἂν θεοῖς εἶναι ποιηταὶ λέγουσιν. οὕτω τοίνυν καὶ 26
τὸ τῶν λόγων κάλλος μετὰ τῆς ἁπάσης φύσεως καὶ τοῦτ' ἔχει,
κηλεῖν τοὺς ἀκούοντας. ὥστ' οὐχ ὑπὲρ τοῦ πείθειν τὰ χείρω δεῖ
λέγειν, ἀλλὰ πειρατέον ὡς κάλλιστα λέγειν, ἵν' ὡς πλείστους
ἄγωμεν. ὥσπερ γὰρ τῶν ἐπῳδῶν αἱ κράτισται μάλιστα ἄγειν
[πεφύκασιν], οὕτως οἱ κράτιστοι τῶν λόγων μάλιστα πείθειν πε-
556 D φύκασιν. τὸ δὲ ταῖς διαφθοραῖς ταύταις νομίζειν ἐνεῖναί τι χρη- 27

1 δωριέω D Ῥόδιον] δόριον U μήλωνα R 2 πουλυδάμαντα A a. ras. T: πολυδάμαντα RDUA p. ras. (item vetus schol. A[r]R); cf. Bechtel, Inschr. d. ion. Dial. ad n. 16; Guil. Schulze, Quaest. ep. p. 446 5 καρτερίαν — ψυχῆς] cf. Plat. legg. VIII 840 AB τε om. DU[1] 6 παρεσχομένοισ U[1] (solum -οισ corr. U[2]) ἃ in ras. U m. inc. (om. Junt.) 7 prius καὶ om. DU συνειδόσι] 'spectantibus' vert. Canter (ad συνιδόσι Junt.); συνειδόσι sc. τὴν καρτερίαν — καὶ ῥώμην, cf. or. XXXVIII § 23 9 οὐχί τινες U; cf. v. l. p. 230, 1 10 ἀπήνυσαν] ex Hom. η 326 11 ἄρ' add. Wil.; ipse γὰρ addideram (restituta librorum distinctione); σώζοντες; καὶ φύσιν ταὐτὸν Ddf.; ἄριστον — ἥδιστον: v. 8 ἄριστοι — καθ' ἡδονὴν 12 εἰς] εἰ D 13 γαννυμήδην D (Junt.) 14 θ'] τε D λέξει D 17 ποθεῖν] ο radendo (ex α?) corr. et D et U φασιν] Plat. symp. 201 A αἰσχρῶν γὰρ οὐκ εἴη ἔρως (cf. 197 B) 18 κἂν] καὶ U (Junt.) ποιηταὶ] cf. Bergk. PLG III[4] 743; resp. Pind. O I, cuius memor iam antea et Ganymedis Pelopisque exempla attulit et v. 15 δεῖ — ἐξηρτῆσθαι scripsit (Pind. l. c. 75 φίλια δῶρα Κυπρίας ἄγ' εἴ τι — ἐς χάριν τέλλεται, ib. v. 30) 21 ὡς om. DU 22 ἄγωμεν scripsi: ἄγοιμεν O 23 οὕτωσ — 24 πεφύκασι omissa add. U[2] in mg. inferiore 23 πεφύκασιν seclusi, cf. p. 225, 3 24 διαφθοραῖς] θ, quod certo fuit primitus, erasum, tum iterum add. R[2] (διαφοραῖς Junt.)

*στὸν ἢ κεχαρισμένον παραπλήσιόν ἐστιν ὥσπερ ἂν εἰ κἂν τοῖς σώμασι
τοὺς μὲν φθόῃ κάμνοντας καὶ τοὺς ὑδεριῶντας καὶ τοὺς ἀλφοῖς ἢ
λέπρᾳ ποικίλους, τούτους μὲν ὡς ἥδιστα κατεσκευάσθαι φάσκοιμεν
καὶ πολλοὺς ἐπιθυμητὰς ἔχειν, οἷς οὐδ' ἀπαντῆσαι πρῶτον οὐδ'
ἂν εἷς δέξαιτο, τοὺς δ' ὁμοῦ τῷ τῆς ὑγιείας ἀγαθῷ καὶ προ-
σχήματι κάλλους τετιμημένους ἔλαττον ἔχειν τούτων πειθοίμεθα. ἄνω*
28 *μεντἂν ποταμῶν οὕτω γε πηγαὶ ῥέοιεν. Μὴ τοίνυν ὅτι ἐν τοῖς
σώμασιν, ἀλλ' ἐν τοῖς πλάσμασι καὶ τοῖς ἀγάλμασι ποῖ' ἄττα μά-
λιστα χειροῦται τοὺς ἐντυγχάνοντας; ἆρ' οὐ τὰ κάλλιστα καὶ μεγα-
λοπρεπέστατα καὶ πρὸς τοὔσχατον ἥκοντα τῆς εἰς ταῦτ' ἀκριβείας;
ὁ Ζεὺς οὑλύμπιος, ἡ Ἀθήνησιν Ἀθηνᾶ, λέγω τοῦτο μὲν τὴν ἐλε-
φαντίνην, τοῦτο δ', εἰ βούλει, τὴν χαλκῆν καὶ νὴ Δία γ', εἰ βούλει,
τὴν Λημνίαν, ἅπαντα ταῦτα ὑπερβολὴν μὲν ἀρετῆς τῷ δημιουργῷ,*
29 *τοῖς δὲ θεαταῖς ἡδονῆς ἔχει. ταὐτὸν δὲ τοῦτο καὶ περὶ τῶν
Ἀπελλοῦ φαίης ἄν, οἶμαι, γραμμάτων, κἂν εἴ τιν' ἄλλον θέλοις*
30 *θαυμάζειν· ἡ γραμμὴ σωθεῖσα τὸ πᾶν ἔσωσεν. Εἶεν. νεὼς δ'
αὖ τοὺς ποίους καὶ τίνας μάλιστα ὁρῶντές τε χαίρομεν καὶ ἐκ-
πληττόμεθα καὶ ἀπαλλαττόμεθα ὡς ἀηδέστατα πάντων; ἆρ' οὐχ* 557 D
οἵτινες μέγιστοι καὶ σεμνότατοι καὶ ἅμα τῆς ἁρμονίας ἐπὶ πλεῖ- 409 J
31 *στον ἥκοντες; ναῦς δὲ τίς αἱρετὴ καὶ πλείστην ἔχουσα τοῖς ἐπι-
βάταις εὐθυμίαν τε καὶ ἡδονήν; πότερον ἡ διεφθαρμένη καὶ ἐρρω-
γυῖα καὶ ὑπὸ τῆς ἀντλίας δυομένη κάτω, ἢ πολὺ τοὐναντίον ἥτις
ὡς ἀκριβέστατα καὶ στεγανώτατα ἔχει καὶ πόρρωθεν ἤσκηται ἐπι-*

---

1 *εἰ κἂν* RT, *ἱκανὸν* A, i. e. ΕΙΚΑΙΕΝ: *εἰ καὶ* DU 2 *ὑδερῶντασ* A, at super mediis *ρω* ras. 3 *κατασκευάσθαι* R 5 *ἂν εἰσδέξαιτο* A, quare *τισ* interpolavit inter *πρῶτον* et *οὐδ'* A^2 *τῷ*] in ras. II litt. cap. U^2 (*ὁμοῦ καὶ τῷ* Junt.) *ὑγείασ* DU 5. 6 *προσχήματι* scripsi: *πρὸσ ἔσχατα* O; ΠΡ^Ο^ΣΧΗΜ (T supra) pro ΠΡ(ΟΣ)ΕΣΧΑΑ (T supra) lectum; *πρόσχημα* 'species (facies) magnifica', cf. p. 27, 1 (38, 16) *ἄνω — ῥέοιεν*] ut hic *ῥέοιεν* (pro volgari *χωροῖεν*) ita p. 229, 27 *πράγματα*: Eur. suppl. 520 *ἄνω γὰρ ἂν ῥ έ ο ι τ ὰ π ρ ά γ μ α θ' οὕτως* (cf. Demosth. XIX 287); Paroemiogr. Gr. II p. 96 7 *γε* om. U 9 *χειροῦται* scripsi: *χειροῦνται* O 10 *εἰς*] *περὶ* U 11 *οὐλύμπιοσ* AT, *ὀλύμπιοσ* R^1, *ὁ ὀλύμπιοσ* DUR^2 12 *νὴ δι' ἄγε βούλει* D, *νὴ δί' εἰ βούλει* U 14 *ταυτὸ δὲ* DU 15 *κἂν*] *καὶ* R, at *ι* in ras. pr. m.; *κἂν* sc. *φαίης* *ἐθέλοισ* D, *ἐθέλησ* U 16 *σωθεῖσα — ἔσωσεν*] lusus gratia nimis succincte dictum: *σωθεῖσα* (sc. *κατὰ τὸν αὑτῆς λόγον*) i. e. *ἧ ἐσώθη κατὰ τὸν αὑτῆς λόγον* (vel *ᾗ ἐσώθη ὁ οἰκεῖος λόγος*), quod passive dictum ad activum *τὸν αὑτοῦ λόγον σῷζον* p. 245, 2; cf. p. 243, 11 *εἶεν· ναοὺσ* DU, add. *γρ. ἐν ναοῖσ δ' αὖ* U^2 mg. (Junt.; origo lectionis perspicitur ex R, ubi *εἶεν* pr. m. ex *εἰ ἕν* corr.) 17 *τε* om. DU 18. 19 *οὐχί τινεσ* U, cf. v. l. 243, 9 19 *σεμνότατοι* et 20 *ἥκοντεσ* sic O 21. 22 *δι-ερρωγυῖα* R (Junt.) 22 *ἀντλείασ* T a. corr.; *ἀνταίασ* A, cf. v. l. p. 134, 8

θεῖν τοῖς κύμασιν; εἶτ᾽ ἐπὶ μὲν τῶν ἄλλων οὕτως ἕκαστον τὸν 32
*αὐτοῦ λόγον σῴζον ὡς πλείστους ἄγει καὶ πείθει, ἐπὶ δ᾽ αὐτῶν
τῶν λόγων πῶς, ὦ πρὸς θεῶν, φήσομεν;* **Καὶ μὴν εἰ μὲν ἄλλου του** 33
*χάριν ὁ λόγος εὑρέθη, μὴ τοῦ πείθειν, ἴσως ἄν τις ἀμφισβήτησις
ἦν· ὅτε δ᾽ ἐστὶν εὔδηλον ὡς ἐφ᾽ ἓν τοῦτο ἅπασα ἡ τῆς λογικῆς
δυνάμεως ἕξις ὥρμηται, δυοῖν ἀνάγκη δήπου θάτερον, ἢ μὴ ὀρθῶς ἔχειν μηδ᾽ ἱκανῶς τὸν λόγον, ἢ ὁμοῦ βέλτιστόν τε εἶναι καὶ
κρατεῖν τῶν ἀκουόντων. ὥστ᾽ οὐδὲν δεῖ διαφθείρειν αὐτὸν ὑπὲρ
τοῦ κρατεῖν, ἀλλ᾽ ὥσπερ τὰ μηχανήματα αἱρεῖν πέφυκε, κἂν μηδεὶς
εἰδῇ τῶν ἐναντίων ἐξ ὅτων καὶ ὅπως συνετέθη, οὕτω λόγος εὖ
συντεθεὶς τὸ αὑτοῦ δρᾷ, κἂν τοῖς ἀπειροτάτοις ἐντύχῃ. θαυμάζω δέ,* 34
εἰ οἶνον μὲν καὶ σῖτον καὶ ἔλαιον καὶ μέλι καὶ κρέα καὶ τραγήματα
558 D *καὶ γάλα καὶ χρίματα καὶ ὕδωρ καὶ ξύλα καὶ λίθους οὐδ᾽ ἂν εἷς
ἡδίω φήσειεν τὰ διεφθαρμένα τῶν ἀδιαφθόρων, λόγους δὲ τοὺς
ὡς καθαρώτατα καὶ εἰλικρινέστατα ἔχοντας ἀηδεστέρους εἶναι τῶν
διεφθαρμένων — οὐδ᾽ ἂν εἷς ταῦτα φήσειεν· καὶ ταῦθ᾽ ὅτι οὐ τοῦ
παραδόξου λέγεται χάριν, ἀλλ᾽ ἀμήχανον ἄλλως ἔχειν, αὐτὰ κατηγορεῖ.* **Τίς ἄριστος ἐπῶν ποιητής;** *Ὅμηρος. τίς δ᾽ ὡς πλεί-* 35
*στους ἀνθρώπων ἀρέσκει καὶ τῷ μάλιστα χαίρουσιν; ἢ τοῦτό γε
καὶ αὐτὸς ὑπὲρ αὑτοῦ προείδετο; διαλεγόμενος γὰρ ταῖς Δηλιάσιν
καὶ καταλύων τὸ προοίμιον 'εἴ τις ἔροιθ᾽ ὑμᾶς, φησίν,*

559 D *ὦ κοῦραι, τίς δ᾽ ὔμιν ἀνὴρ ἥδιστος ἀοιδῶν*
ἐνθάδε πωλεῖται καὶ τέῳ τέρπεσθε μάλιστα;

TESTIMONIVM: 3 *καὶ* — 8 *ἀκουόντων* Aristid. art. rhet. IX 404 W. (II 508 Sp.)

1 *εἶτα* DU 2 *λόγον — λόγων*] ludit in voce ambigua sicut p. 231, 1. 4
4 *ὁ λόγοσ* TDU Ars: *λόγοσ* AR *μὴ* O: *ἢ* Ars (Canter) 5 *ὡς*] *ὅτι* Ars
πᾶσα Ars 7 *μηδ᾽ ἱκανῶς*] *μὴ δικανικὸν* (*μηδ᾽ ἱκανὸν* corr. Ald.) *φαίνεσθαι*
Ars 8 *ὥστ᾽*] *ὣσ* A *αὐτὸν* DU: *ἑαυτὸν* R (*ὸ* in ras. pr. m.) T; *τ᾽ αὐτὸν*
A, *τ᾽* correctura ad *ὣσ* v. 8, quae huc aberravit 9 *αἱρεῖν* DUTR^2: *αἵρειν*
AR^1; *αἱρεῖν* sc. *τὰ τῶν ἐναντίων* (v. 10) *τείχη* *κἂν εἰ μηδεὶς* U, *εἰ* nunc
expunctum 10 *ἐξ ὅτου* DU 11 *αὑτοῦ* U (Junt.), *αὐτοῦ* ART: *αὐτὸ* T
ἐντύχῃ T^1 p. corr. U: *ἐντύχοι* ARDT^1 a. corr. 12 *μὲν* om. U *κρέασ* R
13 *χρίματα* Canter: *χρήματα* O 16 *οὐδ᾽ — φήσειεν*] ita summam sententiae,
quam adhibita figura rhetorica (*θαυμάζω δέ*) cum modestia modo protulerat, repetit
cum vi; cf. p. 247, 2; vv. 11 *θαυμάζω* — 16 *φήσειεν* spuria dicit Wil. 17 *αὐτὰ
κατηγορεῖ*] ex ipsis illis nominibus (*διεφθαρμένα* et *ἀδιάφθορα*) apparet
18 *Ὅμηρος* suspectum Kaibelio 18. 19 *πλείστου*^{σ} (^{σ} add. A^r) *ἀνθρώπων* A;
πλείστουσ ἀνθρώπουσ R^{1}T^1 a. corr. (certo); *πλεῖστον ἀνθρώποισ* T^1 p. corr.
(extrema *ισ* in ras.) DU, *πλεῖστοισ*^{ον} *ἀνθρώποις*^{ων} R^2; cf. ad v. l. p. 249, 24
19 *ἀρέσκει*] *έσκ* in ras. R^2 20 *αὐτοῦ* AU^1 *προίδετο* A^1 (corr. A^2) T
τοῖσ U^1 22 *ὦ κοῦραι*] huc revocat orator or. XXVIII § 19; quae inter causas
fuerit, cur eodem loco in utraque oratione uteretur, significavi ad p. 242, 1
δ᾽] in ras U^2 *ὑμῖν* O; *ὔμμιν* [Hom.] *ἀνὴρ ὑμῖν* U

ὑμεῖς δ᾽ εὖ μάλα πᾶσαι ἀποκρίνασθ᾽ εὐφήμως· 410 J
τυφλὸς ἀνήρ, οἰκεῖ δὲ Χίῳ ἐνὶ παιπαλοέσσῃ.᾽

36 *πάλιν εἰς τραγῳδίαν τίνες ἐνδοξότατοι καὶ πᾶσιν, ὡς ἔπος εἰπεῖν,*
τοῖς κριταῖς νικῶντες; οἶμαι μέν, οἱ βέλτιστοι Σοφοκλῆς, Αἰσχύ- 560 D
λος, Εὐριπίδης. μὴ γάρ τις τούτων μάλιστα, ἀλλ᾽ ὅτι γε ὑπὲρ
37 *πάντας οὗτοι τοὺς ἄλλους. ῥητόρων δὲ τῶν εἰς ἡμᾶς τίς γνωρι-*
μώτατος καὶ θαυμαστότατος καὶ μέγιστον ὄνομα ἔχων ἐν τοῖς
πολλοῖς; ὁ πλεῖστον ὑπερσχὼν τῷ κάλλει τῷ περὶ τοὺς λόγους.
πάντες ὧν μέγιστα ὀνόματα ἐπὶ τοῖς ἑαυτῶν ἀντὶ μαρτύρων
εἰσί μοι.

38 *Νὴ Δί᾽, εἴποι τις ἄν, ἀλλ᾽ ἠκολούθησαν οἱ πολλοὶ τῇ δόξῃ*
τῶν ὀλίγων καὶ ἀκριβῶν ⟨τῶν⟩ ἐξ ἀρχῆς τὰς ψήφους ἐνεγκόντων. οὐ
διαφέρομαι· ἀλλ᾽ οὖν τοῦτό γ᾽ εὔδηλον ὅτι κἀν τοῖς ὀλίγοις κἀν
τοῖς πολλοῖς εὐδοκιμεῖν ἀνάγκη τὰ βελτίω, καὶ τοσούτῳ μᾶλλον
39 *ὅσῳ περ ἂν ᾖ τελεώτερα. ἔτι δ᾽ εἰ τοσοῦτόν ἐστιν τὸ κράτος τῶν*
ἀκριβεστάτων, ὥστε καὶ ἑτέρους εὐδοκιμεῖν οὗτοί εἰσιν οἱ παρα-
σκευάζοντες ἀφ᾽ ὧν ἂν κρίνωσιν, πῶς οὐ πανταχῇ τὸ ἀκριβὲς
ἰσχυρόν; ἢ τί δεῖ τοὺς ἀκριβεστάτους θεραπεύειν ἀφέντα τοὺς
πολλοὺς ἀρέσκειν ζητεῖν, οἳ τῶν ἀκριβεστάτων εἰσίν, οὐχ αὐτῶν;
ἐκείνως μὲν γὰρ ὑπ᾽ ἀμφοτέρων κριθησόμεθα καὶ θαυμασθησό- 561 D
μεθα, οὕτω δὲ ὑπ᾽ οὐδετέρων σχεδόν, εἴπερ μηδὲν ἰσχυρόν
40 *ἐστι ⟨τὸ⟩ τῶν πολλῶν. ἀλλ᾽ ἐγὼ τί φημι; καὶ τοῖς ἀρίστοις ἕπε-*
σθαι τοὺς πολλοὺς καὶ καθ᾽ αὑτοὺς εὐθὺς μοίρᾳ τινὶ θείᾳ τὰ
κράτιστα θαυμάζειν. καὶ γὰρ ἂν εἴη παγγέλοιον, εἰ δι᾽ ἑτέρων
μὲν ἀκριβῶν ἴσασιν τοὺς ἀκριβεῖς, αὐτοὶ δ᾽ ἀγνοοῦσιν, καὶ τοὺς
μὲν κρίνοντας αὑτῶν ἀντικρίνουσιν αὐτοὶ βελτίους ἑαυτῶν εἶναι,
τοὺς δ᾽ ἐξ ἀρχῆς τὰ κράτιστα δεικνύντας οὐ θαυμάσονται, οἳ μετὰ

---

1 *δὲ* D *ἀποκρίνασθε* RDUT, *ἀποκρίνασθαι* A (et Thuc. III 104 libri plerique) *εὐφήμωσ* R[1] (agnoscitur //*φ*// *ωσ*) [Hom.] Thuc.: *ἀφ᾽ ἡμῶν* ATR[2], *ἀφ᾽ ὑμῶν* DU 2 *ἐνὶ*] *νι* in ras. R[2]; *ἑνὶ* T 5 *γὰρ τίς* legi: *γάρ τισ* O (edd.) 8 *κάλλει* R[1]: *καλῶ* A(-*ῶι*)DUTR[2] 8. 9 *λόγουσ πάντασ· ὧν*, ut vid., R[1] (Baroc. 136) 12 *ἀκριβῶν* ADT: *ἀκριβῶσ* RU; cf. v. 16. 18. 19 ⟨*τῶν*⟩ add. Kaibel *τὰσ ψήφουσ ἐνεγκόντων ἐξ ἀρχῆσ* U *ἐνεγκόντων*] *ἐξ* s. l. praefigit R[2] 13 *τοῦτ᾽ εὔδηλον* U; cf. v. l. p. 239, 24; 248, 3 (244, 7; 251, 13. 24) 15 *ἔτι* — 16 *καὶ* om. D 16 *ἑτέρους*] *παρ᾽ ἑτέροις* dubitanter ci. Wil. 17 *ἀφ᾽*] *ἐφ᾽* R[2]; *ἀφ᾽ ὧν — κρίνωσιν*, i. e. *ἀπὸ τῶν ἑαυτῶν γνωμῶν* (*κρίσεων*) *οὐ πανταχῇ* R(-*ῇι*)DU (*ῇ* in ras. paulo ampliore pr. m.): *οὐ πανταχῇ οὐ* A(-*ῇι* A[r])T (i. e. *οὐ πανταχῇ* with *ου* above) 18. 19 *τοὺσ πολλοὺσ* AR[1]T: *τὸ πολλοῖσ* DUR[2] 20 *γὰρ καὶ ὑπ᾽* D *θαυμασθησόμεθα* om. R[1] 22 *τὸ* addidi 25 *αὐτοὶ* U: *αὐτοὺσ* A[1] (*αὑ*- A[2]) RDT 26 *αὑτῶν*] sc. *τῶν ἀκριβῶν*, quorum duo genera distinguit, alterum *τοὺς κρίνοντας*, alterum *τοὺς δεικνύντας* dicit; *αὑτῶν* abesse vult Wil. *κρίνοντας*] *νον* in ras. R[2] *αὑτοὶ*] *αὐτοὶ* A[1] (corr. A[2]) 27 *τοὺς*] *τοῖσ* A[1] (corr. A[2])

τῆς ἐπιστήμης καὶ τὴν δύναμιν τοῦ πείθειν † οὖσαν ἔκτηνται·
οὐδεὶς ὅστις οὐ φήσει ταῦθ᾽ οὕτως ἔχειν. καίτοι κἂν εἰ μὴ συναμ- 41
φοτέρους ἄγειν ἐξῆν, τό γε τῶν βελτίστων μέρος αἱρετώτερον οἶμαι
411 J τοῖς εἰς βελτίους ἀξιοῦσι τελεῖν· ὅτε δ᾽ ἔστιν ἢ ἐξ ἀρχῆς καὶ τού-
τους κἀκείνους χειροῦσθαι ἢ δι᾽ ἐκείνων καὶ τούτους αἱρεῖν, παν-
ταχῇ νικᾷ τὰ βέλτιστα. μάρτυρας δὲ καὶ τούτων ἔχομεν ποιητάς, 42
562 D οἳ τοὺς ἀρίστους καὶ ἀσφαλεστάτους τῶν ῥητόρων μάλιστα ζηλοῦ-
σθαί φασιν καὶ μακαρίζεσθαι παρὰ τοῖς πλήθεσιν. καὶ τί δεῖ
τοὺς παλαιοὺς καταλέγειν ἢ ποιητὰς ἢ ῥήτορας; ἀλλ᾽ ἡμῶν του-
τωνί — θεὸς δ᾽ εὐμενὴς παραπέμποι τὸν λόγον — τίνες πω μείζους
θορύβους ἐν συλλόγοις ἐκίνησαν; ἢ τίς μᾶλλον σὺν θεοῖς εἰπεῖν —
τουτὶ γὰρ ἔμοιγε ἡγείσθω πάσης παρρησίας — ἀμφοτέρων ἥψατο
τῶν ἐθνῶν, λέγω καὶ τῶν δεξιῶν καὶ τῶν οὓς ⟨τοὺς⟩ πολλοὺς ὀνο-
μάζομεν, οἵ γε καὶ μηδενὸς αὐτοὺς ἐπαναγκάζοντος νόμου διώμοτοι
τὴν ψῆφον φέρουσιν; ἐῶ τὰ ἄλλα. ἀλλ᾽ ἃ νυνὶ φθέγγεσθ᾽ ἐπὶ τού-
τοις ὁρᾶτε δήπουθεν. ἔστιν οὖν ὅ τι πώποτε πρὸς χάριν ἡμεῖς 43
εἴπομεν τῶν ἀκροατῶν; οὐδὲ γρῦ· καίτοι πολλὰ καὶ παντοῖα.
μόνοι γὰρ τῶν πώποτε ἁψαμένων λόγων εὐχόμεθα, ὅπερ μετρι-
ώτατον εἰπεῖν, ὁπόσα ἐστὶ καὶ νομίζεται περὶ λόγους ἀγαθὰ εἰς
563 D μίαν δύναμιν κατακλείσαντες δεικνύναι μεθ᾽ ὑπερβολῆς. οὕτως
ἐγώ. καὶ οὐδ᾽ ὁτιοῦν φαίην ἂν χαρίζεσθαι καὶ οὐδὲν ὅ τι οὐ
χαρίζεσθαι, ἀνθ᾽ ὧν εἰκότως τὰ προσήκοντα χαρίζομαι. εἶτ᾽ ἐγὼ 44
τετηρηκὼς ἐπὶ τῶν πραγμάτων αὐτῶν καὶ τῶν αὐτὸς ἐμαυτοῦ
λόγων ὡς οὐκ ἀμισθεὶ τὸ τὰ βέλτιστα λέγειν περιγίγνεται, συγ-
χωρῶ τοῖς φληνάφοις τούτοις καταψεύδεσθαι τῶν πολλῶν, ὅτι
τούτων ἕνεκα ἀμαθαίνουσιν; οὐχ ἕως γ᾽ ἂν ἐμαυτὸν ὑπάρχω γιγνώ-
σκων.

---

1 οὕστινασοῦν (οὓς ἂν Kaibel) βούλωνται ci. Canter; malim ὡς ἂν ⟨μάλιστα⟩, cf. p. 243, 23 ἔκτηνται A¹T: κέκτηνται RDUA²; cf. v. l. p. 18, 8 4 δ᾽ ἔστιν — 5 ἢ om. R¹, add. R² ita, ut pro ἢ extremo exhibeat καὶ ἢ A p. corr. (ἡ a. corr.): om. R²DUT 5. 6 πανταχῇ] ου sup. ῃ add. R², cf. v. l. p. 246, 17 6 ποιητάς] resp. Hom. ϑ 170 sq. (cf. or. XXVIII § 110) et Hesiod. Th. 80 sqq. (Canter); cf. praeterea Rhet. gr. IV 9 sq. W., quae magna ex parte ad stoicorum doctrinam referenda 12 ἡγείσθω — 16 δή(πουθεν) replevit R²; in R summa folia 260. 261. 262 cum scriptura resecta (cf. ad 248, 17. 249, 18. 250, 24. 251, 25. 252, 25), quam replevit R²; hic quattuor versus repleti 13 ἐθ/ῶν A, ν eras. τοὺς addidi 15 τἄλλα DUT ἀλλὰ νυνὶ D (Junt.) φθέγγεσθ᾽ A, φθέγγεσθε UR² in supplemento, φθέγγεσθε (αι sup.) T pr. m.: φθέγγεσθαι D (Junt.); fuit φθέγγεσθ in archetypo 17 παντοῖα] sc. εἴπομεν 18 ἁψαμένων λόγων] in ras. artiore U¹, primitus certo λόγων deerat; λόγων om. D 23 αὐτῶν R: om. ADUT 24 ἀμισθεὶ Aʳ: ἀμισθὶ O τὸ om. D περιγίνεται DU

45 *Εἰ δέ τινες φάσκοντες αὖ βέλτιον ἢ κατὰ τούτους προηρῆ-*
σθαι μὴ τυγχάνουσι τῶν πολλῶν, ἀλλ' ἀποσβέννυνται πρίν τινα
ἰδεῖν τὴν φλόγα, οὐδὲν τοῦτό γ' ἐστὶν κατὰ τῶν σεμνοτέρων
λόγων ἢ ὅλως κρειττόνων· ἐνδείᾳ γὰρ τῶν μεγίστων αὐτὸ πάσχου-
σιν, οὔτε γνώμην ἱκανὴν οὔτε κόσμον παρασχόμενοι περὶ τοὺς
λόγους. εἰ δ' ἦσαν τέλεοι τὴν μουσικήν, ὃ τῷ Ὀρφεῖ λέγεται προσ-
εἶναι, κἂν τούτοις προσῆν, πάντας ἂν ἦγον. νῦν δ' ἐκείνῳ μὲν 412 J
καὶ τὰ ξύλα καὶ τοὺς λίθους ἄγειν προστίθησιν ὁ μῦθος δι' ὑπερ-
βολῆς, οἱ δ' ἀντὶ ξύλων αὐτοὶ καὶ λίθων εἰσὶν τῷ μὴ κινεῖν.
46 *ἀλλ' ἡμεῖς οὐ τοῦτο προὐθέμεθα σκοπεῖν, πόσοι πταισμάτων εἰσὶ* 564 D
τρόποι περὶ τοὺς λόγους, οὐδ' εἴ τινες καὶ ἕτεροι δυστυχοῦσιν,
ἀλλ' ὅτι τῆς ἀρετῆς οὐδεμία πω κακία τρόπαιον ἔστησεν· οὐδ'
47 *ἐφ' ἑνὸς πράγματος τοῦτο λέγοντες οὐκ ἂν αἰσχυνοίμεθα. ἐπεί*
τοι καὶ τούτων αὖ τινα τῶν περὶ τοὺς ὄχλους κυλινδουμένων καλῶς
ἐγώ ποτ' ἐφώρασα τἀναντία πράττοντα ἢ ἔσπευδεν. ᾖδε μὲν γὰρ
ἐγκλίνας τῶν χαρίτων εἵνεκα, ἀκροτελεύτιον δ' ἐπεφθέγγετο ἐφ'
ἑκάστῳ τῶν κομματίων ὥσπερ ἐν μέλει ταὐτόν. οἱ δ' ἀκροαταὶ
καὶ ἐρώμενοι οὕτω σφόδρα ἐξεπλήττοντο καὶ κατείχοντο ὑπὸ τοῦ
μέλους ὥσθ' ὅτε δὴ ἐγίγνοντο πρὸς τῷ ῥήματι, ἐκγελάσαντες
αὐτοὶ ὑπέβαλον, οὐκ ἀνταποδιδόντες ὥσπερ ἠχὼ τὴν φωνήν, ἀλλὰ
προλαμβάνοντες· καὶ δῆτα ἡδὺς ἦν ὁ κορυφαῖος ἰὼν κατόπιν τοῦ
χοροῦ. προσῆπτον δέ τι καὶ ἄλλο 'τοῦ κόρδακος οὕνεκα', ὥστ'
ἐλεεινὸν τὸ χρῆμα τῆς συναυλίας εἶναι τοῦ τε σοφιστοῦ καὶ τῶν
ἑταίρων ἐφ' οἷς ἐπτόητο. τοιαῦτα οἱ τὸ βέλτιστον τιμῶντες ἆθλα
φέρονται παρὰ τῶν λογίων θεῶν καὶ τοιαῦτα οἱ λυμαινόμενοι τοῖς
48 *λόγοις. ἔπειτα ποιοῦσιν παραπλήσιον ὥσπερ ἂν εἴ τις ἀνδρό-* 565 D
γυνος ἢ εὐνοῦχος μὴ τὴν ἀσθένειαν τοῦ σώματος μηδὲ τὴν τύχην
αἰτιῷτο, προνοίᾳ δὲ φάσκοι γενέσθαι τοιοῦτος. ἀλλ' οὔτε ἀληθῆ

---

1 *αὖ φάσκοντεσ* DU 2 *τυγχάνωσι* D 3 *γε* D *τοῦτ' ἐστι* U, cf. v. l. p. 246, 13 4 *αὐτοὶ* DU 6 *τέλεοι περὶ τὴν* R^2 *ὃ* AR^1T: *καὶ ὃ* DUR^2; apodosis ab *ὃ* incipit 8 *δι' ὑπερβολήν* DU; *δι' ὑπερβολῆς*, i. e. *ὑπερβολικῶς* 9 *τῷ* DUR^2: *τὸ* AR^1T 13 *ἐφ'* Rsk.: *ἀφ'* O; ad diaeresim cf. p. 245, 14. 17 14 *κυλινδουμένων* AR^1: *καλινδουμένων* $DUTR^2$; cf. ad p. 235, 18 16 *ἐγκλίνας*] 'molliter cedens (in peius)' *ἕνεκα* RU *δ' ἐπεφέρετο* R, v. l. *γρ. φθέγγετο* s. l. add. $R.^2$ 17 *ἐν μέλει — 21 καὶ* replevit R^2 (quinque versus, cf. ad p. 247, 12) 19 *ἐγίνετο* D, *ἐγένετο* U 20 *αὐτοὶ* DU^2: *ἂν αὐτοὶ* AR^2 (in supplemento) U^1 (?) T *ἀλλὰ*] *ἀλλὰ καὶ* T 23 *τοῦ — οὕνεκα*] Aristoph. nub. 555 (Wil.) *οὕνεκα* ART: *εἵνεκα* DU, cf. Kaibel ad Soph. El. p. 164, 1 23 *ἐλεεινὸ* A 24 *ἑταίρων* AT^2U^2: *ἑτέρων* RT^1D (et certo U^1) *τὸ βέλτιστον* sic O: *τὸ βέλτιον* Norrmann tanquam e libro suo (prob. Ddf.) 25. 26 *τοὺσ λόγουσ* R^1 28 *φάσκει* D *οὔτ' ἀληθῆ* U

λέγεις, ὦ τᾶν, οὔϑ᾽ ὅλως σωφρονεῖς, εἰ φῂς ἑκὼν ταῦτα τιμῆσαι.
καὶ νῦν ἐγὼ κινδυνεύω φιλανϑρωπότερος περὶ τούτους εἶναι τοῖς 49
λόγοις τούτοις ἤπερ αὐτοὶ περὶ σφᾶς αὐτούς. ἐγὼ μὲν γὰρ ἄκον-
τας αὐτοὺς ἀποφαίνω καὶ δυστυχίᾳ τινὶ τοῦτο πάσχοντας, οἱ δ᾽
ἐξεπίτηδές φασι ποικίλλειν. οἱ δὲ νόμοι τοὺς ἑκουσίως πλημ-
μελοῦντας διπλασίαν τὴν ζημίαν ἐκτίνειν κελεύουσιν τῶν ἀκόντων
413 J *βλαψάντων. ἀρχὴν δὲ οὐδὲ συμβαλεῖν μοι δοκῶ δύνασϑαι τί ποτ᾽* 50
ἔσϑ᾽ ὃ λέγουσιν. καὶ γὰρ ὡς οὐκ ἄκοντες ὑφίενται δοκοῦσί μοι
λέγειν, καὶ πάλιν ὡς οὐχ ἑκόντες, ἀλλ᾽ ἄκοντες ὑφίενται. ὅταν
μὲν γὰρ εἰς τοὺς ἀκροατὰς ἀναφέρωσι καὶ παρὰ τούτοις εἶναι
φῶσι τὴν αἰτίαν, ὥσπερ ἄκοντες ἁμαρτάνειν λέγειν μοι δοκοῦσιν,
ὅταν δ᾽ εἰδέναι μὲν ὡς οὐδὲν χρηστόν ἐσϑ᾽ ὧν λέγουσιν, αἱρεῖ-
σϑαι δὲ λέγειν ὑπὲρ τοῦ ψυχαγωγεῖν, ἑκόντες ἁμαρτάνειν ὁμολο-
γεῖν μοι δοκοῦσιν, ὥσπερ οἱ ἐν ταῖς τραγῳδίαις εἰδέναι μὲν
φάσκοντες ἃ δράσουσιν κακά, αὑτῶν δὲ κρατεῖν οὐ δύνασϑαι.
τοιαῦτ᾽ ἐστὶν τὰ τούτων αἰνίγματα. καίτοι φησὶ μὲν δήπου Κρα- 51
τῖνος (frg. 322 K.) *τῶν αἰσχρῶν εἶναι φίλοισι χαριζόμενον πονη-*
566 D *ρὸν αὐτὸν εἶναι· οὗτοι δ᾽ εἰ μὲν φίλοις αὐτοῖς χρῶνται, παρα-*
πλησίως αὐτοῖς ἔχουσιν· ὥστ᾽ εἰ τοῖς αὐτοῖς χαίρουσιν, αὑτοῖς
ἆρ᾽ οὐχ ἧττον ἢ τούτοις χαρίζονται· εἰ δ᾽ αὖ μὴ νομίζουσιν φίλους,
ἀντὶ τοῦ χαρίζονται; εἴτε γὰρ ὡς ἐρασταῖς εἴϑ᾽ ὡς ἐρασταί, τό
γε τῆς αἰσχύνης ἄφυκτον. αἰνίττονται δὲ κἀνταῦϑα. φασὶ μὲν
γὰρ τοὺς πολλοὺς ἐρᾶν αὑτῶν, φαίνονται δ᾽ αὐτοὶ τούτων ἐρῶντες,
εἴ γ᾽ ἵνα τούτοις ἀρέσωσιν ἀκολασταίνουσιν. καὶ μὴν εἰ μὲν 52
οὐδὲν φροντίζουσιν αὐτῶν, τί μαϑόντες φήσουσι χαρίζεσϑαι; εἰ
δὲ φροντίζουσι, ποτέρως βελτίους ἂν ἦσαν, παιδεύοντες καὶ τὴν

---

1 *σωφρονῆισ, εἰ φῆισ* A 5 *ποικίλειν* D *ἑκουσίωσ* sic O; *ἑκουσίους* Junt., cf. *ἀκόντων* v. 6 *πλημελοῦντασ* D, cf. p. 239, 23 6 *ἐκτείνειν* R(?)D 7 *οὐδὲ*] *οὐ* T 9 *καὶ πάλιν — ὑφίενται* omissa add. R pr. m. mg. 10 *γὰρ* om. U 11 *μοι δοκοῦσιν* suspectum; cf. v. 14 12 inter *χρηστόν* et *ἐσϑ᾽* ras. c. v litt. cap. R 13 *ψυχαγωγεῖν*] i. q. *ἄγειν καὶ πείϑειν* § 17. 18; sed inest voci etiam notio quae in *χαρίζεσϑαι*, cf. or. XXIX § 3, pro rhet. II p. 106, 4 Ddf. 14 *ἐν ταῖς τραγῳδίαις*] oratorem spectare Eurip. Med. 1078 sq. monet schol. A^r 15 *δράσουσιν αὑτῶν* (*αὑτ*-D) *κακὰ αὑτῶν* DU *αὑτῶν* AR 17 *χαριζόμενον αὑτὸν αἰσχρὸν εἶναι* DU; ad *πονηρὸν* (R^1) add. *γρ. αἰσχρὸν* R^2 18 *αὐτοῖς — 21 γὰρ ὡς* replevit R^2 (tres versus, cf. ad p. 247, 12) 19 *ὥστ᾽ εἰ*] *ὥστε* T et R^2 in supplemento primitus (corr. m. recentior) *αὑτοῖς*] *αὐτοῖσ* A^1 (corr. A^2) 23 *τοὺς* om. DU *αὑτῶν*] *αὐτῶν* O 24 *τούτουσ* AT^1 p. corr. (sic): *τούτοισ* $RDUT^1$ a. corr.; cf. v. l. p. 237, 4; 245, 18. 19; 246, 18 *ἀκολασταίνουσι* O 25 *αὐτῶν — 26 φροντίζουσι* omissa add. U^2 mg. 26 *ποτέρως* scripsi (et distinxi post *ἦσαν*): *πότερον* O; cf. p. 242, 19 sqq.

οὖσαν ὁδὸν τῶν λόγων δεικνύντες, ἢ τῆς τούτων μοχθηρίας αὐτοὶ
53 *κληρονομοῦντες; ὥσπερ ἂν εἴ τις ἰατρὸς φάσκων εἶναι καὶ δέον*
αὐτὸν τοῖς κάμνουσι τὰ βέλτιστα συμβουλεύειν, τοῖς ἐκείνων αὐτὸς
ὑπηρετοίη βουλήμασι καὶ τὴν τέχνην ὁρίζοιτο τῷ χαρίζεσθαι.
οὐκοῦν ἀπολεῖς μὲν ἐκείνους, ἀπολῇ δ' αὐτὸς ἐν εὖ φρονοῦσι δι-
κασταῖς, ἐπεὶ καὶ ἡ φύσις οὕτως ἔταξεν τὸν στρατηγὸν ἡγεῖσθαι
τῶν στρατιωτῶν, οὐ τοῖς στρατιώταις ἀκολουθεῖν, τὸν κορυφαῖον
ὡσαύτως τοῦ χοροῦ, τῶν ναυτῶν τὸν κυβερνήτην, τοῦ ζεύγους τὸν 414 J
ἡνίοχον, τὸν ἰατρὸν τῶν δεομένων. εἶτ' ἐξὸν αὐτούς τε βελτίους
εἶναι καὶ τοὺς συνόντας ὅπως βελτίους ἔσονται παρασκευάζειν,
αὐτοί τε χείρους γίγνεσθε κἀκείνους ἔτι φαυλοτέρους ἢ εἰσὶν ἀπο-
54 *φαίνειν προαιρεῖσθε. καὶ μὴν τὸ μὲν ὡς πέφυκέ τις καὶ προ-* 567 D
ῄρηται λέγοντα ἀνύτειν ἄγειν ὡς ἀληθῶς ἐστι, τὸ δ' ἐξίστασθαι
τῆς ἰδέας ὑπὲρ τοῦ τι δοκεῖν λέγειν ἄγεσθαι μᾶλλον ἢ ἄγειν ἐστίν.
ὥστ' εἰ μὲν οὐκ ἔχεις βελτίω τούτων, ἀμφότερα δυστυχεῖς, καὶ
οἷς λέγεις καὶ οἷς οὐ δύνασαι λέγειν, εἰ δ' ἐξὸν ἐκείνως ἄγειν
οὕτω δέχῃ, πῶς οὐ παρανοεῖς; ἢ τί σου τὸ καλὸν τῶν λόγων ἐστίν,
55 *ὅστις γε περὶ αὐτῶν τῶν λόγων οὕτω βεβούλευσαι; καὶ γὰρ αὖ*
κἀκεῖνο, οὐ τὸν αὐτὸν τρόπον, οἶμαι, τῷ τε ῥήτορι καὶ φιλοσόφῳ
καὶ πᾶσι δὴ τοῖς ἐπὶ τῆς ἐλευθερίου παιδείας προσήκει τέρπειν
τοὺς ὄχλους καὶ τοῖς ἀνδραποδώδεσι τούτοις ὀρχησταῖς, μίμοις,
θαυματοποιοῖς· ἀλλὰ τούτοις μὲν πολλὴ συγγνώμη καὶ ποιεῖν
ὁτιοῦν καὶ λέγειν, ἡμῖν δ', εἰ τὰ τούτων κακὰ μιμοίμεθα, πῶς
56 *εὐπρεπῶς ἕξει; ὅπου γὰρ οὐδ' ἐλευθέρᾳ γυναικὶ καὶ ἑταίρᾳ*
ταὐτὰ δοκεῖ πρέπειν οὐδ' ἔτι μᾶλλον ταὐτά γε ἀνδράσι καὶ
γυναιξίν, κομιδῇ τοῖς γε ἀνδράσι ταὐτὰ πρέπειν ἅπερ ταῖς ἑταί-
ραις οὐ φήσομεν. ὑμεῖς τοίνυν ὅταν εἰς ψαλτρίας τάττησθε καὶ

---

1 *δεικνύντεσ* et *τούτων* sic O 3 *τὰ*] *τῶι* R, at *ω* ex *α* videtur corr. pr. m. *συμβουλεύειν τὰ βέλτιστα* U 4 *βουλήμασι* sic O 5 *ἀπολῇ*] *ἀπολεῖ* A^1 (corr. A^2) 6 *ἡ φύσις κτἑ.*] cf. or. XXIV § 35, XXVIII § 123. 125 sq., quem locum paene ad verbum ex nostra in illam orationem transtulit (cf. ad p. 147, 9) 9 *τὸν ἰατρὸν τῶν δεομένων*] cf. p. 229, 24 11 *γί-γνεσθαι* A^1 (corr. A^2); *γίνεσθε* DU *κἀκείνους*] *καὶ τοὺσ συνόντασ* U 12 *προαιρεῖσθαι* A^1 (corr. A^2) 13 *ἀνύττειν* A a. ras. 14 *τῆς*] *τὰσ* R^1 *λέγειν* R: om. ADUT; cf. v. 16 *δύνασαι λέγειν* 15 *ὥστε* D 17 *δέχῃ* DUT (-η) A^2R^2: *δ' ἔχει* A^1, *δέχει* R 19 *κἀκεῖνο*] sc. quod notum est 21 *ἀνδρα-ποδώδεσι* sic O *μίμοισ καὶ θαυματοποιοῖσ* D 24 *(οὐ)δ'* — 25 *γε* replevit R^2 (duos versus, cf. ad 247, 12) *καὶ ἑτέρα* D 25 *ταῦτα* A^1 (corr. A^r ut vid.) R^2 in supplemento *οὐδέ τι* DU^1 a. corr. *ταῦτα* A^1 (in mg./; corr. A^r, ut vid.) U 26 *ταυτὰ* DU^1: *ταῦτα* $ARTU^2$ *ταῖσ ἑτέραις* D 27 *τάττησθε* sic O

*τὰ τῶν Μουσῶν ὄργια χραίνητε ἐν τῷ δημοσίῳ, πότερον φιλοτιμίας
δικαίως ἂν ἀμφισβητοίητε ἢ ζῶντες ἂν κατορύττοισθε Περσιστί;*
568 D *Σκεψώμεθα δὴ καὶ τόδε, ὅτι οὐδὲ οἱ δῆμοι τὰ θεάματα ταῦτα,* 57
*ὧν μάλιστ᾽ ἄν τις αὐτοὺς φήσειεν ἡττῆσθαι, παντὶ τῷ θυμῷ
φιλοῦσιν οὐδὲ ἀσπάζονται. τίς γάρ ἐστιν ὅστις οὐκ ἀξιοῖ βελτίων
ὀρχηστοῦ παντὸς αὐτὸς εἶναι; ἢ τίς ἂν τῷ μίμῳ συγχωρήσειεν
ἔξω φθέγγεσθαι; ἀλλ᾽ ἐν μὲν τῷ παραχρῆμα γαργαλίζονται, ἀπελ-*
415 J *θόντες δ᾽ εὐθὺς καταγελῶσιν, μᾶλλον δὲ καὶ παρ᾽ αὐτὴν τὴν θέαν
οὕτω χαίρουσιν ὡς ἄν τινες παίζοντες. ἀλλ᾽ οὐδέν γ᾽, οἶμαι,
γελοῖον τιμιώτερον τῶν σπουδαίων, οὕτω πολλοῦ δεῖ τά γε δὴ
καταγέλαστα ἔμπροσθεν ἄν ποτε τῶν σπουδαίων γενέσθαι. ἀλλὰ* 58
*μὴν ὅπου καὶ αὐτὸ τὸ εὐδοξεῖν περὶ πολλοῦ ποιούμεθα ὑπὲρ τῆς
εἰς ὕστερον μνήμης, ὧν γ᾽ ἐφ᾽ ἡμέρᾳ καὶ παραχρῆμα τέθνηκεν ἡ
δόξα, ποῦ τις ἂν τούτους τιθείη; νὴ Δί᾽ ἀλλὰ καὶ Ἡρακλῆς ἐν* 59
*Λυδοῖς ὠρχήσατο. οἱ δέ γ᾽ αὐτοὶ κἀκεῖνο μυθολογοῦσιν περὶ
Ἡρακλέους, ὅτι τὴν γυναῖκα τὴν αὐτοῦ καὶ τοὺς υἱεῖς ἀπέκτεινεν,
οὐχ ὡς θέμις εἰπεῖν διατεθείς· ἃ τίς ἂν πείθοιτο εὖ φρονῶν; σὺ
δ᾽ οὖν εἰ τὰ μάλιστα πιστεύεις, ἀπόκριναί μοι πρὸς αὐτοῦ τοῦ
Ἡρακλέους, εἰ καὶ αὐτὸς τούτου χάριν ἡδέως ἂν τὰ σαυτοῦ δια-
φθείραις. ἀλλ᾽ οὐκ ἐρεῖς. ἐγὼ δ᾽ εἰ μὲν ὠρχήσατο ἐν Λυδοῖς* 60
*Ἡρακλῆς οὐκ ἔχω λέγειν, εἰ δ᾽ ἄρα, ἀλλὰ μιᾷ γε ἡμέρᾳ καὶ τῆς
παιδιᾶς εἵνεκα καὶ ἅμα σκώπτων ἴσως τοὺς Λυδούς, καὶ τέταρτον
εἴποιμ᾽ ἂν ὅτι οὐδέν γε χείρων ἐν οἷς ὠρχεῖτο ἐγίγνετο, ἀλλ᾽ ἦν*
569 D *ὅστις ἦν. οἶδα δὲ καὶ Λακωνικάς τινας ὀρχήσεις καὶ τραγικάς γε
ἑτέρας, ἐμμελείας, οἶμαι, καλουμένας — οὐ γὰρ ἡ ὄρχησις αἰσχρόν,
ἀλλὰ τὸ αἰσχρὸν φευκτέον πανταχοῦ — ἀλλ᾽ ὑμεῖς οὐκ ἐν Λυδοῖς,
οὐδ᾽ εἰσάπαξ, οὐδὲ σκώπτοντες οὐδ᾽ ὑγιαίνοντες τἄνδοθεν, ἀλλ᾽ ἐν
ἅπασιν ἀνθρώποις ἁπάσας τὰς ἡμέρας ἐξορχεῖσθε, ἃ μὴ ὅτι τοῦ
Ἡρακλέους, ἀλλ᾽ οὐδὲ τῆς Ὀμφάλης ἐπαινεῖν ἦν. τίσιν δὲ καὶ* 61

1 *χαίνητε* A a. corr. (*ρ* s. l. add. m. inc.) T[1] a corr. 2 *Περσιστί*] Herodot. VII 114 (Norrmann) 3 *οἱ* om. R[1] 4 *μάλιστά τισ αὐτοὺσ ἡττῆσθαι φήσειε* DU 6 *αὐτὸσ* sic O 9 *γε* RDU 10 *οὕτω* A[1]R[1] (e rasuris constat) DU: *οὔτε* A[r] (aut A[1] p. corr.) TR[2] 11 *ἐπίπροσθεν* D 13 *εἰσ* AU: om. RDT *ὧν*] *ὦ* R[1] *γ᾽* om. DU 15 *οἱ — αὐτοὶ*] qui Herculem apud Lydos saltasse fabulantur 16 *αὑτοῦ* RD 19 *τούτου χάριν*] ut tibi saltare liceret 23 *χεῖρον* AT *ἐν οἷς ὠρχεῖτο* omissa add. U[2] mg. *ἐγίνετο* D 24 *οἶδα δὲ καὶ Λακωνικάς — 26 πανταχοῦ*] huc facit Aristides ille *πείθων Λακεδαιμονίους τοὺς ὀρχηστὰς ἐλαύνειν*, contra quem Libanii oratio (LXIII Rsk.) *ὑπὲρ τῶν ὀρχηστῶν* *γε* om. U 25 *ἑταίρασ* A[1] (corr. A[2]) (*ἐμμελεί*)*ασ — 27 ἀλλ᾽* replevit R[2] (tres versus, cf. ad p. 247, 12) 26 *φευκτέον* scripsi: *φευκτὸν* O *ἡμεῖσ* R; *ὑμᾶσ* DU 27 *σκώπτοντασ οὐδ᾽ ὑγιαίνοντασ* DU 28 *ἐξορχουμένουσ* DU, qui accusativi ex *οἶδα* v. 24 pendent

προσήκων ὁ χαρακτήρ; πότερον τοῖς περὶ τοὺς πολιτικοὺς καὶ
ἀγωνιστικοὺς τῶν λόγων; τἀναντία μεντἂν πάθοιεν τῷ Καινεῖ τῷ
Θετταλῷ γυναῖκες ἐξ ἀνδρῶν γενόμενοι. ἀλλὰ τοῖς περὶ τὴν δια-
λεκτικήν; χαρίεις γ' ἂν οὖν εἴης, ὦ μάσθλης, ἐπὶ σωφροσύνην καὶ
ἀνδρείαν καὶ καρτερίαν ἐν τούτῳ τῷ μέλει παρακαλῶν, οὐ καρτερῶν
αὐτὸς μένειν ἐν τῇ τάξει τῶν λόγων, ὡσπερεὶ Σαρδανάπαλλος τῇ
κερκίδι τὴν κρόκην ὠθῶν ᾖδεν τοὺς εἰς τὴν μάχην παρακλητικούς.
ἀλλ' ἡγεμόσι δὴ πρέπων ὁ τρόπος; ἀλλὰ τοῖς βασιλεῦσιν; ἀλλ' ὅλως 416 J
ἄρχουσιν; οὐδ' ἡλικίᾳ γε τῶν ἁπασῶν οὐδὲ μιᾷ. πότερον γὰρ τοῖς
νεωτέροις; ἀλλ' ἑταιρεῖν δόξουσιν, ἐὰν ταῦτα ἀσπάζωνται. ἀλλὰ
τοῖς ἀνδράσιν; ἀλλ' οὐ δόξουσι βεβαιοῦν τὴν ἐπωνυμίαν. ἀλλὰ
τοῖς πρεσβυτέροις; ἀλλ' ἀωρία πολλὴ τῆς αἰσχύνης. λείπεται
δὴ γυναιξί, καὶ ταύταις ταῖς ἀσελγεστάταις, πρὸς ἃς τούτους
ἄξιον κρίνειν. καίτοι ζηλοῦσι μὲν αὐτάς, λείπονται δὲ συχνῷ τινι. 570 D
62 *θαυμάζω δ' εἰ τοῖς μὲν τὸ νόμισμα διαφθείρουσιν, ἔφη Δημο-*
σθένης, θάνατος ἡ ζημία κεῖται, τοῖς δὲ τοὺς λόγους κιβδήλους καὶ
παρασήμους ἀπεργαζομένοις παρρησιάζεσθαι δώσομεν ἢ τοῦτο
πρῶτον λέγειν ἐξεῖναι. κἂν μὲν ῥήματι πταίσῃ τις, ἀμαθὴς εὐθέως,
ἂν δ' ὅλῃ τῇ προαιρέσει διαφθείρῃ τὰ τεταγμένα, οὐκ ἄρα πόρρω
63 *πασῶν πανηγύρεων στήσεται; καὶ μὴν οὐχ ὑπὲρ λόγων ἡ βουλὴ*
μόνον, ἀλλ' ὑπὲρ ἁπάσης εὐσχημοσύνης καὶ εὐταξίας καὶ τοῦ πό-
τερον δεῖ τοῖς νόμοις ἐμμένειν ἢ ποιεῖν ὅτι τις βούλεται τῆς ἐφ'
ἡμέρᾳ χάριν ἡδονῆς. ὧν μὲν γὰρ ἐγὼ λέγω νικώντων, νικᾷ νόμος
καὶ κόσμος, ὑφ' ὧν οὐ μόνον αἱ πόλεις, ἀλλὰ καὶ γῆ πᾶσα καὶ
⟨ὁ⟩ οὐρανὸς αὐτὸς συνέστηκέ τε καὶ σῴζεται, ἃ δ' οὗτοι παραποιοῦ-
σιν ἅπασι καὶ θείοις καὶ ἀνθρωπείοις πράγμασιν ἐχθρῶς ἔχει.

---

4 *οὖν* om. U *μάσθλης*] cf. Herm. XXII 642 sqq., ubi quae de hiatu dixi falsa sunt 5 *ἀνδρίαν* DUR^2 6 *ὡσπερεὶ*] *ὥσπερ ἂν εἰ* R *σαρδανάπαλοσ* AR^{1}DU 7 *εἰσ μάχην λόγων παρακλητικούσ* D; ceterum cf. ad p. 152, 20 8 *τοῖς*] 'nostris' 9 *οὐδεμιᾶ* RDUT *γὰρ*] *δὲ* U 13 *ταύταις*] *ταῦτα* ci. Rsk. 15 *δὲ* RD *Δημοσθένης*] XX 167 *θαυμάζω δ' ἔγωγε, εἰ — θάνατος παρ' ὑμῖν ἐστιν ἡ ζημία* 18 *λέγειν ἐξεῖναι*] appositio ad *τοῦτο πρῶτον* *ῥήμασι* DU 19 *πόρρω* sic O 20 *λόγον* D 23 *χάριν* — 25 *παραποιοῦ(σιν)* replevit R^2 (quattuor versus, cf. ad p. 247, 12) 25 *ὁ* add. Kaibel *τε* om. DU^1 26 *ἅπασι* sic O *θείοισ καὶ ἀνθρωπείοισ*] T^2 in ras. *θείοισ* RUT^2: *θεοῖσ* ADR^2 s. l. c. *γρ.* *ἐχθρῶσ* ARDUT^2 mg. c. *γρ.*: *αἰσχρῶσ* TU^2 mg. c. *γρ.* — Subscr. *κατὰ τῶν ἐξορχουμένων* (ΚΤ ΕΞΟΡΧΜ, ex hac scriptione titulus articulo *τῶν* destitutus originem duxit, cf. p. 237) *κοινοῖσ* (*κοινῆσ* corr. A^2) *ἀσίασ ἐν σμύρνηι· ἐθαυμάσθη ὑπὲρ πάντασ* A; *κατὰ τῶν ἐξορχουμένων* T

XXXV.

ANONYMI

I 98 D
I 56 J

(9) ΕΙΣ ΒΑΣΙΛΕΑ.

Ἀλλ᾽ ἔμοιγε δοκεῖ τῶν καλῶν εἶναι ἐν ἑορτῇ καὶ ἐν ἱερομηνίᾳ
μεμνῆσθαί τι καὶ λέγειν περὶ τοῦ θείου καὶ φιλανθρώπου βασι-
λέως. οὐ γὰρ δὴ δέος γε μὴ ἐπαινεῖν αὐτὸν προελόμενοι ἔπειτα
ἀπορήσαιμεν λόγων, ἀλλὰ μὴ τοιαῦτα ᾖ τὰ ὑπάρχοντα τῷ βασιλεῖ
57 J *ὥστε μηδένα εἰπεῖν ἀξίως ἂν δυνηθῆναι περὶ αὐτῶν. ἐγὼ δὲ τῇ*
περὶ τἄλλα αὐτοῦ χρηστῇ καὶ φιλανθρώπῳ τύχῃ ἐπαρθεὶς καὶ
τοῖς περὶ αὐτοῦ λόγοις ἐθάρρησα. διόπερ τἄλλα πάντα ἀφείς, ἃ 2
τοῖς προοιμιαζομένοις λέγειν ἔθος ἐστὶν καὶ προφασίζεσθαι, τοῖς
μὲν τὸ μέγεθος τῶν πεπραγμένων, τοῖς δὲ τὸν χρόνον ὀλίγον ὄντα
τῶν λόγων, οὐ προσδεηθεὶς δὲ οὐδὲ τῶν Μουσῶν, ὥσπερ τινὲς
τῶν ποιητῶν, οὐδὲ ἄλλης οὐδεμιᾶς ἔξωθεν βοηθείας, ἐπ᾽ αὐτὸν
τρέψομαι τοῦ βασιλέως τὸν ἔπαινον, οὐχ ὑπ᾽ αὐθαδείας οὐδὲ κατα-
φρονῶν τοῦ πράγματος, ἀλλ᾽ ὁρῶν τοὺς ἐν ἀρχῇ καταπραΰνοντας
καὶ παραιτουμένους τρόπον τινὰ αὐτοὺς καταφρονοῦντας τῶν
ὑποθέσεων ἃς ποιοῦνται τῶν λόγων. ταῦτα γὰρ λέγοντες οὐδὲν
99 D *ἄλλο ἐνδείκνυσθαί μοι δοκοῦσιν ἢ τοῦτο μέν, ἐξ ὑπογυίου λέγον-*
τες, ὡς ἐν πλείονι χρόνῳ φροντίσαντες καὶ παρασκευασάμενοι
ἴσους ἂν τῷ μεγέθει τῶν ἔργων τοὺς λόγους παράσχοιεν· οἱ δὲ
δόντες ἑαυτοῖς τὸ περὶ τῶν μεγίστων δύνασθαι λέγειν καὶ ἐπαγ-
γελλόμενοι ταύτην ὑπερβολὴν τῶν ἐπαίνων σφίσιν αὐτοῖς διδόασιν.
ἐγὼ δὲ οὔτε χρόνου πλῆθος ἱκανὸν οὔτε λόγον οὐδένα ὁρῶ τοῦ 3
βασιλέως ἄξιον, οὐδὲ ὅστις αὐτὸν ἱκανῶς ἐγκωμιάσαι δυνήσεται·

Libri SCDUT = O

Titulus *εἰσ βασιλέα* STC (ubi cum prima haec sit Aristidearum, praemittitur *ἀριστείδου λόγοσ*): *εἰσ τὸν αὐτοκράτορα* U et in indice D m. recentiss. — Abiudicavi orationem ab Aristide, cuius iudicii alio loco rationem dabo. neque Pium neque Marcum imperatorem intellegi posse patet; qui revera intellegendus sit non constat 4 *λόγωι* C *μὴ — ᾖ*] non tam pendet e v. *δέος* v. 3, quam huic e contrario iuxta positum est, cf. p. 196, 11 13 *πράγματος*] *π* et *γ* in ras. S² 16 *ἐξ ὑπογυίου λέγοντες*] appositio ad *τοῦτο μέν*, cui *οἱ δὲ* v. 18 mutata constructione respondet (Wil.) *ὑπογύου* O (corr. Rsk.)
19. 20 *καὶ ἐπαγγελλόμενοι* scripsi: *ἐπαγγέλλονται καὶ* O; *ἐπαγγέλλονται* abesse vult Wil. 20 *ταύτην*] pro *τοῦτο* (i. e. *τῷ ἐπαγγέλλεσθαι περὶ τῶν μεγίστων δύνασθαι λέγειν*); 'hunc (hanc) suae (*τῶν*) laudis excessum (praestantiam, cf. p. 244, 3) ipsis tribuunt' 21 *ὁρῶ τοῦ*] *ὁρῶντασ* C 22 *ἱκανῶσ* SUT: *ἱκανὸσ* D, om. C

ὅμως δὲ οὐκ ἀποδειλιατέον, ἀλλ' ὅση δύναμις πειρατέον εἰπεῖν.
4 *οὐδὲ γὰρ ἂν θύωμεν τοῖς θεοῖς, τὸ πρὸς ἀξίαν, οἶμαι, δρῶντες*
τοῦτο ποιοῦμεν, ἀλλ' ὅσον δυνατὸν ἡμῖν χάριν αὐτοῖς ταύτην
ἐκτίνομεν· διόπερ οὐδὲ τὸν βασιλέα δεῖ ὀκνεῖν μέλλοντας ἐπαινεῖν,
ἀλλὰ θαρροῦντας ἰέναι ἐπὶ τὸν ἔπαινον αὐτοῦ. ἐκείνῳ μὲν γὰρ
ἴσως ἐνδεῶς τὰ παρ' ἡμῶν, ἡμῖν δὲ οὐκ ἐνδεῶς εἰρήσεται.
5 *Ἓν μὲν οὖν τοῦτο πρῶτον καὶ μέγιστον ὑπάρχει λέγειν περὶ*
αὐτοῦ ὅτι καὶ πρότερον ἢ καταστῆναι εἰς τὴν ἀρχὴν ἄξιος τῆς
βασιλείας ἦν. οἱ μὲν γὰρ δι' ἑτέρων κτώμενοι τὴν ἀρχὴν ἢ παρὰ
τῶν πρὸ αὐτῶν παραλαβόντες οἱ μὲν ἰσχὺν ἀντὶ τοῦ δικαίου προ- 100 D
θέμενοι, οἱ δ' ὥσπερ τινὸς γένους ἀκολουθίαν καὶ διαδοχὴν σῴ- 58 J
ζοντες οὕτως τὴν βασιλείαν ἐκτήσαντο. ὅστις δὲ αὐτὸς μὲν οὔτε
παραγγείλας οὔτε δεηθείς, δεηθέντων δὲ ἁπάντων αὐτοῦ γενέσθαι,
ἔδωκεν τοῖς δεηθεῖσιν ἑαυτὸν καὶ παρακαλέσασιν, πάλαι τούτῳ καὶ δι'
6 *ἀρετὴν τοῦτο τὸ γέρας ὠφείλετο. καὶ γάρ τοι ἐκείνοις μὲν περὶ*
τῆς βασιλείας ἀμφισβητοῦσι πολλοί, τούτῳ δὲ οὐδείς. καίτοι εἴτε
φόβῳ τῷ πρὸς αὐτὸν εἴτε αἰδοῖ τοῦ κρείττονος εἴθ', ὅπερ ἔφην,
γνώμῃ τῇ βελτίστῃ καὶ δικαιοτάτῃ συγχωρεῖν οἴονται δεῖν, πῶς
οὐκ ἐξ ἁπάντων τούτων φανερὸν ὅντιν' ἐχρῆν εἶναι τὸν βασιλέα;
7 *οὐ μὴν ἀλλὰ καὶ τοῖς βασιλεύσασι πρὸ αὐτοῦ τεκμαίρεσθαι πάρεστι*
περὶ αὐτοῦ ὅσον εὐθὺς ἐν αὐτοῖς τουτοισὶ πρῶτον διήνεγκεν αὐτῶν.
ἐκεῖνοι μὲν γὰρ μετὰ πολέμων καὶ φόνων πολλῶν εἰσῆλθον εἰς τὰ
πράγματα, πολλοὺς μὲν τῶν ἐν τάξει ἀπολέσαντες, πολλοῖς δὲ
ἀνηκέστων συμφορῶν αἴτιοι γενηθέντες, ὥστε πολλὰς μὲν ἐρημω-
θῆναι πόλεις ὑπηκόους, πολλὴν δὲ χώραν ἀνάστατον γενέσθαι,
πλεῖστα δὲ ἀναλωθῆναι σώματα, ὥστε μὴ πάντα ὁσίως αὐτοῖς

---

1 *ἀποδειλιαστέον* C; invertit Plat. rp. II 374 E *ὅμως δὲ οὐκ ἀποδειλιατέον, ὅσον γ' ἂν δύναμις παρείκῃ* 2 *οὐδὲ γὰρ ἂν* DU: *οὐδὲ γὰρ ὅταν* C, *οὐδ' εἰ γὰρ ἂν* ST 4 *οὐδὲ/τὸν* S *τῶι βασιλεῖ ὀκνεῖν δεῖ μέλλοντα* C 6 *ἡμῖν* sic O; *ὑμῖν* Junt. (prob. Rsk. Ddf.); sententia: 'ut in iis quae dicemus, multae sine dubio deerunt imperatoris virtutes, ita nobis non deerunt quae dicamus'; ludit in *ἐνδεῶς*; nulla usquam auditorum ratio (quae per *ὑμῖν* verbis inferretur) habita est in oratione 7. 8 *περὶ αὐτοῦ λέγειν* C 9 *παρὰ* sic O 10 *αὐτῶν* O 11 *τινὸς*] *τινὰ* ci. Kaibel 12 *οὕτω* CU *μὲν* om. U 13 *αὐτοῦ ἁπάντων* D *γενέσθαι* fort. delendum 14 *ἑαυτὸν*] *αὐτὸν* U 15 *τὸ* om. C *ὠφείλετο* sic O 16 *τῆς* om. D 17 *ὅπερ καὶ ἔφην* C; respicit ad. v. 13 18 *γνώμῃ δὲ τῇ* C, *δὲ* expunxit m. inc. 19 *ὅντιν'*] *ὅν τιν'* S[1], *ὅν τινων* C *ἐχρῆν*] cf. ad p. 126, 21 20 *ἀλλὰ* DUTS[1] mg. (in textum induxit S[2]): om. SC 21 *αὐτοῦ* Canter: *αὐτὸν* C, *αὐτῶν* SDUT *τουτοισὶ* SDUT: *τούτοισ* C 23 *μὲν* om. U 24 *γενηθέντεσ* sic O (*ὅπερ μοι δοκεῖ ἁμάρτημα εἶναι τῶν γραφέων* Thom. Mag. p. 75, 10); *γεγενημένοι* Junt.

101 D *συμβῆναι μηδ' ἂν αὐτοὺς τοῦτ' εἰπεῖν ἔχειν περὶ αὐτῶν. ὁ δὲ* 8
οὕτως ὁσίως καὶ καλῶς ἐπέστη τοῖς πράγμασιν ὥστε οὔτε καθιστάμενος οὔτε ἐν ἀρχῇ τῆς βασιλείας οὐδενὸς φόνου προσεδεήθη· οὐδὲ ὥσπερ ἐν μεταβολῇ καὶ καταστάσει πραγμάτων οὐδεὶς οὐδενὸς ἐπειράθη χαλεποῦ, οὐδ' [ἔστιν] ἃ πολλὰ εἴωθεν καὶ ἀναγκαῖα ἐν τοῖς τοιούτοις συμβαίνειν, οὐδὲν τούτων ἐπράχθη· οὐδ' ἔπαθον ἀνήκεστον οὐδὲ δεινὸν οὐδέν, οὐκ ἄνδρες, οὐ πόλεις, οὐκ ἔθνος· ἀλλ' οὕτως ἐμέλησεν αὐτοῦ τοῖς θεοῖς, ὅπως ὁσίως καὶ εὐσεβῶς ἐπιστήσεται τοῖς πράγμασιν, ὥστε ἃ μὲν τῆς μανίας καὶ ἀπονοίας ἔργα ἦν, ἑτέροις ἀνέθηκαν, ἃ δὲ τῆς δικαιοσύνης καὶ φιλανθρωπίας καὶ τῆς ἄλλης εὐσεβείας, τούτῳ διεφύλαξαν. καὶ 9
μὴν οὐδὲ ὡς ἔσχεν τὴν ἀρχήν, οὐδὲν ἔπραξεν σκυθρωπὸν οὐδὲ ἐμιμήσατο οὐδὲ ἐζήλωσεν τούτων οὐδέν, οὐδὲ ὥσπερ ἄλλοι τῶν πρὸ αὐτοῦ βασιλέων τῶν ἐν τέλει τινὰς φοβηθέντες ἐπιβουλεύειν
59 J *αὐτοῖς αἰτιασάμενοι τοὺς μὲν φυγαῖς, τοὺς δὲ θανάτοις ἐζημίωσαν, οὐδὲν τούτων ἐποίησεν, οὐδὲ τὸν τρόπον μετέθετο, ἀλλ' οὕτως ἐστὶ πάντων πόρρω τῶν τοιούτων καὶ τοσοῦτον ἀπέχει τοῦ σφαγὰς καὶ θανάτους βούλεσθαι ποιεῖν ὥστε καὶ τῶν ἐπιβουλευόντων τινὰς καὶ τῶν φανερῶς ἐξελεγχομένων, καὶ τούτους περιεῖναι καὶ*
ζῆν τῇ τούτου φιλανθρωπίᾳ· καὶ ταῦτα οὐ μόνον πραότητός ἐστιν 10
ἐπίδειγμα οὐδὲ τοῦ πρὸς πάντας ὁσίως ἔχειν αὐτὸν καὶ μὴ φθονερῶς διακεῖσθαι πρός τινας τῶν ἐντίμων καὶ ὑπερεχόντων, ἀλλὰ καὶ τοῦ μὴ καταπεπλῆχθαι ὑπὸ φόβων τὴν ἀρχήν, μηδὲ ταραχωδῶς ἔχειν πρὸς τὰ συμβαίνοντα, μηδὲ ὀξύρροπον εἶναι πρός τε ὀργὴν καὶ θυμόν, ἀλλὰ βεβαίᾳ καὶ ἀκινήτῳ τῇ διανοίᾳ χρῆσθαι
102 D *πρὸς ἅπαντας· εἰκότως, τὸν γὰρ μαθόντα ἃ χρὴ καὶ παιδευθέντα* 11
καὶ μηδενὸς τῶν καλῶν ἀμελήσαντα μηδὲ ἀμαθῆ γενόμενον, ἀλλὰ πᾶσι τοῖς τῆς ἀρετῆς μέρεσι κατακοσμήσαντα τὴν ψυχήν, εἰκὸς ἦν πάσης ἔξω γενέσθαι ἁμαρτίας. Ταύτην τοίνυν τὴν παιδείαν 12
καὶ ὁ βασιλεὺς παιδευθεὶς καὶ πάντων τῶν καλλίστων μετασχών,

---

1 *τοῦτο* D *αὐτῶν* O 2 *οὔτε*] *οὐ* C 3 *φθόνου* C 5 *οὐδὲ* C *ἔστιν* secl. Rsk.[2] (glossema ad *ἀναγκαῖα*) 10 *ἀνέθηκαν* — 11 *διεφύλαξαν* Canter (Rsk.): *ἀνέθηκεν* — *διεφύλαξεν* O; fuit, cum *τῷ θεῷ* v. 8 scripsi, ut tradita hic servarem, coll. Isocr. IX 25 *ὁ δαίμων ἔσχεν αὐτοῦ πρόνοιαν* — *διεφύλαξεν* et p. 256, 17 *ἡ* — *πρόνοια* — *ἐκάθισεν* 14 *αὐτοῦ*] *τοῦ* C 15 *αὐτοῖσ* (supra *ὑπό*) C (*αὐτοῖς* ci. Rsk.), *αὐτοὺσ* SDUT *θανάτουσ* C 17 *πάντων* om. C 21 *ἐπίδειγμα* C, *ὑπό* add. fort. m. rec. *τοῦ*] *τοὺσ* C 22. 23 *ἀλλὰ καὶ* in ras. multo artiore U[1] (aut U[2]) 25 *τῇ διανοίᾳ χρῆσθαι* ST, *τῆι διανοίαι κεχρῆσθαι* C (cf. v. l. p. 193, 5; 232, 3): *χρῆσθαι τῇ διανοίᾳ* DU

τῶν μὲν καὶ ἀπὸ φύσεως ὑπαρξάντων αὐτῷ, τῶν δὲ καὶ ἀπὸ παιδεί-
ας ⟨προσ⟩γενομένων, οὐ μέσως οὐδ' ὥσπερ ἄλλοις τισίν, ἀλλὰ πρὸς
ὑπερβολὴν ἑκάστου, ἣν μὲν μέγα ὄφελος τῇ βασιλείᾳ καὶ πρὶν εἰς
13 ταύτην καταστῆναι. μόνῳ γὰρ δὴ καὶ τοῦτο βασιλέων ἢ ἐν ὀλί-
γοις διαφερόντως ὑπῆρξεν, τί οὖν ἔστι τοῦτο; ἐκεῖνοι τὸν μὲν
ἄλλον χρόνον πράττουσι τὰ αὑτῶν, ἐπειδὰν δὲ εἰσέλθωσιν εἰς τὴν
ἀρχήν, τηνικαῦτα ἐπιμελεῖσθαι αὐτῆς ἄρχονται· ὁ δὲ οὕτω καθ-
ωσίωτο τῇ βασιλείᾳ ὥστε τὴν πρώτην τεταγμένος ὅπως ἔτυχε τα-
χθείς, ἀδήλου ὄντος τοῦ μέλλοντος, ὁρῶν πολλὰ τῆς βασιλείας οὐ
καλῶς οὐδὲ ὁσίως διοικούμενα, ἀλλὰ πολλὴν αὐθάδειαν καὶ ὕβριν
καὶ ἀκολασίαν ἐγγενομένην, οὐκ εἴα αὔξεσθαι οὐδὲ περαιτέρω
χωρεῖν, ἀλλ' ὥσπερ μεγάλου σώματος καὶ οὐχ ὑγιαίνοντος ἰώμενος
τὰ ὕπουλα καὶ νενοσηκότα αὐτοῦ, ἢ καθάπερ ἵππου χαλεποῦ καὶ
βιαίου κατέχων τὸ ἄγριον καὶ ἀπειθές, ἐκφερόμενος μὲν ὑπ' αὐτοῦ,
πολλάκις δὲ κατέχων καὶ ἀνακόπτων τὰς συνεχεῖς καὶ ἀλόγους καὶ 60 J
βιαίους ὁρμάς, ἔπραττεν αὐτῷ καὶ προεώρα τὰ συμφέροντα.
14 τοιοῦτος μὲν δὴ πρὸ τοῦ βασιλεῦσαι ἦν. ἐπεὶ δὲ ἡ τὰ πάντα
διοικοῦσα πρόνοια καὶ διατάττουσα καὶ τοῦτον ἐκάθισεν εἰς τὸν
βασίλειον θρόνον τὸν δικαιότατον καὶ ὁσιώτατον βασιλέων, τί ἂν 103 D
τις πρῶτον καὶ μέγιστον εἰπεῖν ἔχοι ὧν τῆς ἀγαθῆς αὐτοῦ τύχης
καὶ προνοίας ἀπολαύομεν; ὃς ἁπάντων μὲν κεκινημένων καὶ μεθ-
ισταμένων, ὡς ἔπος εἰπεῖν, εἰς ἑτέραν γῆν, σαλευούσης δὲ τῆς ἀρ-
χῆς ὥσπερ ἐν μεγάλῳ χειμῶνι ἢ σεισμῷ, κᾆτα ὥσπερ νεὼς κατα-
δύεσθαι μελλούσης ἀποφερομένης πρὸς ἔσχατα γῆς, οὗ καὶ πρότερον
ἀπεπλανήθησάν τινες τῶν ἐν ἀρχαῖς καὶ βασιλείαις γενομένων
κἄπειτα ὥσπερ ἐν λαβυρίνθῳ πολλαῖς καὶ χαλεπαῖς ἀπορίαις
ἐντυχόντες τελευτῶντες αὐτοὺς ἀπεῖπον, ἀποκλεισθέντες τῆς ὀπίσω
ὁδοῦ ἐπανελθεῖν μὴ δυνηθέντες, ταῦτα ὁρῶν οὐχ ὡς ἄπειρος
κυβερνήτης εἴασεν ὅπως ἔτυχε φέρεσθαι οὐδὲ κινδυνεύειν, ἀλλ'
ὡς ἂν ἐμπειρότατος βασιλέων καὶ γνώμῃ προέχων πρῶτον μὲν

2 προσγενομένων Rsk.: γενομένων O; cf. p. 257, 26. 28 ἐκ παιδείας — προσειληφώς et Isocr. IX 23 προσεγένετο 3 μὲν] respondet δὲ v. 17 4 τοῦτο sic O, respondet τί v. 5; τούτῳ Junt. (edd.) 6 αὑτῶν S^1CD 7. 8 καθωσίωτο sic O (-θω- ex -θο- U^1) 9 ὄντωσ S a. ras. 10 ἀλλὰ καὶ πολλὴν D 11 ἐγγενομένην S^1CD: ἐγγινομένην UTS^2 13 αὐτοῦ] αὐτῆς ci. Rsk.[2], cf. ad v. 16 14 ἀπιθὲσ S^1 15 συνεχεῖσ καὶ βιαίουσ καὶ ἀλόγουσ D 16 αὑτῷ CS^2; αὑτῇ ci. Canter 17 δὲ δὴ ἡ C 19. 20 τίσ ἄν τι D 20 ἔχοι] ο in ras. U m. inc., ἔχει D 25 γενομένων $DUTS^2$: γινομένων S^1C 26 καὶ ἔπειτα C 27 αὑτοὺσ S^1CDU; soloecismum αὑτὸν ἀπαγορεύειν notat Schmid p. 226 29 ὅπως] ὥσπερ D οὐδὲ] οὐ S^1 30 προ/έχων S

ἐπέσχε καὶ ἔπαυσεν τῆς ἐκεῖσε ὁρμῆς, ἔπειτα κατέστησεν εἰς ὅρμον
ἄγων. καὶ νῦν ἡ μὲν ἐν ἀσφαλεστάτῳ ὁρμεῖ, ὥσπερ ναῦς ἐκ πολλοῦ 15
καταστᾶσα χειμῶνος, ὁ δὲ οὕτως ἐξηγεῖται καὶ διέπει τὸ τῆς ἀρχῆς,
ὅνπερ χρὴ τρόπον τὸν εὐσέβειαν μὲν καὶ δικαιοσύνην, ἔτι δὲ σω-
φροσύνην καὶ ἐγκράτειαν καὶ φρόνησιν καὶ τὴν ἄλλην κοσμοῦντα
ἀρετήν. ἤρξατο μὲν γάρ, ὥσπερ προσήκει, ἀπὸ εὐσεβείας, διεξῆλθε
δὲ καὶ διὰ τῶν ἄλλων μερῶν τῆς ἀρετῆς. τίς μὲν γὰρ δικαιοσύ-
νης, τίς δὲ φιλανθρωπίας, τίς δὲ τῆς ἄλλης ἀρετῆς τοσαῦτα δείγ-
ματα καὶ τοιαῦτα ὅσα καὶ ⟨οἷα⟩ ὁ βασιλεὺς οὗτος ἐξήνεγκεν;
Καὶ πρῶτόν γε τὴν εἰς χρήματα δικαιοσύνην αὐτοῦ θεασώ- 16
μεθα. τῆς γὰρ συντάξεως ὑπερβαλλούσης τῆς εἰς τὴν διοίκησιν
61 J συντεταγμένης καὶ φόρων ἐπιταχθέντων πλειόνων καὶ οὐδὲ τούτων
104 D ἀρκούντων, ἀλλὰ κεκενωμένων μὲν τῶν πανταχοῦ ταμιείων, ἀεὶ δὲ
μείζονος ὄντος τοῦ περὶ τοῦ μέλλοντος φόβου, οὐ τοῦ πλείονος
ἐδεήθη οὐδ' ἐζήτησεν οὐδὲ διὰ χρήματα κακὸς ἐγένετο, ἀλλ' ἀνῆκε
καὶ ἐπεκούφισεν, οὐ μόνον δικαιότατος, ἀλλὰ καὶ φιλανθρωπότατος
βασιλέων περὶ ταῦτα γενόμενος. καὶ τοιοῦτος μὲν εἰς χρήματα.
τὴν δὲ πρὸς τὰς δίκας δικαιοσύνην καὶ φιλανθρωπίαν τίς ἂν ἀξίως 17
ἐπαινέσειεν; τίς γὰρ Ῥαδάμανθυς ἢ τίς Αἰακὸς οὕτω δίκαιον
ἑαυτὸν πρὸς ἅπαντα δικαστὴν διεφύλαξεν; μᾶλλον δὲ τὸ μὲν δίκαιον
οὐκ ἀεὶ οὐδὲ πανταχῇ φιλάνθρωπον, ὁ δὲ τὸ μὲν δίκαιον ἀκριβῶς
οἶδεν, ὡς αὐτὸς νομοθέτης ὢν καὶ εὑρετὴς αὐτοῦ, οὐδὲν δὲ ἔξω
τοῦ δικαίου ποιῶν, ὅμως αὐτῷ τούτῳ βεβαιοῖ τὴν φιλανθρωπίαν,
ὥστε δικαιοσύνην τὴν ἀκριβεστάτην ταὐτὸν δύνασθαι φιλανθρωπίᾳ
τῇ καθαρωτάτῃ. τούτου δὲ αἴτιον ὅτι οὐκ εἰς ἑτέρους ὁρῶν ἑρ- 18
μηνέας οὕτω λαμβάνει τὸ δίκαιον, ἀλλ' αὐτὸς ἔχων ἐκ παιδείας
τῶν ὡς ἀληθῶς καλῶν καὶ [τῶν] ἀγαθῶν ἐπιστήμην τὴν ἀπὸ τῶν
νόμων ἐμπειρίαν προσειληφώς, ὥστε μή τι τῶν γεγραμμένων δια-
φεύγειν αὐτόν, οὕτως τὰς κρίσεις ποιεῖται περὶ πάντων. οὐδεὶς 19
γοῦν ἔστιν ὅστις οὐ τῶν δικαίων ἀπῆλθεν τυχών, οὐδ' ἐμέμψατο
τῶν κριθέντων ὑπ' αὐτοῦ, οὔτε διώκων ἡττηθεὶς οὔτε φεύγων

---

3 καταστήσασα C 4 τὸν T: τὴν SCDU (sustuli distinctionem ante τὸν) ἔτι δὲ σωφροσύνην om. C δὲ] δὲ καὶ D 5 κοσμοῦντα C: κόσμου γε SDUT 7 τίς μὲν — 8 ἀρετῆς om. D 8 τίς δὲ φιλανθρωπίας et τῆς om. C 9 οἷα add. S^2 (ci. Canter): om. O 12 φόρων sic O 18 πρὸς] fort. περὶ, quanquam cf. p. 260, 5 19 τίσ γὰρ αἰακὸσ ἢ τίσ ῥαδάμανθυσ U 21 τὸ δίκαιον μὲν U; 'summum ius summa iniuria' 24 δικαιοσύνην CS^2U^2 (ci. Canter): δικαιοσύνησ S^1DU^1T 26 ἀλλὰ C 27 τῶν ante ἀγαθῶν secl. Rsk.[2] 28 νόμων ἐμπειρίαν $DUTS^2$: νόμων καὶ ἐμπειρίαν C, νόμων ὧ ἐμπειρίαν S^1 μή τι] μήτε D 29 οὕτω CU 30 οὐδ'] οὐδὲ C 31 ὑπ' Baroc. misc. 116 (ci. Canter): ἐπ' O prius οὔτε] τ in ras. S^2; οὐδὲ C posterius οὔτε] οὐδὲ C

*ἁλούς, ἀλλὰ στέργοντες ἀμφότεροι καὶ προσκυνοῦντες ἀπέρχονται,
καὶ τὴν αὐτὴν ψῆφον περὶ τῶν ἐγνωσμένων ὅ τε ἡττηθεὶς καὶ ὁ νική-
σας φέρει. κἂν ἄρα συμβῇ τισι τὴν τιμωρίαν ὑποσχεῖν, οὐ τὸ παθεῖν* 105 D
*καὶ δοῦναι δίκην δεινὸν νομίζουσιν, ἀλλὰ μὴ μείζω προσπαθεῖν κέρδος
τίθενται· οὐ γὰρ μῖσος αὐτῷ τῶν δεδρακότων αἱ τιμωρίαι δύνανται,
ἀλλὰ παιδείαν, μάλιστα μέν, εἴ πως οἷόν τε, καὶ αὐτῶν, εἰ δὲ μή,*
20 *τῶν ἀκουσομένων. εἰ δ᾽ αὖ τὸ φιλέλληνα εἶναι καλὸν καὶ πρέ-
πον βασιλεῖ, τούτῳ προσήκων ὁ ἔπαινος· οὕτω γὰρ σφόδρα φιλ-
έλλην ἐστὶν ὁ βασιλεὺς καὶ τοσοῦτον αὐτῷ περίεστιν τούτου τοῦ* 62 J
*καλοῦ ὥστε ἠμελημένης τῆς τῶν Ἑλλήνων παιδείας καὶ καταπε-
φρονημένης, ἀνῃρημένων δὲ τῶν ἐπ᾽ αὐτῇ τιμῶν, παρεωσμένου δὲ
καὶ ἐν οὐδενὸς ὄντος μέρει παντὸς τοῦ Ἑλληνικοῦ, οὐκ ἠμέλησεν
ὁ βασιλεύς, ἀλλὰ πρὸς ταῖς ὑπαρχούσαις τιμαῖς καὶ ἄλλας προσ-*
21 *έθηκεν. καὶ περὶ μὲν δικαιοσύνης τοσαῦτα. Φιλανθρωπία γε
μὴν τίς μείζων ταύτης καὶ φανερωτέρα, ἣ κατεπτηχὸς ἅπαν τὸ
ὑπήκοον καὶ ὑπὸ φόβου δεδουλωμένον, πολλῶν τῶν κατηκόων
περιόντων καὶ ὠτακουστούντων κατὰ πάσας τὰς πόλεις εἴ τις
φθέγξαιτό τι, ἐλεύθερον δὲ οὐδὲν οὔτε φρονῆσαί τι οὔτε εἰπεῖν
οἷόν τε ὄν, ἀνῃρημένης τῆς σώφρονος καὶ δικαίας παρρησίας, τρέ-
μοντος δὲ ἑκάστου σκιάν, ἀπήλλαξε τοῦ φόβου τούτου καὶ ἠλευ-
θέρωσε τὰς ἁπάντων ψυχάς, ἐντελῆ καὶ ὁλόκληρον ἀποδιδοὺς τὴν*
22 *ἐλευθερίαν αὐτοῖς. ὃ τοίνυν μέγιστον τῆς τοῦ βασιλέως φιλαν-
θρωπίας καὶ κρεῖττον ἅπαντος παραδείγματος· ὢν γὰρ τηλικοῦτος* 106 D
*ὁ βασιλεὺς ἡμερότητι καὶ ἐπιεικείᾳ διενήνοχεν ἁπάντων βασιλέων,
ὥστε μικρὸν μὲν οἷα 'πατήρ', μικρὸν δὲ οἷα 'ποιμὴν τῶν λαῶν'
εἰπεῖν εἶναι καὶ πάντα ὅσα ποιηταὶ δυνάστας ὑμνοῦντες ἐφθέγ-*

---

3 *φέρει*] *φαίρεται* C 4 *ἀλλὰ ⟨τὸ⟩ μὴ* malim 5 *αὐτῶν* DU^1 7 *τὸ* om. S^1 8 *τούτωι* C: *τῶ* SDUT, unde *τῷ — ἔπαινος ⟨οὕτως⟩; οὕτω* Jacobs, Lect. Stob. p. 63 sq. *προσήκων* UT^1 p. corr. S^2: *προσῆκον* CS^{1}DT^1 a. corr. 15 *φανωτέρα* C (*ω* in *ο* radendo corr.; Junt.) 16 *καὶ* om. S^1 *κατηκόων*] delatores dicit (cf. Herodot. I 100) 17 *περιϊόντων* T p. corr. DUS^2 *ὠτακουσθούντων* T^1 18 *φθέγξοιτό* D *φρονῆσαι ἔτι οὔτε* ci. Wil. 19 *ἀνῃρημένης ⟨μὲν⟩ τῆς* Rsk. 21 *ἀποδιδοὺσ* D: *ἀποδοὺσ* SCUT 22 *ὃ* DUTS^{2}C mg.: *ὅτι* S^{1}C; in mag. C pr. m. litteris uncialibus add. vv. 22 *ὃ τοίνυν μέγιστον* — 23 *ὢν γὰρ τηλικοῦτοσ ὁ βασιλεὺσ* — 24 *βασιλέων. ταῦτα*(-*τα* evanidae) *οἴκοθεν ἐπηνω⟨ρ⟩θώθη ἑτέρου βελτ/ίονοσ· τοῦ ἀφ᾽ οὗπερ μετεγράφη* (*μεταγραφῆ* C) *μὴ ε⟨ὑ⟩ρεθέντοσ*; cf. praef. 23 *γὰρ* DUTS^{2}C mg.: *καὶ* S^{1}C 24 *ὁ* DUTS^{2}C mg.: om. S^{1}C 25 alterum *οἷα*] *ὁ* C *λαῶν* Rsk.^{2} (cuius nescius iterum Jacobs ad Ach. Tat. p. 767): *ἄλλων* O 26 *ὑμνοῦντες* Rsk.: *ἡμεροῦντεσ* SDUT, *ἡμεροῦντασ* C

ξαντο. τίνα γὰρ τρόπον ἐπιεικείας παραλέλοιπεν; οὐ κοινό- 23
τατος μὲν ὁ τρόπος τῆς φιλανθρωπίας αὐτοῦ πρὸς ἅπαν τὸ
ὑπήκοον καὶ τοὺς ἐπὶ πάσης προφάσεως ἐντυγχάνοντας, ἡ δὲ τοῦ
σχήματος αὐτοῦ πραότης ὡς φιλάνθρωπος καὶ τῆς διαλέκτου τὸ
εὔκρατον καὶ τὸ μηδὲν δεῖν ἕνεκα τῆς προσόδου πραγματεύεσθαι,
ἀλλ' ὑπάρχειν ὥσπερ εἴσω περιραντηρίων παριέναι τοῖς τι καὶ
μικρὸν συνειδόσιν ἑαυτοῖς ἀγαθόν, πῶς οὐ πάσης ἐπέκεινα πρα-
ότητος καὶ φιλανθρωπίας; οὐ γὰρ τῷ σπάνιον καὶ δυσπρόσοδον 24
παρέχειν ἑαυτὸν ἡγεῖται τὴν τοῦ μέγας καὶ θαυμαστὸς καὶ τοιοῦτος
οἷος μηδεὶς ἄλλος πώποτε ἐγένετο δόξαν ἀποίσεσθαι [*βασιλεύς*],
ἀλλ' οὕτως ἂν μάλιστα βεβαιοῦν τὴν τοῦ τοιοῦτος εἶναι προσ-
ηγορίαν, εἰ τὴν παρ' αὐτοῦ εὔνοιαν καὶ φιλανθρωπίαν κοινὴν ἅπασι
63 J *τοῖς δεομένοις παρασκευάσεται, οἰόμενος δεῖν τὸν ὡς ἀληθῶς*
107 D *βασιλέα τῷ τῶν ὅλων ἀπεικάσθαι βασιλεῖ κατά τε τὴν φιλαν-*
θρωπίαν καὶ τὴν πρόνοιαν ἁπάντων τῶν ἀρχομένων, καὶ μὴ πρὸ
μὲν τῆς βασιλείας χρηστόν τι καὶ μέτριον ἦθος ἐμφαίνειν ἑαυτοῦ,
βασιλέα δὲ ἀποδειχθέντα χαλεπὸν καὶ βίαιον εἶναι περὶ τοὺς ἀρχο-
μένους· οὐ γὰρ βασιλείας σχῆμα εἶναι τὸ τοιοῦτον ἐπιεικοῦς,
ἀλλὰ σκαιότητος καὶ ἀπαιδευσίας ἔλεγχον φανερώτατον. οἷος ἦν καὶ ὁ 25
τῶν Λακεδαιμονίων στρατηγὸς ὁ τοῖς Ἕλλησι πρὸς τοὺς βαρβάρους
ἡγησάμενος, Παυσανίαν λέγω τὸν Κλεομβρότου, ὃς οἴκοι μὲν ὢν ἐδύ-
νατο σωφρονεῖν, πλεύσας δὲ εἰς Ἑλλήσποντον ἐπελέληστο μὲν τῶν
οἴκοι, ἐπελέληστο δὲ αὑτοῦ, παντὶ δὲ μᾶλλον ἐῴκει ἢ ἀνδρὶ Σπαρτιάτῃ,
χαλεπὸς μὲν ὢν καὶ βίαιος περὶ τοὺς συμμάχους, ἀκόλαστος δὲ καὶ
ὑβριστὴς περὶ τὴν δίαιταν, τυραννικὸς δὲ περὶ τὸν τρόπον. ὁ δ' 26
ἐπέδειξεν ὅτι καὶ ἰδιώτην ὄντα καὶ βασιλέα οἷόν τέ ἐστι τὸν αὐτὸν
εἶναι διὰ τέλους, τοιοῦτον μὲν πρὸ τῆς βασιλείας παρασχὼν ἑαυτὸν
ὥστε δικαίως ἀξιωθῆναι ταύτης, ἐν δὲ τῇ βασιλείᾳ τῷ αὐτῷ νοῒ

---

1 *οὐ* C: *οὗ* SDUT 3 *ἡ δὲ — φιλάνθρωπος*] 'in maiestatis (dignitatis) illius specie humanitas quanta' 4. 5 *τὸ εὔκρατον τῆς διαλέκτου*] cf. M. Anton. I 15 *τὸ εὔκρατον τοῦ ἤθους καὶ μειλίχιον* et Plat. symp. 203 A *ἡ ὁμιλία καὶ ἡ διάλεκτος θεοῖς πρὸς ἀνθρώπους* (Theaet. 146 B) 6 *περιραντηρίων* S¹C: *περιρραντηρίων* DUTS²; cf. p. 195, 21 8 *τῷ σπάνιον* Rsk.: *ὡσπάνιον* S¹, *ὡς σπάνιον* CDUTS² 9 *παρέχειν* S¹C (ci. Rsk.): *παρέχων* DUTS² 10 *βασιλεύς* secl. Wil. (ut ipse quoque antea; post ⟨*ὁ*⟩ *βασιλεύς* praetuleram); *βασιλεὺς* ⟨*εἶναι*⟩ Rsk. 12 *εἰ*/*τὴν* C *αὐτοῦ* S²: *αὑτοῦ* O 13 *οἰόμενος — βασιλεῖ*] cf. Aristid. or. XXIII § 79; XXVII § 35 18 *τοιοῦτο* SDT 19 *καὶ* ante *ὁ* om. C 20 *λακεδαιμονίων* sic O 21 *μὲν ὢν* C: *μένων* SDUT 22 *ἑλλήσποντον οὐκ ἐπελέληστο* C 23 *ἐπελέληστο δὲ αὐτοῦ* om. U *αὐτοῦ* S¹T a. corr., *ἑαυτοῦ* C 28 *νοὶ* SCDT: *νῷ* U, interpolatus (*νῷ* ⟨*τε*⟩ *καὶ* Rsk.²)

καὶ τρόπῳ χρώμενος, οὐκ ἐκστὰς ἑαυτοῦ οὐδὲ ζηλώσας τὴν ἀκολασίαν, ἀλλὰ τὸν σώφρονα βίον ἑλόμενος, τὴν μὲν ὕβριν καὶ παρανομίαν μισήσας, παράδειγμα δὲ σωφροσύνης ἑαυτὸν παρασχών, ὥστε τοὺς τέως ἀσελγεῖς καὶ ὑβριστὰς μεταθέσθαι τὸν τρόπον ὁρῶντας αὐτοῦ τὴν σωφροσύνην, καὶ τῆς τε πρὸς τὰ χρήματα ἐπι-
27 *θυμίας παύσασθαι καὶ πρὸς τὸ σωφρονέστερον διαθεῖναι.* Καὶ
μὴν καὶ ὅσαι ἡδοναὶ ἄρχουσιν ἀνθρώπων οὐδεμιᾶς ἴσμεν ἡττημένον τὸν βασιλέα. τοσοῦτον γὰρ ἀπέσχεν αὐτῶν εὐθὺς ἐξ ἀρχῆς ὥστε, εἴ τίς ἐστιν ἐγκράτεια κατ᾽ ἀνθρώπους ὑμνουμένη, ταύτην περὶ 108 D
τούτου μόνου λεγομένην πιστὴν εἶναι δοκεῖν. τίς μὲν γὰρ οὕτω γαστρὸς ἐγκρατής, τίς δὲ ἀφροδισίων, τίς δὲ τῶν ἄλλων ἡδονῶν; οὐ γάρ, ὥσπερ ἔφην ἀρτίως (§ 15), *ἐξ ἡμισείας ἔσχε τὴν ἀρετήν, οὐδὲ ὥσπερ ἄλλοι τινὲς βασιλεῖς πρός τε ἀνδρείαν καὶ φιλαν-* 64 J
θρωπίαν ἐπιεικῶς ἔχειν δόξαντες ἀκολαστότατοι περὶ τὰς ἡδονὰς καὶ τὰς ἐπιθυμίας ὄντες ἐφάνησαν, οἷον Ὅμηρος ἐγκωμιάζων τὸν τῶν Ἀχαιῶν στρατηγὸν Ἀγαμέμνονα, ʽἀμφότερον, φησί (Γ 179),
28 *βασιλεύς τ᾽ ἀγαθὸς κρατερός τ᾽ αἰχμητής᾽. φαίνεται δ᾽ ⟨αὐτὸς⟩ οὗτος παρ᾽ αὐτῷ ἡττημένος μὲν Χρυσηίδος, ἐρῶν δὲ Βρισηίδος τῆς Ἀχιλλέως, διὰ δὲ ταύτην τὴν ἐπιθυμίαν πολλῶν καὶ μεγάλων κακῶν αἴτιος τοῖς Ἀχαιοῖς γενόμενος. ὁ τοίνυν Ἀχιλλεὺς ὁ τῆς Θέτιδος καὶ τοῦ Πηλέως οὕτως ἀκόλαστος ἦν περὶ τὰς ἡδονὰς καὶ μικροπρεπής, ὥστε ἀπελθούσης τῆς Βρισηίδος παρ᾽ αὐτοῦ καὶ χρόνον τινὰ ποιησάσης παρ᾽ Ἀγαμέμνονι παραχρῆμα μὲν οὕτως διετέθη ὥστ᾽ ἔκλαεν ὁρῶν ʽἐπὶ οἴνοπα πόντον᾽ καλῶν τὴν μητέρα, ὥσπερ παιδάριον πεπονθὸς τοῦτο ὑπὸ ὁμοίου ἑτέρου· ἐλθούσης δὲ τὴν πρόφασιν τῶν δακρύων διηγούμενος καὶ κελεύων αὐτὴν δεηθῆναι τοῦ Διός, ὅπως ἂν τοῖς Τρωσὶ σύμμαχος γενόμενος κακὰ μέγιστα ἐργάσηται τοὺς Ἕλληνας, μετὰ ταῦτα ὁρῶν πολλοὺς πί-*

---

5 *αὐτοῦ καὶ τὴν* C *πρὸς τὰ*] *περὶ τὰ* U; cf. p. 257, 18 6 *διαθεῖναι* scripsi (sc. *τὰς ἐπιθυμίας*): *διατεθῆναι* O 7 *ἴσμεν ἡττημένον τὸν* SUT: *ἴσμεν ον τὸν* C, *ἴσμεν τὸν* D 8 *ἐπέσχεν* C 11 *γαστρὸσ* C (ci. Rsk.): *τὰ γαστρὸσ* SDUT 13 *ἀνδρίαν* DUS p. ras., idem *ἀνδρίασ* p. 261, 25 16 *στρατηγὸν τὸν ἀγαμέμνονα* C *φησί* om. C 17 *βασιλεύσ τ᾽ ἀγαθὸσ κράτερόσ τ᾽* C (Hom.): *βασιλεύσ τ᾽ ἀγαθὸσ καὶ κρατερὸσ* ST, *βασιλεὺσ ἀγαθὸσ καὶ κρατερὸσ* DU *δ᾽* DU: om. SCT; *δ᾽* fort. coniectura *αὐτὸς* addidi dubitanter *οὗτος*] *οὐ* C, i. e. $\overset{\tau}{\text{ου}}$ 18 *αὐτῶι* C *βρησηΐδοσ* C, item v. 22 20 *γιγνόμενος* ci. Wil.; intellego: ʽeo quod . . . amavit, factus est᾽ 22 *αὐτοῦ* C 23 *χρόνον — ποιησάσης*] cf. Demosth. XIX 163 *οὐδ᾽ ἐποίησαν χρόνον*, quae Blass (ad. h. l.) bene tutatus est *οὕτω* CU 24 *ὁρῶν — πόντον*] Hom. *Α* 350 *καλῶν*] *παρακαλῶν* C 25 *πεπονθὼσ τοῦτο υπομοιετερον* C 27 *τοῖσ* C: om. SDUT; cf. *τοὺς* v. 28 28 *ταῦτα* C: *ταῦτα δὲ* SU, *δὲ ταῦτα* D

πτοντας τῶν Ἀχαιῶν ἑκάστοτε ὑπό τε τῶν Τρώων καὶ ὑφ᾽ Ἕκτορος,
καί τινων ἑταίρων αὐτοῦ καὶ φίλων ἀποθνησκόντων, οὐκ ἐπι-
στρεφόμενος οὐδὲ ἐλεῶν ..... ἐκεῖνοι μὲν οὖν πολλὰ 29
ἐνδεῶς ἔσχον πρὸς ἀρετήν, ὁ δὲ ʽἀμφότερον, βασιλεύς τ᾽ ἀγαθὸς
κρατερός τ᾽ αἰχμητήςʼ. ὁ γὰρ τοσοῦτον ὑπεριδὼν τῶν ἡδονῶν ὥστε
109 D μηδεμιᾶς ἡττηθῆναι αὐτῶν, πῶς οὐχ οὗτός ἐστιν ὁ τῷ ὄντι ἀν-
δρεῖος καὶ σώφρων καὶ καρτερός; τείχη μὲν γὰρ ἀνάλωτα πολλάκις
εἶναι δοκοῦντα καὶ φαῦλοι ὄντες εἷλον ἤδη τινές, ὑπὸ δὲ τῶν
ἡδονῶν πολλοὺς καὶ τῶν πάνυ ἀγαθῶν ἀνδρῶν κρατουμένους ὁρῶ.
βίου δὲ εὐκολίαν καὶ διαίτης εὐτέλειαν τίς οὕτως ἀνδρεῖος ὥστε
ῥᾳδίως οὕτως δύνασθαι ἂν ὑπενεγκεῖν; καὶ μὴν τὰ μὲν πρὸς πο- 30
λεμίους ἀνδρείοις πολλοῖς ὑπῆρξε γενέσθαι, ὑπὸ δὲ τῶν σφετέρων
στρατιωτῶν αὐτοὺς ἄρχεσθαι· ὁ δὲ οὕτως ῥᾳδίως ἐκράτησε καὶ
65 J κατεστήσατο ὥστε πολλῶν μὲν καὶ ἀπείρων ὄντων τῶν διδομένων
αὐτοῖς, χαλεπῶν δὲ καὶ φοβερῶν, εἰ μὴ τοσαῦτα λαμβάνοιεν καὶ
ἔτι πλείω [τῶν διδομένων αὐτοῖς], ..., οὐχ ὅπως ἐπηύξησεν τὰς
ἐπιθυμίας αὐτῶν, ἀλλ᾽ ὁρίσας τὸ δέον τοὺς μὲν στρατιώτας πρὸς
τοὺς πόνους καὶ τὴν ἄσκησιν τῶν σωμάτων ἀμείνους ἐποίησεν,
οὐκέτι τῷ λαμβάνειν αὐτοὺς ἐάσας προσέχειν, ἀλλὰ τὴν μελέτην
τῶν πολεμικῶν αὐτοῖς συνήθη ποιήσας, οὐδὲ ἐν ἡδυπαθείᾳ καὶ
τρυφῇ ὄντας διάγειν, ἀλλ᾽ ὅπως μηδένα καιρὸν ἕξουσιν ἐπιθυμίας
τῆς τοιαύτης. τοῦτο ποιήσας ἐπήμυνε μὲν ταῖς τῶν ἀρχομένων
ἐνδείαις, ἐπεμελήθη δὲ τῆς εὐταξίας τῶν στρατιωτῶν, τῶν δὲ χρη-
μάτων βεβαιοτέραν ἐποίησεν τὴν πρόσοδον. τούτων οὐκ ἂν γένοιτο
μείζω τεκμήρια ἀνδρείας ἅμα καὶ εὐβουλίας. Καὶ μὴν δεινότητος 31

---

1 ὑφ᾽] ὑπὸ C 3 οὐδ᾽ D lacunam indicavi: ἐλεῶν· ἐκεῖνοι — 4 ἔσχον SDUT, ἐλεῶν ἐκείνουσ· — ἔσχεν C; desidero e. g. ʽ⟨etiam atque etiam probavit, se omnino ea esse libidinum intemperantia, quae heroem dedeceat⟩. illi (Agamemno et Achilles) igiturʼ q. s.; contra Wil. totum locum sic constitui mavult: p. 260, 20 ὁ τοίνυν Ἀχιλλεὺς — 21 ἀκόλαστος ὢν (pro ἦν) περὶ — 25 ἑτέρου, ἐλθούσης — 28 Ἕλληνας, μετὰ δὲ (e D) ταῦτα — 261, 3 ἐλεῶν. ἐκεῖνοι, ut participium ὢν (pro ἦν) ex φαίνεται p. 260, 17 pendeat ceteraque cuncta usque ad finem participia illi liberius apta sint; ego cum desiderem notionem quae v. παραχρῆμα p. 260, 23 opposita sit, hiare orationem persuasum habeo 4 ἀμφότερον scripsi: ἀμφότερα O; cf. p. 260, 16 7 μέν γε πολλάκισ ἀνάλωτα C 11 οὕτω CU μὲν om. D 11. 12 πολεμίους] ίουσ in ras. U², πολεμικοὺσ C 12 ἀνδρείοισ DT et p. ras. et S et U: ἀνδρεῖοι C, ἀνδρείουσ a. ras. et S et fort. U 13 ἄρχεσθαι C (ci. Rsk.): ἄρχεσθαι ἢ κρατεῖν SDUT; an ⟨μᾶλλον⟩ ἢ κρατεῖν? οὕτω CU 16 τῶν διδομένων αὐτοῖς indicata lacuna seclusi; glossema ad πλείω, quod veram lectionem, fort. γιγνομένων τῶν στρατιωτῶν, extrusit; donativum dicit ἐπηύξησε C(-ν)DU: ἐπηῦξε ST 17 ἀλλὰ C 20 αὐτοῖσ] οῖσ ex -οὺσ (sic) corr. D[1] συνήθεισ D ηαύπλοια (i. e. ΗΔΥΠΑΘΙΑ) C

καὶ σοφίας τοῦτ᾽ ἄν τις τεκμήριον εἰκότως αὐτοῦ ποιήσαιτο. τὸ
μὲν γὰρ βιασάμενον καὶ καταναγκάσαντα στέργειν παρασκευάσαι 110 D
φόβῳ καὶ οὐ γνώμης περιουσίᾳ ἐστὶν οὕτως ἔχειν αὐτοὺς πεποι-
ηκέναι, τὸ δὲ ἀπλήστως πρὸς χρήματα καὶ τὸ λαμβάνειν διακει-
μένους πεῖσαι μετριάζειν οὐκ ἄν, οἶμαι, ῥαδίως ἐδυνήθη, εἰ μὴ
32 νοῆσαι καὶ εἰπεῖν ὑπὲρ ἅπαντας ἦν. φρονήσεως δὲ πολλὰ μὲν
καὶ ἄλλα ἔργα ἐν τῇ βασιλείᾳ παρέσχηται, κάλλιστον δὲ καὶ
πλείστου ἄξιον ἡ πρὸς τοὺς πολέμους εὐβουλία τε καὶ σύνεσις τοῦ
βασιλέως, ὅτι ὁρῶν ἐν τοῖς πολέμοις τοὺς δεινοὺς καὶ πολεμικοὺς
εἶναι δοκοῦντας οἰομένους δεῖν τῷ μάχεσθαι νικᾶν, ἀλλ᾽ οὐχὶ τῷ
καλῶς βουλεύεσθαι, οὐκ ἐμιμήσατο ἐκείνους οὐδὲ ἐζήλωσεν, ἡγού-
μενος δεῖν πρὸς μὲν τοὺς ὁμοίους χρῆσθαι τοῖς ὅπλοις — καλὸν
γὰρ τοὺς τοιούτους ἀνδρείᾳ νικᾶν —, πρὸς δὲ τοὺς βαρβάρους τῷ
33 εὖ βουλεύεσθαι. οἶδεν γάρ, οἶμαι, καὶ τὸν τὰς πολλὰς μυριάδας
ἐπὶ τοὺς Ἕλληνας ἀγαγόντα καὶ ὃν οὔτε γῆ οὔτε θάλαττα ἐχώρει
ἱκανῶς ἑνὸς ἀνδρὸς γνώμης ἡττηθέντα. ὅπου γὰρ ἔστι βουλευσά-
μενον περιγενέσθαι, τί δεῖ ἐνταῦθα κινδύνων; ἔτι τοίνυν τὸ μὲν 66 J
νικᾶν ἐν ταῖς μάχαις καὶ τοῖς φαύλοις πολλάκις περιγίγνεται, φρο-
νήσει δὲ καὶ σοφίᾳ κρατεῖν δύνασθαι μόνων ἐστὶ τῶν εἰδότων
34 βουλεύεσθαι. καὶ μὴν οἱ μὲν τὴν ἀνδρείαν ἐπὶ παντὸς καιροῦ καὶ
πάσης προφάσεως ἀποδείκνυσθαι βουλόμενοι τυχόντες μὲν κατ- 111 D
ώρθωσαν, ἡττηθέντες δὲ συμφοραῖς μεγίσταις ἑαυτοὺς καὶ τοὺς
φίλους περιβάλλουσιν, οἱ δὲ γιγνώσκοντες τὰ δέοντα καὶ λογιζόμενοι
κατορθώσαντες μὲν τυγχάνουσιν οὐδὲν ἧττον ὧν ἐβουλήθησαν, δι-
αμαρτόντες δὲ οὐδὲν βλάπτονται. ἃ δὴ γιγνώσκων καὶ ὁ βασιλεὺς
οὐκ οἴεται δεῖν μιμεῖσθαι τοὺς ἀνοήτους καὶ ῥιψοκινδύνους τῶν
ἀνθρώπων, ἀλλὰ τῷ εὖ βουλεύεσθαι ἀσφαλὴς εἶναι πρὸς τοὺς

1 εἰκότως] om. C; εἰκότοσ S^1 αὐτοῦ C: αὐτὸ SDUT 2 post παρασκευάσαι add. αὐτοὺσ οὐκ ἡδυπαθεία καὶ τρυφῇ, ἀλλ᾽ ἐν διηνεκεῖ μελέτῃ τῶν ὅπλων U (Baroc. 116), e p. 261, 19 sqq. 3 αὐτοὺσ ἔχειν U οὕτωσ ἔχειν — πεποιηκέναι deleta vult Rsk., potius notanda impedita et perplexa dicendi ratio scriptoris, cui convenit perfectum (πεποιηκέναι) pro praesente usurpatum 5 ἠδυνήθη U 6 νοῆσαι — ὑπὲρ ἅπαντας ἦν] constructio κατὰ σύνεσιν, cuius alterum exemplum non inveni καὶ om. C 7 παρέσχετο U 8 πλείστου C: πλείστου ἐπαίνου SDUT 13 ἀνδρία DUS^2 14 οἶδεν C: ᾔδει SDUT; cf. οἴεται v. 26 τὸν om. C 15 θάλασσα SCDT 18 περιγίγνεται Baroc. 116: περιγίνεται O 20 βουλεύσασθαι, ut vid., U^1 ἀνδρίαν DUS^2 21 ἀποδείκνυσθαι S^1CT ('probare'): ἐπιδείκνυσθαι DUS^2 (prob. Rsk.^{2}), cf. p. 263, 2 ἐπέδειξεν ('insuper probavit') 23 γινώσκοντεσ CU 25 γινώσκων SDUT καὶ om. CU 27 βούλεσθαι D, εὐ βούλεσθαι C, corr. m. inc. ἀσφαλὲσ C, ἀσφαλῆ S^1

βαρβάρους. καὶ μὴν οὐδ' ἐν ταῖς μάχαις καὶ τοῖς ὅπλοις αὐτὸν 35 *ἐμέμψαντο οἱ πολέμιοι, ἀλλ' ἐπέδειξεν αὐτοῖς οὐ μόνον συνέσει καὶ τῇ ἄλλῃ παιδείᾳ, ἀλλὰ καὶ ἀνδρείᾳ κρατεῖν αὐτῶν δυνάμενος. ὅπου γὰρ Κελτοὶ μὲν οἱ μέγιστοι καὶ φονικώτατοι τῶν ὑπὸ ἡλίῳ πολλὰ δὴ καὶ παντοῖα τολμήσαντες νῦν προσκυνοῦσι τὸν δεσπότην, γνόντες τὸ τὴν ἡσυχίαν ἄγειν ὡς ἄμεινον ἦν καὶ ποιεῖν τὸ προσταττόμενον τοῦ πολεμεῖν, ... τοῦτο τὸ ὄνομα λείπεται μόνον τοῦ γένους· πᾶν δὲ ὅσον Εὐφράτου τε καὶ Τίγρητος ἐπέκεινα πρὸς ἀνατολὰς οἰκεῖ διακινηθὲν καὶ δὴ κατήρτυταί τε καὶ πεπαίδευται τοὺς κρείττους εἰδέναι. ἡσυχάζει δὲ πᾶσα ἤπειρος, γῆ δὲ καὶ* 36 *θάλαττα τὸν προστάτην στεφανοῦσιν, Ἕλληνες δὲ καὶ βάρβαροι ταὐτὸν ἤδη φθέγγονται, ἡ δὲ ἀρχὴ καθάπερ ναῦς τις ἢ τεῖχος ἐπεσκεύασταί τε καὶ ὠχύρωται καὶ τὸ αὑτῆς βεβαίως κεκόμισται ἀγαθόν· τίνα ταῦτα οὐχ ὑπερβέβληκεν ἀνδρείαν, ἢ τίς ἀμείνων καὶ λυσιτελεστέρα γένοιτ' ἂν ταύτης κατάστασις; οὐ πᾶσα μὲν* 37
112 D *ἄδεια πᾶσιν ⟨βαδίζειν⟩ ὅποι βούλεταί τις, πάντες δὲ [οἱ] πανταχοῦ*
67 J *λιμένες ἐνεργοί; οὐ τὰ μὲν ὄρη τὴν αὐτὴν ἔχει τοῖς ὁδεύουσιν ἥνπερ αἱ πόλεις τοῖς οἰκοῦσιν αὐτὰς ἀσφάλειαν, χάρις δὲ πάντα ἐπέχει πεδία, πᾶς δὲ διὰ πάντων λέλυται φόβος; ποῖοι μὲν γὰρ πόροι ποταμῶν κεκώλυνται διελθεῖν, τίνες δὲ θαλάττης ἀποκέκλεινται πορθμοί; νῦν καὶ πανηγύρεις φαιδρότεραι καὶ ἑορταὶ θεοφιλέστεραι· νῦν καὶ τὸ Δήμητρος πῦρ λαμπρότερον καὶ ἱερώτερον.*

Ὦ φῶς τῆς ἀνθρωπίνης εὐδαιμονίας· νῦν ἅπαντες ἄνθρωποι 38 *τὴν ἀληθῆ εὐδαιμονίαν εὑρηκέναι δοκοῦσιν. ὦ πάντας βασιλέας*

---

2 *ἐμέμψατο* D *ἐπέδειξεν*] *ξ* in ras. II litt. C[1], ut vid. 3 *ἀνδρίᾳ* CUS p. ras. 4 *ὑφ' ἡλίω* U 6 prius *τὸ* om. C *ἡσυχίαν ἀνάγειν* C 7 lacunam indicavi; qui modo imperatorem colere et revereri dicti sunt Celtae (Germani), ad eos vv. *τοῦτο τὸ γένος* referri nequeunt; praeterea verborum clades asyndeto indicatur. tertiae igitur gentis praeter Celtas (Germanos) et Parthos vel Persas memoria extabat, quam gentem radicitus ab imperatore extinctam esse rettulerat *τοῦτο τὸ* SCDT: *τοῦτο δὲ τὸ* U, interpolatus; ⟨*καὶ*⟩ *τοῦτο* ⟨*δὲ*⟩ *τὸ* Canter 9 *διακινηθὲν*] 'conquassatum', sc. *πολέμῳ*; cf. or. (I) Sicil. I p. 556, 12 Ddf. *διεκίνησε δ' αὐτὰ καλῶς ὁ πόλεμος* *κατήρτυταί* C (ci. Lobeck ad Phryn. p. 448): *κατήρτισταί* SDUT (ci. Rsk.[2] ex *κατήρτησταί* Junt.) 10 *τοὺσ κρείττονασ* U *πᾶσα ἡ ἤπειροσ* U 11 *θάλασσα* C 12 *ναῦς τις*] *ναύτησ* C 13 *αὐτῆσ* T[1] p. corr.: *αὐτῆσ* O *κεκόσμηται* C 14 *ἀνδρίαν* CDUT[1]S p. ras., idem *ἀνδρία* p. 264, 1 15 *γένοιτο* C 16 *βαδίζειν* addidi ('post *τις* videtur *ἰέναι* vel *πορεύεσθαι* desiderari' Rsk.[2]); cf. p. 121, 3; omnino § 36. 37 ad exemplum Aristid. or. XXVI § 99. 100 compositae *ὅποι* SCU: *ὅπη* DT; cf. v. l. p. 121, 3 *οἱ* seclusi 18 *πάντα*] *πάντασ* D 20 *θαλάσσησ* SCDT 21 *νῦν κτέ.*] redit ad § 1 22 *θεοφιλέστεροι* C

παρεληλυθώς, σοφίᾳ μὲν τοὺς σοφούς, ἀνδρείᾳ δὲ τοὺς ἀνδρείους, εὐσεβείᾳ δὲ τοὺς ἐπὶ ταύτῃ διαφέροντας, εὐτυχίᾳ δὲ τοὺς εὐτυχεστάτους· ἀνθ᾽ ὧν οὐκ ἂν γένοιτο ἀξία σοι χάρις παρ᾽ ἡμῶν οὔτ᾽ ἐν ἐπαίνοις οὔτ᾽ ἐν ἄλλῃ οὐδεμιᾷ τιμῇ.

39 *Σὲ δέ, ὦ παῖ γενναῖε γενναίων, κατ᾽ ἴχνος εἴη βαίνειν τοῦ πατρός. τοῦτο γὰρ ὥς γε ἐν βραχεῖ πλεῖστον εἰρήσθω.*

XXXVI.

(48) ΑΙΓΥΠΤΙΟΣ. II 487 D

II 331 J

Ἃ πρώην ἤρου με περὶ τοῦ Νείλου, ἐπειδή σοι διὰ βραχέων καὶ ἐπιπολῆς ἀπεκρινάμην καὶ ἅμα οἱ ἐπεισελθόντες ἀφείλοντο, ἐβουλήθην ἀναλαβὼν διελθεῖν σοι καὶ ὥσπερ ἄλλο τι χρέος ἀποδοῦναι πάντα τὸν λόγον· εἰρήσεται δὲ καὶ ταῦτα ὡς δυνατὸν ἐν βραχυτάτοις. ἐπειδὴ γὰρ καὶ μέχρι τῆς Αἰθιοπικῆς χώρας προελθὼν καὶ αὐτὴν διερευνησάμενος Αἴγυπτον τετράκις τὸ σύμπαν καὶ παρεὶς οὐδὲν ἀνεξέταστον, οὐ πυραμίδας, οὐ λαβύρινθον, οὐχ ἱερόν, οὐχὶ διώρυχας, ἀλλ᾽ ὧν μὲν ἐν ταῖς βύβλοις τὰ μέτρα ὑπῆρχεν ἐκεῖθεν πορισάμενος, ὧν δὲ μὴ ἐξ ἑτοίμου λαβεῖν ἦν ἐκμετρήσας αὐτὸς μετὰ τῶν παρ᾽ ἑκάστοις ἱερέων καὶ προφητῶν,

---

Oratio XXXVI: libri ASDUT = O

---

3. 4 *οὔτε ἐν* S, *οὔτ᾽ ἐν* U: *οὔτε* CDT 4 *οὔτ᾽* U 5 *ὦ παῖ* TU (at *-ῆ σὲ δ᾽ ὦ παῖ γ-* in ras. pr. m.) S²C m. recentiss.: *ὠδαὶ* S¹C¹, *ὦ* D *εἴη* om. S¹ 6 *γε*] *τε* D *πλεῖν εἰρῆσθαι* C. — Subscr. *λόγοσ* (om. T) *εἰσ βασιλέα* CT

Tit. om. D; titulum testatur Proclus in Plat. Tim. 37 D, cf. ad p. 274 11 *ἐπειδὴ γὰρ*] apodosin reddit p. 265, 2 *τοῦτό γ᾽*; sententiam (propter Rsk.) moneo hanc esse: integram rei rationem tibi reddere volui; sed cum commentarii mei perierint (cf. or. XLVIII § 3 ex.), partem tantum absolvere licet; pauca ergo habeo, sed vel pauca haec absolvam paucis (v. 10 *εἰρήσεται δὲ κτέ.*) *αἰθιωπικῆσ* S a. ras. 13 *παρεὶσ οὐδὲν ἀνεξέταστον — αὐτὴν διερευνησάμενος — σύμπαν*] cf. Isocr. IX 42 *οὐδὲν ἀνεξέταστον παρέλειπεν* et [Plat.] Menex. 240 B *διερευνήσατο — πᾶσαν τὴν χώραν*; item Liban. III 296, 1 *πάντα δὲ διερευνησάμενος καὶ καταλιπὼν οὐδὲν ἀνεξέταστον* (cf. ibid. 307, 15) 14 *οὐχὶ*] *οὐ* U *βύβλοισ* AS: *βίβλοισ* DUT 16 *μετὰ*] *παρὰ* U

εἶτ᾽ οὐκ ἐδυνήθην αὐτά σοι διασώσασθαι, τῶν ὑπομνημάτων δια-
438 D *φθαρέντων ἃ τοῖς παισὶ προσέταξα ποιεῖσθαι, τοῦτό γ᾽ ἂν ἔχοιμι*
τὸ ἕν τε καὶ μικρὸν ἐρώτημα ἐπιλῦσαι, τὸ πῶς ὁ Νεῖλος ἀνέρχεται
καὶ τίς ἡ πρόφασις τοῦ τἀναντία αὐτὸν πεπονθέναι τοῖς ἄλλοις
ποταμοῖς περὶ τὰς ὥρας τοῦ ἔτους. μέμνησαι μὲν οὖν ὅτι καὶ 2
τότ᾽ εὐθὺς ἀπεκρινάμην ὅτι κινδυνεύει περὶ Νείλου σαφὲς οὐδεὶς
οὐδὲν ἔχειν λέγειν, ἀλλὰ ληροῦσιν εἰκῇ οἱ μὲν πρὸς τὸ δοκοῦν αὐτοῖς
ἰσχυριζόμενοι, οἱ δ᾽ οὐδ᾽ αὐτοὶ πάνυ τι πεπεισμένοι, προσποιού-
μενοι σχήματος ἕνεκα τοῦ πρὸς τοὺς πολλούς, ὅπως τι δοκοῖεν
περὶ τῶν ἀδήλων ἐπίστασθαι. δίειμι δέ σοι καὶ νῦν οὕτως οὐ
τὴν αἰτίαν ὑφ᾽ ἧς τοῦτο συμβαίνει, ἀλλ᾽ ὅτι οὐ διὰ ταῦτα ἃ ἕκα-
στοι λέγουσιν.

Ἀνάγκη δ᾽ ἐνίων μνησθῆναι καὶ ὧν Ἡρόδοτος (II 20) *ἀντι-* 3
λέγων ἐλέγχει, πρῶτον μὲν ὅτι οὐχ οἱ ἐτησίαι τὸ ῥεῦμα ἀνακό-
382 J *πτοντες ποιοῦσι τὴν ἐπίκλυσιν· εἰ γὰρ ἦν παρὰ τοῖς ἐτησίαις τὸ*
αἴτιον, εὔδηλον δήπου τοῦθ᾽ ὅτι μὴ πνευσάντων γε οὐκ ἂν ἐγί-
γνετο· ὃ πολλοῦ δεῖ συμβαίνειν οὕτως. ἔτι δ᾽ εἰ οἱ ἐτησίαι πρὸς
439 D *μεσημβρίαν πνέοντες ἀνέστελλον τὸν τοῦ Νείλου ῥοῦν, χρῆν δήπου*
καὶ τοὺς πρὸς ἄρκτον πνέοντας ἀνέμους τὸ αὐτὸ τοῦτο ποιεῖν περὶ
τοὺς ἐπέκεινα ποταμούς, Τάναϊν λέγω καὶ Φᾶσιν καὶ ὅσοι τούτοις
ἑξῆς εἰσιν· πολλοὶ δὲ πολλάκις ἤδη καὶ νότοι καὶ οἱ παρ᾽
αὐτοὺς ἀπὸ Λιβύης ἐκπνέοντες παρέτειναν καὶ θέρους ὥρᾳ καὶ
χειμῶνος, καὶ οὐδεὶς τούτων τῶν ποταμῶν τοῦτο ἔπαθεν, οὔκουν
[*οὐ*] *τῶν γε ἐπιφανῶν. εἰ γὰρ αὖ φήσουσιν ὅτι ἡ συνέχεια τῶν* 4
ἐτησίων ἀπωθεῖ τὸν Νεῖλον, ὅτι μὲν καὶ οὓς εἶπον ἄνεμοι μυρι-
άκις διήρκεσαν οὐκ εἰς ἔλαττον χρόνου παραλείπω, ἀλλ᾽ ὅ γε Νεῖλος
οὐ μεσούντων ἐτησίων οὐδ᾽ ἡνίκ᾽ ἂν ὦσιν πρὸς τῷ λήγειν, τότε

---

1 *εἶτα* DU 2 *τοῖσ* A: *τοῖσ σοῖσ* SDUT 3 *ἐπιλῦσαι* Rsk.: *ἀπολῦσαι* O 4 *τοῦ* UTS²: *τὸ* AS¹D *αὐτῶν* T a. corr. 5 *περὶ*] *παρὰ* ci. Rsk.² 6 *τότ᾽* AU²: *ταῦτ᾽* U¹T, *ταῦθ᾽* SD (ex ΤΑΥΤ with O above = *τότ᾽*) 7 *ἔχει* D *αὐτοῖσ* O 11 post *συμβαίνει* participium desidero quale *ἀποφανῶν* 14 *πρῶτον μὲν κτἑ.*] Thaletis sententia: Diod. I 38; Senec. nat. quaest. IV 2, 22; Anon. de Nilo (post Athen. II) § 87; Aetius (Diels Doxogr.) p. 384; Diog. La. I 37. Aristidem unum ex libris 'de Nilo' conscriptis, quorum magnus apud veteres numerus fuit (Diels, Abh. d. Berl. Akad. 1885, p. 7, 1; A. Bauer in Histor. Untersuch. A. Schaefer gewidmet p. 70 sqq.), adhibuisse non est quod argumentis probem (cf. ad p. 269, 17); inde *ἀνακόπτειν* (Anon. de Nilo, Aetius, Diog. La., Seneca [*reverberatus*], Plin. n. h. V 55 [*repercussum*]) 16 *εὔδηλον δή που* ATS²: *εὖ δή που* S¹D, *εὔδηλον* U 20 *Φᾶσιν*] suspectum Rsk., iniuria 21 *οἱ παρ᾽ αὐτοὺσ ἀπὸ Λιβύης*] paraphrasim esse pro *Λίβες*, quod dici non posset, monet Wil. 23. 24 *οὔκουν* scripsi et *οὐ* seclusi: *οὐκοῦν οὐ* O 27 *ἐτησίων* A (-*σιῶν* A¹, corr. A^r): om. SDUT

πληροῦται — ἵνα τῷ χρόνῳ δῶμεν τὴν ὑπερβολήν —, ἀλλὰ καὶ
ἀρχομένων καὶ πρὶν ἄρξασθαι πολλάκις. ὥστ' οὐκ ἂν τὸ συνεχὲς
5 *τῶν πνευμάτων αἴτιον εἴη, ἃ πρὶν εἶναι κεκίνηται. ἀλλὰ μὴν*
οὐδ' οἱ ἐτησίαι κατὰ στόμα παντάπασιν ἐκφυσῶσι τοῦ Νείλου,
ἀλλ' εἰς τὴν ὄχθην τὴν ἑῴαν· οἱ γοῦν πλείους αὐτῶν εἰσιν δή-
που ζέφυροι, οὗτοι δ' ἀπὸ ἑσπέρας πρὸς ἥλιον ἀνίσχοντα ἀπο-
τείνουσιν· οὔτ' οὖν διὰ τοὺς ἐτησίας ἀνακόπτεσθαι δυνατός, εἴ τε
διὰ τούτους, τί δή ποτ' οὐ καὶ πάντες αὐτὸ πάσχουσιν, ὅσοι τῷ
6 *Νείλῳ τὴν αὐτὴν ῥέουσιν; πρὸς δὲ καὶ γέλως ἤδη γίγνεται τὸ*
τῶν ἐτησίων παντελῶς· εἰ γὰρ παραδεξόμεθα τοῦτον τὸν λόγον,
κἀκεῖνο ἤδη χρὴ προσπιστεύειν, ὅτι ἀπηλιῶται μὲν πνέοντες τὸν
Ἠριδανὸν ἱστᾶσι καὶ ὅσοι τῷ Ἰονίῳ κατὰ ταὐτὸ ὁμιλοῦσι, ζεφύρων
δὲ πνεόντων ὁ Ῥῆνος εἴσω ῥεῖ καὶ οὐ διεξέρχεται πρὸς τὴν ἔξω
θάλατταν, τῶν δὲ περὶ βορέαν οἱ πρὸς μεσημβρίᾳ πληθύουσιν,
νότων δὲ οἱ πρὸς ἄρκτῳ κατὰ τὰ αὐτά, καὶ οὕτως οὗ τὴν αἰτίαν 440 D
ζητοῦμεν, τί δή ποτε ἐφ' ἑνὸς μόνου συμβαίνει, τοῦθ' ἅπασι
προσθήσομεν ἐν κύκλῳ. καὶ πῶς οὐχ ὑπερφυές, μᾶλλον δ' ὅλως
ἐπιλήσμον, ζητεῖν μὲν διὰ τί ὁ Νεῖλος ἐκ πάντων, πάντας δ' ἀπο-
φαίνειν τὸ αὐτὸ πάσχοντας ἐκ τῶν αὐτῶν; καὶ μὴν εἰ μὲν οὐδεὶς
ἄλλος τοῖς αὐτοῖς ἐνέχεται, ψευδὴς ὁ λόγος, εἰ δ' ἅπαντες, τί δεῖ 333 J
λέγειν ὡς ὁ Νεῖλος μόνος; ἢ γὰρ οὐ χρὴ ζητεῖν ἢ τὸ αἴτιον οὐ
7 *τοῦτο. ἀλλὰ μὴν κἀκεῖνό γε δῆλον ὅτι οὐδ' ἐν τοῖς φαυλοτάτοις*
τῶν ποταμῶν ἐστιν ὁ Νεῖλος οὐδ' οὕτω παρὰ πάντας εὐμεταχεί-
ριστος, ὥστε μόνου τούτου τὰ στόματα ὑπὸ τῶν πνευμάτων ἀνα-
κόπτεσθαι καὶ μεταπίπτειν. ὁπότε γὰρ μηδὲ τὰ βραχύτατα ἀπο-
κλείεται τό γε παντελές, ἀλλ' ἐκροὴν ἴσχει, πῶς τόν γε Νεῖλον, ὃς
ἅπασαν Αἴγυπτον οἷός τ' ἐστὶν ἐπικλύζειν, ἡττώμενον τῶν ἀνέμων
εἰκός ἐστι τοῦτο ποιεῖν; ὁρῶμεν δ' ὅτι οὐδ' αἱ τῆς θαλάττης
ἠιόνες οὐδ' ὅσα τενάγη καὶ λίμναι μὴ ὅτι τοσοῦτον ἐπέχει
ὑπ' ἀνέμων τῶν γε δὴ πολλῶν καὶ συνήθων, ἀλλ' † οὐ πόσον φῶ

---

3 *ἃ — κεκίνηται*] 'qui (venti) priusquam flant, (Nilus) excitatus est (Nili incrementi initium factum est)' 5 *οἱ γοῦν πλείους κτέ.*] cf. Diels l. c. p. 12, 1 6 *ἑσπέρασ* omissum add. s. l. T^2 10 *παραδεξόμεθα*] alterum *α* in ras. S^2, *παρεδεξόμεθα* A (certo S^1) 11 *χρὴ πιστεύειν* U^1 12 *ἰωνίωι* AS^1 *ταυτὸν* U 14 *τῶν*] *τὸν* S^1 *μεσημβρίᾳ* scripsi; *μεσημβρίαν* O, cf. *πρὸς ἄρκτῳ* 15 *νότον* D *τὰ αὐτὰ καὶ οὗτοσ· οὗ* AS^1 a. corr. (absque distinctione) 22 *οὐδ'*] *οὐκ* ci. Wil. dubitanter 27 *τε* DU *ἡττώμενον τὸν* S^1 (deleto *τὸν* corr. *ἡττωμένων* S^2) 28 *θαλάσσησ* T 29 *ἐπέχει* scripsi ('occupat'): *ἐπέχεται* A (prob. Wil.), *ἐπέρχεται* T^1 a. corr., *ἐπέγχεται* T^1 p. corr., *ἐπέγχηται* U (at *ἐ* et *η* in ras. pr. m.), *ἀπέρχεται* D; *ἐπεκχεῖται* ci. Rsk.[2] 30 *οὐ πόσον φῶ* corrupta videntur; conieci *οὐδ' ὅσον φάνει* ($φ^{α}$/, inde *φῶ*)

τῆς αὐτῶν ἐκβαίνει χώρας· ἀλλὰ κύματα μὲν προσκλύσαντα ἐπανα-
χωρεῖ, τενάγη δὲ ἀτρεμῆ μένει· καίτοι τά γ᾽ ἐν τῷ ἰσοπέδῳ ῥᾴω
κλιθῆναί ἐστιν ἢ τὰ πρὸς τὸ κάταντες ῥέοντα μεταστραφῆναι. οὐ μὴν 8
οὐδὲ τοῦτ᾽ ἔστιν εἰπεῖν, ὡς ἰσχυρότατοι τούτοις τοῖς τόποις οἱ ἐτη-
σίαι προσβάλλουσιν· ἀλλ᾽ εἴτε ζεφύρους εἴτε βορέας εἴθ᾽ οὕστινας
αὐτοὺς εἶναι δοῦναι δεῖ, τοῖς ἐγγυτέρω δήπου καὶ πρὸς αὐτῶν
σφοδρότεροι καὶ βιαιότεροι προσπίπτουσιν· ὧν οὐδενὸς ταὐτὸ
πάσχοντος πῶς εἰκός ἐστι μόνον τὸν Νεῖλον, ὃς πρὸς τῷ πλεῖστον
τῆς ἐκδρομῆς τῶν ἐτησίων ἀπέχειν τοσοῦτον καὶ τῷ ῥεύματι
. . . . .; ἔτι τοίνυν καὶ ὅλως ἀναιδές ἐστιν. οὐ γὰρ ὅ τι ἀξιοῦσι 9
τοὺς ἐτησίας αἰτίαν παρέχειν, διὰ τοῦθ᾽ ὁ Νεῖλος οὐκ ἐξίησιν εἰς
441 D *θάλατταν, ἀλλ᾽ ὅτι ἐπ᾽ αὐτὰ τὰ στόματα ἐλθόντι πανταχοῦ φανεῖται*
ῥέων λαμπρὸς ἐν λαμπροῖς ἐτησίαις, οὐ λεκτέος ἦν ἔτι οὗτος ὁ
λόγος τοῖς τι καὶ μικρὸν εἰδόσι περὶ Νείλου, ὥς γ᾽ ἓν τῶν ἀτόπων
τὰ ἐν ποσὶν οὐκ ἰδόντας περὶ τῶν ἔξω διαφέρεσθαι καὶ τὰ δῆλα
τοῖς ἀδήλοις ὑπάγειν, ἀλλὰ μὴ τούτοις ἐκεῖνα πιστοῦσθαι, ἐάνπερ
ἐγχωρῇ. τὰ τοίνυν στόματα ἅπαντα, ἐάν τε φῶσιν ἐάν τε μὴ
φῶσιν οἱ σοφισταί, ἐξίησιν — καὶ τοῦτ᾽ ὀφθαλμοῖς, οὐχὶ λόγῳ
κρίνεται — καὶ οὐκ ἐπὶ βραχύ γε οὑτωσὶ οὐδ᾽ ἐφ᾽ ὅσον τὰ τῶν
ἄλλων καὶ πολλῶν ποταμῶν, ἀλλ᾽ εἰς ὅσον εἰκὸς τοῦ μεγίστου τῶν
ποταμῶν ἐξικνεῖσθαι, καὶ ἐπὶ πολύ γ᾽ αὖ πλέον τοῦ θέρους ἢ
334 J *τοῦ χειμῶνος. ἔγωγ᾽ οὖν ἤκουσα, τοῦτο δὴ τὸ τοῦ Δημοσθένους* 10
(II § 17), *ἀνδρὸς οὐδαμῶς οἷόν τε ψεύδεσθαι, Δίωνος ἑταίρου*
ἡμετέρου καὶ πραγμάτων καὶ λόγων ἐμπείρου, ὃς ἔφη πλεῖν ἐπ᾽
Αἰγύπτου θέρους ὥρᾳ καὶ γῆν οὔπω φαίνεσθαι, ἀλλ᾽ ἀπέχειν
ὅσον μηδὲ τεκμήρασθαι, τοὺς δὲ ναύτας ἀρύσασθαι, εἴτ᾽ οὖν ἐπεῖ-
ξαν εἴτε καὶ ἄλλως βουλομένους ἐπιδεῖξαι τοῖς ἐμπλέουσιν, ὕδωρ

---

1 *αὐτῶν* O 2 *γε* D *ῥάιω* A, *ῥάω* S^{1} a. corr.: *ῥᾶον* S^{1} p. corr. UTD, in quo *ῥᾶον* post *κλιθῆναι* 6 *πρὸσ* AS a. ras. DU: *πρὸ* TS p. ras. 8 post *μόνον* addi vult *πάσχειν* Rsk., inutiliter, at recte ad sententiam *τῷ*] *τὸ* S^{1} 10 lacunam ind. Rsk., qui *ὑπερέχει* suppl.; desiderari videtur: ʽtantum fluxu suo valet, ut veri sit dissimillimum eum vel sub ipso ventorum illorum ortu posse ventis reverberariʼ *οὐ γὰρ κτέ.*] sententia: ʽquae professi sunt profitenda omnino non erant, non propterea quod sententia illa (de etesiis) falsam esse argumentis allatis demonstravi, sed quod errorem illorum cuivis Nili ostiis adstanti licet ipsis oculis deprehendereʼ (cf. v. 18); punctum ante *οὐ* v. 13 sustuli 12 *ὅτι* sic O 13 *λαμπροῖς*] *λαμπραῖσ* D; *λαμπροῖς* ⟨*τοῖς*⟩ *ἐτησίαις* Rsk. 14 *ὥς γε* scripsi: *ὥστ᾽* O 15 *ἓν* Rsk.: *εἰ* O *ἰδόντασ* AS^{1} a. corr.: *εἰδότασ* S^{1} p. corr. DUT 18 *σοφισταί*] *δικασταὶ* TU a. corr. 19 *ἐπιβραχεῖ* D 26 *ἐπεῖξαν*] i. e. *ὅτι ἐπεῖγεν*, ʽper necessitatemʼ (Canter) 27 *ἐμπλέουσιν* $A^{r}SDTU^{2}$: *εἰσπλέουσιν* A^{1} (et sine dubio U^{1})

καθαρὸν καὶ πότιμον ἐκ πολλοῦ κάτωθεν· ἐπὶ τοσοῦτον ἐπιρρεῖν
τὸν Νεῖλον τῆς τε γῆς ἔξω καὶ αὐτῆς θαλάττης ἄνω. καίτοι εἰ
τὰ στόματα ἵστατο ὑπὸ τῶν ἐτησίων αὐτοῦ, πῶς εἰκὸς ἦν τοὺς
τοῖς ἐτησίαις μέσοις καταίροντας ἐν μέσῃ θαλάττῃ τὸ τοῦ Νείλου
11 *ὕδωρ λαμβάνειν; καὶ μὴν καὶ αἱ λίμναι γε, ὅταν ἀρκούντως ἡ*
γῆ βρεχθῇ, μεθίενται πάλιν εἰς τὴν θάλατταν ὑπὸ τῶν Αἰγυπτίων.
πῶς οὖν ἂν ἐξέρρεον, εἴπερ ἐκώλυον οἱ ἐτησίαι; ὡς ἐκεῖνό γε 442 D
ἀμήχανον κατὰ μὲν στόμα καὶ ᾗ πέφυκε ῥεῖν ὁ ποταμὸς καὶ βι-
αιότατός ἐστιν αὐτὸς αὐτοῦ τοὺς ἀνέμους ἀνθισταμένους εἴργειν,
οὗ δ' εἰς τὰς λίμνας χυθεὶς ἡσυχάζει, μηδαμοῦ τὰ πνεύματα ἀπο-
κωλύειν, ὅταν δεήσῃ τῆς ἐκροῆς.
12 *Ἀλλὰ τοῦτον μὲν τὸν λόγον ὥσπερ ἐν ταῖς παραγραφαῖς . . .*
καὶ ἀνίσχυρον ἐκκρούει τὸ παντὶ ὁρᾶν εἶναι ῥέοντα τὸν ποταμὸν
καὶ ὃ λέγω (p. 267, 21) *πολὺ ἐρρωμενέστερον τοῦ θέρους ὡς ἂν ἐκ*
πλήθους ἢ τοῦ χειμῶνος· εἰ γὰρ ἐξεπίτηδες ἔδει τοὐναντίον τοῦ
13 *συμβαίνοντος εἰπεῖν, οὐκ ἦν ἄμεινον εὑρεῖν. ἕτερον δ' ἐξεταστέον*
ἄνδρα τε καὶ λόγον, ὅς φησιν (Eurip. Hel. 1 sqq.)·

Νείλου μὲν αἵδε καλλιπάρθενοι ῥοαί,
ὃς ἀντὶ δίας ψακάδος Αἰγύπτου πέδον
λευκῆς τακείσης χιόνος ἀρδεύει γύας.

πῶς οὖν, ὦ σοφώτατε Εὐριπίδη, λευκῆς τακείσης χιόνος ἀρδεύει
Νεῖλος Αἰγύπτου γύας; τῆς ποῦ τακείσης; πότερον τῆς ἐν Σκυ-
θίᾳ; καὶ τί τοῦτο πρὸς τὸν Νεῖλον; ἀλλὰ τῆς ἐν Αἰθιοπίᾳ· ἢ ἔτι
προσωτέρω; ἀλλὰ τοῦτ' ἐκείνου γελοιότερον. ὁρμᾶται μὲν γὰρ ἐκ
τῶν θερμοτάτων τῆς οἰκουμένης ὁ Νεῖλος δήπου καὶ προϊὼν
εἰς ἧττον αἰεὶ θερμὴν † ὧν γοῦν ἴσμεν ὡς εἰπεῖν ἔτι θερμο-
τάτην † Αἴγυπτον, ἐν δὲ ταύτῃ γνώριμος ἡμῖν ἤδη γίγνεται. πῶς

3 an *αὐτῷ*? 10 *οὗ δ'* sic O 13 lacunam ind. Rsk., qui *φαῦλον* vel *ψευδῆ* addi vult; *παραγραφή* est actio exceptionis; cf. Syrian. in Hermog. II 158, 4 Rab. *τελεία μέν ἐστιν (παραγραφὴ) ἡ πάντῃ τήν τε εὐθυδικίαν καὶ τὸν ἀγῶνα παρακρουομένη* 14 *τοῦ θέρους* DUTS[1]mg.: om. AS 16 *ἕτερον*] non Euripides opinionis huius auctor, sed Anaxagoras (Diod. I 38, plura ap. Wiedemann, Herodots 2. Buch p. 104) 19 *ἀντὶ δίας* U (Eurip.): *ἀντ' ἰδίασ* A, *ἀντὶ ἰδίασ* SDT *ψακάδοσ* ASDT (Aristoph. Thesm. 856): *ψεκάδοσ* U (Eurip.) *πέδων* ci. Canter 20 *ἀρδεύει* ASDTU[2]: *ὑγραίνει* U[1] (Euripid., Anon. de Nilo) *γύασ* — 21 *ἀρδεύει* A: om. SDT et U, qui om. insuper *Νεῖλος Αἰγύπτου* (certo e correctura) 22 *γυίασ* U (Eurip.), *γέασ* D 26 *ἧττον* S[1]D a. corr.: *ἥττον'* AUTS[2]D p. corr. *ἀεὶ* A[1] (corr. A[r]), item p. 269, 10 *θερμὴν* Rsk.: *θέρμην* O sic verba lacunosa et corrupta; ante *ὧν* lacunam ind. Rsk. Aethiopiae mentionem desiderari monet Wil.; temptavit *θερμήν — ὧν γοῦν . . . εἰπεῖν ἐκ θερμοτά⟨της οὔσης τῆς Αἰθιοπίας ἐκδίδωσιν εἰς ψυχροτέραν οὖσαν πολὺ⟩ τὴν Αἴγυπτον — ἐν δὲ κτέ.* Kaibel coll. Herod. II 22 *γ' οὖν* A 27 *δὲ* sic O *ἤδη* om. DU

οὐν δυνατὴ πίπτειν χιὼν ἐστιν ἐν τοιαύτῃ φύσει χώρας, ἄλλως τε
443 D *καὶ τοσαύτῃ, ὅσῃ τὸν Νεῖλον ἐγεῖραι; ὅπου γὰρ οὐδ᾽ οἰκεῖν ἔτι*
335 J *φασὶν εἶναι διὰ καῦμα, ποίαν εἰκὸς εἶναι χιόνα, ὑφ᾽ ἧς γίγνεσθαι*
ῥεῦμα τοσοῦτον; ὅμοιον γάρ ἐστι τοῦτό γε ὥσπερ ἂν εἴ τις τοὺς 14
ἐν τῇ Αἴτνῃ κρατῆρας ἀπορροὴν εἶναι κρυστάλλου βιάζοιτο ἢ εἴ
τις τὴν μὲν χιόνα θερμαίνειν, τὸ δὲ πῦρ ψύχειν ἐπιχειροίη λέγειν.
ὅταν γὰρ ἐν αὐτῇ τῇ χώρᾳ τῆς θέρμης τιθῇ τις εἶναι χιόνα, πῶς
οὐ τοιοῦτον γίγνεται;..... ὥσπερ ἐξ Ὀδρύσων ἢ Βισαλτῶν τὸν Νεῖλον
ὁρμώμενον, ἀλλ᾽ οὐχ ὅθεν οὐδ᾽ εἰπεῖν ἔχομεν πλήν γε δὴ ὅτι μὲν
αἰεὶ ἀναπλέων εἰς θερμότερα ἀφικνῇ, ἕως οὐκ ἔστιν ἀντίσχειν.....
καί, ὡς ἔοικεν, Αἰγυπτίων μὲν οἱ μὴ ἀποδημήσαντες οὐδὲ εἶδον 15
χιόνα, ἀλλ᾽ οὐδ᾽ ἑτέρου λέγοντος δύνανται μαθεῖν — ἡμεῖς γοῦν
ὥσπερ ἄλλο τι τῶν ἀτόπων ἀφηγούμενοι διδάσκειν οὐκ εἴχομεν,
ἀλλ᾽ ὥσπερ ὅσα ἑρμηνέως ἐδεῖτο ὅλως πρὸς τοὺς βαρβαρίζοντας
αὐτῶν, οὕτω τοῦτο γνωστὸν ἦν —, οἱ δ᾽ ἐπὶ τῇ τῆς μεσημβρίας ἀρχῇ
χιόνος πλέον ἢ θέρμης ἔχουσιν; καὶ τί γένοιτ᾽ ἂν τούτου τραγι-
κώτερον ψεῦσμα, ἄν τ᾽ Εὐριπίδης ἄν τ᾽ Αἰσχύλος αὐτὸς συνθῇ;
444 D *αὐτῆς γοῦν Αἰγύπτου τὰ πρῶτα πρὸς τὰ τελευταῖα πλεῖον ὡς* 16
εἰπεῖν διαλλάττει ἢ ἄλλο ἔθνος πρὸς αὐτὴν Αἴγυπτον· τοσοῦτον
τὰ ἄνω προφέρει καύματι. ἃ τοίνυν περὶ τὰς ἐσχατιὰς τῆς
Αἰγύπτου τὰς πρὸς ἡμῶν καὶ τῆς θαλάττης τὸ πρὸς Αἰγύπτου
οὔτε συμβαίνει οὔτε τις ἤκουσεν πώποτε, πῶς ταῦτ᾽ εἰκὸς ἐπ᾽
ἀρχῇ τῆς μεσημβρίας εἶναί ποτε φῆσαι, κρύος καὶ πλῆθος χιόνος
τοσοῦτον ὥστε τὸ ἐκείνης ὕδωρ πλέον ἢ τὸ κύριον εἶναι τοῦ πο-
ταμοῦ; καὶ πνεύματα μὲν μεσημβρινὰ πνευμάτων πάντων σύνισμεν 17
ὄντα θερμότατα, καὶ αὐτὸν τὸν ἥλιον μεσημβρίζοντα τὰ εἴσω
φλέγοντα· ὃ δὲ τῶν ἐσχάτων ἐστὶ κρυμῶν καὶ χειμώνων καὶ τῆς

---

5 *κρυστάλον* DU 8 lacunam indicavi virgula inserta; ⟨*ὄντως δὲ τοῦτο εἰπεῖν ἐστιν*⟩ *ὥσπερ* temptavit Kaibel 9 *μὲν* AS¹: om. DUTS² 10 *ἀναπλέων* sic O *ἀντίσχειν* legit Kaibel: *ἀντισχεῖν* O lacunam indicavi, quam et *μὲν* v. 9 et sententiarum nexus produnt; sententia fuerit: et quod illic terrarum adeo omnia solis fervoribus amburuntur, ut vel homines nigri fiant (cf. Herod. II 22) 11 *ἴδον* A¹ (corr. A²) S¹ a. corr. 14 *ὅσα* abesse vult Schmid Philol. 1890, 56 15 *γνωστὸν*] *ἄγνωστον* ci. Rsk., falsus: ita adsecuti sunt quae esset nix, ut ea, quae per interpretem intellegenda erant, adsequi solebant 17 *Αἰσχύλος*] significat frg. 300 N.², quod ut ipse non exscripsit, ita anonymus de Nilo tradit, ut illius similem libellum adhibuisse oratorem appareat; cf. p. 270, 12 18 *πλεῖον ὠσ* O: *πλειόνως ὡς* Thom. Mag. p. 104, 13 (fort. recte); *πλέον ὡς* Ddf. 21 *τὰσ — αἰγύπτου* A: om. SDUT; iunge *περὶ τὰς ἐσχατιὰς — καὶ — (περὶ) τὸ πρὸς* 25 *μὲν* UTS²: om. AS¹D 26 *τὰ εἴσω*] sc. orbis terrarum, unde Nilus provenit 27 *ὃ*] nix, eadem intellegitur in *τοῦτο* p. 270, 5 et ad *σπουδάζεται* ('anxiose conquiritur' Canter) p. 270, 6

παρ' ἡμῖν ὥρας, ἡνίκ' ἂν ᾖ χειμεριωτάτη, τοῦθ' οὕτως ἄφθονον
εἶναι τοῖς ἐκεῖ τιθέντες οὐκ αἰσχυνούμεθα, ἐὰν μὲν αὐτοὶ λέγωμεν
τὸν λόγον, ὡς ἀναιδῆ ψευδόμενοι, ἐὰν δ' ἑτέροις λέγουσι πιστεύω-
μεν, ὡς ῥαδίως ἐξαπατώμενοι; μικροῦ δ' ἔγωγε δέω λέγειν μόνον
τοῦτο μηδ' ἐπείσακτον εἶναι τῇ χώρᾳ, καθάπερ φύσιν πολέμιον.
18 *καὶ μὴν ὅτι γε σπουδάζεται τὴν θερινὴν ὥραν ἅπαντες σύνισμεν,* 336 J
ἀλλ' ὅμως πάντ' ἂν εὕροις ἐν τῇ μεγάλῃ πόλει τῇ Ἀλεξάνδρου
πλὴν τούτου· καίτοι κράσπεδον Εὐριπίδου (frg. 381 N^2.) *φωνῇ μά-*
λιστ' ἄν τις αὐτὴν Αἰγύπτου προσείποι. εἶθ' ὃ μηδ' ἐπείσακτον
αὐτοῖς ἐστι θέρους νόμῳ, τοῦτ' αἴρειν τὸν Νεῖλον θέρους ὥρᾳ
τοσοῦτον πλήθει; πάντων γε ἥκιστά μοι δοκεῖν. καὶ πρὸς μὲν
Εὐριπίδην τε καὶ Αἰσχύλον καὶ ταῦτα ἴσως οὐχ ἱκανά, ἀλλὰ πέρα
τῶν ἱκανῶν, οὕτως γε σαφοῦς καὶ πρὸ ποδῶν ὄντος τοῦ ἐλέγχου, 445 D
καὶ δεικνύντος ὅλως τὸ ἀδύνατον, ὥσπερ ἐν τοῖς ἄνω † τῆς ἐκροῆς.
19 *Ἴωμεν δὲ ἐπὶ τὴν τῶν πολλῶν δόξαν ἤδη καὶ τοὺς χαρίεντας*
τοὺς πεποιηκότας αὐτήν, οἵ φασιν ὕειν περὶ τοὺς ἄνω τόπους,
ὅταν ὦσιν ἐτησίαι, καὶ τὰ νέφη παρ' ἡμῶν ἐλαυνόμενα ἐκεῖ καταρ-
ρήγνυσθαι, ἐκ δὲ τῶν ὄμβρων τὸν Νεῖλον πληρούμενον εἰκότως
μείζω τοῦ θέρους ἢ τοῦ χειμῶνος εἶναι. δεῖ τοίνυν σε μαθεῖν τὸ
20 *συμβαῖνον ἅπαν περὶ τὴν ἀνάβασιν. ὁ γὰρ Νεῖλος, ἡνίκ' ἂν αὐτῷ*
ὡραῖον ᾖ, κατέρχεται . . . . . τὰ ὑψηλά· κατέρχεται δὲ οὐ φανερᾷ
τῇ προσθήκῃ οὐδ' ὥστε ὀφθαλμῷ γνῶναι τὸ ὕδωρ ἐπιφερόμενον,
ἀλλ' ἀρξάμενος ἀπὸ δακτύλων ὀλίγων ἐπιδίδωσι τοσοῦτον ὥστ' ἐν
μησὶ μικροῦ τέτταρσι τοὺς τέτταρας ἢ πέντε καὶ δέκα τούτους πή-
χεις πληροῦν περὶ Μέμφιν, κἂν τούτῳ τὴν προσθήκην ἄδηλον αἰεὶ
παρεχόμενος καὶ ἑνὶ τούτῳ σημαίνων, τῷ καταλαμβάνειν ἑξῆς τὴν

---

1 *ᾖ*] *ἡ* A^1 (corr. A^r), *ἥ* S^1 a. corr. 2 *αἰσχυνόμεθα* U 5 *φύσιν*] *φύσει* ci. Wil., fort. recte 6 *σπουδάζεται*] *αι* in ras. A^2 (A^1 incertum) *θερινὴν*] *ἠρινὴν* D 8 *κράσπεδ*^{o} S^1, *κράσπεδοσ* D *φωνὴ* A^1 (corr. A^r) 9 *αἰγύπτου αὐτὴν* D 10 *αἴρειν* scripsi: *ἄγειν* O; cf. passivum *αἴρεσθαι* p. 271, 11. 29; 299, 14; 301, 8; *ἀνάγειν* ci. Rsk. 12 '*καὶ* (ante *ταῦτα*) transferendum et pone *ἀλλὰ* collocandum' Rsk., frustra 13 *οὔτω* DU 14 *ὥσπερ — ἐκροῆς* corrupta; *ἐν τοῖς ἄνω* glossema videtur esse, quod veram lectionem extrusit; ad vv. p. 267, 13 oratorem revocasse patet 15 *τῶν πολλῶν*] cf. Strab. XVII 790 *χαρίεντασ* sic O 16 *πεποιηκότας*] *πεπορικότας* ci. Kaibel *ὕειν* A(?)U: *ὕει* SDT 21 lacunam ind. Rsk.; ego desidero e. g. *κατέρχεται ⟨μετέωρος γιγνόμενος ὕδατος προσθήκῃ καὶ καταλαμβάνων τῆς γῆς⟩ τὰ ὑψηλά* 24 *τούτους*] prius *τ* in ras. II vel. III litt. cap. A^r; *τοιούτουσ*, ut vid., A^1; de re cf. § 115 et Wiedemann l. c. p. 78 25 *περὶ μέμφιν* omissum add. U^2 mg. *τούτω* UT: *τῶι* ASD (*τῶ̃*), *γρ. καὶ ἐν τούτω* S^2 mg. *ἀεὶ* A^1 (corr. A^r); item p. 271, 10. 14 272, 1

γῆν. πρὸς δὴ τί τοῦτο λέγω; ὅτι φασὶν ὥσπερ τοὺς παρ᾿ ἡμῖν 21
ποταμοὺς ἐκ τῶν ὄμβρων τοῦ χειμῶνος αὔξεσθαι, οὕτω τὸν Νεῖλον
τοῦ θέρους ἐκ τῶν ὄμβρων. εἰ τοίνυν τοῦτ᾿ ἀληθὲς ἦν, πρῶτον
446 D *μὲν κατιόντ᾿ αὐτὸν ἐξαίφνης ἔδει φαίνεσθαι μετέωρον· ὥσπερ γὰρ*
ὅταν κατὰ γῆς ἢ στερεοῦ φέρηται ῥεῦμα, οὕτως ἐπὶ τοῦ ἀρχαίου
τὸ ἐκ τῶν ὄμβρων ἐπιθεῖ κεκυρτωκός. διὰ τί οὖν οὐ καὶ περὶ τὸν
Νεῖλον ταὐτὸν τοῦτο γίγνεται; οὐ γὰρ δήπου ἅμα μὲν εἰς τοὺς 22
ἄλλους ποταμοὺς ἀναφέρειν δεῖ καὶ τοῖς αὐτοῖς τεκμαίρεσθαι,
ἅμα δ᾿ οὐ τοῖς αὐτοῖς ἐπ᾿ ἀμφοῖν χρῆσθαι σημείοις. καὶ γὰρ εἰ
μὲν ἅπαξ ποτὲ οὕτω συνέβη, λόγος ἦν, εἰ δ᾿ αἰεὶ τοῦτον τὸν τρό-
πον αἴρεται, τί ἂν εἴποιεν; πρῶτον μὲν τοίνυν καὶ μέγιστον ὅπερ 23
337 J *λέγω τοῦτο σημεῖον ὡς οὐκ ἐξ ὄμβρων αὔξεται, ὅτι οὐκ ἐμπλήκτως*
οὐδ᾿ ὀξέως οὐδ᾿ ὡς ἂν τύχῃ φέρεται, ἀλλ᾿ ὃ δὴ λέγουσιν Αἰγύ-
πτιοι, ἐργάζεται ὥσπερ ἄλλο τι· καὶ αἰεὶ τὸ ἔργον αὐτῷ κατὰ λό-
447 D *γον χωρεῖ. ἐπειθ᾿ ὁπόταν λήξωσιν οἱ ὑετοί, καὶ ὁ πολὺς δήπου*
τῶν ποταμῶν ὄγκος πέφυκεν ὑπορρεῖν οὐκ εἰς μακράν. πῶς οὖν 24
ἐπὶ τοσοῦτον τοῦτον αὐταρκεῖν φήσομεν ἐκ τοιαύτης αἰτίας; ἀφ-
ομοιοῦντες γὰρ αὐτὸν κατ᾿ ἄλλον τρόπον ποιοῦμεν ἀνόμοιον καὶ
δύο τὰ ἀτοπώτατα μίγνυμεν, θέντες μὲν οὐχ ὁμοίως ἔχειν τοῖς
ἄλλοις, εἶθ᾿ ὅμοιον ἀποφαίνειν πειρώμεθα, ὅμοιον δ᾿ αὖ τιθέντες
δείκνυμεν οὐχ ὁμοίως διακείμενον. εἰ μὲν γὰρ τρισὶν ἢ τέτταρσιν ἢ 25
καὶ διπλασίαις που τούτων ἡμέραις ἐπληροῦτο αὐτῷ τὸ κεφάλαιον καὶ
μὴ πολλοστόν γ᾿ ἦν τὸ τοσοῦτον τοῦ παντὸς χρόνου τῆς ἀναβάσεως,
τάχ᾿ ἄν τι κομψὸν εὕρητο· εἰς τέταρτον δὲ μῆνα μάλιστα ἐξικνεῖ-
σθαι καθ᾿ ἑκάστην ἡμέραν ὑψούμενον τίς λόγος ἐστὶν ἐξ ὑετῶν;
καὶ μὴν οὐδ᾿ οἱ παρ᾿ ἡμῖν ποταμοὶ συνεχῶς τοῦ χειμῶνος τέταν- 26
ται, ἀλλ᾿ ὗσεν, ἐπῆλθον, ἐπαύσατο, ὑφεῖσαν· μείζους καὶ ἐλάττους
διατελοῦσιν γιγνόμενοι παρὰ τοὺς ὄμβρους αὐτοῦ τοῦ χειμῶνος ἐκ
μεταβολῆς. χρῆν τοίνυν καὶ τὸν Νεῖλον εἴπερ ἐξ ὑετῶν ᾔρετο, μὴ

4 *μὲν*] hoc resumit v. 21 6 *κεκυρτωκός*] cf. Hom. *λ* 244 *κῦμα κυρτωθέν, Δ* 426 *Ν* 799 *κῦμα κυρτόν*; eadem forma perfecti significatione intransitiva instructa or. lL § 17 7 *ταυτὸ τοῦτο* U *οὐ γὰρ δήπου κτέ.*] ad sententiam cf. § 6. 24 12 *αὔξεται*] *ἄρχεται* T 14 *ἐργάζεται*] summam magnitudinem, ad quam Nilus incrementis pervenit, Aegyptii substantivo quod *nw* scribitur significabant; cuius substantivi homonymo verbo *nw* inter alias notiones etiam ea videtur esse, quae Graeco *ἐργάζεσθαι* ('agrum colere') respondet (W. Spiegelberg per litteras) 21 *τέσσαρσιν* D 22 *καὶ* scripsi: *ἢ* O; dicit: si Nilus tribus quattuorve diebus augeretur *et* hoc temporis spatium (*τὸ τοσοῦτον*) ampla pars esset totius incrementi temporis (*τοῦ — χρόνου* e *πολλοστόν* pendet), concesseris eos aliquid dicere; nunc nec tribus vel quattuor diebus increscit (sed multo pluribus) *neque* haec magna pars totius incrementi temporis est (sed minutula quadam) 24 *εὕροιτο* D *εἰσ τέταρτον δὲ* D: *εἴσ τε γὰρ τόνδε* ASUT

*διηνεκῆ τὴν αὔξησιν ἴσχειν μηδ' [ἐπὶ προσθήκην] αἰεὶ χωρεῖν ἐπὶ
τὸ πλεῖστον καὶ μέγιστον ἐκ τοῦ βραχυτάτου καὶ πρώτου, μέχρις
ἐξεπλήρωσεν, ἀλλ' ἀνώμαλον καὶ μεταπίπτουσαν καὶ τὴν ἐπίδοσιν
καὶ τὴν ἀναχώρησιν ἔχειν ἐν μέρει· ὥστ' οὐκ ἂν ἦν τὸ λεγόμενον
αὐτὸ τοῦτο ἀνάβασις τοῦ Νείλου, ἀλλ' ἀναβάσεις ἂν ἦσαν πολλαί,
καὶ πάλιν γε ἀπόρροιαι τοῦ θέρους ἑκάστου, καθότι κἀκ τῶν*
27 *ὄμβρων συνέβη. ἔτι τοίνυν ὥσπερ τοῦ χειμῶνος οὐ συνεχεῖς τοὺς
ὄγκους ἔχουσιν οἱ ποταμοί, οὕτω καὶ τοῦ θέρους ἐνίοτε ἐπιδιδόασι
παρὰ τὴν σχέσιν τὴν οὖσαν, ἡνίκ' ἂν ὕσῃ· εἰ τοίνυν ἃ τούτοις
συμβαίνει, συνέβαινε καὶ τῷ Νείλῳ κατὰ θάτερα, καὶ ὁ Νεῖλος
ἂν ηὔξετο τοῦ χειμῶνος ἐνίοτε ὥσπερ οὗτοι τοῦ θέρους· ὥστε
ὁμοίως μὲν οὗτοι μείζους ἐγίγνοντ' ἄν, τοτὲ μὲν τοῦ θέρους, τοτὲ* 448 D
*δὲ τοῦ χειμῶνος ἑαυτῶν, ὁμοίως δὲ ὁ Νεῖλος, ὅτι μὴ πλέονι ἑκά-
τεροι μείζους καὶ ἐλάττους παρὰ τὴν ὥραν ἑκατέραν. ἀλλὰ μὴν* 338 J
*εἰ μηδεπώποτ' αὐξηθεὶς χειμῶνος ὁ Νεῖλος ἀκούεται, τοὺς δὲ
παρ' ἡμῖν ἔστιν ἰδεῖν μείζους ἑαυτῶν γιγνομένους τοῦ θέρους,
ἐὰν ὄμβροι κατάσχωσιν, ἄλλο τι χρὴ ζητεῖν τὸ τῆς ἀναβάσεως*
28 *αἴτιον, εἴπερ δή· ὡς τό γ' ἐξ ὄμβρων οὐδαμῇ συμβαίνει. οὐ τοί-
νυν μόνον αὔξεται τακτὰ ὁ Νεῖλος, ἀλλὰ καὶ ἀπολήγει τεταγμένως
ὀπίσω, καὶ σχεδὸν οὐκ ἐν ἐλάττονι χρόνῳ καθίσταται εἰς τὸ ἐξ
ἀρχῆς ἢ ἐν ὅσῳ προϊὼν ἐξεπλήρωσεν. καίτοι οἵ γ' ἐκ τῶν ὄμβρων
αὐξανόμενοι ποταμοὶ οὐδαμοῦ τοῦτο πάσχουσιν οὐδ' ἔπεστιν αὐτῶν
τάξις οὐδετέρῳ τῷ παθήματι· εἰκότως, ὅτε γε μηδ' αὐτοῖς τοῖς*
29 *ὄμβροις. οὐκοῦν καὶ τὸ ἅπαξ τοῦ ἔτους ἀναβαίνειν, τοὺς δ' ἄλλους
ὡς τύχοιεν ἑκάστοτε, καὶ τὸ μὴ ἀπολείπειν πρὶν ἐκπληρῶσαι καὶ
τὸ πληρώσαντα αὖθις ἀπορρεῖν, καὶ ἡ μετὰ τοῦτο ἡσυχία τοῦ*
30 *ῥεύματος οὐκ ἐᾷ παρὰ τοῖς ὑετοῖς εἶναι τὴν πρόφασιν δοκεῖν. Εἰ
δὲ δεῖ καὶ τοῦτο εἰπεῖν, ὑπερβαλόντι καταρράκτας ψάμμος ἔνθεν* 449 D
καὶ ἔνθεν ἐστὶ τοῦ Νείλου· τὸ μὲν δὴ κατὰ Λιβύην καὶ παντάπασιν

---

1 *ἴσχειν*] *ἔχειν* DU *ἐπὶ προσθήκην* seclusi 2 *μέχρισ* sic O 4 *τὸ λεγόμενον*] i. e. *ἀνάβασις* (*τοῦ Νείλου*) in singulari 6 *γε*] *δὲ* U *κἀκ*] *τἀκ* ci. Rsk.; at *καί*, ut in comparatione (*καθότι*), distributive dictum 9 *εἰ* DS²: *ἔτι* AS¹UT, cf. v. 7 10 *θάτερα*] sc. *τὴν ἐπίδοσιν καὶ τὴν ἀναχώρησιν* (v. 3. 4) 13 *ὅτι μὴ — ἑκατέραν*] 'ita tamen, ut diversum (maius et minus) pro magnitudine sit Nilo et fluviis ceteris incrementum et decrementum hieme et aestate'; pro *πλέονι* ci. *πλέον ἢ* Canter, cui *ἑκάτεροι* non convenit 17 *ἄλλο τι — αἴτιον*] cf. p. 289, 19 sq. 18 *δὴ* AS¹: *δεῖ* DUTS² *συμβαίνει* DUTS p. ras: *συμβαίνειν* AS a. ras. 21 *ἢ ἐν* sic O 22 *οὐδαμῆ* U 23 *ὅτε* A (et certo S a. corr.): *ὅτι* S p. corr. DUT 25 *τύχοι* D 27 *δοκεῖν*] *ζητεῖν* D¹ primitus, correctura (pr. m.) non perfecta *ζοκεῖν* nunc D 28 *τοῦτ'* U

ἔρημοι θῖνες, ὥστ᾽ εἴπερ ὗεν, οὐκ εἰκός γε ἦν γίγνεσθαι ῥεύματα
ὑποδεχομένης τῆς ψάμμου τοὺς ὄμβρους εἰς αὑτήν. ἃς γοῦν ἴσμεν
ψάμμους ἄλλας εὐμεγέθεις, ἴσμεν τοῦτο πασχούσας, ἐπεὶ καὶ αἱ
περὶ τὰς εἰσβολὰς τὰς ἐξ Ἀράβων εἰς Αἴγυπτον ψάμμοι οὐ τοσοῦ-
τον ὕσει ὡς παρήσουσι ῥεῦμα ὕδατι. αἱ δὲ δὴ πρὸς Λιβύης καὶ
κατάντεις ἐπὶ θάτερά εἰσιν ἀπὸ τοῦ ποταμοῦ περιφανῶς, ἄνευ
τοῦ κατ᾽ ἄμφω παραλλάττοντος, καὶ τοῦ τῆς ψάμμου ταύτης παρ᾽
ἃς ἴσμεν ἄλλας πλήθους καὶ τοῦ κατὰ τὸν ποταμὸν ῥεύματος
τοσοῦτον ὑψουμένου, ὅσον εἰ καὶ ὑπὲρ ἀντιτύπου θαυμαστὸν ἦν.
καὶ περὶ Μερόην γέ φασιν ὕειν, καὶ εἰ τοῦτ᾽ ἦν αἴτιον τῆς ἀνα- 31
βάσεως, οὐκ ἂν ἐλάνθανε δήπου τοὺς αὐτοῦ ὁρῶντας καὶ προσ-
οικοῦντας οὐδ᾽ ἂν ἐζητεῖτο ὑπ᾽ αὐτῶν ἐκείνων ὁπόθεν κατέρχεται,
ἀλλ᾽ ἦν ἂν φανερὸς αὐτόθεν αὐξανόμενος. οὐ τοίνυν ἔστιν οὐδ᾽
ἔχουσι λέγειν Αἰθίοπες, οὐδὲ ἔχοντες λέγειν ὡς ὕει παρ᾽ αὐτοῖς·
ἄμφω γοῦν ἤκουσα παρ᾽ αὐτῶν· πῶς οὖν ἐξ ὑετῶν αἴρεται; ἔτι 32
339 J τοίνυν καὶ τὰ κάτω τῆς Αἰγύπτου λαμπρῶς πολλάκις ὕεται —
ψακάδι μὲν γὰρ καὶ ⟨τὰ⟩ ἄνω πολλάκις ὡς ἐν χρόνοις, ἀλλὰ τά
γε πρὸς θαλάττης καὶ κατὰ συνήθειαν πολλῷ —, καὶ οὐδ᾽ ὁπωσ-
τιοῦν ἐπίδηλον τῷ Νείλῳ γίγνεται. καίτοι πῶς εἰκὸς τοὺς μὲν ἐν
Αἰγύπτῳ γιγνομένους ὄμβρους μὴ κινεῖν αὐτὸν ὅσοι ποτ᾽ ἂν ὦσιν,
ἀλλὰ πάσχειν τὸ ὕδωρ ταὐτὸν ὅπερ τὸ εἰς τὴν θάλατταν εἰσχεό-
μενον ἀδήλως ἀναλοῦσθαι, ἐκ δὲ τῶν ἀπορρήτων τόπων, ὡς ἔοικε,
τῆς οἰκουμένης ὑπάρχειν αὐτῷ τὴν ἐπίδοσιν, ὥσπερ σοφιζόμενον

---

1 γίνεσθαι AS 2 αὑτὴν S²: αυτην O 6 περιφανῶσ ATS², περιφ(α)/S¹: περιφανεῖσ DU. rationem (§ 30) orator instituit hanc: imbres Nili incrementi causa non possunt esse, quia imbrium aqua demissa non tam additur aquis fluminis quam resorbetur amplissimis illis arenis Libycis, id quod in deserto Arabico rivulorum plane orbo fieri necesse est. praeterea aggeres arenosi, qui in litore Nili Libyco sunt (antiquis hominibus Arabiam et Libyam divisit Aegyptus, quae sola vallis Nili montibus circumdata audiebat; inde p. 282, 25) in aversam a flumine partem sunt declives, ita ut rivuli ex imbrium aquis prosilientes aggeribus illis oppositis a fluvio prohibeantur (cf. eandem rationem § 81); accedunt duo quae Nilo soli propria sunt: etenim et arenae Libycae omnium quas novimus amplissimae sunt (ut quicquid aquarum illic terrarum demittitur, imbibi illis naturale sit, non ad flumen accedere), et Nili alveus tam elate positus est (adeo non in arenas descendit aquis exedentibus et excavantibus), ut mirari liceret, id si Nilo contingeret super solidum defluenti (alveus ergo cum tantopere elatus sit, rivuli infra positi, utpote in arenis decurrentes, in alveum demitti omnino non possunt, ne dicam eo adscendere) 11 αὐτοῦ scripsi: αὐτοὺσ O; αὐτούς ⟨τε⟩ ὁρῶντας ci. Rsk. 14 οὐδὲ scripsi: οὐδὲν O; 'cum ne id quidem eis liceat dicere pluere apud ipsos 16 λαμπρ(ῶ) S, λαμπρὸσ D ὕεται πολλάκισ U 17 ψεκάδι U¹ (Junt.); cf. v. l. p. 268, 19 τὰ add. Rsk.

τὸν Νεῖλον ἢ δεδοικότα μὴ φανῇ διὰ τοῦτο αὐξανόμενος; εἰ δὲ 450 D
ταῦτ᾽ ἐστὶν γέλως, τοιαῦτ᾽ ἐστὶν ἃ λέγουσιν οἱ προστιθέντες τὴν
33 αἰτίαν τοῖς ὄμβροις. Βούλομαι δέ σοί τι καὶ περὶ τῶν νεφῶν
μικρὸν διηγήσασθαι. ὅτε γὰρ τὸ δεύτερον εἰς Αἴγυπτον ἀνέπλεον
τὸν εἰς κορυφὴν ἀνάπλουν, ἐνέτυχεν ἡμῖν περὶ τὸν Θηβαϊκὸν τόπον
ἐν νομῷ ὄνομα Ἑρμοῦνθι ἄνθρωπος φυγὰς ἐκ τῆς κάτω πόλεως,
Δραῦκος ὄνομα, φίλου καὶ ἑταίρου συμπλέοντος ἡμῖν συστήσαντος
αὐτὸν ὡς εἶδεν ἐκεῖ. ὡς δὲ συνέβη λυθῆναι τὴν φυγὴν αὐτῷ καὶ
ἧκεν ἐπὶ θάλατταν, προσῄει πολλάκις ἡμῖν καὶ ἐχρώμεθα ὥσπερ
34 εἰκὸς οἰκείως αὐτῷ. καί ποτε οὑτωσὶ περιεπατοῦμεν περὶ δείλην
ὀψίαν ἐν τῷ μεγάλῳ δρόμῳ τῷ κατὰ τὰς στοὰς καὶ ἦσαν ἐτησίαι
λαμπροί· ἀπεβλέψαμεν οὖν εἰς τὰ νέφη καί τις ἔφη τῶν παρόν-
των ʽΤαῦτα δὴ τὰ τοῦ Νείλου πνεύματα᾽, οὕτω γάρ πως ὠνόμασε·
καὶ ὃς ἐγέλασεν. ἐρομένου δέ μου ὅ τι αὐτῷ τοῦτο βούλοιτο,
ʽΟὐκ οἶσθα, ἔφη, ὅτι ἐγὼ τρία ἑξῆς ἔτη κατετρίβην ἐπ᾽ ἄκροις
Αἰγύπτου;᾽ ʽΟἶδα, ἔφην, ἀλλὰ τί τοῦτο;᾽ ʽὍτι ἐγὼ ἐν τοσούτῳ
χρόνῳ τριφθέντι μοι πανταχῇ σκοπῶν οὐκ ἐδυνήθην ἰδεῖν νέφος
αὐτόθι τοῦ θέρους, ἀλλὰ ἑστηκότα ἀκλινῆ τὸν ἀέρα ὥσπερ τὰ γε-
γραμμένα. καίτοι νομίζω, ἔφη, ὁρᾶν τά γε ἐγχωροῦντα· ἀλλ᾽ ἐγὼ
οὐκ εἶδον νέφος, ἃ ὑμεῖς, ἔφη, οἴεσθε ἐνθένδε ἐλαυνόμενα ἄνω
35 καταρρηγνύντα πληροῦν τὸν Νεῖλον.᾽ τοῦτο δὴ καὶ τότε ἀκούσας
ἐθαύμασα καὶ ἥσθην, καὶ σοὶ νῦν ἀπομνημονεύσας ἐξήγγειλα, ὅπως
εἰδείης πόρρω τοῦ ἀληθοῦς ὄντας καὶ τοὺς τούτῳ τῷ λόγῳ κατα-
χρωμένους τε καὶ πεπιστευκότας, καὶ ὅλως ἐπίστῃ τὸ τοῦ Νείλου 451 D
πρᾶγμα ὅτι κινδυνεύει μόνος ποταμῶν οὐδέποτε αὐτὸς εἶναι, ἀλλ᾽ 340 J
ἐν αὔξῃ καὶ φθίσει ῥέων ὁμαλῶς, εἰ δὲ βούλει ἀνωμάλως δια-

TESTIMONIUM 4 sqq. impugnat Procl. in Plat. Tim. 37 D

5 *κορυφὴν*] sc. *Αἰγύπτου*, cf. p. 278, 10. 284, 17 et *κορυφῆς τοῦ Δέλτα* p. 288, 19 (falso Schmid p. 229) 6 *ἑρμουνθὶ* UTS², *ἕρμουνθι* S¹: *ἕρμουθι* AD; Aristides ostentationis causa Aegyptiacam nominis formam (eamque, ut *ου* vocalis docet, ipsius superioris Aegypti, cuius regio illa) adhibet, quae *Ἑρμωνθίς* Graecis Aegyptum incolentibus audiebat ex pronuntiatione Aegyptiorum inferiorum (*ω* pro *ου*); Aegyptum est ʽp(e)r-m(o)nt(e)w᾽ i. e. ʽdomus (dei) m(o)nt(e)w᾽, quod propterea facile fieri potuit, ut Graeci in *Ἑρμοῦ* nomen omissa prima vocis littera ʽp᾽ corrumperent, quia ʽp᾽ illud pro articulo Aegyptio habere iis licuit. ita W. Spiegelberg (per litteras), idem accentum correxit. *ἕρμουθι* (AD) ad exemplum *Θερμοῦθις* al. *τῆς κάτω πόλεως*] Alexandriae, cf. v. 9. 11; Puchstein, Pauly-Wissowa Real-Enc. I 1384 7 *ἑταίρου*] *αι* in ras. S², *ἑτέρου* A 9 *ἐχρώμεθα αὐτῷ οἰκείως ὥσπερ εἰκός* D 14 *αὐτῷ* ADTS²: *αὐτὸ* S¹U 16 ⟨*τῆς*⟩ *Αἰγύπτου* Kaibel coll. p. 282, 14 sq. 17 *σκοπῶν* UTS²: *σιωπῶν* AS¹D 21 *καταρηγνῦντα* AS¹ *νεῖλ°* S¹ 24 *ἐπίστῃ* A¹UTS²: *ἐπίσθῃ* S¹Aʳ, *ἐπείσθῃ* D 25 *αὐτὸς* legi, *ὁ αὐτὸς* Ddf.: *αὐτὸσ* O; item p. 275, 8 26 *φθίσει*] *φύσει* D

τελεῖ, ταῖς ἡμέραις τε καὶ νυξὶν ⟨τ⟩ὰ μάλιστά πως παραπλησίως
καὶ τῷ περὶ τὴν σελήνην. ἀρχόμενός τε γὰρ εἰς ὕψος ἰέναι ἐπ- 36
άγων αἰεὶ ἕτερον ἐφ᾽ ἑτέρῳ οὕτω προβαίνει τῇ προσθήκῃ προσ-
τιθείς, ἄχρι ἂν τὸ μήκιστον αὐξηθῇ, καὶ συναγερθεὶς ἅπας, ὥσπερ
ὁ τῆς σελήνης κύκλος, ἄρχεται λήγειν αὖθις ὑποστρέψας, ὥσπερ
στροφήν τινα δευτέραν ἀποδιδοὺς ἐπὶ θάτερα· καὶ καταλαμβάνει
πάλιν ἡ ἑτέρα περίοδος [τῆς ἐπιρροῆς]· πολλάκις δὲ καὶ ἐνέμεινε
τῆς προτέρας ὅσον μὴ λαθεῖν· οὔτ᾽ οὖν παρὰ τὴν ἀνάβασιν αὐτός
ἐστιν — αἰεὶ γὰρ αὔξεται, μέχρι ἂν τὰ τέλεια ὑψωθῇ —, οὔτ᾽
αὖ παρὰ τὴν ἀπορροήν — αἰεὶ γὰρ λήγει, μέχρι ἂν ἀποδῷ. οὕτω 37
δή τοι τό γε τοῦ Νείλου θειότερόν τι καὶ ἰδιώτερον ἔοικεν εἶναι
ἢ κατὰ τοὺς ἄλλους ποταμούς τε καὶ ῥεύματα, καὶ εἰ τούτου ζη-
τοῦμεν ⟨τὰς⟩ αἰτίας, ζητῶμεν καὶ ὧν εἶπον, τί δή ποτε ἡμέρα μὲν
ἡμέρας μικρὸν προφέρειν ἐτάχθη, μέχρι ἂν κορυφωθῇ τὸ μήκιστον,
452 D *ἔπειτα ὑπολείπει, ἄχρι ἂν εἰς τοὐλάχιστον ἀφίκηται, τὸ μὲν ἐξ*
ἀρχῆς ἑαυτῆς, εἶτα καὶ τῆς νυκτὸς ἐλάττων [μετ᾽ ἰσημερίαν] γιγνο-
μένη, νὺξ δὲ ἀντιλαβοῦσα αὔξην ταὐτὰ ταῦτα πάσχει ἐκ προσ-
θήκης καὶ ἀφαιρέσεως προϊοῦσα καὶ ἐπανιοῦσα, μέχρι ἄν, ὥσπερ οἱ
γεωμέτραι καλοῦσιν, εἰς ἐκεῖνο καταστῇ ὅθεν ἤρξατο φέρεσθαι, ταὐτά
τε καὶ τἀναντία τῇ ἡμέρᾳ πάσχουσα αἰεί. καὶ γὰρ εἰ τὰ μάλιστά τις 38
εἶναι ταῦτά γε φήσει φανερά, τῇ τοῦ ἡλίου πορείᾳ προστιθεὶς
τὴν αἰτίαν, ἀλλ᾽ οὐκ αὐτῆς αὖ τῆς περὶ τὴν πορείαν τάξεως οὐδὲ
τοῦ ταῦθ᾽ οὕτως ἀνάγκαις τὸ ἐξ ἀρχῆς κατακλεισθῆναι, οἷον εἰ
βούλει τριμήνοις μὲν χρόνοις ὡρίσθαι τὰς μεταβολάς, νυκτὶ δὲ
καὶ ἡμέρᾳ τοσοῦτον ⟨τὸν⟩ σύμπαντα ἀποδοθῆναι χρόνον, εἶναι δὲ
ὅρους τακτοὺς τῷ θεῷ πρὸς ἄρκτου καὶ μεσημβρίας, οὓς οὐχ οἷόν
τε ὑπερβῆναι, τούτων οὐδενὸς δήπου τὸ αἴτιον δείξει, πλὴν εἰ
προσποιήσεται. καίτοι τοσοῦτόν γ᾽ ἐστὶν προὔργου τοῦ παρα- 39
341 J *δείγματος· τοῦ μὲν γὰρ ἡλίου διττὴν οὖσαν τὴν κίνησιν ὁρῶμεν,*
ὡς περὶ τῶν ὅλων περάτων εἰπεῖν, ἀφ᾽ ὧν καὶ τὰ μήκη καὶ τὰς

---

1 *νυξὶ τὰ* Ddf.: *νυξίν· ἅ* AS^1(?) D, *νυξὶν ὡσ* UTS^2 3 *ἀεὶ* A^1 (corr. A^r), item v. 9. 10 *οὕτωσ* S a. ras. D 4 *ἄχρισ* D, item v. 15 *συναγερθεὶς* Rsk.: *συνεγερθεὶσ* O 7 *τῆς ἐπιρροῆς* seclusi; dicendum erat *τῆς ἐπιρροῆς καὶ παλιρροίας* vel (Kaibel) *τῆς τε στροφῆς καὶ ἀντιστρόφου* 9 *μέχρισ* D, item v. 10. 14 10 *αὖ*] *οὖν* U (Junt.) *παρὰ* Rsk.: *περὶ* O *ὑποδῶ* TS^2(-*ῶι*); cf. v. 6 11 *τοι*] *τι* Thomae Mag. p. 189, 3 plerique *τι*] *τε* Thom. Mag. l. c. 13 *τὰς* addidi, cf. p. 290, 19 15 *ὑπολείπῃ* D; *ὑπολείπειν* ci. Rsk., at cf. *πάσχει* v. 17 16 *μετ᾽ ἰσημερίαν* secl. Wil. 18 *μέχρισ* A^{r}D 19 *οἱ γεωμέτραι καλοῦσιν*] sc. cum circulum describunt *ταῦτά* AD 20 *ἀεὶ* A^1(corr. A^r) D 25 *τὸν* add. Rsk. 26 *τῷ θεῷ*] schol. A^r: *τὸν Ἥλιον λέγει*; cf. Heraclit. frg. 29 B. *Ἥλιος οὐχ ὑπερβήσεται μέτρα* (Kaibel) *ἄρκτου* scripsi: *ἄρκτουσ* O

βραχύτητας ἑκάστων τῶν χρόνων ἔξεστι συλλογίζεσθαι· ὅτε δ' αὐτὸ τοῦτο ὁμολογεῖται περὶ Νείλου, μηδέπω καὶ νῦν εὑρῆσθαι πόθεν ὁρμᾶται καὶ τί τὸ νότιον πέρας αὐτοῦ, πῶς οἷόν τε τὴν αἰτίαν 453 D *ζητεῖν ἢ πῶς εἰπεῖν πόθεν αὔξεται; ἀλλ' ἴσως οὐκ ἐπὶ τούτου μόνον, ὥσπερ ἔφην, ἀλλὰ καὶ ἐπ' ἄλλων χαλεπὸν τὰς αἰτίας ἐξευ-*
40 *ρεῖν. τέτταρα δὲ ἐπὶ πᾶσι σημεῖα ποιησάμενος τοῦ μὴ τὰ νέφη μηδὲ τοὺς ἐτησίας ἀνάγειν τὸ ῥεῦμα, καὶ δὴ καταλύσω τὸν περὶ τούτου λόγον. ὧν ἓν μέν ἐστιν τὸ καὶ πρὶν ἐτησίας συμβῆναι πολλάκις αἴρεσθαι τὸν ποταμόν, δεύτερον δὲ τὸ μὴ καὶ συμβάντων ὅλως, τρίτον δὲ καὶ τέταρτον τούτοις ἀκόλουθα τὸ μὲν ὡς οὐ τηνικαῦτα μέγιστος ἐπέρχεται, ἡνίκ' ἂν μέγιστοι καταίρωσιν ἐτησίαι καὶ νέφη πλεῖστα κινήσωσιν, τὸ δ' ἐναλλὰξ ὡς οὐ τηνικαῦτα αὖ βραχύτατος, ἡνίκ' ἂν τὰ πνεύματα κοῦφα συμβῇ, πάντα ταῦτα εἰκὸς ὂν οὐχ ὡς νῦν ἔχειν, εἴπερ οἱ ἐτησίαι κύριοι τοῦ ῥεύματος ἦσαν, ἢ κατὰ στόμα εἴργοντες ἢ πληροῦντες ἐξ οὐρανοῦ.*
41 *Ἵνα δὲ καὶ τὴν Ἡροδότου γνώμην μὴ παντάπασιν ἀτιμάσωμεν ὡς δὴ τὸ παράπαν οὐδ' ἀντειπεῖν ἄξιον, φέρε σκεψώμεθα ἃ κἀκείνῳ περὶ τούτων δοκεῖ. φησὶ* (II 24 sq.) *δ', εἴ τι μεμνήμεθα, ἀπελαυνόμενον τὸν ἥλιον ὑπὸ τῶν ἐνταυθοῖ χειμώνων ἔρχεσθαι τῆς Λιβύης τὰ ἄνω καὶ τήκειν τὸ ὕδωρ, τήκοντα δὲ ἐλάττω ποιεῖν τὸν Νεῖλον τοῦ χειμῶνος ἢ τοῦ θέρους. ἔστι δὲ τοῦτο οὐκ εἰπεῖν πῶς ὁ Νεῖλος αὔξεται, ἀλλὰ πῶς μειοῦται συμπλάσαι· ὅτι μὲν γὰρ τοῦ χειμῶνος καθαρώτατός ἐστιν ὁμολογεῖται παρὰ πάντων, τούτου δὲ οὕτως ἔχοντος αὔξοιτ' ἂν τοῦ θέρους, ὅτ' ἐστὶ μείζων ἅμα καὶ θολερώτερος. ἔτι οὖν μένει τὸ ζητούμενον, ἕως ἄν τις* 454 D *μὴ δείξῃ τοῦτο, πῶς ὁ ῥοῦς ὑψοῦται· τὸ γὰρ κύριον καὶ πρῶτον*
42 *αὐτοῦ ῥεῦμα τὸ χειμερινὸν φαίνεται. ἄνευ δὲ τούτων, εἰ μὲν τοσοῦτον ἦν τὸ διαφέρον παρὰ τὴν χειμερινὴν τοῦ ἡλίου πορείαν ὥστε ποιεῖν θέρος περὶ τὴν ἐκεῖ γῆν, ὅταν ἐνταῦθα χειμὼν ἱστῆται, καὶ πάλιν αὖ χειμῶνα, ὁπόταν θέρος ἱστῆται παρ' ἡμῖν, ἴσως ἂν ἦν παραδέξασθαι· νῦν δ' ὅτι μὲν οὐκ ὀλίγον θέρμη προφέρει* 342 J

αι

1 *βραχυτάτασ* D 2 *ὁμολογεῖτε* A pr. m. 3 *νότειον* AS[1] 9 *μὴ καὶ*] *καὶ μὴ* ci. Wil.; quod mihi necessarium non videtur: 'Nilus augetur, si etesiae non flant, non augetur vel flantibus illis; quibus convenit, quod quo tempore etesiae validissimi, Nilus non maximus, et quo illi lenissimi, non minimus hic'; per *χιασμόν*, quem dicunt, argumenta collocata 14 *εἴπερ οἱ* U: *ὥσπερ οἱ* AS[1]D, *ὥσπερ εἰ οἱ* TS[2] 17 *ἄξιον*] sine *ὄν*, cf. ad p. 83, 27; fort. praestat *ἀξίαν* Rsk. *φέρε δὴ σκεψώμεθα* D 17 *ἃ* — 18 *μεμνήμεθα* A: om. SDUT 23 *γὰρ* om. D 24 *αὔξοιτ' ἂν*] urgendum hoc est (propter Reiskium moneo) ut oppositum ad *μειοῦται*: cum aqua hiemalis genuina sit, consentaneum est non quaeri, quomodo haec ex australi fluminis vi diminuatur, sed quomodo ad australem augeatur

τἀκεῖ τῶν παρ᾽ ἡμῖν τοῦ χειμῶνος οὐδεὶς ἀντιλέγει· οὐδὲν μὴν κωλύει καὶ κατ᾽ αὐτοὺς ἐκείνους ἐλάττω τὸν ἥλιον τοῦ χειμῶνος ἢ τοῦ θέρους ἔχειν τὴν ἰσχύν· οὐδὲ γὰρ τοῦ θέρους δήπου περὶ μὲν τὴν ἄρκτον καὶ τὴν ταύτῃ γῆν ἰσχύειν αὐτὸν φήσομεν, Αἰγύπτου δὲ καὶ Λιβύης ἀποχωρεῖν, ἀλλ᾽ ἐκεῖ καὶ μᾶλλον κάει, μάλιστα μέν, οἶμαι, ἐν Αἰθιοπίᾳ, ἔπειθ᾽ ὥσπερ εἰκὸς ἐν Αἰγύπτῳ, μάλιστα μὲν ἐν τοῖς ἀνωτάτω, ἔπειτα ἑξῆς κατὰ λόγον, ἐπεὶ καὶ περὶ τὴν Σκυθικὴν γῆν καὶ τὸν Πόντον οὐδὲν κωλύει τὸ θέρος ψυχρότερον τοῦ θέρους τοῦ παρ᾽ ἡμῖν εἶναι πολλῷ γε, καίτοι τοῦ ἡλίου τὰ βόρεια ἐλαύνοντος τοῦ παντὸς οὐρανοῦ. καίτοι εἰ ἀντεστρέφοντο αἱ ὧραι 43
τοῦ ἔτους ἐν τοῖς τόποις τούτοις, ὁμοίως μὲν ἂν πρὸς μεσημβρίαν ἀπιόντος τοῦ ἡλίου καὶ χειμῶνα ποιοῦντος ταύτῃ θέρος ἦν κατ᾽ Αἴγυπτον καὶ τὴν τοῦ Νείλου λῆξιν, ὁμοίως δ᾽ ἂν πρὸς ἄρκτον ἐπανιόντος ἐπλεονέκτει θέρμη τὰ πρόσβορρα, ὃ πολλοῦ δεῖν οὕτως
455 D *ἔχειν φαίνεται. εἰκότως· κινεῖται μὲν γάρ, οἶμαι, [τὰ] πρὸς ἄρκτον,* 44
οὐ μὴν πληροῖ γε εἰς αὐτήν. οὐκοῦν ὅτε τοῦ θέρους αὐξανόμενος φανερός ἐστιν ὁ Νεῖλος, δῆλον ὅτι τοῦ γε χειμῶνος ἀδυνάτως ἔχει τήκεσθαι. εἰ γὰρ ἦν ὁ ἥλιος αἴτιος, εἶργεν ἂν τοῦ θέρους ἔτι μᾶλλον τὴν ἀνάβασιν, ἰσχυρότατός γ᾽ ὢν αὐτὸς αὑτοῦ τότε κἀκεῖ πολλῷ, ὥστ᾽ αὐτὸ ἐν αὐτῷ λύεται. εἰ μέν γε τηνικαῦτα ἐξέτηκεν, ἔθ᾽ ἧττον ἂν εἴα πληροῦσθαι νῦν· εἰ δὲ μὴ τήκει τοῦ χειμῶνος, οὐ διὰ τοῦτο ὁ Νεῖλος μείζων τοῦ θέρους. ὅμοιον δ᾽ 45
εἶναί μοι δοκεῖ τό τε ἀπελαύνεσθαι φάσκειν τὸν ἥλιον ὑπὸ τῶν χειμώνων καὶ τὸ τὸν Νεῖλον τῷ ἡλίῳ τήκεσθαι· ἀλλ᾽ οὔθ᾽ οἱ χειμῶνες τὸν ἥλιον ἀπελαύνουσιν, ὦ κάλλιστε λογοποιῶν — οὐδὲ γὰρ ἐφικνοῦνται τῆς τοῦ ἡλίου χώρας, ἀλλ᾽ ὁ ἥλιος ἀποχωρῶν κατὰ τὴν αὑτοῦ πορείαν καὶ φύσιν τοῖς ἀνέμοις παρέχει ψυχροῖς καὶ βιαίοις ἔτι μᾶλλον γίγνεσθαι —, οὔτε ὁ Νεῖλος τηκόμενος ὥσπερ ὁ Ξάνθος ὑπὸ τοῦ Ἡφαίστου τοῦ ἡλίου συστέλλει τὸ ῥεῦμα.

---

1 *οὐδὲ* U (non A) 5 *μάλιστα μὲν* — 6 *αἰγύπτωι* A: om. SDUT 6 *ὥσπερ εἰκὸς*] i. e. *κατὰ λόγον* 9 ⟨*ἐς*⟩ *τὰ βόρεια* Rsk. ('Boream versus' vert. Canter) 13 *τάξιν* (*λῆ* suprascr.) U pr. m. (*τάξιν* Junt.) *ἂν*] *αὖ* ci. Rsk. 14 *ἐπλεονέκτει τῇ θέρμῃ* T *πρόσβορρα* AS¹: *πρὸσ βορρᾶν* DUTS² 15 *τὰ* seclusi; *τὴν πρὸς ἄρκτον* sc. *ὁδὸν* ci. Rsk.; displicet, quia fieri non potest, quin falso *αὐτήν* ad *ἄρκτον* referatur; *πληροῖ* (sc. *τὴν κίνησιν*): cf. p 282, 18 *ἄρκτου* D 19 *ἰσχυρότατός* Rsk.: *ἰσχυρότερόσ* O 20 *αὐτῷ* D p. corr. S²: *αὐτῷ* O *τηνικαῦτα* — 21 *νῦν*] hieme — aestate 21 *ἐξέτηκεν* Canter: *ἐξέστηκεν* O, cf. p. 282, 28 *τήκει* DUTS²: *τήκηι* A (certo S¹) 27 *αὐτοῦ* O (corr. Junt.) 28 *ἔτι*] *ἐπὶ* ci. Rsk. *ὥσπερ κτἑ.*] Hom. Φ 361 sqq. 29 *τοῦ ἡλίου* om. T, lineola transfixa del. S, ut vid., pr. m. (iterum restituit S²)

46 Ἀλλὰ γὰρ εὐφημότατα καὶ κάλλιστα εἰρηκὼς Ἡρόδοτος περὶ
Αἰγύπτου καὶ Νείλου ὀλίγα τῶν ἀληθῶν εἰρηκέναι κινδυνεύει, οὐχ
ὡς ἐπὶ τὸ μεῖζον αἴροντος αὐτοῦ λέγω πάντα, ἐπεί τοι τινά γ' 343 J
ἔσθ' ἃ καὶ μείζω παρέλιπεν ὧν εἶπεν, ἃ νῦν οὐδὲν ἐπείγει λέ-
γειν, ἀλλ' ἅ γε τῶν ὄντων ἑτέρως εἴρηκεν, οἷον ἢ ὡς ὑπὲρ Ἡλίου
πόλιν τεττάρων ἡμερῶν πορείαν αὖθις εὐρεῖα Αἴγυπτος, ἥ γε οὕ-
τως εἰς στενότερον αἰεὶ κλείεται καὶ πρὸς γωνίαν ὥστε ὁ Νεῖλος
εἰς αὐτὴν ὑπερβάλλει δι' ἀμφοῖν τῶν ὀρῶν ἤδη συμπεπτωκότων· 456 D
καὶ τοῦτ' εἰσὶν οἱ καταρράκται, ἡ διὰ τῶν ὀρῶν τοῦ ποταμοῦ κατά-
βασις, Αἰγύπτου πάσης ὡσπερεὶ κορυφή, ὥστ' ἔτι προσπλέων
τῷ κατ' Ἐλεφαντίνην ὅρμῳ εἰκάσειας ⟨ἂν⟩ κεκλεῖσθαι τὸ ῥεῦμα· μὴ
γὰρ ὅτι Αἴγυπτος εὐρεῖα ἔτι, ἀλλὰ καὶ τὸ ῥεῦμα τοῦ Νείλου στενὸν
ἤδη φαίης ἂν ὑπορρεῖν ὑπὸ τῆς πέτρας αὐτόν. ἴδοις δ' ἂν καὶ
πρὶν εἰς Ἐλεφαντίνην τελέσαι πρὸ οὐκ οἶδ' ὁπόσων τινῶν σχοί-
νων συνιόντα οὕτω τὰ ὄρη ὡς μέσον εἶναι μηδὲν πλὴν τοῦ ῥεύ-
ματος αὐτοῦ, καὶ ταὐτὸ ἐνταῦθα εὖρος Αἰγύπτου ὅπερ τοῦ πο-
47 ταμοῦ. ἢ τἆλλα ἄν τις ἐλέγχῃ τῶν ἐκείνου, πόσον ἔργον ἐπεξελθεῖν·
ὅς γέ φησιν (II 28) καὶ περὶ τῶν πηγῶν δήπου τοῦ Νείλου πυ-
θέσθαι παρὰ τοῦ γραμματιστοῦ τοῦ Σαΐτου ὡς ἄρ' εἴη ὄρη δύο
μεταξὺ Συήνης καὶ Ἐλεφαντίνης, τούτων δὲ τῶν ὀρῶν ἐκ τοῦ μέσου 457 D
ῥέοιεν αἱ πηγαί, καὶ τὸ μὲν ἥμισυ τοῦ ῥεύματος ἐπ' Αἰθιοπίας
καὶ νότου ἀνέμου ῥέοι, τὸ δ' ἕτερον ἥμισυ ἐπ' Αἰγύπτου ⟨καὶ πρὸς⟩
τὰ βόρεια. καίτοι ἥ γ' Ἐλεφαντίνη, μέχρι ἧς ἀναπλεῦσαί φησιν
(II 29), ὑπ' αὐτοῖς σχεδὸν τοῦ Νείλου τοῖς καταρράκταις ἐστίν,
ἀπέχουσα μάλιστα ἑπτὰ σταδίους· ἀνέπλευσα γὰρ οὖν ἔγωγε καὶ
48 αὐτὸς καὶ εἶδον ἀκριβέστερον ἢ ἔδει φασίν. εἰ δὲ δεῖ κατ' αὐτὸν
Ἡρόδοτον καὶ παρεξελθεῖν ψυχαγωγίας ἕνεκα καὶ μὴ δέον, ἔξω

---

4 εἶπεν ἃ scripsi: εἰπεῖν αὖ O; ὧν πέρι τὰ νῦν οὐδὲν ci. Rsk. (at cf. Schmid p. 64) 5 ἢ] del. Rsk.; at respondet ἢ v. 17 ἡλιούπολιν O 6 τεττάρων κτέ.] Herod. II 8 ὅσον τε ἡμερέων τεσσέρων (sic libri ut Aristid.; καὶ δέκα add. Dietsch) ἀναπλόου ἐστὶ στενὴ Αἴγυπτος — τὸ δ' ἐνθεῦτεν αὖτις εὐρέα Αἴγυπτός ἐστι 7 στενότερον scripsi: στενὸν O ἀεὶ A^1 (corr. A^r) D 9 καταράκται U^1 10 ὥστε ἔτι SDT 11 εἰκάσειας ἂν scripsi: εἰκάσειϲ O μὴ γὰρ — 12 ῥεῦμα A: om. SDUT 13 ἴδηϲ D 16 ταὐτὸ Rsk. ('eadem — latitudo' vert. Canter): τοῦτο O 17 ante ἢ lacunam ind. Ddf.; ἦ ci. Rsk.; falluntur; resumit orator ἢ v. 5 ἐλέγχῃ Junt.: ἐλέγχοι O; ἄν τις ἐλέγχῃ, si quis refutare conetur 20 συίνηϲ AST, item p. 280, 26; 281, 1; 284, 12 21 αἰθιωπίαϲ S a. corr. 22 καὶ πρὸς addidi ex Herod. l. c. 26 φασίν] proverbium mihi ignotum; εἶδον ἀκριβέστερον ἢ ἤκουσά φασιν requirit Kaibel coll. Heraclit. frg. 15 B et quae Leutsch ad Paroemiogr. Gr. II 744 δεῖ καὶ κατ' U (Junt.) 27 μὴ δέον Wil.: μηδὲν O

τοῦ προκειμένου τὸν λόγον ἐξάγοντα, οὕτως συνέβη. ὡς ἀνήειν ἐπὶ τοὺς βωμοὺς οὗ τοῖς Αἰθίοψίν ἐστιν ἡ φρουρά, πολὺ τῆς ὄχθης ἀποσπάσας τοῦ ποταμοῦ, ὑπερβὰς ἐπὶ τὸν ὅρμον, ὅς ἐστι πρῶτος ὑπὲρ Καταδούπων, εἰς Φίλας διέβαλον. ἔστι δ' αὕτη νῆσος μεθόριον Αἰγύπτου καὶ Αἰθιοπίας, τοσαύτη τὸ μέγεθος ὅσηπερ ἡ ἐν αὐτῇ πόλις· περιρρεῖ δ' αὐτὴν ὁ Νεῖλος ἀκριβῶς μέσην ἑαυτοῦ ποιῶν. ἐπεὶ δ' ἐπανήειν, ἐχώρουν μὲν πάλιν τὴν αὐτὴν ἀπὸ τῶν Φιλῶν, καὶ προσεδόκων νῦν γέ που τοὺς καταρ-
344 J ράκτας ὄψεσθαι, καὶ τοὺς ἄγοντας ἀνηρώτων, οἱ δ' ἠγνόουν. οὕτω 49
δὴ γενόμενος πάλιν ἐν τῇ Συήνῃ, ἣν ἀπὸ τῆς Ἐλεφαντίνης ὁ Νεῖλος διαιρεῖ, δέομαι τοῦ φρουράρχου, καίτοι φαύλως ὑπ' ἀρρωστίας διακείμενος, πέμψαι με ὀπίσω πλοῖόν τι κοῦφον δόντα τῆς θέας εἵνεκα τῶν καταρρακτῶν, συμπέμψαι δὲ καὶ τοὺς ἀναγκάσοντας τοὺς ἐν τῇ νήσῳ τῶν καταρρακτῶν — εἰσὶ δ' οὗτοι ναῦται συνήθεις τοῦ ῥεύματος — ἐπιδεῖξαι ἡμῖν αὐτούς τε καὶ τὸ θέαμα δὴ τὸ ναυτικὸν ὅ τι εἴη· ἐπυνθανόμην γὰρ τῶν αὐτόθι· ὁ δὲ μάλα μὲν ἐργῶδες ἔφη εἶναι καὶ ἐθαύμαζε τὴν γνώμην, οὔκουν αὐτός γε μέχρι τούτου θαρρῆσαι, ἠρνήθη δὲ οὐ τό γε παντελές,
458 D ἀλλ' ἐπειδὴ πειρώμενος ἀποτρέπειν οὐκ ἔπειθεν, οὕτω πέμπει,
καὶ τἆλλα ἔχων οἰκείως καὶ βουλόμενος χαρίζεσθαι. ἀνέπλευσα 50
δὴ κἀκείνους τε ἱέντας ὑπὲρ τῶν σκοπέλων, ὥσπερ εἰώθεσαν, εἶδον ἀπ' ἄκρας τῆς νήσου, ἣ ἀνέχουσα ἐκ μέσου περιφανεῖς πανταχῇ ποιεῖ τοὺς καταρράκτας, καὶ προσέτι αὐτὸς ἐπεθύμησα εἰς τὸν λέμβον ἐμβὰς πειραθῆναι τοῦ πλοῦ, οὐ μόνον διὰ τῶν αὐτῶν δι' ὧνπερ ἐκείνους εἶδον κατενηνεγμένους, ταῦτα δ' ἦν τὰ πρὸς ἕω τῆς νήσου, ἀλλ' ἀρξάμενος αὐτόθεν περιπλεῦσαι κύκλῳ πᾶν τὸ δρώμενον, καὶ κατὰ τὴν ἑτέραν τῆς νήσου πλευρὰν ἀφεῖναι κατὰ ῥοῦν ἐπὶ τὰς πόλεις. ὅπερ οὖν λέγω οὐκ ἀκούσας, ἀλλ' ἰδὼν ἀκριβῶς οἶδα, ὅτι ἥ τ' Ἐλεφαντίνη ὑπ' αὐτοῖς ἐστι τοῖς καταρράκταις μεταξύ τε Συήνης καὶ Ἐλεφαντίνης οὐδέν ἐστιν ἀλλ' ἢ τὸ ῥεῖθρον τοῦ ποταμοῦ καὶ προσοικεῖ τὴν ὄχθην ἑκατέρα τῶν
πόλεων τούτων. εἰ τοίνυν Ἡρόδοτος εἰς Ἐλεφαντίνην ποθ' ἧκεν, 51

---

1 *οὕτω* U   3 *ἀποσπάσας*] intransitive ut Xenoph. anab. VII 2, 11, ubi temere *ἀποχάσας* Krügerum coniecisse noster locus docet. vetustissimam viam etiamnunc ex parte servatam Aristides sequebatur, quae longe recedens a Nili litore dextro per medium desertum a Syene ad Philas ducebat   4 *διέβαλλον* S a. ras.   10 *συίνηι* AST(*-η*)   11 *φρουράρχου*] Strab. XVII 817 *εἰσὶ δ' ἐνταῦθα* (Syenae) *τρεῖς σπεῖραι Ῥωμαίων ἱδρυμέναι φρουρᾶς χάριν*   13 *εἵνεκα* sic O   *καταρακτῶν* T   14 *τῇ νήσῳ*] nunc Bigeh   15 *τὸ θέαμα*] § 50; idem narrant Strab. l. c. Senec. n. qu. IV 2, 6   22. 23 *πανταχῆι ποιεῖ* A, *ποιεῖ πανταχῇ* DU: *πανταχῆι* ST(*-ῇ*); *ποιεῖ* suspectum, aptius *παρέχει*

ὥσπερ εἴρηκεν (II 29), *ἔσθ᾽ ὅπως πρῶτον μὲν ἀκοὴν διηγεῖτο
περὶ ὧν εἶδεν, ἔπειθ᾽ οὕτω ψευδῆ ὥστε πρῶτον μὲν περὶ τῶν
ἀρχαίων πηγῶν τοῦ Νείλου ζητῶν καὶ φήσας οὐδενός πω τἀληθὲς
ἀκοῦσαι, ἀλλὰ τόδε μὲν ἤκουσα τοῦ γραμματιστοῦ γράψαι, καὶ
ταῦτα τοῦ ἐν τῷ Σαϊτικῷ νομῷ περὶ τῶν ἐν Ἐλεφαντίνῃ; ἢ μνη-
σθείς, εἰ μηδὲν ὧν ἤκουσεν εἶχε σιωπῆσαι, ⟨ἢ⟩ ἄλλοις ἂν ἢ τούτοις
52 οἷς ἐγὼ νῦν εἶπον ἐλέγχοις ἐπὶ τὸν λόγον χρήσασθαι; νῦν δέ* 459 D
*φησι μὲν ὡς παίζειν αὐτῷ δοκοίη ὁ γραμματιστής, δι᾽ ὧν δ᾽
εἰκὸς ἦν ἐλέγχειν, ἀπέλιπεν, ὅτι πρῶτον μὲν ἀπὸ πολλοστοῦ μέ-* 345 J
*ρους ἤρξατο φράζειν αὐτῷ τὰς πηγάς — πολλῶν γὰρ μηνῶν ἀνά-
πλουν ὑπὲρ τὸν τόπον τοῦτον ἔτι ὁ Νεῖλος γιγνώσκεται —, ἔπειθ᾽
ὅτι ἀμήχανον οὗ μή ἐστι ῥεῖν τῷ ποταμῷ κατὰ συνήθειαν, ἀλλὰ
ὑπὲρ τῶν πετρῶν καταρρήγνυσι βιαζόμενος τὴν κατάβασιν, ἐν-
ταῦθα ἄνω φέρεσθαι τὸ ἥμισυ τοῦ ῥεύματος, ὥσπερ οἱ πρὸς τὰ
ὑψηλὰ ὄρνιθες. τὸ γὰρ δὴ λεγόμενον οὐχὶ ἄνω ποταμῶν τοῦτ᾽
ἂν εἴη χωρεῖν, ἀλλ᾽ ὀρῶν ἄνω χωρεῖν τὰς τῶν ποταμῶν ἀκούειν
πηγάς. ἀλλ᾽ οὔτ᾽ ἐλθὼν εἰς Ἐλεφαντίνην οὔτε σαφὲς περὶ τού-
των εἰδὼς οὐδὲν κέχρηται λόγῳ πειθομένοις μὲν κεχαρισμένῳ,
53 ἀπιστοῦσι δ᾽ ἔχοντι ἀναφοράν. ἔπειτα ἐπὶ τούτοις προειρημέ-
νοις φησίν, εἰ ἄρα ταῦτ᾽ ἀληθῆ, δοκεῖν αὐτῷ δίνας ἐνταῦθα εἶναι
καὶ παλιρροίας τοῦ ποταμοῦ. καὶ τί δεῖ παλιρροίας καὶ δίνας* 460 D
*λέγειν, ἀμελήσαντα ὅτι οὔτ᾽ αὐτόθεν ὁ Νεῖλος ὁρμᾶται, ἀλλὰ
πολὺ πλείων ὁ ἄνω τόπος αὐτόθεν ἤπερ ὁ πρὸς θάλατταν, οὔθ᾽
ὑπὲρ τοὺς καταρράκτας δυνατὸν τὸ ὕδωρ ὑπερβαλεῖν, εἰ μὴ κατ᾽
Αἰσχύλον ὡς ἀληθῶς ἐξ αἰθέρος τις αὐτὸ καταπαλτὸν φέρεσθαι
θείη, οὔτ᾽ ὅρος οὐδέν ἐστι μεταξὺ Συήνης καὶ Ἐλεφαντίνης, ἀλλὰ
μᾶλλον ἐν τῷ μεταξὺ τῶν ὀρῶν ἥ τε Συήνη καὶ ἡ Ἐλεφαντίνη.
54 οὐ μὴν ἅπαν ψεῦδος τὸ εἰρημένον, ἀλλ᾽ εἰσὶ μὲν [αἱ] πηγαὶ ἐν*

---

2 *πρῶτον μὲν*] del. Rsk. (prob. Ddf. Wil.); at videtur *ἔπειτα* v. 19 respondere 3 *οὐδενός ποτ᾽ ἀληθὲσ* AS^1 5 ante *ἢ* lacunam statuit Rsk. (prob. Ddf.), fallitur; aut ex *ἔστ᾽ ὅπως* v. 1 mente *οἷός τε ἦν* vel simile quid, unde pendeat *χρήσασθαι*, supplendum, aut (quod Wil. suadet) sumendum auctorem per neglegentiam quandam infinitivum ad *ὥστε* v. 2 (pro *ἔσθ᾽ ὅπως*) rexisse; ʽan (si Herodotus omnino ad Elephantinam usque pervenisset) potuit ⟨aut⟩ aliis (ab ipso excogitatis) aut iis quae ego adhibui uti argumentis᾽ 6 ⟨*ἢ*⟩ addidi 8 *αὐτῷ* O *δ᾽* om. U^1 9 *ἀπέλιπεν* A: *καὶ ἀπέλιπεν* SDUT 11 *γινώσκεται* U 15 *τὸ — λεγόμενον*] cf. ad p. 244, 6 *τοῦτ᾽* om. U^1 16 *ὁρῶν* DU a. corr. T 17. 18 *εἰδὼσ περὶ τούτων* U 19 *τούτοισ* AS^1: *τούτοισ τοῖσ* DUTS^2 23. 24 *οὔτε|ὑπὲρ* D 25 *Αἰσχύλον*] Nauck^2 ad frg. 300 (cf. supra p. 269, 17) rettulit, iniuria: v. *καταπαλτός* quam Aristidem ex ipso Aeschylo deprompsisse est certum, non est in versibus illis; novum Aeschyli fragmentum agnosco 27 *συίνη* S *καὶ ἡ* S: *καὶ* ADUT 28 *αἱ* seclusi; de re cf. Wiedemann, Herodots 2. Buch p. 114 sqq.

τῷ μεταξὺ Συήνης καὶ Ἐλεφαντίνης ὡς ἀληθῶς — πέτραι
μεγάλαι δύο ἐν μέσῳ τῷ πόρῳ ἀνέχουσι καὶ τὸ μέσον αὐτῶν
Αἰγύπτιοί φασιν εἶναι πηγάς —, εἰσὶ δ' οὐ παντὸς αὗται τοῦ
ποταμοῦ, ἀλλὰ τῷ πρὸς Αἰγύπτου κάτω συντελεῖς, οὐκ ἀρχαῖαι.
καὶ μὴν καὶ τὸ βάθος γε οὐκ ἐφικτὸν ἔφασκον εἶναι πειρωμένῳ,
πειρᾶσθαι δὲ οὐ συμφέρειν· τοῦτό με καὶ ἀπέτρεψεν ὄντα πρὸς
αὐτῷ καὶ δή, οὐ γὰρ ἦν τοσοῦτον τὸ διάφορον. αὗται οὖν αἱ πηγαὶ
κατὰ φύσιν που ῥέουσι, καὶ οὐ μόνον τῷ λόγῳ πείθομαι ὅτι εἰσὶν
αὐτόθι πηγαί, ἀλλὰ καὶ αὐτῷ τῷ πράγματι· πολὺ πλείων ἀπὸ
461 D τούτων ὁ ποταμός ἐστιν καὶ τὸ εὖρος καὶ ἅπας ὡς ἔπος εἰπεῖν,
καὶ πλοῖα μείζω δέχεται προϊὼν καὶ οὐ μείζω μόνον ἀλλὰ καὶ
346 J πολλῷ· καίτοι τοὐναντίον οἱ ποταμοὶ πάσχουσι· προϊόντες ἐλάτ-
τους γίγνονται, ὅταν μὴ ἄλλο ὕδωρ ἐπιβοηθῇ. Εἰ δὲ δεῖ καὶ 55
περαιτέρω ἀναβῆναι, ἐρῶ σοι δι' ὀλίγων ἃ ἤκουσα ἀνδρὸς Αἰθίο-
πος τῶν ἐκεῖ δυνατῶν. ὁ μὲν γὰρ ὕπαρχος ἀπὼν ἐτύγχανεν, ἡνίκα
ἡμεῖς ἐπέβημεν τοῦ χωρίου, ἐπιτροπὴν δέ τις ἔχων ἦν, ὃς ἐμοὶ
δι' ἑρμηνέων εἰς λόγους ἧκεν. καὶ ὅσα μὲν ἔξω τοῦ παρόντος
ἐστὶ λόγου, παραλείψω, ἔφη δ' εἰς Μερόην, ἥπερ ἐστὶν πόλις με-
γίστη τῶν ἐν Αἰθιοπίᾳ καὶ οὗ τὰ βασίλεια τῶν Αἰθιόπων, τετ-
τάρων, οἶμαι δὲ καὶ ἓξ εἶπε μηνῶν αὐτόθεν εἶναι πλοῦν, καταρ-
ράκτας δὲ ἐκδέχεσθαι πολλοὺς ἄλλους ἐπ' ἄλλοις, σχεδὸν εἰς ἓξ
καὶ τριάκοντα τοὺς σύμπαντας ὑπὲρ Ψέλχιν μέχρι Μερόης, καὶ
τοῦτο πᾶν εἶναι τὸ γιγνωσκόμενον δὴ ῥεῦμα τοῦ ποταμοῦ. Με- 56
ρόης δὲ ἐπέκεινα οὐ μέμνημαι ἐφ' ὁπόσον τι ἔφη οὐκ εἶναι τὸ
ῥεῦμα καθ' ἕν, ἀλλὰ δύ' εἶναι ῥεύματα, ὧν τὸ μὲν ἕτερον γήινον
τὴν χρόαν, τὸ δ' ἕτερον ἀέρος ἐγγύς· ταῦτα δὲ συνιόντα καὶ μιγνύ-
μενα γίγνεσθαι τὸν Νεῖλον τοῦτον. τὰ δὲ ἄνω οὔτ' αὐτὸς ἔφη
ἔτι γιγνώσκειν οὔτ' ἄλλον Αἰθιόπων οὐδένα εἴς γε τὸ παντελές,
ἀλλ' εἶναι μὲν ἀνθρώπους μέλανας — μελαντέρους ἑαυτῶν τε καὶ
τῶν ὁμόρων — τοὺς ὑπὲρ αὐτῶν αἰεί· εἰς ἄκρον δὲ οὐκ ἔχειν ἀνενεγ-
κεῖν ὅθεν καὶ δι' ὧν φέρεται τὰ πρὸς πηγῶν ὁ ποταμός. καίτοι 57
πῶς οὐκ ἄτοπον καὶ ὑπερφυὲς Αἰθίοπας μὲν ὁμολογεῖν μὴ ἔχειν
εἰπεῖν τοῦ Νείλου τὰς πηγάς, ἡμᾶς δὲ αἰεὶ τούτου μὲν ζητου-

2 ἀνέχουσαι ci. Canter (Rsk.) 4 τῷ Rsk.: τῶν O 7 καὶ δή] ἤδη ci. Valckenaer in notis ineditis, non necessarium 9 πολὺ ⟨γὰρ⟩ πλείων Rsk., at idem asyndeton v. 1. 6. 12 11 δέχεται DUTS p. ras.: διέρχεται AS a. ras. 12 προϊόντες ⟨γὰρ⟩ ἐλάττους Canter, cf. ad v. 9 13 γίνονται U 14 ἀναβῆναι scripsi: διαβῆναι ASDT, προβῆναι U (cf. πρόειμι p. 282, 8) 17 ἑρμηνέωσ U 22 ψέλχειν A[1] (corr. A[r]), cf. p. 289, 4 sq. μερρόησ D 23 γινωσκόμενον U 24 ἐφ' Kaibel: μεθ' O 28 ἔτι om. D γινώσκειν U 30 αὐτῶν O ἀεὶ A[1] (corr. A[r]) 33 αἰεὶ sic O

μένου, εὑρημένου δὲ οὐδέπω καὶ νῦν, τίς ἡ τῆς ἀναβάσεως αἰτία φροντίζειν καὶ τὸ πρῶτον, φασίν, οὐκ εἰδότας τὸ δεύτερον ζητεῖν; καὶ ταῦτ' οὐχ ἵν' Ἡροδότῳ πρὸς ἀηδίαν ἐπιτιμήσω διεξῆλθον — 462 D
οὔτε γὰρ ἄλλως τῶν ἠσκηκότων ἔγωγε τὸ τοιοῦτον, ἀλλ' οὐδὲ τοῖς ποιοῦσι συγχαίρω, Ἡροδότῳ τε καὶ αὐτοῦ τοῦ ἔρωτος χάρις, ὃν ἡμῖν πρῶτος ἐνέβαλεν Αἰγύπτου, καὶ τἄλλα, φασὶν οἱ παρρησιαζόμενοι, φίλος ἀνὴρ —, ἀλλ' οὔπω περὶ τούτων τἀληθὲς εἴρηται.
58 *Πρόειμι δὲ πορρωτέρω τῶν ἐλέγχων, ἵνα ὥσπερ κεφαλαίῳ κατακλεισθεὶς ὁ λόγος βεβαιωθῇ. ἄρχεται μὲν γὰρ ἡ ἀνάβασις τροπαῖς θεριναῖς ἢ ὀλίγῳ βραδύτερον· τότε δ' Αἰγύπτου τῶν πρὸς Αἰθιοπίαν καὶ Λιβύης τῶν πρὸς Αἴγυπτον ὑπὲρ κεφαλῆς* 847 J
ὁ ἥλιος ἵσταται. ὃ δῆλον ἐκ δυοῖν τῶν μεγίστων σημείων, ὧν
59 *οὐδέτερον περὶ τὴν ἄλλην συμβαίνει γῆν, ὅσην ἡμεῖς οἰκοῦμεν. δυοῖν γὰρ ὄντοιν πολισμάτοιν, οἷν ἀρτίως ἐμνήσθην* (§ 53 sq.) *ἐπ' ἄκροις τῆς Αἰγύπτου — Φίλας γὰρ τὰς ὑπὲρ τῶν καταρρακτῶν μεθόριον Αἰγύπτου λέγω καὶ Αἰθιοπίας — ἐν μὲν Ἐλεφαντίνῃ λάμπεται πάντα, καὶ νεῴ καὶ ἄνθρωποι καὶ στῆλαι, καὶ οὐδὲν ἔχει σκιὰν τῆς μεσημβρίας, ἐπειδὰν τὴν μεγίστην ὁ ἥλιος πληροῖ· ἐν δὲ Συήνῃ τῆς αὐτῆς ἡμέρας τε καὶ ὥρας μέσος ἐν μέσῳ τῷ ἱερῷ φρέατι ὁ κύκλος τοῦ ἡλίου φαίνεται, ὥσπερ ἐπίθημα, ἴσον παν-*
60 *ταχόθεν πρὸς τὸ χεῖλος ἐλλείπων. καίτοι τοῦτ' ἀμφοτέρων ἐστὶ* 463 D
σημεῖον, τοῦ τε μὴ τοῦ χειμῶνος ἐγγυτέρω τῆς Λιβύης γίγνεσθαι τὸν ἥλιον ἢ τοῦ θέρους, εἴ γε δὴ δυοῖν ὄντοιν τῆς Αἰγύπτου μερῶν ἐπὶ τῆς Λιβύης ἡ Ἐλεφαντίνη πεπόλισται· πάντα γὰρ ἐνταῦθα ἤδη συμπέπτωκεν, Αἴγυπτος, Ἀραβία, Λιβύη, Αἰθιοπία, τὰ μὲν ἔνθεν, τὰ δὲ ἔνθεν εἰς ταὐτὸν ἥκοντα· ἔπειτα εἰ τὰ μάλιστά τις αὐτῷ δοίη τὸ τὸν ἥλιον τῇ Λιβύῃ πλησιάζοντα τήκειν τὸ ὕδωρ, αὐτὸ τοῦτο κατ' αὐτοῦ γίγνεται. εἰ γὰρ ἐξέτηκε τοῦ χειμῶνος τὸν ποταμὸν διὰ τὸ προσχωρεῖν, δῆλον ὅτι τοῦ γε θέρους,
61 *ὁπηνίκα ἔστη κατ' αὐτοῦ, παντελῶς ἀναρπάσας ᾤχετ' ἄν. οὐ γὰρ ἄλλον γέ που τρόπον ἐγγυτέρω τῆς γῆς ἔνι γίγνεσθαι φῆσαι τὸν*

---

1 *εὑρημένου* A: om. SDUT 2 *φασίν*] nescio quem dicat; cf. p. 287, 21 sq. 6. 7 *οἱ παροιμιαζόμενοι* ci. Cobet Mnem. IX 435, falsus; cf. or. XXVIII § 1 7 *ἁνὴρ* Ddf.: *ἀνήρ* O; cf. Paroem. Gr. I 315; II 656 17 *νεώι* sic A^r: *νεῴ* O 19 *συίνηι* AST(*-η*) *τε*] *δὲ* A^1 (corr. A^r) 21 *ἐλλείπων* A^1: *ἐλλάμπων* SDUTA^r mg.; 'tam accurate solis orbis medium tenet in puteo, ut undique eodem interiecto intervallo ab ora aquae distet'; ex iis, quae de hac re Wiedemann l. c. p. 118 adnotat, apparet Aristidem haec sua auctori antiquiori debere 22 *τε*] respondet *ἔπειτα* v. 26 (Rsk.) 23 *δὴ*] *δεῖ* T 27 *τὸ* US^2 (Junt.): *τοῦ* AS^1DT 28 *κατ' αὐτοῦ*] contra Herodotum 30 *κατ' αὐτοῦ*] malim *κατ' αὐτὸν*, cf. Herod. II 24 *τῆς γὰρ ἂν ἀγχοτάτω τε ᾖ χώρης οὗτος ὁ θεὸς καὶ κατὰ ἥντινα*

ἥλιον ἢ ὅταν εἰς κάθετον ὑψωθῇ, ἐπεὶ ὅτι γε οὔτε τῇ Λιβύῃ πλη-
σιάζει ποτὲ ὁ ἥλιος οὔτ᾿ ἄλλῳ μέρει τῆς γῆς οὐδενὶ ῥαδίως ἂν
τις ἔχοι μαθεῖν. οὐ γὰρ μέρη τῆς γῆς ἐπέρχεται δήπου τὰ μὲν
θέρους, τὰ δὲ χειμῶνος, ἀλλ᾿ ἡ γῆ μᾶλλον ἐν μέρει τῆς ἐκείνου
περιφορᾶς ἐστιν. ἀλλ᾿ ἀπέχει μὲν τὸ ἴσον πάσης αἰεὶ τῆς γῆς,
οἷς δ᾿ ἂν ὑπὲρ κορυφῆς ἱστῆται τὰ μεσημβρινά, τούτοις πλείστην
φέρει τὴν φλόγα. φαίνεται τοίνυν οὐκ ἐπέχων οὐδὲ ἱστάς, οὐδ᾿ 62
ἀναρπάζων τὸν ποταμὸν τότε οὐδ᾿ ἐλάττω ποιῶν ἐκ μείζονος,
ἀλλ᾿ αὐξανόμενον καὶ προσθήκην αἰεὶ τῷ ῥεύματι λαμβάνοντα
ἐφορῶν † οὓς οὐ θαυμάζεις· καίτοι πότε λοιπὸν τήκεσθαι φή-
σομεν τῇ θέρμῃ τὸν Νεῖλον, εἰ ὑπό γε τὴν τοιαύτην ἀκμὴν ἀνιὼν
348 J ὁρᾶται; ὑποστρέψας τοίνυν ὁ ἥλιος ἐκ τροπῶν ἐπ᾿ Αἰθίοπας χω- 63
ρεῖ — λέγω δέ πως καθ᾿ Ἡρόδοτον .... τῷ ῥήματι —, ὥστ᾿ αἰεὶ τοῖς
ἀνωτέρω ταὐτὸν τοῦτ᾿ ἔχων σχῆμα πορεύεται· ταῦτα δ᾿ ἐστὶν ἡ
464 D τοῦ ποταμοῦ πορεία, ὥστ᾿ αἰεὶ παρῃρεῖτ᾿ ἂν οὐκ ὀλίγην μοῖραν
τοῦ ὕδατος καὶ κατὰ μικρὸν ἐξήραινεν ἄν, οὗ τοὐναντίον φαίνεται
ποιῶν, εἰ τοῦτ᾿ ἄρα εἰπεῖν δεῖ· μᾶλλον δ᾿ οὐχ ὁ ἥλιος, οἶμαι,
φαίνεται ποιῶν, ἀλλ᾿ ὁ Νεῖλος τοὐναντίον, εἴτ᾿ οὖν ποιῶν εἴτε
πάσχων δεῖ λέγειν. δέον γὰρ αὐτὸν λήγειν κατὰ μικρὸν πρὸς τὴν
τοῦ ἡλίου κίνησιν, ἀρξάμενος αὐξάνεσθαι αὔξει κατὰ μικρὸν αὐτὴν
τὴν ἐπίδοσιν, καὶ τὴν αὐτὴν ἀρχὴν καὶ τὴν αὐτὴν ἀκμὴν ὁ μὲν τοῦ
καύματος, ὁ δὲ τῆς ἐπιρροῆς παρέχεται.
'Ἀλλ᾿ ἄγε δὴ μετάβηθι', Ἐφόρου δὲ τοῦ φιλοσόφου καὶ σο- 64

---

3 μέρη A: μέρει SDUT 4 ἀλλὰ ST 5 ἀεὶ A[1] (corr. A[r]); item v. 9. 13. 15 7 ἀπέχων DU[1] οὐδὲ ἀναρπάζων A 10 οὖσ οὐ A[1], οὖσ συ sic A[r] (postea prior lectio restituta), οὖσ SDUT; ὃ σὺ ci. Rsk.; 'ὡσ θαυμάζων, ni forte plura desint' Canter; ἐφορῶν sc. ὁ Ἥλιος lacunam indicavi; vv. ὑποστρέψας — χωρεῖ paraphrasis (quare πως) sunt Herodot. II 25 πρηϋνομένου — ὀπίσω, non ipsa Herodoti verba; requiritur ergo Ἡρόδοτον ⟨εἰ καὶ μὴ χρώμενος αὐτοῦ⟩ τῷ 13 τοῖς] ο in ras. U[1], τῆσ T 17 εἰ τοῦτ᾿ — 18 ποιῶν] om. DU[1] (add. U[2] in mg. inferiore) 19 δέον γὰρ κτἑ.] sententia (propter Reiskium moneo) haec: non modo non imminuitur sensim sub sole Nilus, sed postquam crescere incepit, ipsos incrementi gradus sensim maiores reddit, ita ut et Nilus et sol eodem tempore et initium et cumulum ille incrementi hic aestus praebeant 23 ἀλλ᾿ ἄγε — 284, 1 ἄεισον] cf. Hom. θ 492 et p. 166, 4 Ἐφόρου] Diod. I 39 Ἔφορος δὲ καινοτάτην αἰτίαν (cf. p. 290, 7 γνώμην καινήν; ergo ipse Ephorus hac voce usus de sententia sua gloriatus erat) εἰσφέρων .... φησὶ γὰρ ἅπασαν τὴν Αἴγυπτον ποταμόχωστον οὖσαν καὶ χαύνην, ἔτι δὲ κισηρώδη τὴν φύσιν ῥαγάδας τε μεγάλας καὶ διηνεκεῖς ἔχειν· διὰ δὲ τούτων εἰς ἑαυτὴν ἀναλαμβάνειν ὑγροῦ πλῆθος καὶ κατὰ μὲν τὴν χειμερινὴν ὥραν συνέχειν ἐν ἑαυτῇ τοῦτο, κατὰ δὲ τὴν θερινὴν ὥσπερ ἱδρῶτάς τινας ἐξ αὐτῆς πανταχόθεν ἀνιέναι καὶ διὰ τούτων πληροῦν τὸν ποταμόν; cf. praeterea FHG. I p. 263 frg. 108

φοῦ ‘κόσμον ἄεισον’, ᾧ κεκόσμηκεν ἀνὴρ αὑτόν τε καὶ τὴν συγ-
γραφήν. καίτοι δέδοικα μὴ γελοιότερος ὁ πειρώμενος ἐλέγχειν ᾧ
τοῦ φάσκοντος εὑρεῖν· εἰ μὲν γὰρ μὴ πολὺ μὲν Καταδούπων ἄνω,
πολὺ δ’ ὧν ἴσμεν τόπων ἔτι τὴν ἐπίδοσιν κατῆγεν ὁ Νεῖλος, τάχ’
ἄν τις προσεῖτο τὴν ὑπόνοιαν ὡς ἄρα ἐκ τοῦ Λιβυκοῦ ὄρους καὶ
τοῦ Ἀραβίου τὸ ὕδωρ ὑποχωροῦν εἰς τὸ κάτω πληροῖ τὴν Αἴγυ-
πτον μέσην τε καὶ κοίλην οὖσαν, ἅ φησιν ἐκεῖνος τὴν θέρμην αἰ-
65 *τιώμενος. νῦν δ’ αὖ καὶ οἱ μηδεπώποτε ὄνομα ἀκούσαντες Ἐφό-*
ρου τοῦτ’ ἴσασιν ἐκ πολλῶν ἡμερῶν πλοῦ κατιόντ’ αὐτὸν ἄνωθεν
ὑψηλὸν καὶ περί τε αὐτοὺς Καταδούπους θαυμαστὸν αἰρόμενον
καὶ τὸ μεταξὺ Συήνης καὶ Ἐλεφαντίνης, ὅθενπερ τῶν Αἰγύπτου
μερῶν ὁ κληθεὶς ἂν ὑφ’ Ἑλλήνων Ἑρμῆς ἄρχεται, θαυμαστῷ
κτύπῳ διεξιόντα καὶ πληροῦντα, τριάκοντα πήχεις ἄγοντα ὡς μέ-
66 *σως εἰρῆσθαι. πῶς οὖν τὸ ἐκ τῶν ὀρῶν τῶν ἔνθεν καὶ ἔνθεν* 465 D
κλειόντων τὴν Αἴγυπτον ὕδωρ τοσοῦτον κάτω τῆς ἀναβάσεως
τοῦτ’ ἔστι τὸ ποιοῦν τὴν ἀνάβασιν, καὶ τὸ αὐτὸ ἅμα μὲν πληροῖ
τὴν Αἴγυπτον ὑπορρέον, ἅμα δὲ ὑπὲρ κορυφῆς Αἰγύπτου τοσοῦ-
τον φαίνεται κατὰ νώτου τοῦ ἀρχαίου ὕδατος φερόμενον, εἰ μὴ καὶ
Ἔφορος τοῦτ’ ἐρεῖ καὶ προσθήσει τῷ σοφῷ ὅτι ὥσπερ ἐκ τῶν
ὑψηλοτέρων εἰς τὸ κοῖλον καταρρεῖ τὸ ὕδωρ, οὕτως πάλιν ἐκ τῶν 349 J
κοίλων ἀναστρέφει πρὸς τὰ ὑψηλά, καὶ ἀρξάμενος ἐκ θαλάττης ὁ
ποταμὸς αὖθις ὑποστρέψας ἐπὶ καταρράκτας καὶ Μερόην ἄνω
φέρεται, ὥσπερ τις ἐν προσάντει δολιχὸν τρέχων. ταῦτα δὲ οὐδ’
ἂν τοὺς αὐτοῦ πολίτας οἶμαι πείθοι λέγων. καὶ δὴ τοῦτο τὸ
ἰσχυρὸν ἐῶ, καίτοι φασὶ καὶ τὰς κλοπὰς ἄχρι τούτου δεῖν ἐλέγ-
67 *χειν, ἕως ἄν τις τὰ φώρια ἐν τοῖν χεροῖν ἔχοντα ἀποδείξῃ. ἀλλ’*

---

1 *ἀνὴρ* Ddf.: *ἀνὴρ* O   *αὐτόν* AS[1]U a. corr.   2 *ὦ* A a. corr., *ᾧ* D   3 *εἰ μὴ γὰρ πολὺ* U   *κατὰ δοῦπον* A[1], *κατὰ δούπων* A[r] S a. ras.   6 *ἀραβηκοῦ* U[1], ut vid.   13 *μερῶν* ex *μέτρων* corr. A pr. m.   *Ἑρμῆς*] amplae partis Aegypti appellationem significari patet; *Ἑρμοῦ* vero Graeci nomen non quadrat; quare W. Spiegelberg (per litteras) recte videtur haec coniecisse: Aristidem superiorem Aegyptum significare; quae cum apud homines seriores ‘marēs’ (i. e. regio meridionalis) audiret, nomen barbarum ‘marēs’ a Graecis in *Ἑρμῆς* transformatum esse. qua sententia probata optime intellegitur cur tam caute (*ἂν κληθείς*) ipse Aristides loqui voluerit   14 *διεξιόντα καὶ πληροῦντα*] ad *τὸ μεταξὺ* referenda   15 *τῆς ἀναβάσεως*] eius regionis, unde incrementi initium fit   20 *οὕτω* U   23 *προσάντι* S[1]   24 *αὐτοῦ* SUT; Cumaei *ἀναίσθητοι*: Strab. XIII 622   25 *φασί*] proverbium ignotum, nisi verba potius oratoris cuiusdam sunt   26 *φώρεια* a. ras. et A et S   *τοῖν χεροῖν* AS: *ταῖν χεροῖν* DT, *ταῖσ χεσὶν* (sic) U; *ἔχοντα* sc. *τὸν κλέπτην*   *ἀποδείξοι* U

ἕτερον εὔηθες· αὐτὸ γὰρ τοῦτο πρῶτον τὸ νομίζειν ἢ τὴν Ἀρά-
βιον ταύτην τὴν ὀρεινὴν ἢ τὴν Λιβυκὴν ὕδατος μεστὴν εἶναι τίς
λόγος; ποῖαι γὰρ ἢ ἐνταῦθα ἢ ἐκεῖ πηγαί; τίς δ' ὅσον ἔννοια
ὕδατος ἐν τοῖς χωρίοις τούτοις; ἅ γ' ἐστὶ ξηρότερα καὶ ψεδνό-
τερα παντὸς οὗ τις ἂν εἰκάζων εὕροι, ὥστ' ἔν γε τῇ Ἀραβικῇ καὶ
ἡ περιβόητος αὕτη λιθοτομία ἡ πορφυρῖτίς ἐστιν· ἐργάζονται δ'
αὐτὴν ὥσπερ καὶ τὰς ἄλλας δήπου κατάδικοι· ἀλλὰ τούτους γε,
ὥς φασιν, οὐδεὶς φρουρεῖ, [οὕτω σφόδρα ὕδατός ἐστιν ἄπορος,
ὑφ' οὗπερ καὶ ἠρήμωται,] ἀλλὰ φόβῳ τοῦ καυθήσεσθαι ζῶντες, ὃ
δεῖ παθεῖν ἄν τις φεύγων ἁλῷ, μένουσιν οἱ μένοντες τῶν μεταλ-
λέων· καὶ ὅμως εἰσὶν οἳ καὶ τοῦθ' αἱροῦνται μᾶλλον ἢ διὰ παν-
τὸς τοῦ χρόνου κάεσθαι· τῷ γὰρ ὄντι τοῦτ' εἶναι τὸ κάεσθαι
466 D ζῶντα. οὕτως διὰ παντὸς ὁ χῶρος ἀμμώδης ἐστὶ καὶ διψῇ. ὅλως 68
δὲ τί δή ποτε οὐ καὶ πάντες οἱ ποταμοὶ μείζους ἑαυτῶν τοῦ θέ-
ρους γίγνονται τῷ λόγῳ τούτῳ; εἰ γὰρ ὁ ἥλιος εἰς τὰ κοῖλα τῆς
γῆς τὸ ὕδωρ ἀπωθεῖ, ἡ δὲ γῆ μεστὴ γιγνομένη τελευτῶσα ἐπι-
κλύζεται αὐτὴ δι' αὑτῆς, τί δή ποτ' οὐκ εἰσὶν ἐν ἀκμῇ τοῦ καύ-
ματος οἱ ποταμοὶ μέγιστοι, πάντες ἐν τοῖς κοίλοις ὄντες τῆς καθ'
αὑτοὺς ἕκαστοι γῆς; ἀλλ' ἀντὶ τοῦ μέγιστοι τότ' εἶναι τότ' εἰσὶν
ἐλάχιστοι. καὶ μὴν καὶ περὶ ἄλλους δήπου ποταμοὺς ἕτερά ἐστιν 69
ὄρη καὶ οὐ μόνον οὐκ ἐλάττω τούτων, ἀλλὰ πρὸς τῷ μείζω σαφῶς
ἔτι καὶ ὑγρότερα καὶ πολλῷ, ὡς δῆλον τοῖς τε δένδρεσι τοῖς ἐπι-
πεφυκόσι καὶ ταῖς εἰς τὸ φανερὸν ἀπορρεούσαις νοτίσιν. πῶς
οὖν οὐ τὰ ἄμικτα μίγνυται, εἴ γε ἀπελαθήσεται μὲν εἰς βάθος
τῆς γῆς τὸ ὕδωρ, τηνικαῦτα δ' ὑψωθήσεται διὰ τὸ αὐτὸ τοῦτο;
καὶ ὡς ἔοικεν, ὁ αὐτὸς ἥλιος τὸ μὲν Ἀράβιον καὶ Λιβυκὸν ὄρος
ἐξιποῖ καὶ τὸ ὕδωρ ὠθεῖ κάτω, ἐν Αἰγύπτῳ δὲ τὸ αὐτὸ τοῦτο
350 J ὕδωρ ὑψούμενον περιορᾷ. ποῦ δὲ καὶ ἡ χώρα μεστὴ γίγνεται 70
κάτωθεν, ὦ σοφίας κεφάλαιον; ἥ γε οὕτως ἔρρωγεν καὶ διέστηκεν
εὐθὺς ἐκ τροπῶν τῶν ἠρινῶν ὥστ' εἶναι μόνον οὐ χάσματα καὶ χα-
ράδρας ἅπασαν καὶ μηδὲ τοῖς ὑποζυγίοις ἀκίνδυνον τὴν πορείαν
εἶναι. 'πῶς οὖν αἱ πόρρω τοῦ Νείλου, φησί, λίμναι πληροῦνται,
εἴπερ ἐξ ὄμβρων ἢ χιόνος λυθείσης αἴρεται;' τοῦτο δ' εἰ τὰ μά- 71

3 prius ἢ om. DU 6 ἡ — πορφυρῖτίς] prope montem Claudianum (CIG. 4713); cf. O. Schneider, naturwiss. Beiträge z. Geogr. u. Kulturgesch. (1883) p. 81 sqq. 8 οὕτω — ἠρήμωται seclusi, interpretamentum vv. οὕτως — διψῇ v. 13 9 ἠρήμωται A: ἠρήμωνται SDUT καθήσεσθαι S[1] 11 οἳ] in ras. U[2] (ἢ U[1] ni fallor), εἰ D 13 οὕτω DU 16 ἀπωθεῖ τὸ ὕδωρ D 17 αὑτῆσ A[r]: αὐτῆσ O 19 τοῦτ' εἶναι τότ' D 20 ἐστιν] εἰσιν D 27 ἐξιποῖ Ddf.: ἐξειποῖ S[1], ἐξείποι A[1] (ἔξει ποῖ A[r]), ἐξιπποῖ D; ἐξοπτοῖ U (at πτ in ras. pr. m.) TS[2]; ἐξοπτεῖ Junt.; ἐξοπτᾷ ci. Canter (prob. Ddf.)

λιστα ἀδύνατόν ἐστιν, οὐδὲν μᾶλλον τῷ γε Ἐφόρου λόγῳ συνθεῖ. ἔστι γὰρ καὶ μήτε ἐξ ὄμβρων μήτ᾽ ἐκ χιόνος αἴρεσθαι τὸν ποταμὸν καὶ μὴ τοῦτ᾽ αἴτιον εἶναι, τὸ τὴν ἰκμάδα εἰς αὐτὸν ὑπορρεῖν.
72 *οὐ μὴν ἀλλ᾽ ἔμοιγε καὶ πᾶν τοὐναντίον ἤπερ ἐκείνῳ δοκεῖ, τὴν μὲν ἄνωθεν ἐπιρροὴν μηδὲν μᾶλλον κωλύειν οὗτος ὁ λόγος, τὴν δ᾽ αὐτόθεν πλήρωσιν παντελῶς ἐξελέγχειν ὡς ἔστιν γέλως. τὸν μὲν γὰρ ποταμόν, ἕως ἂν ἀπῇ τἄλλα ἃ κωλύει, εἰκός ἐστιν καὶ* 467 D *ὑπὸ τῆς χιόνος καὶ ἐξ ὄμβρων αὐξανόμενον κατιέναι, κατιόντος δ᾽ αὐτοῦ τὴν γῆν πληρουμένην καὶ διοιδοῦσαν ἀφιέναι κάτω νοτίδας εἰς τὰ πλάγια, οὐ διὰ τὴν θέρμην οὐδ᾽ ὑπὸ τοῦ ξηραίνεσθαι — γελοῖον γὰρ τὴν αὐτὴν οὐκ ἔχουσαν τὸ ἀναγκαῖον ὕδωρ ἀποστέλλειν τὸ περιττὸν ἑτέρωσε —, ἀλλὰ τοὐναντίον τῷ πλεονάζοντι*
72 *παρέχουσαν τοὺς ἐγχωροῦντας ἀδήλους ὀχετούς. εἰ δ᾽ ἡ κοιλότης ἡ τῆς συγκεκλεισμένης ὑπὸ τῶν ὀρῶν χώρας παρεῖχε τὴν αἰτίαν, οὐκ ἂν ἐπληροῦντο αἱ πόρρω δήπου λίμναι τοῦ ποταμοῦ· καὶ τούτου μάρτυς αὐτὸς Ἔφορος. φησὶ γὰρ φεύγων τὸν ἔλεγχον ὡς ἄρα οὐ δυνατὸν τοῦτο συμβαίνειν περὶ τὴν ἄλλην γῆν, διὰ τὸ μήτε κοίλην εἶναι μήτ᾽ ἐπίκτητον ὥσπερ τὴν Αἴγυπτον, ἀλλ᾽ ἀρχαίαν τε καὶ ὡς ἐκεῖνος κέκληκεν ʻαὐτοπαγῆʼ. τοῦτο δὴ δῶμεν ἀληθὲς*
73 *εἶναι μέχρι γοῦν τινός· ἔστι δ᾽ οὐδὲν μᾶλλον. οὐκοῦν αἱ μὲν ἐγγὺς τοῦ ποταμοῦ καὶ κατ᾽ αὐτὴν ⟨τὴν⟩ Αἴγυπτον λίμναι οὐκ ἀφ᾽*

---

1 *ἀδύνατόν* O; *δυνατόν* ci. Rsk., falsus; argumentatio Ephori haec erat: ʻut Nilus ita lacus procul a Nilo siti una cum Nilo aqua implentur; unam eandemque causam igitur utrique incremento necesse est subesse; atqui lacus imbribus illis demissis vel nivibus dissolutis impleri ineptum est; ergo fieri non potest, ut Nilus imbribus nivibusque augeatur: sequitur eam quam ego dixi causam (nempe terram aquas primum imbibere, tum quas imbibisset reddere) veram esseʼ. Huic Aristides adversatur: ʻut altera illa causa falsa sit, tamen minime sequitur hanc alteram esse veram; sed est vera illa.ʼ quae sic adornata voluit orator: ut concedam hoc fieri non posse (*ἀδύνατον*), tamen Ephori causae non convenit (*συνθεῖ*, non ʻnon evenitʼ, ut vult Schmid p. 207); fieri enim potest, ut neque fluvius imbribus nivibusve augeatur (quod ceteri autumant), neque ea sit incrementi causa quam Ephorus dixerat, aquas subterraneas illas in Nilum transmitti. at ratio illa Ephori e lacuum incremento repetita minime impedit, quominus Nili incrementum imbribus fieri sumamus; immo ipsa illa ratione, quae ad aquas terrae visceribus inclusas refugit, subvertere licet Ephori sententiam incrementum hinc (v. 6 *αὐτόθεν*, unde Ephorus dixerat; cf. p. 289, 22) fieri; verisimile enim est canalibus subterraneis lacus illos cum ipso fluvio coniunctos esse, coniunctos necessario Nili incrementi, quod imbribus nivibusque fit, participes fieri *συνθεῖ* UT[1] p. corr.: *συνθῆι*(vel -*ῇ*) ASDT[1] a. corr. 2 *καὶ* sic O (at s. l. add. U[1]; om. Junt) *χιόνος*] *χειμῶνοσ* U 5 *μηδὲν* UTS[2]: *μηδένα* AS[1]D 6 *πήρωσιν* AS[1]D 9 *ἀφεῖναι* U 12 *περισσὸν* T 13 *παρέχουσαν* A: *παρέχουσα* SDUT *ἐκχωροῦντασ* S 15 *αἱ* A: om. SDUT 21 *τὴν* add. Rsk.

αὐτῶν ἄρχονται δήπουθεν, ἀλλ' ἐκ τοῦ ποταμοῦ πᾶσαι, καὶ διώ-
ρυχες εἰς αὐτὰς φέρουσιν, ἐάν τ' Ἔφορος φῇ ἐάν τε μή, ὥστε
ταύτας μὲν οὐδὲν ἀπεικὸς μετέχειν τῆς αἰτίας, ἥτις ἂν ᾖ τῷ πο-
ταμῷ τῆς ἀναβάσεως. ἥ τε γὰρ Μοίριδος λίμνη καὶ αἱ πρὸς τοῖς 74
351 J *ἕλεσι κάτω καὶ ἡ πρότερον μὲν ὑπὲρ Φάρου, νῦν δ' ἐξόπισθεν*
τῆς Ἀλεξάνδρου πόλεως Μάρεια, ἐξ ἀρχῆς τέ εἰσιν τοῦ Νείλου
κόλποι καὶ τῆς ἀναβάσεως μετέχουσιν, ὅταν κατὰ τὰς διώρυχας
εἰσπέσῃ τὸ μέρος τοῦ ῥεύματος· ἡ δ' αὖ Σερβωνὶς λίμνη περι-
φανῶς ἔξω τῶν ὀρῶν τούτων ἐστίν· ὑπερελθόντι γὰρ Πηλούσιον
καὶ τῶν ὀρῶν τῶν συγκλειόντων τὴν Αἴγυπτον θάτερόν ἐστι πρὸς
Ὀστρακίνην βαδίζοντι, ἥπερ ἐστὶ μέση μάλιστα τῆς ἀνύδρου
468 D *τῆς Ἀραβικῆς. εἰ μὲν οὖν καὶ εἰς ταύτην ἐκ τῶν ἄνωθεν τόπων*
ἔρχεταί τοῦ Νείλου τις ἀπόρρους, οὐδὲν δέομαι λέγειν· ὅτι δ'
ἐκφεύγει τοὺς ὅρους τοὺς Ἐφόρου δῆλον ἐξ ὧν εἶπον. ὥστε δυοῖν 75
θατέρῳ περιπίπτει· εἰ μὲν γὰρ [οὐ] δέχεται τοῦτον τὸν λόγον
οὐδ' εἰς ἔλεγχον τίθησιν, ὃς δείκνυσιν αὐτὴν ἔξω τῆς κοίλης χώ-
ρας οὖσαν, τί οὐ καὶ κατὰ πᾶσαν τὴν γῆν ταὐτὸν τοῦτ' ἔδειξε
γιγνόμενον, εἴπερ παρὰ τῇ θέρμῃ μόνῃ τὸ αἴτιόν ἐστιν; εἰ δ' οὐκ
ἀξιοῖ ζητεῖν ἑτέρωθι ταὐτὸν τοῦτο τῷ μὴ τὴν αὐτὴν εἶναι φύσιν
τῆς χώρας, ἔξω τῶν ὅρων τούτων ἔστιν ἡ λίμνη· ὥστε πῶς αὔξε-
ται; οὐκοῦν πρὶν ὃ τὸ πρῶτον προὔκειτο σκέψασθαι, πῶς ὁ Νεῖ-
λος αὐξάνεται, δεύτερον δεῖ ζητεῖν, πῶς ἡ λίμνη κατὰ τούτους
τοὺς λόγους. καὶ μὴν ὅτι γ' οὐδ' ἄλλως ἀληθῆ λέγει ταύτῃ τῇ 76
προφάσει καταχρώμενος ῥᾴδιον γνῶναι. πολλαὶ γὰρ δήπου καὶ
ἄλλαι χῶραι γεγόνασιν ἐκ ποταμῶν ἐν τῷ παντί, ἃς ἀνάγκη
πολλὴ καὶ κοίλας εἶναι καὶ ἀραιὰς τοῖς αὐτοῖς λόγοις τούτοις.
καὶ τὰς μὲν ἄλλας παραλείπω, μία δ', ὦ Ζεῦ, πρὸ πυλῶν εὐθὺς
ἦν αὐτῷ τῆς πατρίδος καὶ ἐν ὀφθαλμοῖς. τὸ γὰρ περὶ Λάρισ- 77
σαν πεδίον θάλατταν εἶναι τὸ παλαιὸν πολλὰ τεκμηριοῖ· καὶ ὅτι

---

1 *ἐκ*] *αἱ* D 1. 2 *διώρυχες* Canter: *διώρυχασ* O 5 *ὑπὲρ*] ad Nili fluxionem dictum; 'ante usque ad Pharum pertinebat' 6 *Μάρεια* Rsk.: *μαρία* O (sine acc. A) 10 *τῶν ὀρῶν — θάτερόν*] orientales Aegypti montes, Casios dictos (cf. p. 288, 13) 11 *ἀνύδρου* Kaibel ('sic Herodot. III 5, unde haec sua Aristides habet, addito aliunde Ostracines nomine'): *ἀσπάρου* O 13. 14 *δὲ | ἐκφεύγει* D 14 *τοὺσ ἐφόρου* ASU: *τοῦ ἐφόρου* DT *δῆλον ἐξ* AS: *δῆλον ὅτι ἐξ* DUT 15 *οὐ* secl. Rsk. 19 *ταὐτὸν* suspectum *τῷ* TS²: *τὸ* AS¹DU *φύσιν εἶναι* U 20 *ὅρων* legi: *ὀρῶν* O 23 *λέγειν* D 28. 29 *Λάρισσαν*] sc. *τὴν Φρικωνίδα* prope Cumam Asiae; cf. Strab. XIII 621 *ἴδιον δέ τι τοῖς Λαρισαίοις συνέβη τοῖς τε Καϋστριανοῖς καὶ τοῖς Φρικωνεῦσι καὶ .... ἅπαντες γὰρ ποταμόχωστον τὴν χώραν ἔσχον, οἱ μὲν ὑπὸ τοῦ Καΰστρου, οἱ δ' ὑπὸ τοῦ Ἑρμοῦ κτἑ.*; eandem memorat or. LI § 4

μὲν πολλοστὸν ὁ Ἕρμος τοῦ Νείλου μέρος, εἰς ἕτερον λόγον τίθει τοῦτο, ὅτι δ' ἐκ τῶν αὐτῶν καὶ τούτῳ τοῦ θέρους αὔξεσθαι προσῆκε, καθ' αὐτὸν ἐλέγχεται. ὁρᾶται μὲν γὰρ τὰ κύκλῳ περιέχοντα ὄρη τὴν χώραν, ὁ δὲ ῥεῖ δι' αὐτῆς ἀραιᾶς οὔσης καὶ πεποιηκὼς αὐτὸς ἐξ ἀρχῆς. τίνος οὖν ἕνεκα οὐ μόνον οὐκ αὔξεται τοῦ θέρους, ἀλλὰ καὶ πολλῶν ἀπολείπεται τῶν οὐδ' ἐγγὺς ἐκείνῳ τοῦ χειμῶνος ὄντων; πολλάκις δὲ οὐδ' ὅσον ῥεῖν ἔστιν αὐτῷ. καὶ ἕτερ' ἄν τις ἔχοι λέγειν μυρία τοιαῦτα· καίτοι πρός γε οὓς αὐτὸς 352 J
ἀντιλέγει, καὶ ἓν ποιησάμενος παράδειγμα ἀπαλλάττεται· ἔστι δ' 469 D
οὗ μηδ' ὄνομα ἐπενεγκών, ὥστε γνῶναι ἢ τὸν ποταμὸν ἢ τὴν γῆν,
78 ὅμως ἀξιοῖ νικᾶν. 'ἀραιὰ γὰρ ἡ Αἴγυπτος καὶ ῥᾳδία λιβάδας διαδοῦναι'. ἀλλ' ὅτι μὲν οὐδ' ἄλλη πίων οὕτω καὶ μόνον ἀρκοῦν εἰπεῖν ἐῶ· ἀλλὰ τί φήσομεν περὶ τῆς ἔξω τοῦ Κασίου ταύτης ἧς ἐμνήσθην ἀρτίως; οὐ γὰρ δήπου καὶ ταύτην ἔργον εἶναι τοῦ ποταμοῦ, ἀλλ' ὅμως μετέχει τοῦ πράγματος· οὐ μὴν οὐδ' ὑπ' ἄλλου φαίης ἂν αὐτὴν κεχῶσθαι ποταμοῦ, ἄνυδρος γάρ ἐστιν
79 παρὰ τὴν λίμνην ἅπασα. καὶ μὴν οὐδ' οἱ τοῦτο πείθοντες περὶ πάσης Αἰγύπτου πειρῶνται πείθειν, ἀλλ' ὑπεξαιροῦνται τήν γε ὑπὲρ κορυφῆς τοῦ Δέλτα τοσαύτην οὖσαν ἀρχαίαν εἶναι, καὶ οὐχ ἁπλῶς οὐδ' ὡς κοινὸν εἰπεῖν, ἀλλ' οὕτω διαφερόντως ἀρχαίαν ὥστε καὶ πρώτην ἀνθρώπους ἐνεγκεῖν τῶν κατὰ τὴν Ἀσίαν, ἵνα μή τι λέγω πλέον. οὐκοῦν εἰ μὲν ἐν τῷ Δέλτα μόνῳ συνέβαινε γίγνεσθαι τὴν ἀνάβασιν, εἰκὸς ἦν καθ' ἕν γέ τι τοῦτο πιστεῦσαι, εἰ δ' ἐν ἁπάσῃ γίγνεται καὶ τοσοῦτον περὶ τἄνω πρότερον ὅσον τὸ ῥεῦμα κατέρχεται, τί πρὸς λόγον ἐστὶ τὸ τὸν Νεῖλον ἄγειν γῆν
80 καινὴν ἢ ποιεῖν; ἔτι τοίνυν οὐδὲ τῆς Αἰθιοπίας τε καὶ Αἰγύπτου ἡ αὐτὴ φύσις, ἀλλ' ἡ μὲν ὑπόψαμμός τε καὶ ξηρὰ καὶ κατὰ λεπτόν ἐστι συνεστηκυῖα, ἡ δ' οὕτω βαθεῖα καὶ πεπηγυῖα ὡς οὐ ῥᾴδιον εὑρεῖν ἑτέραν· ἀλλὰ μὴν ἀμφοτέρωθι ταὐτὸν γίγνεται. πῶς οὖν ταὐτὰ αἴτια περὶ ἀμφοῖν ἐγχωρεῖ λέγειν τῶν τοσοῦτον διαφόρων; εἰ μὲν γὰρ ἡ τῆς Αἰγύπτου φύσις αἰτία, οὐχ ἥ γε τῆς

---

1 ἕρμοσ AST 5 αὐτὸσ TU[1] p. corr. S[2]: αὐτουσ AS[1]DU[1] a. corr. 6 τῶν/ οὐδ' S, τῶνδ' οὐδ' D 9 ἀντιλέγοι D 11 ἀραιὰ — διαδοῦναι] Ephori verba sunt 14 ἀρτίως] cf. p. 287, 10 sqq. 17 ἅπασαι D πείθοντες] πείθονται D, ut vid. 21 τῶν — Ἀσίαν] veterum eos sequitur, quibus dimidiatus orbis (Europa altera pars) 22 μόνον D 23 γίνεσθαι ASUT 24 τἄνω T, τ' ἄνω ASU, τ|ἄνω (ε supra) D 26 τε Rsk.: γε O (in A γ in ras. ut littera, quam a linea dicunt) 30 τῶν τοσοῦτον — 289, 4 τοῖς περὶ U[2] in ras. maxima τοσούτων S[1]D 31 ἡ (ante τῆς) om. D

Αἰθιοπίας, ὡς ἔοικεν, ὅθεν πρόπαλαι κεκίνηται· εἰ δ' ἡ τῆς Αἰ-
470 D θιοπίας φύσις αἰτία, τί δεῖ λέγειν ὡς ἡ Αἴγυπτος κοίλη καὶ ὑπὸ
τῶν ὀρῶν συγκέκλειται; οὔτε γὰρ ἐν ταύτῃ τὸ αἴτιον οὐθ', ὡς
ἔοικεν, τοῦτο. καὶ μὴν κἀν τοῖς ἄνω καταρρακτῶν τοῖς περὶ Ψέλ- 81
χιν κέκλιται τὸ πρὸς ἑσπέραν τοσοῦτον ὥστε μηδ' ἐγγὺς εἶναι τὸ
βάθος τῆς χώρας τῷ ῥείθρῳ. ἔστι μὲν γὰρ ὀφρὺς ἀμμώδης,
ἀπείργουσα τὸν ποταμὸν πρὸς τὴν κάτω πᾶσαν χώραν, τελευτᾷ
δ' εἰς πολλῷ βαθύτερον τὸ πρὸς ἑσπέραν· ὥστ' εἰ τῆς γῆς νοτὶς
353 J ἦν τὸ ὕδωρ, οὐκ ἂν εἰς τὸν ποταμὸν εἶχε συρρεῖν, ἀλλ' ἐξεχεῖτ'
ἂν ἐπὶ θάτερα τοῦ ποταμοῦ. ἤκουσα δὲ ἔγωγε καὶ τῆς Παλαι- 82
στίνης Συρίας ἐν Σκυθῶν πόλει περὶ τὸν τόπον, ὅς τάς τε δὴ βα-
λάνους τῶν φοινίκων τὰς ὀνομαστὰς καὶ τὸν ὀπὸν φέρει, λίμνην
εἶναι, ἥν, ἐπειδὰν ὁ Νεῖλος ἀνέλθῃ, σημαίνειν· καὶ γὰρ τὸ ῥῆμα
τοῦτ' ἦν τῶν ξένων, ἔλεγον δὲ ὡς αὐξανομένης. εἰ μὲν οὖν καὶ
αὕτη μεταξὺ Λιβύης καὶ Ἀραβίας ἐστὶν ἡ γῆ ἢ κοιλοτέρα τῆς
ἄλλης ἁπάσης, δῶμεν ἀληθῆ λέγειν Ἔφορον· καίτοι τοσοῦτόν γε
ψεύδεται, εἰπὼν μὴ δεῖν ἄλλοθι ζητεῖν, μὴ γὰρ εἶναι ταὐτόν. εἰ 83
δὲ πολλαὶ ταύτης οὖσαι κοιλότεραι, εἰ καὶ μὴ ἐπὶ μακρόν, ἀλλ'
471 D οὖν ἔστ' ἐφ' ὅσον γε, ὅμως δὲ τοῦτ' οὐχὶ πάσχουσιν, ἄλλο τί σοι
σκεπτέον τὸ αἴτιον τῆς ἀναβάσεως, ὡς οὔτε τὴν ἀραιότητα τῆς
γῆς οὔτε τὴν κοιλότητα λέγειν ἐνὸν φαίνεται, ἀλλὰ ταῦτα καὶ
πάντων ἥκιστα. εἰ γὰρ ἐγίγνετο αὐτόθεν ἡ πλήρωσις, οὐκ ἂν οὔτε
τὰς λίμνας τὰς ἔξω τοῦ ποταμοῦ συνέβαινεν αὔξεσθαι οὔτ' αὐ-
τὸν ὑψοῦσθαι τοσοῦτον ὥστ' ἐπικλύζειν ἅπασαν τὴν εἴσω τῶν
ὅρων τούτων γῆν οὕτω λαμπρῶς ὥστε τοὺς πλέοντας νύκτωρ τοῖς
ἄστροις ἐστὶν ἦ τεκμαίρεσθαι. ὅμοιον γάρ ἐστι τοῦτό γε ὥσπερ
ἂν εἴ τις ἐκ τῆς κοτύλης τὸν ἀμφορέα πληροῦσθαι πείθοι, ψιλὸν

1 ὅθεν — κεκίνηται] unde Nilus incrementi initium longe prius capit, quam in Aegyptum devenit 4. 5 ψέλχιν sic O 5 κέκλειται D (Junt.) 5. 6 τῆσ χώρασ τὸ βάθοσ D 6 ὀφρὺς ἀμμώδης] cf. Wiedemann l. c. p. 66 ἀμμώδεισ U 9 ἐξηχεῖτ' D 10 δ' D 11 Σκυθῶν πόλει] palmularum (cf. or. IL § 24) et opobalsami (or. XLVIII § 10), quae fertilissima regione Tiberiadis et vallis Iordani fluminis superioris nascuntur (Nowack, Hebr. Arch. I 62. 64, adde Theophr. c. p. VI 18, 2; Justin. XXXVI, 3, 3. 4), patriam dixerint Graeci Scythopolim (Bethsean Galileae), ut quae in trivio magnarum commeatuum viarum sita esset; quae de lacu quodam illius regionis cum Nilo coniuncto orator tradit, ea commenticia ipsi relata refert; fama fortasse inde conflata, quod lacus Asphaltites (p. 291, 27 θάλαττα ἄγονος i. e. 'Mare mortuum') alio anni tempore alius est altitudinis et quod Arabes de subterraneo quodam eius emissario fabulosa referebant (Nowack l. c. p. 46 sq.) 14 ξένων] λέξεων D 15 αὐτὴ D ἢ Rsk.: ἡ O 16 γε om. D 19 ἀλλ' ὅτι A[1] (corr. A[r]) S[1]D; cf. p. 272, 17 21 οὔτε Ddf.: οὐδὲ O 25 ὅρων legi: ὀρῶν O; cf. p. 287, 20 26 ἦ sic A[1] (corr. A[r])

84 ἐκ ψιλῆς, αὐτὸν ἐξ αὐτῆς. ἀλλ', οἶμαι, κατιόντος τοῦ ποταμοῦ
μεγάλῳ τῷ μέτρῳ καὶ τῆς γῆς οὐχ ἱκανῆς οὔσης τὸ ὕδωρ χωρεῖ
μέχρι τοῦ δεχομένου, τὴν διέξοδον αὐτὸ αὑτῷ ποιοῦν. διὰ τοῦθ'
αἵ τ' ἔξω πηγαὶ προσλαμβάνουσιν πίδακας ἐκ τοῦ ποταμοῦ καὶ εἰς
τὰ ἔθνη τὰ πλησίον αἴσθησις τῆς ἀναβάσεως ἔρχεται, καὶ συνδια-
δέχεται τὰ σχολάζοντα, ὥσπερ ὅταν οἴκημα πληρωθῇ.

85 Τοσαῦτα δὲ ἡμῖν καὶ πρὸς τὴν Ἐφόρου σοφίαν καὶ γνώμην
καινὴν εἰρήσθω, ὅτι καὶ μόνος ἧφθαί φησιν τῆς ἀληθείας. ἥσθην
δὲ θαλάττῃ γλυκείᾳ Λιβύης ἐπέκεινα εἴσω ῥεούσῃ διὰ τοὺς ἐτη-
σίας καὶ ταύτης καὶ κροκοδείλοις καὶ μύθοις Μασσαλιωτικοῖς ἀντὶ
τῶν Συβαριτικῶν. εἰ γὰρ μὴ συνίῃς, ὦ χαριέστατε Εὐθύμενες, —
εἰ ταῦτ' ἀληθῆ Ἔφορος λέγει σοὶ φάσκων δοκεῖν —, ὅτι οὐ λύεις
ἀπορίαν, ἀλλὰ κινεῖς μείζω καὶ ἀτοπωτέραν τῆς ἐξ ἀρχῆς, πῶς 472 D
οὐκ ἀληθῶς ἔξω στηλῶν καὶ Γαδείρων φήσει τις ἐπισκώπτων 354 J
εἶναί σοι τὸν νοῦν, ⟨ἢ⟩ ὥσπερ τὴν Θρᾷττάν φασίν ποτ' ἐκεῖνο
εἰς Θαλῆν εἰπεῖν, εἰ ποταμὸν φεύγων ἀγνοεῖς εἰς τὴν θάλατταν
ἐμπίπτων [ἀνὴρ ὁ σκώπτων ἐρεῖ]; τί γὰρ δή ποτ' εἰ μέν τις
ποταμὸς τοῦ θέρους αὔξεται μόνος τῶν ἄλλων θαυμασόμεθα καὶ
τὰς αἰτίας ζητήσομεν, θάλατταν δ' οὐ πολλῷ μᾶλλον θαυμασό-
86 μεθα εἴ τίς ἐστιν γλυκεῖα μόνη τῶν πασῶν; καὶ μὴν οἱ ποταμοὶ
μὲν εἰ καὶ τὴν αὐτὴν ἔχουσι φύσιν τὴν τοῦ ῥεῖν, ἀλλ' οὖν χωρίς
γε καὶ καθ' αὑτοὺς ἕκαστοι ῥέουσιν ὅσοι μὴ προϊόντες εἰς ταὐτὸ

---

1 ἐξ αὐτῆσ D 3 αὑτῷ] αὐτὸ D τοῦτ' AST^1 a. corr. 6 οἴκημα] sc. in thermis (ut οἶκος or. XLVII § 21); ut in thermis cellae quae non in usu sunt (οἰκήματα σχολάζοντα) suo tempore aqua per fistulas e castello (dividiculo) ducta implentur, ita loca illa ceteroquin vacua (quae propterea τὰ σχολάζοντα orator dicit) Nilo increscente per canales subterraneos aquas accipiunt 7 δὲ] δὴ Junt. 10 ταύτης] sc. θαλάττης; ταύτῃ ci. Rsk. μασσαλειωτικοῖσ A a. ras. S 11 συνίησ U (Junt.): συνίεισ TS^2, συνιεὶσ AS^{1}D χαριέστατα D Εὐθύμενες] de Euthymenis Massaliotae sententia cf. imprimis Anon. de Nilo p. 166 Ddf., Diels Doxogr. p. 228 sq. 385; FHG. IV 408 sq.; Bauer l. c. p. 75 sq.; Berger l. c. I 107 sq. 12 σοὶ φάσκων δοκεῖν] 'cum dicit hanc tuam (Euthymenis) esse sententiam'; Aristides Euthymenea ex Ephoro, quem plurium sententias recensuisse e p. 288, 8 sq. constat (cf. FHG. I 264 frg. 109), hausit 13 τῆσ DUTS^2: τὴν AS^1 15 ἢ addidi, sc. φήσει (vel ἐρήσεται) . . ., εἰ (num) κτἑ.; νοῦν — ὥσπερ . . ., εἰ (si) κτἑ. distinguere mavult Wil., ut duplici protasi apodosis sit instructa ἐκεῖνο] γραῦν tradit Diog. La. I 34 dixisse: σὺ γάρ, ὦ Θαλῆ, τὰ ἐν ποσὶν ου δυνάμενος ἰδεῖν, τὰ ἐπὶ τοῦ οὐρανοῦ οἴει γνώσεσθαι; 16 vv. ποταμὸν — ἐμπίπτων] invertit Paroemiogr. Gr. II 220 τὸν καπνὸν φεύγων εἰς τὸ πῦρ ἐνέπεσεν, ad v. 14 ἔξω στηλῶν κτἑ. cf. l. c. II 661 (Kaibel); inepta Kock CAF. III p. 497 frg. 474; p. 488 frg. 424 17 ἀνὴρ — ἐρεῖ secl. Wil. 18 μόνον D 19. 20 θαυμασώμεθα ἥτισ D 22 κατ' αὐτοὺσ AS^{1}D ῥοῦσι A^1 (corr. ῥέουσι A^r)

συμβάλλουσιν, ἡ δὲ θάλαττα ἅπασα ἀνακέκραται δήπου καὶ
συνεχής ἐστιν ἡ φύσις αὐτῆς, ἣν εἴ τις διαιρήσει τῷ λόγῳ, τί
χρήσεται θαυμάσαι λοιπόν; δεῖ δ᾽, ὡς ἔοικεν, καὶ περὶ τούτων
εἰπεῖν διελόμενον. εἰσὶ γὰρ δήπου τέτταρες τῆς ἔξω θαλάττης 87
ἀπόρροι, ὧν ὁ μὲν ἐξ ἑσπέρας εἰς Φᾶσιν διὰ Γαδείρων εἰσέχει
καὶ τῆς πλησίον Λιβύης, καὶ ἔστιν ὁ κόλπος οὗτος ἡ καθ᾽ ἡμᾶς
αὕτη θάλαττα, ἣ σχίζει δίχα τὴν γῆν, προσλαβοῦσα τὴν Μαιῶτιν
λίμνην καὶ τὸν ὑπὲρ αὐτῆς ποταμὸν Τάναϊν, καὶ ποιεῖ νῆσον τὸ
τμῆμα ἑκάτερον τῇ κύκλῳ θαλάττῃ, πλὴν εἰ βούλει Φᾶσιν καὶ δὴ
Τάναϊν φάσκειν εἶναι τῶν ἠπείρων ὅρον. ἀλλ᾽ ὅ γε τῆς θαλάττης κόλπος οὗτος οὕτως ἔχει. ἕτερος δ᾽ ἐστὶν ἀπόρρους ἐκ μεσημβρίας πληρούμενος, ἡ ἐρυθρὰ θάλαττα καλουμένη, ἣ Λιβύην
καὶ Αἴγυπτον καὶ τὸ πρὸς τούτων Ἀραβίας χερρόνησον ποιεῖ
473 D ....πρὸς τὴν εἴσω τε καὶ ἔξω θάλατταν τριῶν ἡμερῶν ὁδὸν ἰσθμῷ.
τρίτος δ᾽ ἄνω τούτων ἐστὶν κόλπος ὁ Περσικός, ᾧ μετὰ τὴν
ἐρυθρὰν θάλατταν ἐπιστρέφοντι χερρόνησός ἐστιν ἡ εὐδαίμων
Ἀραβία καὶ [ὁ] τῆς Περσικῆς ὅσον ἐντός. τετάρτη δ᾽ ἐκ βορέου
καὶ ⟨κατὰ τὰς⟩ Κασπίας πύλας εἰς τοὺς παρ᾽ ἡμῖν τόπους εἰσέχει θάλαττα, ἣ καλεῖται Κασπία, εἰ δὲ βούλει, Ὑρκανία. τί οὖν 88
πρὸς λόγον ταῦτα; οὐ γὰρ ἄλλως γε ἀπόλογον Ἀλκίνου διηγοῦμαι.
ὅτι πρῶτον μὲν αὗται καὶ τοσαῦται τὸ πλῆθός εἰσι θαλάττης
χῶραι καὶ παρὰ ταύτας οὐδεμίαν ἑτέραν θάλατταν ἴσασιν οὔτε
Ἑλλήνων οὔτε βαρβάρων οὐδένες, οὔκουν ὡς ἀληθῶς τῶν γ᾽ ἐντὸς
355 J τούτων καὶ τῆς περιεχούσης, ἀλλ᾽ ὅσον ἄλλο ὕδωρ κέχυται κόλπους ἔχον, λίμναι καὶ ἕλη καὶ τενάγη καὶ τοιαῦτα ὀνομάζεται.
ἣν γὰρ ἐν τῇ κατὰ Φοινίκην Συρίᾳ θάλατταν καλοῦσί τινες νῦν,
τὴν ἄγονον ταύτην, αὐτίκα ἐροῦμεν πόθεν εἴληφεν τοὔνομα. ἔπειτα 89

---

3 θαυμαστὸν U; supplendum τί χρήσεται (ἑαυτῷ ὥστε) θαυμάσαι
4 τέτταρεσ τῆσ ἔξω θαλάττησ ἀπορροιῶν ὁ A, πῶν add. A[r], τέτταρεσ που τῆσ θαλάττησ ἀπόρροι· ὧν ὁ SDUT; cum ad sententiam nihil desit, πῶν glossa marginalis corrupta; nec dubito quin ΠΩΝ e ΠΟCΙΔ/ i. e. Ποσ(ε)ιδώνιος natum sit, quem Aristidis auctorem duxit scholiasta quidam; που interpolatum 9 Φᾶσιν καὶ δὴ Τάναιν] cf. Herodot. IV 45; Phasin Europam finire antiquior erat doctrina (e.g. Aesch. frg. 191 N.[2]), recentior plurimisque probata (δὴ) Tanaim 10 τῶν] τὸν T
13 πρὸσ τούτων ἀραβίασ A[1]: πρὸ τούτων ἀραβίαν A[r]SDUT; ad Λιβύην — Ἀραβίας cf. ad p. 273, 6 χερόνησον D 14 lacunam indicavi; e. g. ⟨ἐκ τῆς Ἀσίας ἐξηρτημένην⟩, i. e. peninsula quae contra mare et internum et externum cum Asia coniuncta est isthmo tridui itineris 15 ᾧ — 16 ἐστιν] quo fit, ut ei, qui post sinum Arabicum enavigatum cursum declinat, peninsula — Arabia sit, cf. v. 12. 13 ἣ — ποιεῖ 17 ὁ secl. Rsk.[2]; τὸ ci. U[2] 18 κατὰ τὰς addidi πύλασ AST: πύλησ DU εἰ τουσ S[1] 23 οὐκοῦν S[1]T 25 ἔχων S
26 συρίαν D θάλασσαν SU

*ταύτας πάσας, οἶμαι, συμβέβηκεν τὴν αὐτὴν ταύτην ἔχειν φύσιν
ἀλλήλαις τε καὶ τῇ πηγῇ, καὶ οὐδείς ἐστιν ὅστις ὑπεξείλετο εἶναί
τιν᾽ αὐτῶν γλυκεῖαν, ἀλλ᾽ ὁμοῦ θάλατταν εἰρήκασι. καὶ δήλη
ἐστὶν ἡ τοῦ ὕδατος φύσις ἰδία τε καὶ μόνης τῆς θαλάττης οὖσα,
ὥστε καὶ τῶν φρεάτων ὅσα πρὸς τὸ ἁλμυρὸν κέκλικεν θάλατταν
καλοῦσιν οἱ πολλοί, καὶ ἧς ἀρτίως ἐμνήσθην λίμνης, τῆς ἐν τῇ
Συρίᾳ, τὸ ὕδωρ ἅλμην ἔχον † τῆς γῆς θαλάττης ἐπωνυμίαν παρὰ*
90 *τοῖς πολλοῖς πεποίηκεν. καὶ οὐχ ἡ μὲν Λιβύην περιρρέουσα θά-
λαττα γλυκεῖα καὶ πότιμός ἐστιν, ἡ δὲ πρὸς αὐτοῖς Γαδείροις
ὁμοία τῇ παρ᾽ ἡμῖν διὰ τὸ μίγνυσθαι. πρῶτον μὲν γὰρ οὐδὲν
μᾶλλον ἁλμυρᾷ προσῆκεν αὐτῇ διὰ ταύτην ἢ καὶ γλυκείᾳ δι᾽
ἐκείνην εἶναι, εἴπερ κἀκείνῃ μίγνυται, καὶ ταῦτα χύδην, οὐ διὰ*
91 *πορθμοῦ. ἔπειτα καὶ ἐκ τῆς μαρτυρίας δῆλον τῶν ἔτι νῦν ἐκ-* 474 D
*πλεόντων ὡς ὁ λόγος πέπλασται. εἰσὶ γὰρ δήπου καὶ νῦν οἱ
πλέοντες ἔξω στηλῶν οὐκ ἐλάττους ἢ κατ᾽ ἐκείνους τοὺς χρόνους·
καὶ οὐκ ἐν μακροῖς γε χρόνοις ἅπαξ ἢ δίς, ἀλλ᾽ ὁσημέραι συνεχῶς
καὶ ὁλκάδες καὶ ἔμποροι κομίζονται δι᾽ ἀμφοτέρας τῆς θαλάττης
ὡς συνεχοῦς καὶ μιᾶς, ἀνοιχθέντος τοῦ κάτω τόπου παντὸς καὶ
δοθείσης ἀδείας πλεῖν ὑπὸ τῆς νῦν ἡγεμονίας. ἡμᾶς δ᾽ ὡρμημέ-
νους ἡ νόσος ἔφθη καταλαβοῦσα. καὶ οὔτε τῶν ἁλιῶν τῶν πρὸς
τοῖς Γαδείροις ἔστιν ἀκοῦσαι λεγόντων γλυκεῖαν εἶναι τὴν ἔξω
θάλατταν οὔτε τῶν εἰς τὴν μεγάλην νῆσον περαιουμένων τὴν
ἀντιπέρας Ἰβήρων· καίτοι στρατεύματά τε εἰς αὐτὴν ἑκάστοτε
παντοῖα διαβαίνει καὶ ἀναχωρεῖ τοῖς καθήκουσι χρόνοις, καὶ ἄρ-*
92 *χοντες καὶ ἰδιῶται μυρίοι διαβαίνουσιν ἑκάστοτε ..... οὐ γὰρ
τῷ μέρει τὸ ὅλον λόγον ἐστὶν ἔχον ἀκολουθεῖν, ἀλλ᾽ εἶναι τὸ μέ-
ρος τοιοῦτον οἷόνπερ ἂν ᾖ τὸ ὅλον τὴν φύσιν. ἀπορρεῖ δ᾽ οὐκ
ἀπὸ τῆς ἡμετέρας ἡ ἔξω θάλαττα καὶ πᾶσα καὶ ἧς μηδ᾽ ὁτιοῦν* 356 J
εὕρηται πέρας πρὸς θάτερα, ἀλλ᾽ ὁ καθ᾽ ἡμᾶς οὗτος κόλπος ἀπὸ

---

3 *ὁμοῦ ⟨πάσας⟩ θάλατταν* Rsk.; potius *αὐτὰς* ex *αὐτῶν* supplendum
7 *τῆς γῆς*] non vertit Canter, deleta vult Wil.; *ἔχον ⟨ἐκ⟩* vel *⟨ἀπὸ⟩* Rsk. (prob. Kaibel: 'nam *ἡ γῆ νιτρώδης καὶ ἀσφαλτῖτις*); locus nondum sanatus
10 *πρῶτον μὲν κτἑ.*] mare Gaditanum (*αὐτῇ*) aut cum mediterraneo (*ταύτην*) mixtum salsum aut cum Oceano (*ἐκείνην, τὴν ἔξω*) mixtum dulce fieri debet, praesertim cum cum Oceano non per angustum tantum fretum (ut cum mediterraneo per fretum Gaditanum) coniunctum sit, sed omnino non sit discretum (*χύδην*) ab illo 13 *ἔτι*] *τι* in ras. IV vel V litt. cap. A^r (A^1 incertum) 14 *ὁ* om. A^1 (add. A^r) 16 *ἀλλὸ/σήμέραι* S^1 agnoscitur 20 *αλιωντων* A^1, *ἁλιέων τῶν* A^rSDUT; noverant atticistae contractas illas formas, cf. Bekk. Anecd. 383, 30
22 *μεγάλην νῆσον*] cf. p. 114, 25 (100, 11 sq.) 25 lacunam indicavi; sententia fuerit: ⟨neque par est dicere mare Gaditanum easque, quae cum eo proxime coniunctae sunt, Oceani partes e nostro mari (mediterraneo) aquas salsas accipere⟩

τῆς ἔξω θαλάττης εἰσρεῖ, πόρρωθεν κομίζων τὴν φύσιν. καὶ μὴν 93
οὐδὲ Καρχηδονίων οἱ ἐκπλεύσαντες ἔξω Γαδείρων καὶ τὰς ἐν τοῖς
ἐρήμοις τῆς Λιβύης πόλεις οἰκίσαντες τοῦτον ἤνεγκαν οἴκαδε τὸν
λόγον οὐδ' ἀνέγραψαν οὐδ' ἀνέθηκαν ἐν τῷ ἱερῷ, ἕτερα πολλὰ
καὶ ἄτοπα γράψαντες· οὓς οὔτ' ἀγνοῆσαι δήπουθεν οὔτε γνόντας
εἰκὸς ἦν ἀποκρύψασθαι, καὶ ταῦτ' ἐξεπίτηδες οἷς εἶδον ὥσπερ
φιλοτιμουμένους, ἃ πάντ' ἦν ἐλάττω τοῦ γλυκεῖαν θάλατταν ἔχειν
εἰπεῖν ὡς εἶδον. Ἔτι τοίνυν ἔγωγε θαυμάζω πῶς ποτ' ἀπῆρεν 94
ἁνὴρ οὗτος τοσοῦτον ἀπὸ τοῦ γνωρίμου καὶ τίς ἡ δύναμις αὐτοῦ
475 D καὶ τίς ἡ πρόφασις τῆς ἀποδημίας. μόνον μέν γε οὐκ εἰκὸς ἐκ-
πλεῦσαι, μετὰ πολλῶν δ' ἀφικόμενον μόνον οὐκ εἰκὸς ἦν κοσμῆ-
σαι τὸν λόγον, οὐ μὴν οὐδ' εἰς βυβλίον ἐγγράφειν ὡς ἀποχρῶν,
οὐδ' ὅσον πρὸς τοὺς ἐπιτηδείους διηγήσασθαι, ἀλλὰ δημοσίᾳ
φράσαι καὶ ἀναγγεῖλαι, ἀναθέντα λέγω καὶ τοῦτον, ὥσπερ οἱ τῶν
Καρχηδονίων ἡγεμόνες γράμματα ὑπὲρ τούτων εἴς τι τῶν κοινῶν
ἱερῶν. καὶ μὴν εἴ γ' ἦν ταῦτ' ἀληθῆ, τίν' ἂν Ἑλλήνων ἐλάνθα- 95
νεν λοιπόν; ἅπασιν γὰρ ἂν ἐξῆν εἰς Μασσαλίαν πλεύσασιν μα-
θεῖν, καὶ μιᾶς γε ταύτης ἀπορίας ἀπηλλάχθαι διὰ Μασσαλιωτῶν.
ἀλλ' οὔτε Μασσαλιῶται ταῦτα λέγουσιν οὐθ' ὁ Μασσαλιώτης
ὁμοίως ἡδὺς εἰπεῖν καὶ πιστός, ἀλλά τις ἀρχαῖος μᾶλλον καὶ
ποιητικός. καὶ μὴν οὐχ ὅτι κροκοδείλους καὶ ἵππους ποταμίους 96
εἰς τὸν λόγον ἐντέθεικεν, τούτου χάριν ἄξιον πιστεῦσαί τι, ἀλλ'
ἐνταῦθα καὶ κάλλιστα τὸ πλάσμα φωρᾶται καὶ ὅτι κομψεύεται.
οὐ γὰρ ἰδὼν τοὺς κροκοδείλους οὐδὲ τοὺς ἵππους, εἶτ' ἐξήγγειλεν,
ἀλλ' ἵνα τὰ ἄλλα [τ'] ἀληθῆ δόξειεν λέγειν, τοὺς κροκοδείλους
καὶ τοὺς ἵππους προσέθηκεν, καταφεύγων ἐπὶ τὰ γνώριμα καὶ
πίστιν ἐφελκόμενος τῷ πλάσματι προσθήκῃ πλάσματος ἑτέρου
πρὸς τἀληθὲς πεποιημένου. ἀλλ' οἶμαι τοὺς μὲν τοιούτους λό-
476 D γους καὶ μύθους ταῖς τίτθαις ἄμεινον παριέναι τοῖς παιδαρίοις,

3 οἰκίσαντεσ A: οἰκήσαντεσ SDUT 4 ἂν ἔγραψαν A^1(corr. A^2)S^{1}T^{1}a. corr. ἀνέθηκαν] schol. A^r: εἰς τὸν Ἄνωνος περίπλουν αἰνίττεται 5 γνόντασ UTS^2: γνόντα AD, γνῶντα S^1 7 ἃ πάντ' TS^2: ἅπαντ' ADU, ἅπαν' S^1 9 ἁνὴρ Ddf.: ἀνὴρ O 11 δὲ | ἀφικόμενον D ἀφικόμενον] 'in patriam reversus', oppositum ἐκπλεῦσαι μόνον οὐκ A (si recte enotavi; ci. Rsk.): μόνον δ' οὐκ SDUT 12 βυβλίον A: βιβλίον SDUT, cf. p. 264, 14 16 ταῦτα | ἀληθῆ D 17 εἰς — πλεύσασιν] invertit proverbium εἰς Μασσαλίαν πλεύσειας (Paroemiogr. Gr. I 330. II 382) 19 οὐθ' ὁ — 21 ποιητικός] 'noch ist der Massaliote ein ebenso zuverlässiger Schriftsteller als er ergötzlich ist, sondern er gehört noch zur alten Fabulistenzunft' vert. (contra Rsk.) Diels, Abh. Berl. Ak. d. W. 1886, 15, 1 23 posterius καὶ abesse vult Kaibel 25 τ' seclusi: ἄλλα τἀληθῆ A^1, ἀλλ' ὥστ' ἀληθῆ A^{r}SDT, ἄλλ' ὡσ ἀληθῆ U (ci. Rsk.) 29 τιτθαῖσ A^{r}SDUT

ἐπειδὰν ὕπνου δέηται, διηγεῖσθαι, θάλαττάν τινα γλυκεῖαν καὶ 357 J
ἵππους ποταμίους καὶ ῥέουσαν τὴν θάλατταν εἰς τὸν ποταμὸν
καὶ τὰ τοιαῦτα ὕπνου φάρμακα.
97 Ἑτέρου δ' εἴρηται λόγος μικτός. τὸ μὲν γὰρ οὐ μάντεως
δεῖται, τὸ δ' οὐδ' ἂν μάντις οὐδεὶς πεῖσαι. ὅτι μὲν γὰρ ἐν τοῖς
θερμοτάτοις εἰσὶν αἱ πηγαὶ τοῦ Νείλου δῆλον, εἴπερ ἐκ τῆς με-
σημβρίας ὁρμᾶται· φησὶ δὲ ταύτας καομένας τοῦ θέρους ἕλκειν
ἐφ' αὑτὰς τὸ πλησίον ὑγρὸν καὶ συνιόντος ὕδατος πολλοῦ πλη-
98 ροῦσθαι, καὶ τοῦτ' εἶναι τοῦ ποταμοῦ τὴν ἀνάβασιν. ἐγὼ δ' ὅτι
μὲν καὶ πάντας εἰκὸς ἦν τοὺς ἐν τοῖς θερμοῖς τόποις ταὐτὸ τοῦτο
πάσχειν ποταμοὺς οὐ λέγω, ἀλλὰ πῶς οὐκ ἄτοπον τὰς μὲν πηγὰς
ἐν τοῖς θερμοτάτοις φάσκειν εἶναι, τὰ δὲ πλησίον ὕδατα αὐτῶν
μὴ ἐν τοιούτοις ἑτέροις ἀξιοῦν εἶναι; οὔκουν ὁπότ' ἐν τοῖς
ὁμοίοις ἐστὶ τόποις, ταὐτὸν πάσχειν ἀνάγκη; τί οὖν μᾶλλον τὰς
τοῦ Νείλου πηγὰς ἕλκειν ἐφ' αὑτὰς τὰ ἄλλα ὕδατα ἢ τἄλλα
ὕδατα αὐτὰ δεῖσθαι τῆς ἐκεῖθεν ἐπιρροῆς εἰκός ἐστιν; ἀλλὰ μὴν
εἴ γε ἅπαντα ἐνδεέστερα αὐτῶν ἔσται, πρῶτον μὲν ἅπαντα ἐλάττω
τοῦ θέρους ἢ τοῦ χειμῶνος ἔσται, ἔπειτα ἀλλήλοις ἐπαρκεῖν οὐχ
ἕξει, χωριζόμενα ὑπὸ τῆς θέρμης καὶ καθ' αὑτὰ ἕκαστα γιγνό-
μενα, ὥστ' ἐπὶ τοὔλαττον καὶ κάτω χωρεῖν αὐτοῖς, οὐχ ὑψοῦσθαι
99 προσῆκεν. καὶ μὴν τὸ μὲν ἕλκειν τὰς πηγὰς ἐφ' αὑτὰς τὸ πλη-
σίον ὑγρὸν τῇ ξηρότητι δότω τις ἀληθὲς εἶναι καὶ μὴ φιλονι-
κείτω· τὸ δὲ μὴ μόνον τοσοῦτον λαμβάνειν ὥστε τὸ ἀρχαῖον ἐκ-
πληροῦν, ἀλλὰ καὶ τοσούτῳ πλεονάζειν ὡς παραπέμπειν τὸν Νεῖλον
μέχρι θαλάττης, τοσοῦτον ὑπὲρ τοὺς ἄλλους τε καὶ ὃ τούτου
μεῖζόν ἐστιν, ... ἔχει λόγον ταῦτα συγχωρεῖν. ποῦ γὰρ ἔτι καὶ 477 D
ἐκτήκεσθαι φήσομεν αὐτάς, εἴπερ τοσοῦτόν τε καὶ εἰς τοσοῦτον
χρόνον καθ' ἡμέραν ἑκάστην ἐπιδιδόασιν; οὐκοῦν ἢ ἅμα τ' ἐξ-
αναλοῦνται καὶ τὸ ῥεῦμα οὐκ ἂν ἔχοιεν ἀφιέναι, ἢ τοσοῦτον εἰ
περίεστιν αὐταῖς, πῶς ἕλκουσι διὰ ξηρότητα; εἰ γὰρ καὶ τὸ ἐξ
ἀρχῆς ἐφειλκύσαντο πληρωθείσας τε εἰκὸς ἀνιέναι, εἰ δ' αὖθις ὁ

---

1 δέωνται Thom. Mag. p. 360, 12 4 ἑτέρου scripsi: ἑτέρων O, cf. φησὶ v. 7; unum Diogenem Apolloniatem significat; cf. Diels l. c. p. 13 sqq., Bauer l. c. p. 80, Berger l. c. I 111 5 πεῖσαι ASDT[1] p. corr. 8 ἑαυτὰσ DU ὕδατοσ πολλοῦ A: πολλοῦ ὕδατοσ SDUT 13 οὔκουν — ἀνάγκη; legi: οὐκοῦν — ἀνάγκη. O 15 ἑαυτὰσ D, item v. 21 17 ἐνδεέστερα] sc. τοῦ θέρους ἢ τοῦ χειμῶνος 22 φιλονεικείτω O 23 μὴ om. D 25 θαλάσσησ T 25. 26 ὃ μεῖζον τούτου D 26 lacunam ind. Rsk.; fuerint e. g. τοσοῦτον ὑπὲρ . . . τε καὶ . . . ⟨ὑπὲρ αὐτὴν τὴν (τοῦ παντὸς) φύσιν, ὥστε τίν'⟩ ἔχει λόγον κτἑ. (ad ἐστι τίν' ἔχει Junt.) 30 αὐταῖς Rsk.: αὗται O 31 ἐφελκύσαντο D ἀνιέναι] i. e. ἀνῖέναι, non ἀνἵέναι; oppositum ὑπερβαλεῖν (p. 295, 1), quod auctis aquis ne-

ἥλιος ἐξέτηκεν, οὐκ ἂν εἶχον εἰς ὕψος ὑπερβαλεῖν, διὰ τὸ αὐτὸ
τοῦτο ὑποδιδόντος αἰεὶ τοῦ πληρουμένου κατὰ τὸν τῶν ποιητῶν
πίθον, ὥστ' ἐλάττοσιν αὐταῖς προσῆκεν εἶναι τὸ πλέον τοῦ χρόνου
358 J ἢ συνεχῶς μείζοσιν.
Ἄλλος δὲ ἄλλο τι ληρεῖ, ἐμοὶ δὲ δοκοῦσιν ἅπαντες οὗτοι λό- 100
γον εἰπεῖν ἕκαστος ἐζητηκέναι καὶ τοσοῦτ' ἀπέχειν τοῦ τἀληθῆ
λέγειν ὥστε καὶ συνειδότες αὐτῶν οἱ πλείους ὅτι ψεύδονται φι-
λονικεῖν πρὸς ἃ ὑπέθεντο, εἶθ' ὥσπερ ἐν σκότῳ τοξεύοντες ἄλλος
ἄλλοθεν διαμαρτάνειν. ἐγὼ δ' οὐχ οὕτω σοφὸν εἶναι νομίζω
περὶ τῶν ἀδήλων φροντίζειν, οὐδὲ σκαιότητα ἔχειν εἴ τις ἀφ-
ίσταται, ὡς τὸ τοῖς ὑπὲρ τῶν ἀδήλων ἰσχυριζομένοις μὴ ῥᾳδίως
πιστεύειν νοῦν ἔχοντος εἶναι τίθεμαι. εἰ δὲ δεῖ κοινὸν ἐπὶ πᾶσιν 101
εἰπεῖν, λέγω πρὸς μὲν τοὺς διὰ τῶν ἐτησίων ψευδομένους ὅτι τοῦ
χειμῶνος πολλῷ μείζους καὶ βιαιότεροι βορέαι συνείρουσιν καὶ
νέφη πάντα κινοῦσιν, κινοῦντες δ' ἐλαύνουσι κατὰ φύσιν πρὸς
478 D μεσημβρίαν καὶ τότε· καὶ πρότερον πᾶν ἔστ' εἰπεῖν ἢ ὅτι χει-
μῶνος ποτὲ ὁ Νεῖλος ηὐξήθη. καίτοι τί μᾶλλον τοῦ θέρους
ηὔξετ' ἂν ἢ τοῦ χειμῶνος, εἴπερ ἐκ τῶν ἀνέμων εἶχε τὴν ἀρχήν;
πρὸς δὲ δὴ πάντας ἐφεξῆς ἐκεῖνο λέγω ὅτι πάντες ὑπ' ἀλλήλων 102
ἐλέγχονται νέοι ὄντες ἐν τοῖς λόγοις. ὅταν γὰρ οἱ μὲν ἐκ τῶν
πνευμάτων, οἱ δ' ἐξ ὑετῶν, οἱ δ' ἐκ χιόνος, οἱ δὲ τὸν ἥλιον τοῦ
χειμῶνος εἶναι τὸν τήκοντα, οἱ δὲ τὸν ἥλιον τοῦ θέρους τὸν ἀπ-
ελαύνοντα τὸ ὕδωρ, οἱ δ' ὅθεν ἄν τις βούληται φάσκωσι γίγνεσθαι
τὴν ἀνάβασιν, πάντες δὲ εἰκάζωσιν, εἰδῇ δὲ μηδείς, οὐ μόνον ἐκ

---

cessario eveniret, ni sol intercederet: 'fac eos primitus (τὸ ἐξ ἀρχῆς, quod Kaibel intellegit 'id quod ab initio posuimus', p. 294, 21) aquas attraxisse, repletos eos verisimile esse crescere; at si sol iterum aquas dissolvit, fieri non potest, ut ultra solitas ripas effundantur, quia eadem illa causa (vi solis aquas exsiccantis) quae adduntur aquae diluuntur

2 τῶν AD: om. SUT 3 αὐταῖς Canter: αὐτοῖσ O 5 ληροῖ D 7. 8 φιλονεικεῖν O 10 φροντίζειν AU²: φροντίδων SDU¹T οὐδὲ σκαιότητα ἔχειν εἴ τισ ἀφίσταται — ῥαιδίωσ (12) πιστεύειν νοῦν ἔχοντοσ A: οὐδὲ σκαιότητα ἔχειν νοῦν ἔχοντοσ (omissis εἴ τισ — πιστεύειν) DU, οὐδὲ σκαιότητα ἔχειν εἴ τισ ἀφίσταται ὡσ τὸ τοῖσ ὑπὲρ τῶν ἀδήλων οὐδὲ σκαιότητα ἔχειν νοῦν ἔχοντοσ ST ἀφίσταται] sc. τοῦ περὶ τῶν ἀδήλων φροντίζειν 16 posterius καὶ om. D, e coniectura, legebatur enim μεσημβρίαν. καὶ τότε καὶ πρότερον; mutavi distinctionem, ut καὶ τότε sit 'etiam hieme' (non solum aestate flantibus etesiis) 23 φάσκωσι Rsk. (qui ceterum locum aliter violentiusque tractavit): φάσκει O; orator postquam primariam constructionem (οἱ μὲν ἐκ) immutavit (οἱ δὲ τὸν ἥλιον κτἑ., sc. φάσκωσι), iterum ad illam rediit (οἱ δ' ὅθεν), ut rotundam protasin redderet (ὅταν — φάσκωσι); proponit v. 21 ὁ δὲ τὸν — 22 ὁ δὲ τὸν — 23 ὁ δ' — φάσκῃ Kaibel, at vv. ἄν τις βούληται pluralis flagitari videtur 24 εἰκάζωσιν] εἰ καὶ ζῶσιν A¹ (corr. Aʳ)

τῶν καθ' ἕκαστον ἐλέγχονται δήπουθεν, ἀλλὰ καὶ πάντες κοινῇ
περιπίπτουσιν ἀλλήλοις, ὅτι οὐ τἀληθὲς εὑρήκασιν, ἀλλ' ἕκαστος
103 λόγον εἰπεῖν βεβούληται. καὶ νῦν ἐγὼ κινδυνεύω δοκῶν ἅπασιν
ἀντιλέγειν ἅπαντας ἔχειν τούτους μάρτυρας. οἷς γὰρ ἕκαστοι τοὺς
ἑτέρους ἐλέγχουσι, ταῦτ' ἐμοὶ πρὸς ἅπαντάς ἐστιν. ὥσθ' ὅσον
εὖ φρονοῦσι βεβαιῶν αὐτοῖς, ὅσον ὥσπερ ἐν μάχῃ προσεισφέρουσιν
ἀγνωμοσύνης, τοῦτ' ἀφαιρῶ, ὥστ' οὐ μόνον ἐκ τοῦ βελτίονος,
ἀλλὰ καὶ τοῦ πολλαπλασίου σύμψηφός εἰμι καὶ καθ' ἕνα ἑκάστῳ
καὶ πᾶσι κοινῇ· ἕκαστος γὰρ αὐτῶν ἅμα τ' αὐτὸς τὴν αὑτοῦ
φέρει καὶ πᾶσι τοῖς ἄλλοις ἀνταγωνίζεται. εἰ δὲ μὴ ἐλάττω
προσεξεύρομεν ἡμεῖς ἢ 'κεῖνοι προκατεχρήσαντο, οὐκ ἴσως ἄξιοι 479 D
μέμψεως.
104 Καὶ μὴν οὐδ' Ὅμηρος ἀξιόπιστος λέγων (δ 581) 'ἂψ εἰς Αἰ-
γύπτοιο διιπετέος ποταμοῖο'. ἐγὼ γὰρ ὡς μὲν ἅπαντά τις ἂν
προσθείη τε καὶ χρὴ Διί, καὶ Νεῖλον ἂν δοίην εἶναι διιπετῆ καὶ 859 J
ἔργον ἐκείνου, ἐπεὶ καὶ πατέρα αὐτὸν 'ἀνδρῶν τε θεῶν τε' καλοῦ-
μεν Ὁμήρου καὶ τοῦτο τὸ ῥῆμα φθεγγομένου· καίτοι τῶν θεῶν,
ἀλλ' οὐ πάντων πατὴρ αὐτῶν [τῶν θεῶν] ἐστιν κατ' αὐτοὺς τοὺς
ποιητάς, καὶ οὐ δήπου βιάσαιτ' ἄν τις καὶ τὸν Ποσειδῶ τούτου
χάριν υἱὸν εἶναι Διὸς καὶ τὴν Ἥραν θυγατέρα καὶ ταῦτα Ὁμήρῳ
105 δοκεῖν· αὐτὸς γὰρ Ὅμηρος οὐχ οὕτω νομίζων δείκνυσιν. καὶ μὴν
εἴ γε 'πατὴρ ἀνδρῶν τε θεῶν τε' ἐστιν ὁ Ζεύς, καὶ ποταμῶν ἂν
εἴη καὶ τῶν γιγνομένων ἐν τῷδε τῷ παντὶ ⟨πάντων⟩, πρέπων τ'
ἐστὶ καὶ Νείλου κεκλῆσθαι πατὴρ οὐχ ἧττον ἢ Ξάνθου τοῦ Τρωι-
κοῦ. οὕτω μὲν δὴ καὶ Νεῖλον φήσαιμ' ἄν, ὅπερ εἶπον, εἶναι Διὸς

2 περιπίπτουσιν ἀλλήλοισ UTS[2]: περὶ ἀλλήλοισ A[1]S[1], περὶ ἀλλήλουσ A[r], περὶ ἀλλήλων D; 'sed alter alteri et cuncti invicem sibi contradicunt (cf. Aeschin. II 144), quia', cf. p. 295, 19 sq. ἕκαστον D 3 λόγον — βεβούληται] idem p. 295, 5 sq.; cum arte repetit sententiam propositionis p. 266, 8 sqq., utique Herodot. II 20 (τινες ἐπίσημοι βουλόμενοι γενέσθαι) imitatus 4 τούτους] τοῦτον ci. Rsk. 6 προσεισφέρουσιν Rsk.: προεισφέρουσιν O; 'ego cum quicquid sapienter dixerunt eis confirmem, submoveo quicquid imprudentia et dementia, ut fit in certamine, peccaverunt' 9 τὴν αὐτοῦ AS[1]D 11 ἢ 'κεῖνοι] η κει οι A[1], ἠκεῖνοι A[r]; sententia: 'quodsi nova mea tanta attuli quanta ea sunt, quae ab illis ante prolata erant, laude opinor dignus sum' 13 ἄψ δ' εἰς Homeri plerique 15 χρὴ] 'subaudi προστιθέναι' Rsk., sed dubito 16 αὐτῶν S καλοῦμεν 'Ομήρου — φθεγγομένου Rsk.: καλούμενον ἠροῦ (ἡ- DU[2]) — φθεγγόμενοι O 17 vv. καίτοι — 21 δείκνυσιν ad corrigendum dictum Homericum inserta interrumpunt rationem ab Aristide institutam; deleta vult Kaibel 18 πάντων πατὴρ αὐτῶν A[r], at πάντων in mg., πατὴρ αὐτῶν πάντων SDUT: πατὴρ αὐτῶν A[1] τῶν θεῶν seclusi 20 υἱὸν εἶναι A: υἱὸν αὐτὸν εἶναι SDUT 21 νομίζων D: νομίζω ASUT 23 πάντων addidi πρέπων Junt: πρέπον O τ' scripsi: γ' O 25 οὕτω] 'hac condicione' sc. ὡς μὲν ἅπαντά κτἑ. v. 14

ἔργον τε καὶ παῖδα. εἰ δ' ὡς περὶ Σκαμάνδρου καὶ τούτου ἢ 106
*Ὅμηρος ἤ τις ἄλλος ποιήσεται τοὺς λόγους ἢ Σιμοῦντος ἢ Γρα-
νίκου, συγγνώμην ἂν ἡμῖν ἔχοι, εἰ μᾶλλον ἂν αὐτὸν φαῖμεν τῶν
ἐν Τροίᾳ γιγνώσκειν ἢ τῶν κατ' Αἴγυπτον· ἐπεὶ καὶ Φάρον ἐν*
480 D *τοῖς ἔπεσιν εἴρηκεν Ὅμηρος* (δ 356) *διαρρήδην ἡμερήσιον πλοῦν*
481 D *ἀπέχειν Αἰγύπτου, καὶ ὥσπερ οὐκ ἀρκοῦν, ἀλλὰ προσεπισφραγι-
ζόμενος τὸ τῆς ἐξουσίας προσέθηκεν 'ᾗ λιγὺς οὖρος ἐπιπνείῃσιν*
482 D *ὄπισθεν'* (δ 357), *τῇ νηὶ δὴ λέγων τῇ πλεούσῃ. καίτοι τῆς μὲν* 107
*ἠπείρου ἀπέχει Φάρος ἑπτὰ μάλιστα σταδίους, αὐτὴ δ' ἐστὶν
ὡσπερεὶ μεθόριον Λιβύων καὶ Αἰγυπτίων. εἰ δὲ τοσοῦτον ναῦς
πανημερίᾳ θεῖ, καὶ εἰ 'λιγὺς οὖρος ἐπιπνείῃσιν ὄπισθεν', ἐγὼ
μὲν οὐκ ἔχω πιστεῦσαι· καίτοι φασί τινες τῶν ⟨καὶ⟩ ὑπὲρ τῶν
ἄλλων ῥᾳδίως ἀπολογουμένων ὅτι ἀπεῖχεν, ὡς ἔοικεν, ἡ Φάρος
τότε τῆς Αἰγύπτου πολύ, νῦν δ' ὁ ποταμὸς συντέτμηκε προσχῶν
αἰεί· καὶ τοῦτ' οὖν ἔχει νῦν οὕτω κἀκεῖνα, φασίν, ὀρθῶς Ὅμηρος
εἴρηκεν. τούτοις δὲ ἤδη σαφῶς Ὅμηρος αὐτὸς ἀντιλέγει. πῶς;* 108
*ὅτι οἶδε καὶ αὐτός που τὸν Μενελάου σὺν Ἑλένῃ πλοῦν εἰς Αἴ-
γυπτον. ὁ τοίνυν Κάνωβος ὄνομά ἐστι Μενελάου κυβερνήτου, ὡς
Ἑκαταῖός τε δή φησιν ὁ λογοποιὸς καὶ τὸ κοινὸν τῆς φήμης, οὗ
τελευτήσαντος περὶ τὸν τόπον τοῦτον λείπεται τοὔνομα. ταυτὶ* 109
483 D *φημι, ὡς Ἕλληνες λέγουσιν· ἐπεὶ ἔγωγε ἤκουσα ἐν αὐτῷ Κανώβῳ*
360 J *τῶν ἱερέων οὐ τοῦ φαυλοτάτου ὅτι μυρίοις ἔτεσι πρότερον ἢ Μενέ-
λαον ἐκεῖσε προσχεῖν τὸ χωρίον οὕτως ὠνομάζετο. καὶ οὐκ ἄντι-
κρυς μὲν ἔλεγεν τοὔνομα τοῦτ' αὐτὸ ὡς ἀπογράψαι γράμμασιν
Ἑλληνικοῖς, ἀλλ' ἦν μὲν ὥσπερ ἐμφερόμενον καὶ περιτρέχον, Αἰ-
γύπτιον δὲ καὶ δυσγράμματον μᾶλλον. τὸ δ' οὖν ἡμετέρᾳ φωνῇ*

---

3 *τῶν*] *τὸν* S 6 *ἀλλὰ — προσέθηκεν*] 'sed addidit, quibus diserte comprobaret qua uteretur licentia poetica' Wil.; cf. p. 299, 8 8 *λέγων* A: *λέγουσι* S(*-ιν*)DUT 9 *μαλισταδίουσ* S[1]; intervallum e nomine aggeris Pharum cum continenti terra iungentis (*Ἑπταστάδιον*) collegit *αὐτὴ* Rsk.: *αὕτη* O 10 *ὥσ περὶ* A[1] (corr. A[r]); vv. 9 *αὐτὴ — Αἰγυπτίων* extra causam adiecit, ut Herodoti (II 16) cavillationes impugnaret 11 *πανημερίαι* A 12 *τινες*] cf. Strab. I 30. 37; schol. Hom. δ 356 *καὶ* addidi; *ἄλλων* i. e. *ἀποριῶν Ὁμηρικῶν* 14 *προσχῶν* D(*-ὼν*)U: *προχῶν* AST 15 *ἀεὶ* A[1] (corr. A[r]) post *καὶ* s. l. *ὡσ* add. A[2] 16 *εἴρηκεν — ὅμηροσ* A: om. SDUT 18 fort. *Μενέλεω* et vv. 22. 23 *Μένελεων* ad *Μενέλεω* p. 298, 14 scrib., cf. p. 318, 4. 10 19 *Ἑκαταῖός*] deest fragmentum FHG.; de ceteris etymologiae Graecae testibus et de fide etymologiae Aegyptiae (§ 109) cf. Wiedemann l. c. p. 91 23 *προσσχεῖν* A *καὶ* om. A[1] (add. s. l. A[r]) 25 *ὥσπερ* om. D *μὲν ὡς παρεμφερόμενον* ci. Valckenaer in notis ineditis *ἐμφερόμενον καὶ περιτρέχον*] sc. pro *Κάνωβος* dixit 'kanup', quod ex 'ka' (locus editus) et 'nub' (aureus) compositum esse 26 *τὸ δ'* legi: *τόδ'* O (edd.)

δηλοῦν ἔφη χρυσοῦν ἔδαφος, εἰωθός τι τοῦτο τοῖς Αἰγυπτίοις
ἐπιφημίζειν τοιαῦτα τοῖς παρ᾿ αὐτοῖς χωρίοις, οἷον Ἐλεφαντίνη
καὶ πάλιν Διὸς πόλις καὶ Ἡλίου δὴ πόλις· οὕτω καὶ τοῦτ᾿ ἔφη
110 *τοὔνομα χρυσοῦν ἔδαφος εἶναι εἰπεῖν ἀνδρὶ Ἕλληνι. ἀλλ᾿ ἐῶ*
τοῦτο· καίτοι Αἰγυπτίους γε ἀκριβέστερον εἰκὸς εἰδέναι τὰ σφέ-
τερα αὐτῶν ἤπερ Ὅμηρον τὸν ἐν Σμύρνῃ καὶ Ἑκαταῖον τὸν ἐν
Μιλήτῳ, οὐ μόνον κατὰ τοῦθ᾿ ὅτι τις ἂν φήσειεν ἁπλῶς εἰκὸς καὶ
κοινόν, ἀλλ᾿, ὅ γε καὶ ἴδιον κατὰ τούτων ἔστιν εἰπεῖν, ὅτι διὰ
παλαιότητα χρόνου καὶ τὸ μηδὲν αὐτοῖς τῶν ἐξ οὐρανοῦ πεπον-
θέναι τὴν χώραν καὶ τῶν παρὰ τοῖς ἄλλοις ἐπιφανῶν μάρτυρές
εἰσιν αὐτοὶ καὶ ἵστορες ἀξιόχρεῳ καὶ πάντα φυλάττουσιν ἐν στή-
λαις ἐν τοῖς ἱεροῖς ἀντ᾿ ἄλλων κτημάτων. ἀλλ᾿ ὅμως καὶ τοῦτο
111 *τὸ ἰσχυρὸν παρίημι. ἀλλ᾿ ἔστω κατὰ τοὺς παρ᾿ ἡμῖν λογοποιοὺς*
ὁ τοῦ Μενέλεω κυβερνήτης ὁ τὴν ἐπωνυμίαν, ὡς ἐτελεύτησε, πε-
ποιηκὼς τῷ τόπῳ. εἰ τοίνυν δεῖ τούτῳ τῷ λόγῳ πιστεύειν, Κά-
νωβος Φάρου σταδίους εἴκοσι καὶ ἑκατὸν ἀπέχει· καίτοι ναῦς
πανημερία θέουσα ὑπ᾿ ἀνέμου κατὰ πρύμναν πνέοντος, προσθήσω
δὲ καὶ ʻλιγέοςʼ, οὐκ εἴκοσι καὶ ἑκατὸν σταδίους ἀνύσει μάλιστα,
ἀλλ᾿ ἴσως μᾶλλον διακοσίους καὶ χιλίους. καὶ ἡμεῖς τοσούτους
ἐν εὐπλοίᾳ πολλάκις ἠνύσαμεν, τὸ πᾶν διελόμενοι πρὸς τὰς ἡμέ- 484 D
112 *ρας ὕστερον. ἀλλ᾿ οἱ ποιηταὶ μύθους μὲν οἶμαι συνθεῖναι καὶ*
ποταμῶν καὶ πόλεων ὀνόματα ἀπαριθμῆσαι καὶ τοιαῦτα ποικίλ-
λειν παντὸς μᾶλλον ἴσασί τε καὶ διώκουσι, μάρτυρες δ᾿ οὐχ ἱκανοὶ
περὶ τῶν οὕτως ἐλέγχου δεομένων. αὐτίκα Πινδάρῳ πεποίηται,
ὅσπερ μάλιστ᾿ ἀληθείας ἀντέχεσθαι δοκεῖ τῶν ποιητῶν περὶ τὰς
ἱστορίας, καὶ οὐ πόρρωθεν, ἀλλ᾿ ἐξ αὐτῶν τῶν τόπων καὶ οὗτος
ὁ ἔλεγχος· φησὶ γὰρ ʻΑἰγυπτίαν Μένδητα παρὰ κρημνὸν θαλάσ-
113 *σαςʼ* (frg. 201, 1 B[4].). *καίτοι οὔτε κρημνός ἐστιν οὐδεὶς ἐκεῖ οὔτε* 361 J
θάλαττα προσηχεῖ, ἀλλ᾿ ἐν πεδίῳ πολλῷ καὶ κεχυμένῳ, οὗπερ ὁ

---

1 *εἰωθότι* (σ suprascr.) T pr. m., *εἰωθότι* D   2 *αὐτοῖσ* O   3 *δὴ*] *δὲ* ci. Rsk. (prob. Ddf.); cf. p. 222, 29   4 *χρυσοῦν* A: *χρυσοῦ* SDUT   *ἐδάφουσ* U[1] a. corr.   5. 6 *σφέτερ᾿* U   7 *ὅτι τις*] *ὅ τις* ci. Rsk. (prob. Ddf.); construendum: *εἰκὸς εἰδέναι ... οὐ μόνον κατὰ τοῦτο, ὅτι* (propterea quod) *τις ἂν φήσειεν* (sc. *αὐτὸ*) *ἁπλῶς εἰκὸς ... ἀλλὰ* (*καὶ κατὰ τοῦτο*) — *ὅ γε ... εἰπεῖν* — *ὅτι ... μάρτυρές εἰσιν κτέ.*   15 *εἰ τοίνυν κτέ.*] ʻquod si verum est, (tamen) dicendum Canobum a Pharo centum viginti stadia distare, at navis ... circa mille ducenta per diem conficitʼ   16 *καίτοι* UTS[2]: *καὶ τὸ* AS[1]D   18 *λιγέωσ* D   25 *ὅπερ* D   26 *ἀλλ᾿* om. D   27 *παρὰ* sic O, Strab. XVII 802; *παρ* corr. Boeckh ap. Pind.   28 *ἐκεῖ οὐδεὶσ* D   29 *θάλασσα* U   *καὶ* A: om. SDUT; *πολλῷ καὶ κεχυμένῳ* ʻamplo et undique se diffundenteʼ   *οὗπερ* A: om. S (hic spatio c. VIII litt. vacuo relicto; cf. ad p. 78, 9) DUT

Μενδήσιος ἅπας νομὸς οἰκεῖται καὶ ἡ πόλις αὐτῶν, ἣν ὀνομάζουσιν Θμοῦιν, ὥστε μηδ' ὀφθαλμῷ καταλαβεῖν εἶναι μήτ' ἀπ' ἄκρων ἐπὶ θάτερα μήτ' ἐκ μέσου μηδ' ἑτέρωσε. ὁ δ' ἄρα Κιθαιρῶνος καὶ Ἑλικῶνος πλέως ὢν καὶ Φικίου ἄκρον πρὸς τὰ παρ' αὑτῷ καὶ συνήθη κἀκεῖνα τεκμαιρόμενος μάλα ἐλευθέρως εἶπεν οὔτ' ἰδὼν οὔτ' ἀκούσας σαφῶς, ποιήσας δὲ πρὸς τὸ δόξαν αὑτῷ κατὰ τὴν ἀρχαίαν τε καὶ ἐκ πατέρων τοῖς ποιηταῖς ὑπάρχουσαν περὶ ταῦτα ἐξουσίαν. καὶ τί δὴ θαυμαστόν, εἰ περὶ ὧν μηδ' αὐτοὶ οἱ ἐπιχώριοι καὶ ταῦτα ὄντες Αἰγύπτιοι γιγνώσκουσι, περὶ τούτων οἱ τοσοῦτ' ἀπέχοντες ποιηταὶ μηδὲν ἰσχυρὸν ἔχουσι λέγειν;

Ἀλλὰ γὰρ κινδυνεύει παντελῶς, ὅπερ καὶ μικρῷ πρόσθεν (p. 290, 114
18) *εἶπον, ἴδιον τὸ τοῦ Νείλου πρᾶγμα καὶ τελέως ἀποκεχωρηκὸς εἶναι τῶν ἄλλων ποταμῶν. τί γὰρ δή ποτ', εἰ βούλει, μόνος ποταμῶν αὔρας οὐκ ἀφίησι; καίτοι εἴ γε ἀπὸ χιόνος ἢ ὑετῶν ἤρετο, οὐκ ἂν*
485 D *μόνος ποταμῶν αὔρας οὐ παρείχετο, ἀλλὰ καὶ πλείστας ἂν καὶ μεγίστας, ὅσῳ καὶ μέγιστός ἐστιν. ὅπου γὰρ καὶ ἡ γῆ ψιλὴ βρεχθεῖσα ἀφίησιν αὔρας, τί τόν γε δὴ Νεῖλον πάσχειν ἂν φήσομεν, εἴπερ ἐξ ὄμβρων τοσοῦτος ἀνήρχετο, ἢ νὴ Δί' ἐκ χιόνος τακείσης, ὡς ὁ τῶν ἑτέρων λόγος; τί δ' ἂν εἴποις τὴν περὶ τὴν ἀνά-* 115
βασιν αὐτοῦ τάξιν καὶ μουσικήν; τὸ ἐν Συήνῃ μὲν καὶ Ἐλεφαντίνῃ ὀκτὼ καὶ εἴκοσιν αἴρεσθαι πήχεις, περὶ δ' αὖ τὸ Ἰνδικὸν καὶ Ἀράβιον ἐμπόριον τὴν Κόπτον ἕνα καὶ εἴκοσιν, καὶ πάλιν τούτων ἀφαιρεῖν ἑπτὰ καὶ τέτταρας καὶ δέκα ἄγειν τοὺς κατὰ Μέμφιν γνωρίμους καὶ πρὸς οὓς Ἕλληνες ἤδη λογίζονται, κάτω δ' ἐν τοῖς ἕλεσιν εἰς ἑπτὰ καταβαίνειν, εἶτα δύ' ἥκονον. ἆρά γε Ἴστρος ἢ Φᾶσις ἢ Στρυμὼν ταῦτα σοφίζεται, ἀλλ' οὐ τοῦ Νείλου μόνου ταῦτ' ἐστὶ σοφίσματα μαχόμενου τῇ φύσει τῆς χώρας; ποῖος δ' ὧν ἴσμεν ποταμὸς χρόνου κρεῖττον ὕδωρ παρέχεται σὺν 116

1 *νόμοσ* AS a. corr. DT a. corr. 2 *θμουΐν* AS¹, *θμούϊν* TS² 4 *πλέωσ* A, at ras. super *πλ* (unde *ο* addidisse A^r certo conieceris, *ο* post iterum erasum): *πόλεωσ* SDUT *Φικίου ἄκρον*] Hesiod. scut. 33 *Φίκιον ἀκρότατον* (Ddf.) *αὐτῷ* O; item v. 6 8 *καὶ* s. l. add. A pr. m. 10 *ἔχωσι* AS¹D 16 *ἡ* om. Junt. (edd.); ad *ἡ γῆ ψιλὴ* confert *ὁ σῖτος ἀργός* Wil. 17 *φήσαιμεν* UTS² 18 *ἀνέρχεται* S¹; de imperfecto cf. Schmid III 40. IV 601 *ἢ καὶ νὴ* U 20 *συίνη* A(-ηι)ST; de re cf. Wiedemann l. c. p. 80 21 *τὸ*] *τὸν* D 22 *κοπτὸν* DU, *κοπτον* A 25 *ἕλεσιν* A: *ἕλλησιν* SDUT 27 *σοφίσματα μαχομένου — χώρας;* scripsi: *σοφίσματα· χῶν μὲν οὐ — χώρασ* O (T superscr.); fuit -CMAMAXO-; ad sententiam cf. p. 301, 7 sq. 11 28 *παρέρχεται* U a. ras.; de re cf. Wiedemann l. c. p. 100 sq.; hac de Nili aquae virtute intellegenda Aeschyl. suppl. 561 *ὕδωρ τὸ Νείλου νόσοις ἄθικτον*, non de totius Aegypti salubritate, quanquam cf. ad p. 303, 2; ceterum cf. or. XXXIX § 9

*τοσούτῳ ῥεύματι; οὔτε γὰρ αὐτόθι σήπεται φυλάττοντι οὔτ᾽ εἰς
τὴν ὑπερορίαν ἐκκομισθέν, ἀλλ᾽ αἱ ὁλκάδες αἱ εἰς Ἰταλίαν ἀπ᾽* 362 J
*Αἰγύπτου πλέουσαι, ἐπειδὰν ἀναπλεύσωσιν ἐκεῖθεν, σῶν ἔχουσι
τὸ λοιπὸν οὗ παρεσκευάσαντο, καὶ φθάνει τὸ δεύτερον, ὃ ἂν
προσαρύσωνται, οἷα ἐν μήκει πλοῦ προδιαφθαρὲν ἢ τὸ ἀρχαῖον
καὶ συναναχθέν. καὶ μόνοι δὴ ὧν ἴσμεν Αἰγύπτιοι κεράμια ὕδα-
τος ὥσπερ ἄλλοι οἴνου πιμπλᾶσι, καὶ ἔχουσι τριῶν καὶ τεττάρων
ἐτῶν ἔνδον καὶ ἔτι πλειόνων, καὶ τῷ χρόνῳ σεμνύνουσιν, ὥσπερ
ἡμεῖς τὸν οἶνον. ἢ καὶ τούτου φήσει τις αἴτιον εἶναι ὅτι ἐξ ὄμ-*
117 *βρων αὔξεται; καὶ τί δή ποτε οὐ πᾶσι ποταμοῖς τὸ αὐτὸ συμ-
βέβηκεν; πάντες γὰρ ὕονται, καὶ οὐκ εἰκάσαι γε ἡμᾶς ὅτι ὕονται* 486 D
*δεῖ, ἀλλὰ πάρεσμεν αὐτοὶ τοῖς ὄμβροις καὶ προσοικοῦμεν ὡς ἔπος
εἰπεῖν τὰς ὄχθας. καὶ ἔνιοί γε αὐτῶν ἐπ᾽ ἐλαχίστῳ τῷ ἀρχαίῳ
τὸ ἐκ τῶν ὄμβρων προσλαβόντες καὶ αὐξηθέντες ὅμως οὐδ᾽ ἐκ
τοῦ νικῆσαι παρέχονται τὴν αὐτὴν χρείαν. ὁ δὲ καὶ τοῦ θέρους
αὔξεται, τοῦ δὲ χειμῶνος ἔσθ᾽ αὐτοῦ, καὶ τότ᾽ ἐστὶ βέλτιστος.*
118 *γλυκύτητι τοίνυν πόσον οἴει νικᾶν τοῦτο τὸ ὕδωρ; ὅσον οὐδ᾽ ἂν
εἴποις. καίτοι τούτου τί τὸ αἴτιον; ἐκείνου δ᾽ αὖ τί τις ἂν φαίη,
ὅτι κινδυνεύει τρόπον τινὰ αἰεὶ τὸ ἀποσχιζόμενον αὐτοῦ ῥεῦμα*
119 *ἴσον εἶναι τῷ κυρίῳ καὶ παντί; τί δ᾽ οὐ τῶν ἐκείνου θαῦμα; ἢ
πῶς οὐκ ἐκ παραδόξων ἅπας συνείλεκται; ᾧ γε ἐπικουρεῖ μὲν
ὕδωρ οὐδέν, ἀλλὰ καὶ πέτραι ῥήγνυνται τῇ ξηρότητι καὶ τὰ ὄρη
μόνον οὐ φλόγα ἀφίησιν, ὁ δ᾽ ἐν μέσῳ τῶν ἀποριῶν τούτων ῥέων
πάσας μὲν λίμνας, πάντας δὲ κόλπους κατείργει πλήθει τοῦ
ὕδατος, οὐ μόνον τὸν τῆς ἀναβάσεως χρόνον, ἀλλὰ καὶ τὸν ἄλλον
ἅπαντα. καθέστηκε δ᾽ ἀντὶ μιᾶς πηγῆς ἁπάσῃ τῇ γῇ καὶ οὔτε
πόλις οὔτ᾽ οἶκος οὔτε χωρίον οὐδὲν ἐκφεύγει τὴν ἐκείνου χρείαν*

---

1 *σήπτεται* D 3 *σὸν* S[1] 7 *πιμπλῶσι* U 10 *αὔξεται*] *ἄρχεται* T[1] 11 *ὕονται* ASTD p. ras. U[2](*ὕ* in ras. ampliore) Thom. Mag. p. 57, 13: *καὶ ὕονται* D a. ras. (U[1] sine dubio) 12 *δεῖ* Canter: *ἀεὶ* A[1], *αἰεὶ* A[r]SDUT 14 *ὅμως*] *ὁμοίωσ* D *οὐδ᾽ ἐκ τοῦ νικῆσαι*] quanquam superant Nilum eo, quod, si aquas ex imbribus additas comparaveris cum pristina aquarum vi, plus iis additum esse invenies quam pro ratione Nilo 16 *ἐσθ᾽ αὐτοῦ* AST[1]; ad sententiam cf. p. 276, 23. 26 sq. 17 *οἴει*] primum in *εἴη* corr., tum lineola transfixa delevit T[2] 18 *ἐκείνου*] *ἐκεῖνο* ci. Rsk., falsus; supplendum: *ἐκείνου δ᾽ αὖ (τὸ αἴτιον) τί — παντί;* iam pergit: '(ignoramus; quid mirum?) omnia in illo flumine mira' *δ᾽ αὖ*] *δὲ* D 19 *ἀεὶ* A[1] (corr. A[r]), item p. 301, 15 20 *παντί* A: *πρί* SDUT (= *πατρί*, corruptum ex *πτί* = *παντί*), quod excipit in S spatium vacuum relictum v litt. cap.; cf. ad p. 78, 9 24 *κατείργει*] *κατήργει* D; *κατέχει* ci. Canter, *ἐκτείνει* ipse conieci; def. Rsk. ('obruit, obscurat, vincit') 26 *πηγῆσ* A, sup. *πη* ras. *καὶ οὔτε* — 301, 2 *κατῳκημένοις*] cf. or. XXVI § 28. 30. XLIII § 27

καὶ δύναμιν, ἀλλὰ ταὐτὸν δύναται ταῖς ἐν μεσογείᾳ τῶν πόλεων
487 D *καὶ τοῖς ἐν ταῖς ἐσχατιαῖς ὅπερ τοῖς ἐπὶ ταῖς ὄχθαις κατῳκημέ-*
νοις, μᾶλλον δ' αὐτοῖς τοῖς πλέουσι μέσον πόρον. ἐπειδὰν δὲ ὁ 120
363 J *θεσμὸς ἥκῃ καὶ δέῃ πρὸς ὕψος ἰέναι, τὰ μὲν ἄλλ' ἀμύθητα,*
ἄμμοι δ' ἐκεῖναι καὶ γῆς χάσματα ἀντὶ τεμπῶν καὶ ἑλῶν ἔστιν
αὐτῷ τὸ μηδαμῇ κωλύειν, ἀλλ' ἀτεχνῶς ὥσπερ οἱ τὴν ἐναντίαν
τῷ παντὶ βαδίζοντες τῶν ἀστέρων, ἐναντία καὶ τοῖς καιροῖς καὶ
τῇ φύσει τῆς χώρας αἴρεται. καίτοι τίς οὐκ ἂν ἰδὼν καὶ τοῦθ'
ἕν τι τῶν ἀπίστων ἔκρινεν, ἐξαρκέσαι τοῖς χάσμασιν καὶ πληρῶ-
σαι τὰ διεστηκότα, μᾶλλον δ' ἔτι τούτου πρότερον διὰ τῆς ἄμ-
μου τῆς ἄνω διεξελθεῖν; ὁ δ' ὥσπερ φιλονικῶν πρὸς τὰ ἐναντία
αὐτῷ τὸν πόρον ἐργάζεται. καὶ πρῶτον μὲν τὰ κοῖλα καὶ τὰς 121
χαράδρας ἐπλήρωσεν ὑπελθὼν ὑποβρύχιος, ὥσπερ οἱ ὕφαλοι κο-
λυμβηταί, τρέψας εἰς τὸ κάτω τὰ πρῶτα τῆς ἀναβάσεως· ἔπειθ'
ὑπὲρ αὐτῶν τε καὶ τῆς χώρας ἵσταται προϊὼν αἰεί, πρὸς τὸ μή-
κιστον μετρητὸς ἤδη. εἰ δέ τις ᾔδει τὸ ἀφανὲς τοῦ ἔργου, μειζό-
νως ἂν ἐθαύμασεν τοῦ δρωμένου. πολλοὺς γὰρ οἶμαι ποταμοὺς 122
τῶν νῦν εἰς πρώτους τελούντων οὐκ ἂν ἀρκέσαι τοῖς κάτω τῆς
χώρας, ἀλλ' ἐμπεσόντας ἂν αὐτόθι κρυφθῆναι, ὥσπερ τὸν Εὐ-
φράτην προϊόντα ἀφανίζεσθαι λόγος. νῦν δ' ὥσπερ τῶν πυρα-
μίδων τὰς μὲν κορυφὰς ὁρῶντες ἐκπληττόμεθα, τὸ δ' ἀντίπαλον
καὶ ὑπὸ γῆς ἕτερον τοσοῦτον ὂν ἠγνόηται, λέγω δὲ ἃ τῶν ἱερέων
ἤκουον· καὶ δὴ καὶ τὸν Νεῖλον κορυφωθέντα μὲν Αἴγυπτος ἡ
488 D *πᾶσα ὁρίζεται καὶ πρὸς τὸ προκείμενον κρίνομεν † τὸ Αἰγύπτιον*

---

1 *δύναται* A: *δύνανται* SDUT 2 *κατωκημένοισ* D: *κάτω κειμένοισ* A[1]UT, *κάτωι κειμένοισ* A[r]S 3 *μέσον πόρον*] quod nisi nautarum e sermone dictum esse mecum iudicaveris, *μέσον ⟨τὸν⟩ πόρον* scrib. 4 *θεσμὸς*] Nili incrementi causam ut multa alia huius fluminis miracula explicari non posse Aristides probare studet; consentaneum ergo est eum dicere Nilum lege quadam naturali vel divina crescere; ad *θεσμὸς* cf. p. 53, 12; 311, 24; Panath. I p. 316, 17 Ddf. (cf. *θέρους νόμῳ* p. 270, 10); Lucan. X 238 'sic *iussit* natura parens discurrere Nilum, sic opus est mundo'; *θερισμὸς* Junt. (edd.) *ἄλλα* D 6 *τὸ*] *τῷ* ci. Canter; at (*κατὰ*) *τὸ* — *κωλύειν*, i. e. 'quia illum neutiquam impediunt', bene construitur neque ambiguum est, quod foret *αὐτῷ τῷ* 10 *δ' ἔτι* TS[2]: *δὲ· τι* AS[1](*τί*)DU 11 *διεξελθεῖν* Rsk.: *διεξῆλθεν* O Thom. Mag. p. 405, 4; *μᾶλλον δ' ὅτι* (— *διεξῆλθεν*) ci. Canter; potius *μᾶλλον δ' ἔτι τούτου* (sc. *ἐθαύμασεν*) ⟨*ὅτι*⟩ — *διεξῆλθεν* *φιλονεικῶν* O 12 *αὐτῷ* O *ἐργάζεται*] cf. p. 271, 14, ubi quae adnotata sunt, W. Spiegelberg ut nimis incerta nunc deleta vult 15 *αὐτῶν* Rsk.: *αὐτούσ* O 19. 20 *Εὐφράτην* — *λόγος*] cf. e. g. Arr. an. VII 7, 5. Mela III 77 24 corruptelam agnovit Rsk.; *τὸ Αἰγύπτιον* deleta vult Wil.; mihi sententia est 'et cum eo quod praetenditur (nempe Aegyptio, cf. or. IL § 3) mari in comparationis iudicium vocamus quasi alterum quoddam Aegyptium mare'

πέλαγος, τοσοῦτος ἐπέρχεται· ὅπως δ' εἰς τοῦτο ἥκει καὶ ὅθεν
123 ἤρξατο τῆς ἀναβάσεως ἐκπέφευγε τὴν ἱστορίαν. τὸ δὲ δὴ καὶ μό-
νην ταύτην ἁπασῶν χωρῶν ὥσπερ τι ζῷον καθεστάναι πρὸς ἀμ-
φότερα ὑπὸ τοῦ ποταμοῦ, τοτὲ μὲν χερσαίαν εἶναι καὶ ἐφ' αὐτῆς
ἐπὶ τοῦ ξηροῦ, αὖθις δ' ἐν τῷ ὕδατι διαιτᾶσθαι, τῷ χρὴ ταῦτα
προσθεῖναι πλὴν ἢ τῇ μεγάλῃ σοφίᾳ καὶ προνοίᾳ τοῦ θεοῦ, ὅστις
ᾗ μὲν ἥκιστα ὕειν ἔμελλεν, τὸν Νεῖλον ἐπήγαγεν μιμητήν τινα ἑαυ-
τοῦ καὶ ἀντὶ ὄμβρων εἶναι τοῖς ταύτῃ· τῆς δ' ὥρας αὖ τηνικαῦτα
ἀπήγαγεν, ἡνίκα τοῖς τε ἀνθρώποις ἔμελλε μάλιστα ἐν καιρῷ ἔσε- 364 J
σθαι καὶ τῇ χώρᾳ τὴν φορὰν οὐ μόνον οὐκ ἐλάττω τῆς ἱκανῆς,
ἀλλὰ καὶ θαυμαστὴν πλήθει παρέξεσθαι; ταύτην ἐγὼ μόνην αἰ-
τίαν ἐπινοῶ δι' ἣν ὁ Νεῖλος δι' Αἰγύπτου καὶ τῶν ἐκείνῃ ῥεῖ, 489 D
124 καὶ μέγιστος δὴ τοῦ θέρους. ὁρῶ δ' ὅτι καὶ τῶν ἰαμάτων ἀπὸ
τῶν σωτήρων θεῶν ἀπολαύομεν, ὧν εἷς ἐστιν ὁ τῷ Νείλῳ συνώ-
νυμος· καὶ τὸ μὲν κεφάλαιον καὶ τὴν καθάπαξ αἰτίαν ἅπαντες
σύνισμεν, ὅτι ἡμᾶς βούλονται σῴζειν καὶ ὑγιεῖς ποιεῖν, τὴν δ' ἐπί-
νοιαν αὐτὴν καὶ τὸ αἴτιον ὧν φράζουσιν ἑκάστοτε τίς πώποτ'
ἐξευρεῖν οἷός τε; οἵ γε καὶ δι' αὐτῶν τῶν ἐναντιωτάτων εἶναι δο-
κούντων καὶ ἃ μάλιστ' ἄν τις φυλάξαιτο ἰάσαντο. καὶ ταῦτα μὲν
εἰς τοσοῦτο παρεφθέγχθω, οὐκ ἐκ προνοίας εἰρημένα οὐδὲ βου-
λευθέντα ἐξ ἀρχῆς, ἀλλὰ τοῦ λόγου ταύτῃ προενεγκόντος ὥσπερ
125 ῥεύματος. Νεῖλος δὲ ποταμῶν οὐχ ἧττον κάλλιστος ἢ μέγιστος,
καὶ χρείᾳ καὶ θέας ἡδονῇ καὶ τοῖς πᾶσι πολὺ νικῶν· καὶ διὰ γῆς
ἀρίστης καὶ καλλίστης διεξέρχεται, καὶ ἀὴρ ὁ περὶ αὐτὸν ἀέρων
κάλλιστος καὶ τοῖς ὀφθαλμοῖς λαβεῖν καθαρώτατος· μεστὴ δὲ
ὕδατος οὖσα ἡ γῆ πᾶσα ξηρότατον τὸ ἄνω πασῶν χωρῶν παρέχε-

---

4 ἐφ' αὑτῆσ sic O 5 ἐπὶ] ὑπὸ D τῷ] τὸ D 6 ἢ Ddf.: εἰ O; sententiam stoicam quandam invertere videtur (cf. Diels l. c. p. 7. 11) τοῦ θεοῦ] Serapidis (cf. or. XLV § 32), quanquam Osiridem Nili caput tenere Aegyptii credebant (Wiedemann l. c. p. 115); sed seriore aetate hos deos tanquam eosdem iunctos esse constat (ibid. p. 199); Aristides in or. XLV ambos utique miscet 7 ᾗ μὲν scripsi: ἡ μὲν A, εἰ μὴ SDUT et mg. A pr. m. ὕειν ἔμελλεν A: ἔμελλεν ὕειν SDUT 8 τοῖς ταύτῃ· (hoc corr. Canter, cf. U) τῆς δ' ὥρας αὖ τηνικαῦτα ἀπήγαγεν scripsi: τοῖσ ταύτησ τῆσ δωρεᾶσ αὖ τηνικαῦτα ἐπήγαγεν ASDT, τοῖσ ταύτῃ γ' ἀνθρώποισ· τηνικαῦτα δὲ ἐπήγαγεν U 12 ὁ D: om. ASUT; quanquam cf. v. 22 14 σωτηρίων D συνώνυμος] deus quem significat certo (cf. Wiedemann l. c. p. 323) est Apis: ḥāpi Nilus Aegyptiis audiebat 15 prius καὶ om. A[1] (add. A[r]) 16 ποιεῖν AU: om. S[1]D, εἶναι TS[2] 18 οἷόσ τε om. A[1] (add. A[r]) ἐναντιωμάτων T 20 τοσοῦτον U 21 ἀλλὰ τοῦ λόγου A: τοῦ λόγου S[1]D, τοῦ δὲ λόγου TS[2], τοῦ λόγου δὲ U 25. 26 δὲ οὖσα ἡ γὴ πᾶσα ὕδατοσ D

ται. ὡς δὲ καὶ σεισμοῖς καὶ λοιμοῖς καὶ τοῖς ἐξ οὐρανοῦ κατακλυσμοῖς ἀνάλωτος ἡ χώρα δι' αὐτόν ἐστιν οὐδὲ τοὺς πρὸ ἡμῶν Ἕλληνας ἔλαθεν. ἃ δὴ καὶ Αἰγύπτιοι συνεωρακότες, οἶμαι, μειζόνως ἄγουσι τὰ κατ' αὐτόν. ὥστ' ἔγωγέ ποτε ἤκουσα καὶ ἄλλου τῶν τι δοκούντων εἰδέναι περὶ ταῦτα ὅτι καὶ τῶν νομίμων [καὶ]
490 D τῶν περὶ τὰς ἑορτὰς καὶ θυσίας εἰς τὸν Νεῖλον αὐτοῖς ἀνήκει τὰ πλεῖστα.

---

1 *σεισμοῖς καὶ λοιμοῖς*] at cf. Wiedemann l. c. p. 49, 1. 63 et 322
2 *τοὺς πρὸ ἡμῶν Ἕλληνας*] Herodot. II 77, Isocr. XI 12 sq. (qui antiquiorem quendam auctorem Ionicum sequi videtur), Aeschyl. ad p. 299, 28 exscriptus (nam Aristides volgarem scholiorum interpretationem sine dubio probabat)
4 *κατ' αὐτόν* TS[2]: *καθ' αὐτόν* AS (*αὐ-*) DU 5 [*καὶ*] secl. Rsk.; de re cf. Wiedemann l. c. p. 365

ΜΑΝΤΕΥΤΟΙ. I 12 D I 9 J

XXXVII.

(2) ΑΘΗΝΑ.

Ἔστω τοίνυν ἡμῖν ὕπαρ τὸ ὄναρ. σὺ δ', ὦ δέσποινα Ἀθηνᾶ,
τήν τε ἄλλην δίδου τύχην καὶ χάριν καὶ τοῦ παρόντος ἔφαψαι
λόγου τά τε φανθέντα τέλει πρὸς τὴν ἀξίαν, ὡς ἐναργῆ τῆς
νυκτὸς ἐδείκνυτο· ὡς δὲ καὶ ἔργῳ συμβαίνῃ σαφῆ καὶ βέβαια,
ὅδε σοὶ λόγος ἔσται μικτὸς εὐχῆς τε καὶ ὕμνου τὰ νῦν.

2 Πάντα μὲν οὖν τὰ κάλλιστα περὶ Ἀθηνᾶν τε καὶ ἐξ Ἀθηνᾶς, 13 D
ἐν δὲ τοῖς ἀξιολογώτατον αἱ γοναὶ τῆς θεοῦ, κεφάλαιον μὲν εἰ-
πεῖν ὅτι τοῦ πάντων δημιουργοῦ καὶ βασιλέως παῖς ἐστι μόνη δὴ
μόνου. οὐ γὰρ εἶχεν ἐξ ὅτου ὁμοτίμου ποιήσειεν αὐτήν, ἀλλ'
ἀναχωρήσας αὐτὸς εἰς αὑτὸν αὐτὸς ἐξ αὑτοῦ γεννᾷ τε καὶ τίκτει
τὴν θεόν· ὥστε ἐστὶ μόνη βεβαίως γνησία τοῦ πατρός, ἐξ ἴσου
3 καὶ ὁμολογοῦντος ἑαυτῷ τοῦ γένους γενομένη. τὸ δὲ ἔτι τούτου
μεῖζον, ὅτι καὶ ἐκ τοῦ καλλίστου τῶν ἑαυτοῦ, ἐκ τῆς κεφαλῆς,
ἀνῆκεν αὐτήν, ὡς ἄρα οὔτε ἐκ τῆς ἐκείνου κεφαλῆς κάλλιον ἦν
ἀνελθεῖν οὐδὲν οὔτε Ἀθηνᾷ τόπος βελτίων ἀνασχεῖν· ἀλλὰ κατ'
ἀξίαν ἄμφω συνέβαινε. γενομένη δ' ἐκ Διὸς καὶ μόνου καὶ ἐκ
τῆς κεφαλῆς οὐχ ἧττον τούτων θαυμαστὸν τὸ τέταρτον ἐφείλκετο,

Libri ASDUT = O

Tit. *μαντευτοῖ ἀθηνᾶ* UT, *μαντευτοῖ ἀθηνᾶι* A: *ἀθηνᾶ* S; om. D. — *Μαντευτοί* tomi esse indicem agnovit Abresch, Miscell. observ. V (Amstelodami 1734) p. 234 sqq.; cf. Menand. epid. IX 157 W. (III 344 Sp.) . . . *ἐν τοῖς μαντευτοῖς Ἀριστείδης· οὗτος γὰρ τὸν Ἀσκληπιὸν καὶ τὴν Ὑγίειαν συγγέγραφεν κτἑ.* — Haec illa videtur esse oratio, cui orator paraphthegma inseruit, de quo or. XXVIII; cf. p. 139 sqq. adn.; testari videtur ipse orationem or. L § 25   2 *τύχην* sic O   3 *τὴν* om. U   4 *συμβαίνῃ* scripsi: *συμβῆναι* O; *συμβῇ καὶ σαφῆ* ci. Kaibel   6 *τὰ* deleverim, post *κάλλιστα* trai. Kaibel   7 *αἱ γοναὶ* SDU: *αιναι* A, ad quod *ει* A^r mg. (i. e. *εἶναι*), *εἶναι* T   *μὲν* AS: *μὲν οὖν* DUT   8 *δὴ μόνη μόνου* D   10 *εἰσ αὐτὸν* A^1 (corr. A^r) S^1D^1 a. corr. T^1 *ἐξ αὐτοῦ* A^1 (corr. A^r) T^1 11 *ἐστὶ*] *ἔνι* T   12 *αὐτῶ* DU   14 *οὔτε* om. U   17 *τὸ τέταρτον*] tria priora indicavit vv. *γενομένη — κεφαλῆς*   *ἀφείλκετο* T

ὃ δή φασι συμβῆναι περὶ τὸ χάσμα τῆς κεφαλῆς τῆς θεοῦ φά-
σμα· ἀνῄει γὰρ εὐθὺς ἔνοπλος, ὥσπερ ἥλιος ἀνίσχων ὁμοῦ ταῖς
ἀκτῖσιν, ἔνδοθεν κοσμηθεῖσα ὑπὸ τοῦ πατρός. διὸ δὴ καὶ οὐ 4
10 J *θέμις οὐδέποτε αὐτὴν καταλιπεῖν τὸν πατέρα, ἀλλ' αἰεὶ πάρεστί*
14 D *τε καὶ συνδιαιτᾶται καθάπερ συμπεφυκυῖα, ἀναπνεῖ τε εἰς αὐτὸν*
καὶ σύνεστι μόνη μόνῳ, τῆς γενέσεως μεμνημένη καὶ τῶν ὠδίνων
ἀποδιδοῦσα πρέποντα τὸν μισθόν. δοκεῖ δέ μοι καὶ πρεσβυ- 5
τάτη θεῶν φῦναι ἢ κομιδῇ τινων εὐαριθμήτων εἶναι, τῶν πρώτων
ὄντων ἐν τῷ τότε· οὐ γὰρ ἂν ἄλλως ὁ Ζεὺς ἕκαστα διεῖλεν, εἰ μὴ
πάρεδρόν τε καὶ σύμβουλον τὴν Ἀθηνᾶν παρεκαθίσατο. καὶ γάρ
τοι μόνη μὲν τὴν αἰγίδα δι' αἰῶνος φορεῖ, μόνη δὲ τοῖς τοῦ πα-
τρὸς ὅπλοις εἰς τὸν Ὁμηρικὸν (*Θ* 387 sq.) *πόλεμον κοσμεῖται· οἷα δὲ*
ἐν αὐλῇ θαυματοποιῶν ἅμα τοῖς αὐτοῖς ὅ τε Ζεὺς καὶ ἡ θεὸς
χρῆται. οὕτως δ' ἐστὶν αἰδέσιμος τῷ πατρὶ καὶ πάντων κεκοινώ- 6
νηκε καὶ τὰ πρεσβεῖα μόνη κατείληφεν, ὥστε καὶ τῶν ποιητῶν
οὓς ἂν μάλιστά τις εἴποι τυχεῖν τῆς θεοῦ, Ὅμηρος μὲν τῆς αἰ-
γίδος αὐτῆς μνησθεὶς καὶ τοῦ τρῶσαι δαίμονος ἐπιχειρήσαντος
λέγει (*Φ* 401)

σμερδαλέην, ἣν οὐδὲ Διὸς δάμνησι κεραυνός,

15 D *λέγων ἀσφαλῶς, ἐπειδή γε καὶ τῷ Διὶ τῶν σκηπτῶν καὶ κεραυ-*
νῶν πλείονος ἄξια τὰ παρὰ τῆς Ἀθηνᾶς, Πίνδαρος δ' αὖ φησιν
δεξιὰν κατὰ χεῖρα τοῦ πατρὸς αὐτὴν καθεζομένην τὰς ἐντολὰς
τοῖς θεοῖς ἀποδέχεσθαι. ἀγγέλου μὲν γάρ ἐστι μείζων, ἡ δὲ τῶν 7
ἀγγέλων ἄλλοις ἄλλα ἐπιτάττει πρώτη παρὰ τοῦ πατρὸς παρα-
λαμβάνουσα, ἀντ' ἐξηγητοῦ τινος οὖσα τοῖς θεοῖς καὶ εἰσαγωγέως,
ὅταν καὶ τούτου δέῃ. ἅτε δὲ ἐν κορυφῇ τε τοῦ Ὀλύμπου καὶ ἐκ
κορυφῆς τοῦ Διὸς γενομένη, πόλεών τε πασῶν τὰς κορυφὰς ἔχει,

---

1 alterum *τῆσ* O: *τοῦ* S^2 (Junt. edd.) 1. 2 *φάσμα* om. S (Monac. 432, sec. quem secl. Rsk.^{2}) 3. 4 *οὐ θέμις*] *οὐδεμισ* A^1, *θέμισ* add. A^r mg. (in textu corr. A^2) 4 *ἀεὶ* A^1 (corr. A^r) S 6 *μόνω μόνη* DU 8 *εἶναι* scripsi: *καὶ* O *πρώτων ἐν τῶ τότε ὄντων* DU 9 *ἄλλως*] 'alioquin enim vereor, ut Iuppiter (tam sapienter) singula (singulis dis) dispertiturus fuerit, nisi Minervam in consilium adscivisset'; huic argumento alterum subiungit: aetas (*πρεσβυτάτη*) Minervae indicatur eo, quod patris arma (*πρεσβεῖα* v. 15, qua in voce ludit) accepit 10 *παρεκαθίσατο*] *ί* in ras. T^2 13 *ἐν* — *θαυματοποιῶν*] ita ut *Ζηνὸς αὐλή* (Hom. *δ* 74) *θαυματοποιῶν αὐλή* videatur 14 *οὕτω* SDUT 16 *οὓς ἂν*] *οὖσαν* A^1 (corr. A^r) 17 *δαίμονος*] Martis 19 *δάμνῃσι* AS 20 *λέγων ἀσφαλῶς*] cf. p. 148, 15 21 *πλείονος ἄξια*] cf. Hom. *Δ* 45 sq. *παρὰ* om. T *Πίνδαρος*] frg. 146 B.^{4}; apparet etiam vv. *τὰς ἐντολὰς* — *ἀποδέχεσθαι* ad Pindari sententiam dicta esse *δ'* om. D 23 *ἣ δὲ*] *ἥ γε* ci. Rsk. (prob. Ddf.), inutiliter 24 *ἄλλα ἄλλοισ* U *πρώτη|τοῦ* S 25 *καὶ εἰσαγωγέωσ* — *δέῃ* SDUT: om. A (secl. Ddf.); cf. p. 311, 17 sqq.

*κατ' ἄκρας ὡς ἀληθῶς ἠρηκυῖα καὶ τῶν ἀνθρώπων ὅσοι θεο-
φιλεῖς οὐκ Ἄτη πατεῖ τὰς κεφαλάς, Ἀθηνᾶ δὲ ἀνέχει καὶ ἐμβα-
8 τεύει, τηροῦσα τὸ σύμβολον τῆς αὐτῆς γενέσεως.*

*Τὸ μὲν δὴ κράτος τῆς θεοῦ τοσοῦτον ἐν οὐρανῷ καὶ γῇ. ὅσου δὲ
ἀξία θεοῖς τε καὶ ἀνθρώποις ἐστί τε καὶ γεγένηται καὶ γενήσεται,
θεῶν μὲν ἂν παῖδες ἄμεινον εἴποιεν ὅσοι χορευταὶ τῆς Ἀθηνᾶς, πει-
ρατέον δὲ καὶ ἡμῖν ἀμωσγέπως εἰπεῖν, ποιηταῖς τε ἄχρι τοῦ μετρίου* 11 J
*προσχρωμένους καὶ τῷ λόγῳ τοσοῦτον ἐφιέντας, ὡς μὴ πολύ τι
9 παρενεγκεῖν ἢ τὸν πάντα ἰσομέτρητον συμβῆναι τῷ ὀνείρατι. λέ-
γεται γὰρ ὡς ἐπειδὴ οἱ Γίγαντες παρετάξαντο ἐν τῇ Φλέγρᾳ,
Ἐγκέλαδον μὲν καὶ τοὺς ἡγουμένους αὐτῶν κτείνει ἡ θεός, τοῖς
δ' ἄλλοις θεοῖς ὀλίγον τὸ ἔργον γίγνεται, ἐπεὶ καὶ τῶν ἄλλων
Γιγάντων ὅσον ἦν κράτιστον κτείνει ἡ θεός, ἅτε καὶ φύσει πολε-
μίους ὄντας ἑαυτῇ διαφερόντως ἀμυνομένη· ἦσαν γὰρ ἀπ' ἐναν-
τίου τοῦ γένους αὐτῇ. οἱ μὲν γὰρ ἐκ τῶν κοίλων τῆς γῆς ἐπ-* 16 D
*εφύκεσαν καὶ τῶν ἀλογωτάτων, ἡ δὲ ἐκ τοῦ καθαρωτάτου τῶν ἐν
τῷ αἰθέρι. πρὸς οὖν τοὺς ἐκείνων ὄφεις [συμφύτους] καὶ τἄλλα
ὅσα τῆς γῆς ἐφείλκοντο τὸν αὑτῇ σύμφυτον κόσμον καὶ τὸ παρ'
αὑτῆς ἀντεπήγαγε πῦρ, ἕως ἐξέκαυσεν καὶ ἐξεῖλεν τὸ γένος. τόδε
μὲν τὸ ἔργον αὐτῆς ὑπὲρ θεῶν τε καὶ τῆς θείας φύσεως ἁπάσης
ᾄδεται καταπραχθέν. τὴν δὲ ⟨τῶν⟩ Τιτάνων καὶ τῶν Ὀλυμπίων θεῶν
10 κληθέντων μάχην οὐχ ἥδιον ἐμοὶ γοῦν λέγειν.* *Ἀλλὰ μὴν εἴς γε
τὰ τῶν ἀνθρώπων πράγματα ὅσας εὐεργεσίας κατέθετο ἐνθυμη-
θῆναι ῥᾷον ἢ διελθεῖν λόγῳ. ἡ μὲν οὖν μεγίστη τῶν εὐεργεσιῶν
καὶ διὰ πάντων τῶν γιγνομένων διήκουσα καὶ παρατείνουσα
πάντας χρόνους καὶ τόπους, ὅτι Ἀθηνᾶς ἡγουμένης οὐδὲν πώποτε
ἀνθρώποις ἡμαρτήθη οὐδ' αὖ πράξουσί ποτε χρηστὸν οὐδὲν ἄνευ*

---

1 ʻ*κατ' ἄκρας*, cf. me ad Eur. Hipp. p. 238ʼ Wil.: *κατὰ κράτοσ* O *ἠρκυῖα* A (cf. *ἠρηκυῖα* S^1 a. corr. Junt.) 2 *οὐκ Ἄτη κτέ.*] invertit Hom. *T* 91 sqq. *οὐκατ / πάτεῖ* A^1 agnoscitur (corr. A^2) 3 *αὑτῆσ* D^1 p. corr. U^2: *αὐτῆσ* O 4 *ὅσον* D 6 *θεῶν — εἴποιεν*] imitatur Plat. Tim. 40 D 9 *παρ-ενεγκεῖν ἢ — συμβῆναι*] imitatur Thuc. V 20, 1 *ἡμερῶν ὀλίγων παρενεγκου-σῶν ἢ ὡς — ἐγένετο* ita, ut pro *ὡς* c. ind. substituerit infinitivum 11 *τοὺς ⟨ἄλλους⟩ ἡγουμένους* Rsk. *κτείνειν* T^1 12 *γίνεται* DUT 13 *ἡ θεός* suspectum, cf. v. 11 17 *συμφύτους* secl. Kaibel; cf. etiam p. 312, 3 18 *ὅσα ἐκ τῆσ* U *αὐτῇ* DU (corr. Ddf.): *αὐτῆσ* AST 19 *αὐτῆσ* O 20 *τε* om. DU 21 *ᾄδεται*] *ε* in fine rasurae III litt. cap. T^2 *τῶν* addidi, cf. etiam v. 10 22 *οὐχ ἥδιον*] cf. Schmid I 238 (qui tamen *ἥδιον* Luc. sat. 1 ab homine oraculum sciscitante usurpatum perperam pro *ἡδύ* habuit). II 44. III 60; cf. etiam ad LI § 35 *ἔμοι γ' οὖν* ADUT 24 *ῥᾷον* Rsk. (ʻfaciliusʼ verterat Canter): *ῥά(ι)διον* O; ante *ῥάδιον* (A^1) s. l. add. *οὐ* A^2 27 *ἡμαρτήθη ἀνθρώποισ* U

τῆς Ἀθηνᾶς. εἰ δὲ δεῖ καὶ τῶν ἐν μέρει μνησθῆναι καὶ τοὺς 11
μύθους μὴ ἀτιμάσαι, προσθῶμεν ἔλαιον, ὑγιείας φάρμακον, φαν-
θὲν ὑπ᾽ αὐτῆς, καὶ ἐσθῆτα, ὁμοῦ μὲν κόσμον τῷ σώματι, ὁμοῦ
17 D *δὲ τῆς αὐτῆς ὑγιείας φάρμακον. ἀλλὰ μὴν ἀμφοτέρῳ τε τῷ γένει* 12
τῶν ἀνθρώπων ἐπίκουρος γεγένηται, γυναιξὶ μὲν ταλασίαν παρα-
δοῦσα, ἀνδράσιν δὲ ὅπλων χρῆσιν ἀναθεῖσα, ἀμφοτέρων τε αὖ
τῶν καιρῶν ἐπεμελήθη, πολέμου καὶ εἰρήνης, δι᾽ ὅπλων καὶ νό-
μων. διχῇ δ᾽ αὖ καὶ τούτων ἑκατέρῳ προσηνέχθη. πρῶτον μὲν 13
γὰρ τῆς ὀρείου καὶ καθ᾽ ἑκάστους διαίτης ἀπαλλαγῆναι καὶ συνελ-
12 J *θόντας οἰκεῖν ἐν ταὐτῷ μίαν συνοικίαν κοινὴν περιβαλλομένους*
ἥδ᾽ ἐστὶν ἡ πείσασα, καὶ εἰσὶν αἱ πόλεις δῶρα Ἀθηνᾶς· ὅθεν δὴ
καὶ Πολιοῦχος ἅπασι κέκληται. τὰς δὲ ἀκροπόλεις ἐξεῖλον αὐτῇ
δικαίως, ἅμα μὲν σύμβολον τῆς γενέσεως, ἅμα δὲ ὥσπερ τοῖς
βασιλεῦσιν καὶ ἡγεμόσιν τεμένη καὶ χώρους ἐξαιροῦσιν, οὕτω τῇ
τοῦ παντὸς ἡγησαμένῃ θεῷ τὰ ἐπικαιρότατα ἐξεῖλον. ἓν μὲν δὴ
18 D *τοῦτο λέγω κοινὸν εὐεργέτημα τῆς θεοῦ, πρὸς τὴν καθ᾽ ἡμέραν*
δίαιταν, πολιτείαν καὶ νόμους, ἕτερον δὲ τὰς ἐμπύρους τε καὶ
ἀπύρους τέχνας, ἃς τοῖς καθ᾽ ἕκαστα διεῖλέν τε καὶ διαιρεῖ· μόνη
γὰρ ἁπάσης σοφίας ἡγεμών ἐστιν. καὶ μὴν τῶν γε πρὸς τὸν πό- 14
λεμον συστημάτων τὰ πρωτεύοντα δύ᾽ ἐξεῦρέν τε καὶ κατεσκευά-
σατο· ὁπλῖται γὰρ καὶ ἱππεῖς τῶν Ἀθηνᾶς εὑρημάτων εἰσίν.
διττὰ δὲ ἑκατέρου μαρτύρια· τῶν μὲν ὁπλιτικῶν Αἰγύπτιοι μὲν
τῶν κατὰ τὴν Ἀσίαν, οἱ δὲ ἐπώνυμοι τῆς θεοῦ τῶν ἐπὶ τῆς Εὐ-
ρώπης πρῶτοι προβαλόμενοι τὴν ἀσπίδα· ἔστι γὰρ καὶ κατ᾽ Αἰγυ-
πτον Ἀθηνᾶς νομὸς ἱερός, ᾧ ταῦτα ἀνάκειται. παραπλησίως δὲ
καὶ περὶ τῆς ἱππικῆς. λέγεται γὰρ Ἐριχθόνιον μὲν τὸν τῆς θεοῦ
τρόφιμον πρῶτον ἀνθρώπων ἅρμα ζεῦξαι· Βελλεροφόντῃ δὲ
19 D *αὖ πρὸς τὸν κέλητα γενέσθαι χαλινὸν παρὰ τῆς Ἀθηνᾶς — Τρι-*
πτόλεμος δὲ Ἐριχθονίου νεώτερος· εἴη δ᾽ ἂν καὶ τούτῳ τὰ μὲν
σπέρματα παρὰ τῆς Δήμητρος, τὸ δὲ ἅρμα παρὰ τῆς Ἀθηνᾶς —,
ὥστε νομίζειν χρὴ τοιαῦτ᾽ εἶναι πάντα τὰ δῶρα τῆς Ἀθηνᾶς

2 *ἔλεον* A[1] (corr. A[r]) 3 *ἐσθῆτασ* U 4 *τε* AT: om. SDU; *γε* ci. Ddf., at cf. v. 6 6 *τε* DUS[2]: om. AS[1]T 6. 7 *αὐτῶν* S[1] 10 *κοινῇ* S (Baroc. 136) 18 *ἕκαστα* scripsi: *ἑκάστουσ* O, cf. v. 9 21 *εἰσί* SDU: *ἐστίν* AT (-*ί*) 23 *τῶν — Ἀσίαν*] cf. ad p. 273, 6; ad verbum exprimit Plat. Tim. 24 B *οἱ δὲ — ἀσπίδα*] cf. Panath. I p. 170, 1 sqq. Ddf. *ὅπλων τε χρῆσιν διδάξασα καὶ κοσμήσασα πρώτους ᾧ νῦν ἡμεῖς ἐκείνην σχήματι* (sc. galea, hasta, clipeo) 24 *προβαλόμενοι* S p. ras. (ci. Rsk.): *προβαλλόμενοι* O *γὰρ* om. U[1] 25 *Ἀθηνᾶς νομὸς*] Saiticus (Minerva Aegyptiorum Neith, cf. Wiedemann, Herodots 2. Buch p. 260) *νομὸσ* A[2]: *νόμοσ* O 27 *ζεῦξαι* A: *ζεῦξαι ἵππων* SDUT 28 *κέλλητα* DU *παρὰ τῆσ ἀθηνᾶσ χαλινόν* S (Baroc. 136) 31 *τοιαῦτα — οἷα*] sc. *πρωτεύοντα*, cf. v. 20;

τοῖς ἀνθρώποις, οἷα πρὸς τοὺς πολέμους ἐστὶν ὁπλιτῶν φάλαγξ
15 *καὶ τάξις ἱππέων. ἔοικα δὲ προσθήσειν ὅ με ἀρτίως διέφυγεν,*
ὅτι καὶ τὰ ναυτικὰ Ἀθηνᾶς ἦν. ἐχέτω δὲ χώραν διττὴν τῷ λόγῳ.
πρός τε γὰρ τοὺς πολέμους, εἴ τις καὶ οὕτω διχῇ διαιροῖτο, τῶν
κατ' ἤπειρον καὶ τῶν ἐν θαλάττῃ δείξει προνοηθεῖσαν τὴν θεόν,
† *εἰ καὶ διχῇ πάλιν τῶν κατ' ἤπειρον, ἕν τε τὸ αὐτὸ τὸ τῶν ναυτι-*
κῶν εἰς ἄμφω τείνει † *εἰρηναῖον μὲν τὰς ὁλκάδας καὶ τὴν διὰ*
τούτων ἐμπορίαν, πολεμιστήριον δὲ τὰς τριήρεις, ὥσπερ ἅρμα 13 J
ἀμιλλητήριον καὶ πολεμιστήριον· περιδέξιος γὰρ ἡ θεὸς αὐτή τε
16 *καὶ τὰ δῶρα αὐτῆς. ἔοικα δὲ σμῆνος ἐπεγείρειν, καί μοι σύνδυο*
ἐφίησιν ἡ θεός. ἐνιδὼν γὰρ ἐμπορίᾳ τε καὶ ναυμαχίᾳ τῆς Ἀθη-
νᾶς οὖσιν ἀμφοτέροις καὶ Βουζύγης τις ὑπῆλθέ με τῶν ἐξ ἀκρο- 20 D
πόλεως, καὶ ὡς οὐκ ἦν τῷ γεωργῷ οὔτε τὸ ἄροτρον οὔτ', ἐπειδὴ
καὶ τὸ ἄροτρον, τό γε ζεῦξαι τοὺς βοῦς,

εἰ μὴ ἐπιφροσύνην δῶκε γλαυκῶπις Ἀθήνη (Hom. *ε* 437),

δι' ἧς ἄροτρα μὲν καὶ ναῦς ἐδημιουργήθη, ἐζεύχθησαν δὲ ἵπποι
καὶ βόες.

17 *Φιλανθρωποτάτη δὲ ἡ αὐτὴ καὶ δυνατωτάτη. τῆς μὲν οὖν*
δυνάμεως τί χρὴ μεῖζον εἰπεῖν σημεῖον ἢ τὸ νικᾶν πανταχοῦ; οὐ
γάρ ἐστιν Ἀθηνᾶς Νίκη κυρία, ἀλλὰ Ἀθηνᾶ Νίκης αἰεί· τὴν δὲ
φιλανθρωπίαν οἱ περὶ Ὀρέστην λόγοι μαρτύρονται. ὃν φυγόντα
μὲν ἐξ Ἄργους Ἀθήναζε, φεύγοντα δ' Ἀθήνησι δίκην ὑπ' Εὐμε-

'sicut bella geri non potuerunt nisi inventis a Minerva ordinibus et turmis, ita quod Cereris doni erat bonum ad homines permanare non potuit, nisi invento curru; quare omnia Minervae dona ea sunt, quibus fiat, ut bene ac prospere eveniant quaecunque homines agunt' (Wil.)

3 *τῷ λόγῳ*] 'demonstrationi meae' (in mea demonstratione) 5 *δείξει*] subiectum *λόγος* e v. 3 6 *εἰ καὶ — τείνει*] corrupta, desperavi; proposuerunt *τῶν κατ' ἤπειρον* [*εἰ*] *καὶ . . . πάλιν* [*τῶν κατ' ἤπειρον*] — *ἓν γὰρ* (pro *τι*) . . . . *τείνει* —, *εἰρηναῖον κτἑ.* Wil., *πρός τε γὰρ πολέμους . . . . θεόν* — [*εἰ*] *καὶ . . . ἤπειρον* (sc. *ὁπλιτῶν καὶ ἱππέων*, quae antea dicta parenthetice repetuntur) —, *ἕν τε τὸ αὐτὸ κτἑ.* Kaibel (cetera non commode dicta, sed vix vitiosa iudicans) 8 *ὥσπερ κτἑ.*] cf. Panath. I p. 170, 3 Ddf. *ἵππων ἁμιλλητηρίων καὶ πολεμιστηρίων ἔφηνεν ὀχήματα* (Minerva) 9 *αὕτη τε* A 10 *σμῆνος ἐπεγείρειν*] invertit Plat. rp. 450 B *ἑσμὸν λόγων ἐπεγείρετε* 11 *θεὸσ//·* T *ἐνιδὼν*] *ἓν · ιδὼν* corr. A^{r} (aut A^{2}), *ἐνεῖδον*, ut vid., T^{1} *ἐμπορίᾳ* et *ναυμαχίᾳ*] praeter terminationes in ras. T^{2} *τε* om. SD *ναυμαχίᾳ*] *γεωργία* U 12 *οὖσιν ἀμφοτέροις*] sc. *δώροις* post *ἀμφοτέροις* addunt *ἐνεῖδον γεωργίᾳ τε καὶ ἐμπορίᾳ τῆσ ἀθηνᾶσ οὖσιν ἀμφοτέροισ* A (hic *ἀμφότεροσ*) T^{1} mg. S^{2} mg. *μοι* U 13 *ὥσ* eras. T *οὐκ* ⟨*ἂν*⟩ *ἦν* Schwarz l. c. p. 326 *τὸ* om. S 14 *τοὺσ* AT^{1}: *τὰσ* SDUT^{2} 15 *δῶκε* DUT^{1}: *δῶκε θεὰ* AST^{2}, cf. schol. Hom. ad h. l. *γρ. ἐπὶ φρεσὶ θῆκε θεὰ* 20 *νίκη/* U *ἀλλ'* SU *νείκησ ἀεὶ* A^{1} (corr. A^{r}), *ἀεὶ* etiam S

21 D νίδων ἴσων τῶν ψήφων γενομένων προσθεμένη τὴν παρ' αὑτῆς
σῴζει. καὶ τοίνυν ἔτι νῦν σῴζει πάντας, ἐὰν ἴσαι γένωνται· ἔδοξε
γὰρ ἐξ ἐκείνου ταῖς ἴσαις προστιθέναι τὴν παρὰ τῆς Ἀθηνᾶς
ἀφιεῖσαν. ἐπεὶ δὲ ἔδει παρθένον εἶναι δι' αἰῶνος τὴν Ἀθηνᾶν 18
καὶ μηδένα μήτε θεῶν μήτε ἀνθρώπων ψαῦσαι κατὰ τὸν τῆς
Πανδήμου νόμον, θαυμαστὰ οἷα κἀνταῦθα εὑρίσκεται παρὰ τοῦ
πατρός· τὰ γὰρ τῆς καλλιτέκνου γέρα λαμβάνει. τῇ γὰρ Λητοῖ
πλανωμένῃ διὰ πάσης γῆς καὶ θαλάττης ἡγεῖται πρὸς τὸν εἱμαρ-
μένον χῶρον, οὗ μόνον ἦν αὐτῇ τεκεῖν. καὶ ἐπειδὴ ἔτικτε, μαι-
οῦταί τε καὶ δέχεται τοὺς παῖδας καὶ στεφανοῖ τὸν Ἀπόλλω
[κατὰ] τὸν Ἑλλήνων παιῶνα· ὥστε ἡ μὲν Ἄρτεμις λοχία ταῖς
ἄλλαις ἐστίν, αὕτη δὲ τῇ Ἀρτέμιδι λοχία πρὸς τὰς γονὰς ἡ θεὸς
γεγένηται. καὶ ἔοικεν ἀμφοτέρων διδάσκαλος αὐτῇ καταστῆναι,
τῆς τέχνης καὶ τῆς προαιρέσεως. παρθένος γάρ ἐστι μετ' Ἀθη-
14 J νᾶν μόνη. εἰ τοίνυν κάλλη θαυμαστὰ Ἀπόλλων καὶ Ἄρτεμις, τὴν
22 D Πρόνοιαν Ἀθηνᾶν ἔχοι τις ἂν αἰτιάσασθαι. καίτοι εἰ καὶ θεοὺς 19
ὑπὲρ αὑτῶν χάριν εἰκὸς ἔχειν, πῶς οὐχ ἡμᾶς γε εἰκὸς ὑπὲρ τῶν
θεῶν, ὅτι πλείους ἡμῖν τοὺς εὐεργέτας προὐξένησεν; θῆραι τοί-
νυν καὶ κυνηγέσια ἔστι μὲν Ἀπόλλωνος καὶ Ἀρτέμιδος παιδιά,
καθίσταται δ' εἰς τὸ προσήκειν τῇ θεῷ, δι' ἓν μὲν ὅτι τῆς πολε-
μικῆς μόριον τέχνης ἐστίν, μᾶλλον δὲ εἰκών — ταῦτα δὲ Ἀθηνᾷ
μέλειν φασίν —, ἕτερον δ' ὅτι καὶ αὐτοῖς τοῖς ἐπωνύμοις αὐτῶν
ὅπως ἔσονται προσεξεῦρεν. προσήκοι δ' ἂν ταύτῃ καὶ τῷ Ἀσκλη- 20

1 αὑτῆσ T p. corr.: αὐτῆσ O 6 οἷα SDU: οἶμαι AT οἷα εὑρίσκεται παρὰ τοῦ διὸσ κανταῦθα U κανταῦθα εἶναι εὑρίσκεται nunc A, at εἶναι corr. A², ε//αι vestigia A¹ 7 καλλιτέκνου] κν in ras. U¹, καλλιτέχνου D 8 πρὸσ τὸν εἱμαρμένον χῶρον οὗ μόνον ἦν SDUT, πρὸσ τὸν εἱμαρμένον· τὸν τόπον ὅπου ἦν A¹: πρὸσ τὸν εἱμαρμένον ἦν A² 11 κατὰ τὸν ATU²: κατὰ τῶν SDU¹; κατὰ seclusi; cf. or. L § 50; Ἑλλήνων παιών, quia Aegyptiorum Serapis oppositus; κατὰ τὸν Ὠλῆνος παιᾶνα ci. Wil.; Kaibel de Delphica Ἀθηνᾷ Προνοίᾳ palmam puero πυθοκτόνῳ porrigente cogitat; tunc enim paeanem (παιᾶνα) inventum esse (Clearch. ap. Athen. XV 701 C; Macrob. I 17, 50); e. g. κατα⟨γωνισάμενον Πύθωνα καὶ ...⟩ παιᾶνα παιᾶνα SDUT p. corr. λοχεία SDU, item v. 12 13 αὐτῇ S (Baroc. 136, ci. Canter): αὐτὴ ADUT 14 μετὰ DUT 15 μόνη — 16 Ἀθηνᾶν om. S¹U¹ 15 post κάλλη desidero κἂν θεοῖς, cf. v. 16. 17 16 Πρόνοιαν Ἀθηνᾶν] cf. Panath. I p. 157, 9 Ddf. et Macrob. sat. I 17, 55 εἰ] in ras. Aʳ 17 αὐτῶν ASDT 18 θῆραι] ˜αι in ras. S m. inc. 19 παιδεία U¹ 21 τέχνησ μόριον U; cf. Plat. Gorg. 463 D πολιτικῆς μορίου εἴδωλον 22 μέλ/ειν S αὐτοῖς — αὐτῶν] Apollini et Dianae, qui sunt ἐπώνυμοι τῶν κυνηγεσίων (Wil.); malim αὐτοῖς (sc. κυνηγεσίοις) τοὺς ἐπωνύμους αὐτοὺς 23 ἔσωνται S, cf. v. l. p. 311, 20 προσεξεῦρεν] ʽπροσ-, quia ἕτερον est; προεξεῦρεν ci. Wil. (cf. p. 311, 20) ταύτη/ S; ταύτῃ i. e. ὅτι

πιῷ μεγάλῳ μέρει τοῦ παντός. Ἀθηναίων δὲ οἱ πρεσβύτατοι καὶ
Ὑγιείας Ἀθηνᾶς βωμὸν ἱδρύσαντο· εἰ δὲ ἐκείνων ὀρθὴ ⟨ἡ⟩ ψῆφος,
τί χρὴ μεῖζον εὑρεῖν εἰς τὴν Ἀσκληπιοῦ καὶ Ἀθηνᾶς συμφωνίαν;
μετέχει δὲ καὶ τῷ Ποσειδῶνι τῶν ἔργων, τῷ τε Ἱππίῳ καὶ τῷ
Ποντίῳ, πρώτη μὲν τὸν χαλινὸν εὑροῦσα, πηξαμένη δὲ τὴν πρώ-
21 την ναῦν. ἀλλὰ μὴν ἥ γε πρὸς Ἑρμῆν κοινωνία τῆς θεοῦ παντὶ
δήλη, ὅστις Ἑρμῆν καλεῖ Λόγιον καὶ Ἀγοραῖον καὶ Ἐμπολαῖον· 23 D
Ἐναγωνίῳ δὲ καὶ ἀντὶ χορηγοῦ καθέστηκεν· Ὅμηρος μὲν γὰρ καὶ
ἄντικρυς αὐτὴν ἐναγώνιον ἀποφαίνει· τὰ γὰρ ἆθλα κρίνει δι᾽
αὐτῆς (θ 193 sqq.). αὐλῳδίαν τοίνυν καὶ λυρῳδίαν καὶ κιθαρῳδίαν
ἐξευροῦσα, τὴν μὲν τῶν Μουσῶν μιᾷ δωρεῖται, τὴν δ᾽ Ἑρμῇ, τὴν
22 δὲ Ἀπόλλωνι. οὕτω δὲ πανταχοῦ χώραν ἔχει ὥστε ὁ μὲν Ἄρης
παῖς ἐστι πρὸς αὐτὴν ἐν αὐτοῖς τοῖς ἑαυτοῦ πράγμασιν, ὁ δ᾽
Ἀπόλλων τῶν αὐτοῦ χρησμῳδιῶν ταύτην προὐστήσατο καὶ προ-
θύειν ἐπέταξεν, Ἥφαιστος δὲ ὑπὸ μὲν τοῦ ἔρωτος ἀναγκάζεται
φιλοτεχνεῖν, τῇ δὲ φύσει λείπεται, Χάριτες δ᾽ αὐτῆς περὶ χεῖρας 24 D
ἵστανται, Διόσκουροι δ᾽ ὑπ᾽ αὐτῇ πυρριχίζουσιν, Ἴακχος δὲ καὶ
⟨αἱ⟩ Ἐλευσίνιαι τοὺς τῆς θεοῦ χοροὺς διώκουσιν, Ποσειδῶν δὲ
συνεχώρησεν ἡττώμενος· ἡ δὲ ὑπερβολὴ τοῦ κράτους ὅτι καὶ τὸ 15 J
φυτὸν κατεδείχθη νίκης εἶναι σύμβολον, ὡς οὐ μόνον αὐτῇ θεμι-
23 τὸν ὂν νικᾶν, ἀλλὰ καὶ τοὺς νικῶντας στεφανοῦν. Καὶ γάρ τοι
πάντα μὲν τὰ ἀπορώτατα οἱ ποιηταὶ ταύτῃ προστιθέασιν, ἐπει- 25 D
δὰν πόριμα καὶ δυνατὰ ἀποφῆναι βούλωνται, Ὀδυσσέας τε νηχο-
μένους ἐν μέσοις τοῖς ἐρήμοις πελάγεσιν καὶ νέους ἐκ γερόντων
καὶ καλοὺς ἐξ οὐ καλῶν γιγνομένους καὶ τοὺς ἀπὸ τῶν ἐθνῶν
μνηστῆρας ἀπολλύντας ἀπὸ φαύλου καὶ γελοίου τοῦ ἐπικουρικοῦ,
24 μειρακίου καὶ νομέοιν δυοῖν, καὶ ἕτερα τούτων ἀτοπώτερα. φασὶ
γὰρ Βελλεροφόντην μὲν ἐπὶ πτηνοῦ τοῦ Πηγάσου φέρεσθαι ἐχό-

ἐξεῦρεν ὅπως ἔσται Ἀπόλλων; quae effecit ut pater nasceretur, eiusdem vis et potentia etiam ad filium patris illius (Aesculapium) pertinet; *μεγάλῳ — παντός* paulo restrictius dictum quam quod solet *τοῖς πᾶσιν*, cf. ad. p. 226, 7

1 *δὲ*] *γὰρ* U² ('enim' vert. Canter) 2 *ἐκείνων ὀρθὴ ἡ* scripsi: *ἐκείνων ὀρθὴ* AS a. corr. T, *ἡ ἐκείνων ὀρθὴ* DUS p. corr. 4 ad *μετέχει* add. *μέτεστι* A pr. m. mg. *ἱππείωι(-ω)* A¹(corr. A²) S¹TU² 11 *δὲ* U 12 *δ᾽ ἀπόλλωνι* S 13. 14 *ὁ δ᾽ Ἀπόλλων — ἐπέταξεν*] cf. p. 311, 22; Delphis *Ἀθάνα Προναία*, cf. Preller-Robert, Gr. Myth. p. 195, 1 14 *αὐτοῦ* O 16 *τῇ δὲ φύσει* SDUT: *ἡ δὲ φύσισ* A 17 *διόσκοροι* U 18 *αἱ* add. Rsk. *χώρουσ* U 18. 19 *δὲ καὶ συνεχώρησεν* T 20 *φυγὸν* D *εἶναι* AT: om. SDU 23 *τε*] sanum; voluit pergere *καὶ Βελλεροφόντας . . . καὶ Περσέας*, sed solvit structuram 25 *γινομένουσ* D 26 *ἀπὸ*] 'nisi' ('adiuti', quasi 'profecti'); *τοῦ ἐπικουρικοῦ* substantivum; cf. Baumgart, Ael. Aristid. p. 83, 74

μενον τοῦ δώρου τῆς Ἀθηνᾶς καὶ καταπρᾶξαι ἄλλα τε καὶ τὴν
Χίμαιραν χειρώσασθαι, ἔξω βέλους ὄντα αὐτῇ [τοῦ παρ' αὐτῆς
πυρός]· Περσέα δὲ αὐτόπτερον εἰς Γοργόνων χώρους κομισθῆναι
τῆς Ἀθηνᾶς προπεμπούσης, καὶ οὔτε ἁλῶναι τῇ θέᾳ καὶ ὡς ἀπ-
έτεμεν τὴν κεφαλὴν κομίσαντα ὀπίσω τοὺς μὲν σὺν ὕβρει ταῦτα
ἐπιτάξαντας καὶ τὸ πολὺ τοῦ δήμου λίθους ποιῆσαι, αὐτὸν δ'
ἀπαθῆ διαφυγεῖν εἰς τέλος, ἀλεξιφάρμακον τὴν τῆς Ἀθηνᾶς ἔχον-
τα παρουσίαν εἰς ἅπαντα. ἀκόλουθα δὲ καὶ ἔτι μείζω τούτων 25
τὰ πρὸς Ἡρακλέα. φαίνεται γὰρ αὕτη καταλεξαμένη θεὸν εἰς
θεοὺς αὐτόν, εἰ δὴ καί, ὅτε ἦν ἐν ἀνθρώποις, εἰς ἅπαντας ἡγεῖτο
τοὺς ἄθλους αὐτῷ. καὶ τοῦτο μὲν εἰς Ἅιδου ζῶντα κομίσασα
26 D *ζῶντα ἐξήγαγεν, κρατήσαντα τοῦ Κερβέρου, καὶ τοσοῦτον παρὰ τὸ*
εἰκὸς ἐξελθόντα ὥστε καὶ ἕτερον τῶν ἐπιτηδείων πρὸ ὥρας αὐ-
λιζόμενον αὐτόθι λῦσαι καὶ συνεξαγαγεῖν μεθ' ἑαυτοῦ, τοῦτο δὲ
ὁσαχοῦ τοῖς ἀντιπράττουσι τῶν δαιμόνων ἐναντίον ἔδει τὸ τόξον
ἄρασθαι, τῆς Ἀθηνᾶς παρούσης ἐθάρρει. ὥστ' ἐμοὶ μὲν οὐδὲν
ἄλλο ἐκ τούτων ἢ γνώμην εἰπεῖν Ἀθηνᾶ δοκεῖ πρὸς τοὺς θεούς,
Ἡρακλέα θεὸν εἶναι ψηφίσασθαι, οἱ δ' ὥσπερ ἂν εἰ ὁ Ζεὺς
αὐτὸς εἰσηγεῖτο, δέξασθαι. φαίνεται τοίνυν Ἀπόλλωνος μὲν
καὶ Ἀρτέμιδος προνοηθεῖσα ὅπως ἔσονται, Ἡρακλέους δὲ ὅπως
16 J *ἔσται θεός· ταῦτα δὴ καὶ ὁ Ἀπόλλων συνειδὼς τοῖς μὲν ἄλλοις*
αὐτός ἐστι Προπύλαιος, αὐτοῦ δὲ τὴν Ἀθηνᾶν πεποίηται.
Ἀλλὰ γὰρ τίνι τῶν πάντων οὐ λυσιτελὴς ἡ θεός; ἢ τίς 26
ἀσφαλεστέρα κοινωνός; ἢ ποῖον πῦρ οὐκ ἄφυκτον ταύτης οὐχ
ἑπομένης, ἀλλ' ἡγουμένης; ἢ μόνη μὲν ἁπάντων θεῶν, ὁμοίως
δὲ πασῶν, οὐκ ἐπώνυμος τῆς νίκης ἐστίν, ἀλλ' ὁμώνυμος· μόνη
δ' Ἐργάνη καὶ Πρόνοια κέκληται, τὰς τοῦ σῴζειν ἅπαντα τὸν
θεσμὸν ἐπωνυμίας ἀνῃρημένη. προφῆται δὲ καὶ ἱερεῖς Καθάρ-
σιον αὐτὴν ἐπικαλοῦνται καὶ Ἀλεξίκακον, τῶν τελεωτάτων ἔφορον
27 D *καθαρμῶν· εἰκότως. εἰ γὰρ δεῖ καταλύσαντα τοὺς μύθους εἰπεῖν* 27

---

1 *δώρου*] cf. p. 307, 28; 310, 5   2 *τοῦ* — 3 *πυρός* secl. Rsk.   *παρ' αὐτῇ* S(-ῆι) DU   3 *γοργόνων* sic O   4 *θέᾳ* ATU^1 p. corr.: *θεῷ* SDU^1 a. corr.   8 *ἀκόλουθα* sic O   9 *αὕτη* A^{r}DUT, *αὐτὴ* S^2: *αὐτῆι* A^{1}S^1(-ῆ)   10 *εἰ δὴ*] *εἴδη* A a. corr., *ἤδη* SD mg. pr. m. c. *γρ.*   11 *τοῦτον μὲν* D   13 *ἐξελθόντα* SDU: *ἐλθόντα* AT   *ἕτερον*] Theseum   14 *δ'* S; cf. Hom. *E* 392 sqq.   19 *αὐτοῖσ* U^1 20 *ἔσωνται* A a. ras. S   21 *δὴ* AS: *δὲ* DUT   22 *αὑτοῦ*] *αὐτοῦ* A^1 (corr. A^r) S^{1}DT^1 a. corr.; de re cf. ad p. 311, 13. 14   24 *ταύτης — ἡγουμένης*] 'cum (non 'si') praecedat', quanquam distinctionem non plane intellego; *πῦρ* ut summum malum (cf. *ἐκ πυρὸς σῴζειν*, Wil.)   *οὐκ* SDUT: om. A   25 *ἢ*] *ἡ* A^1 (corr. A^r)   26 *ἀλλὰ* T   27 *τὰς*] *τὰ* A^1 (corr. A^r); significatur *Ἀθηνᾶ Σώτειρα*   28 *θεσμὸν*] cf. ad p. 301, 4   29 *ἀλεξίκακον* ⟨*καὶ*⟩ *τῶν* Rsk.

*εἰς τὸ μέσον τὰ τῆς θεοῦ, ἥδ' ἐστὶν ἡ τοὺς ὡς ἀληθῶς καὶ
κοινοὺς πολεμίους ἡμῶν ἀπείργουσα καὶ τὸν οἰκεῖον ἑκάστου πόλε-
μον εὖ τιθεμένη, τοὺς συνεχεῖς καὶ συμφύτους ἐχθροὺς ἀπαλλάτ-
τουσα, ὑφ' ὧν καὶ οἶκοι καὶ πόλεις ἀνάστατοι γίγνονται πρὶν
σάλπιγγος ἀκοῦσαι, φαίη τις ἄν, καὶ τὴν ἀληθῆ καὶ κυρίαν νίκην
ἑκάστῳ διδοῦσα πολὺ τῆς Καδμείας κεχωρισμένην καὶ τῷ ὄντι
Ὀλυμπικήν. δι' ἣν ἀφροσύνη μὲν καὶ ἀσέλγεια καὶ δειλία καὶ
ἀταξία καὶ στάσις καὶ ὕβρις καὶ ὑπερηφανία [θεῶν] καὶ πάνθ'
ὅσα τοιαῦτ' ἂν εἴποι τις ἐκχωρεῖ· φρόνησις δὲ καὶ σωφροσύνη
καὶ ἀνδρεία καὶ ὁμόνοια καὶ εὐταξία καὶ εὐπραγία καὶ τιμὴ θεῶν
τε καὶ ἐκ θεῶν ἀντεισέρχεται. ὡς δ' εἰπεῖν ἐν κεφαλαίῳ, τὸ τῆς
Ἀθηνᾶς μέρος ἡ θεῶν ἀγορὰ πάντ' ἐστὶ τὰ πράγματα. ταῦτ'
ἄρα καὶ τοῦ Διός ἐστιν ἐγγυτάτω καὶ περὶ παντὸς αἰεὶ ταὐτὸν [ἐν]*
28 *ἀμφοῖν δοκεῖ. Κἀμοὶ πεπαῦσθαι καλὸν ἐνταῦθά που. ἀνελήλυθεν
γὰρ εἰς τὴν ἀρχὴν ὁ λόγος, μᾶλλον δὲ ἐλήλυθεν πρὸς αὐτὸ τὸ
ἔσχατον. σχεδὸν γὰρ δύναμιν τοῦ Διὸς εἶναι λέγων τις αὐτὴν ἐκ
τούτων οὐκ ἂν ἁμαρτάνοι· ὥστε τί δεῖ μικρολογεῖσθαι τὰς ἐν
μέρει πράξεις αὐτῆς διηγούμενον, ὁπότ' ἔξεστιν τὰ τοῦ Διὸς ἔργα*
29 *κοινὰ τοῦ Διὸς εἶναι φῆσαι καὶ τῆς Ἀθηνᾶς. ἀλλ' ὦ τῶν βασι-* 17 J
λείων πρόδρομος μελάθρων, Αἰσχύλῳ χορὸς ᾖσεν (frg. 388 N.^{2}),
*τῶν τε οὐρανίων καὶ πατρῴων καὶ τῶν ἐν τῇ ἡμετέρᾳ μεγίστων,
ἃ νύκτωρ μοι προὔφαινες, δίδου μὲν τιμὰς παρ' ἀμφοτέρων τῶν* 28 D
*βασιλέων, δίδου δὲ ἄκρον εἶναι φρονεῖν καὶ λέγειν. ὅστις δ' ἐμοὶ
τἀναντία λέγοι, τούτῳ μεταμέλοι. νικῷμι δὲ ὅσον βούλομαι· ἐν
αὐτῷ δ' ἐμοὶ πρώτῳ νικῴη τὰ βελτίω.*

---

1 *τὰ* DU: om. AT, *περὶ* S (Junt.) *ἥ δ'* A^1 (corr. A^r) 2 *πολέμουσ* T *πολεμίους ἡμῶν*] *ἡμῖν πολεμίουσ* U 6 *τῆς Καδμείας*] cf. p. 103, 34 7 *ἣν*] *ἡμῶν* S 8 *θεῶν* seclusi, cf. v. 10 sq.; debebat *ἀνθρώπων* 9 *ὅσα* (*ὅσ'* U) *ἂν εἴποι τισ τοιαῦτα* DU *ἐκχωρεῖ* DUA^2T^2: *ἐγχωρεῖ* A^1(T^1?), //*χωρεῖ* nunc S *φρόνησις*] ut in or. XLIII ita in hac ad stoicorum doctrinam permulta dicta 10 *ἀνδρία* UT 11 *τὸ τῆς* — 12 *πράγματα*] 'per Minervam fit, ut deorum societas (conventus) omnia comprehendat (ad omnia pertineat)' 12 *τῇ θεῶν ἀγορᾷ* U^2 13 *αἰεὶ* TA^r, *ἀεὶ* A^1S: om. DU *ἐν* ASDT, om. U, seclusi 17 *μακρολογεῖσθαι* ci. Nauck, Mél. Gr.-Rom. IV 723, fallitur 20 *πρόδρομος*] quamvis Aeschylum constet *πρόδομος* (propter *μελάθρων*, cf. v. Wilamowitz, Goett. Gel. Anz. 1897, 507, 1) scripsisse, tamen Aristides *πρόδρομος* (sicut plerique libri schol. Theocr. II 36) legisse videtur; cf. p. 318, 13 22 *ἐμοὶ* S *προύφαίνεσ* A pr. m. (*ι* in lineam induxit A^r) *μὲν*] *μοι* D; imitatur Pind. O. I 115 sq. 24 *τοῦτο* S^1 *μεταμέλοιτο* S 25 *δὲ ἐμοὶ* ST Subscr. *ἀρς* (i. e. *ἀρισ(τείδου) ἀθηνᾶι ἐν βάρει* (cf. Herm. XXV 315 sq.) *ἐπὶ σευήρου ἡγεμόνοσ· ἐτῶν ὑπάρχοντοσ λε καὶ μηνόσ* A, *ἀθηνα επι σευηρου ἡγεμονοσ ἐτῶν λε* S; *μαντευτοῖ ἀθηνᾶ* T

XXXVIII.

171 D 141 J
(7) ΑΣΚΛΗΠΙΑΔΑΙ.

*'Κλῦτε φίλοι, θεῖός μοι ἐνύπνιον ἦλθεν ὄνειρος', ἔφη αὐτὸ
τὸ ὄναρ· ταύτην γὰρ δὴ ἐδόκουν ἀρχὴν ποιεῖσθαι τοῦ λόγου, ὡς
ὕπαρ τὸ ὄναρ σκοπῶν ἐπ' ἐμαυτοῦ· ἐχέτω δὴ καὶ τὸ ἐνύπνιον ὡς
ὕπαρ καὶ τὸ δρώμενον ὡς ἡ πρόρρησις εἶχεν. ἦν δὲ ὁ νοῦς ἄρα
ἐγκώμιον ποιῆσαι Ποδαλειρίῳ· τὸ μὲν πρῶτον Ποδαλειρίῳ, μετὰ
δὲ τοῦτο ὑπήχθην εἰς Μαχάονα. ἀποροῦντι δέ μοι ὁπότερον χρὴ* 2
*ἐπαινεῖν, τέλος ἔδοξεν ἀμφοτέρους· οὔτε γὰρ ἔτι θεμιτὸν εἶναι
παραλείπειν τὸν ἕτερον, ἐπειδή γε ἀμφοῖν ἔσχον ἔννοιαν, ὁπό-
τερός τε εἴη ὁ ἐκ τοῦ ὀνείρατος, ἐνέσεσθαι πάντως ἀμφοῖν ἐπαι-
νουμένων· καὶ ἐμοὶ πρός τε ἐκεῖνον καὶ πρὸς ἀμφοτέρους ἕξειν
καλῶς. εἶεν. θεοῦ δὴ προβαλόντος, πότερον δεδιέναι χρὴ μει-* 3
*ζόνως ἢ θαρρεῖν; δεδιέναι μὲν ἀνάγκη, μὴ χεῖρον ἐπιδειξώμεθα
ἐν τοσούτῳ κριτῇ, αἱ δὲ ἐλπίδες καλλίους· αὐτῷ γὰρ καὶ μελήσειν
εἰκός. οὐ γὰρ ἂν προὔβαλεν, εἰ μὴ κατὰ νοῦν ἔμελλεν αὐτῷ γε-
νήσεσθαι [τὸ σύμπαν ἐπὶ τοῦ λόγου]. πρὸς δὲ καὶ καλέσαι βο-* 4
*ηθὸν τῷ λόγῳ θαυμαστῶς ὡς εἰς ἐπιτήδειον καθέστηκεν. εἰ
γὰρ οἱ ποιηταὶ τὰ δοκοῦνθ' ἑαυτοῖς ὥστ' εἰπεῖν τὸν Ἀπόλλω*
72 D *καὶ τὰς Μούσας καλοῦσιν, ἦ που καλλίων ἡ κλῆσις ἡμῖν, ὅταν
αὐτοῦ τοῦ προβαλόντος δεώμεθα μουσηγέτην ἅμα τῷ πατρὶ γενέ-
σθαι. ἀλλ' ὦ πολλὰ δὴ πολλάκις κληθείς, ἔχω δ' εἰπεῖν ὅτι καὶ*

Libri ASDUT = O

Titulum om. D. 1 *κλῦτε — ὄνειρος*] Hom. *B* 56 *ἐνύπνιοσ* DU^2 (Homeri D) 3. 4 an *ὡς ⟨ἂν⟩ ὕπαρ*? 5 *(πο)δαλειρίω — πο(δαλειρίω)* omissa add. T^2 mg. 7 *τέλος* om. S *ἔδοξεν* SDU: *δόξαι* AT 8 *παραλείπειν* A: *παραλιπεῖν* SDUT 9 *ἐνέσεσθαι* Schwarz, Zsch. f. öst. Gymn. 1885, 326: *ἓν ἔσεσθαι* O (edd.) *ἀμφοῖν ἐπαινουμένων* om. A, omissa add. D pr. m. mg.; possunt sane abesse 11 *θεοῦ δὴ προβαλόντος κτἑ.*] cf. p. 228, 3 sq. *πότερον*] *π* in ras. II litt. U^2 12 *ἐπιδειξώμεθα* US^2 (ci. Rsk.): *ἀποδειξώμεθα* AS^{1}DT 13 *καὶ* SDU: om. AT *μελ/ήσειν* S, cf. v. l. p. 309, 22 14. 15 *γενήσεσθαι*] *γενησ* in ras. T^2 15 *τὸ — λόγου* seclusi, interpretamentum ad praecedentia *σύμπαν ἐπὶ* AT^1: *συμβαῖνον ἐκ* SDUT^2 mg. ad sententiam correcti 16 *εἰς* om. U^{1}T; cf. Thuc. IV 76, 5 17 *οἱ ποιηταὶ κτἑ.*] 'invocatis Musis nihil efficitur, nisi ut quae ipsi sibi proposuerint poetae cantent' Wil. 19 *προβαλόντοσ* DUS^2: *προβάλλοντοσ* AS^{1}T 20 *ὦ πολλὰ δὴ κτἑ.*] cf. or. XLII § 1. XLVIII § 4

*παραδείξας καὶ ἄλλα καὶ ⟨τὰ⟩ περὶ αὐτοὺς τοὺς λόγους, ἔξαγε
καὶ νῦν ὅπῃ σοι φίλον τὸν λόγον.*

5 *Σχεδὸν δὲ οὐ πόρρω ἡ ἀρχὴ τῷ ἐγκωμίῳ, ἀλλ' ὁ αὐτὸς πατὴρ* 42 J
*τοῦ τε λόγου καὶ τῶν νεανίσκων. τετραγονίαν γὰρ τοιάνδε οὐδεὶς
πω Ἑλλήνων ἤκουσεν οὐδὲ διηγήσατο· ὥσπερ γὰρ οἱ θεσμοθέται,
διὰ τεττάρων εἰσὶν εὐπατρίδαι, μᾶλλον δὲ ὡς οὐδένες θεσμοθέται
οὐδ' ἄλλο γε οὐδὲν γένος ἀνθρώπων. τέταρτοι γάρ εἰσιν ἐκ*
6 *Διὸς διὰ πάντων ἄκρων. Ἀπόλλων μὲν γὰρ ἐξ αὐτοῦ Διός,
Ἀσκληπιὸς δὲ ἐξ Ἀπόλλωνος, οἱ δὲ ἐξ Ἀσκληπιοῦ, διὰ πάσης
τῆς κρατίστης φύσεως τὴν εὐγένειαν ἀνῃρημένοι. Ἀχιλλεὺς
μὲν γαρ τέταρτος ἀπὸ Διὸς διὰ Πηλέως καὶ Αἰακοῦ, Μίνως
δὲ καὶ Ῥαδάμανθυς Διὸς παῖδες καὶ Θησεὺς Ποσειδῶνος, οὐδέ-
τεροι μόνοι ὁποτέρου, ἀλλὰ σὺν πολλοῖς καὶ θεοῖς καὶ ἥρωσιν,*
7 *ὧν τῶν μὲν ἡττῶνται, τοῖς δ' εἰς ἴσον καθίστανται. μόνοι δὲ
οὗτοι πλήθει καὶ ἀρετῇ προγόνων εἰσὶν ἀνανταγώνιστοι, τοὺς ἐκ* 73 D
*Διός τε καὶ Ἀπόλλωνος Ἀσκληπιοῦ προσθήκῃ νικῶντες, ὅσοι γε
ἥρωες αὐτῶν· γενομένους δ' αὐτοὺς τρέφει ὁ πατὴρ ἐν Ὑγιείας
κήποις, καὶ ἐπειδὴ ἐδέχετο ἡ ἡλικία, οὐκ ἐδιδάξατο τὴν τέχνην
τὴν ἰατρικήν, ἀλλ' ἐδίδαξεν αὐτός· οὐ γὰρ ἔτι εἰς Χείρωνος ἔδει
βαδίζειν ⟨τοὺς⟩ ἔχοντας οἴκοι τὸν ἐπιστάτην, οὗ πολὺ δὴ κατ'*
8 *ἐπωνυμίαν ὁ Χείρων ἤδη ἦν δεύτερος. Οὕτω δὴ φύντες καὶ
τραφέντες καὶ παιδευθέντες μέχρι μὲν ἡσύχαζε τὰ τῶν Ἀχαιῶν, οἵδε*

---

1 *παραδείξας — λόγους*] cf. or. L § 26 (*παρεδείχθη*); XLII § 11 *τὰ* add. Canter (Rsk.²) 3 *σχεδὸν δὲ ἀπορῶ τίς ἡ* ci. Schmid p. 146, fallitur: ‘neque vero circumspicere mihi opus est, unde laudationi exordium parem; idem enim et orationis huius pater (Plat. symp. 177 D) et Machaonis et Podalirii’; cf. p. 205, 12 sq. *τῶν ἐγκωμίων* D¹ a. corr. *ὁ αὐτὸς* Ddf.: *αὐτὸσ ὁ* O 5 *γὰρ* AT: om. SDU *θεσμοθέται*] horum *τετραγονία* inaudita, *τριγονίαν* testantur Aristot. rp. Ath. 55, 3 et Poll. VIII 85 *ἐκαλεῖτο δέ τις θεσμοθετῶν ἀνάκρισις* (Demosth. LVII 66), *εἰ Ἀθηναῖοί εἰσιν ἑκατέρωθεν ἐκ τριγονίας*; neque ex Aristidis verbis suspicari licet tale quid non dico lege sancitum, at usu comprobatum fuisse apud illius aetatis Athenienses, quos totos fuisse in stemmatis ementitae nobilitatis componendis constat; obstant tituli: aetate Hadrianea Q. Trebellius Rufus Tolosanus Galliae Narbonensis cum inter Lamptrienses civis Atheniensis factus esset, archontis eponymi munere functus est (CIA. III 623. 624); ergo sub Commodo Pollux recte *ἐκαλεῖτο* (non *καλεῖται*) scripsit; neque convenit lex illa vetusta condicionibus civitatum Graecarum neque ingenio moribusve aevi Antoninorum (cf. etiam v. Wilamowitz, Isyll. p. 123); erravit orator 6 *οὐδένες*] in singulari foret *οὐδ' εἷς* 11 *διὰ*] *δὴ* D 14 *ὧν* ST: *ὡσ* A, *ὧ* DU, cf. v. l. p. 240, 19 15 *ἀνταγωνιστοὶ* D (*τοὶ* pr. m. in ras. IV litt.) 17 *πατὴρ ὑγείασ* D; ceterum cf. p. 207, 3. 4 19 *ἔτι*] *ὅτι* D; *ἔτι*: ut Achillem antea 20 *τοὺς* addidi; possis etiam ⟨*αὐτοὺς*⟩ 20. 21 *κατ' ἐπωνυμίαν*] secundum nomen *χείρων ἦν ὁ Χείρων* 22 *οἵδε* Rsk.: *οἵδ' ἐν* O; Hom. *B* 729 sqq.

*Θετταλίᾳ τε ἦσαν κόσμος πολὺ λιμνῶν τε καὶ πεδίων καὶ ποταμῶν
ἐπιφανέστερος καὶ τοὺς ταύτῃ Ἕλληνας ὤρθουν, εἴς τε τὸ κοινὸν
πολιτευόμενοι τὰ ἐκείνοις πρέποντα καὶ τὰς ἰδίας ἑκάστοις συμ-
φορὰς ἐπανορθοῦντες, οὐδ' ἦν νοσεῖν ὅπου φανείη Μαχάων ἢ
Ποδαλείριος. κινηθέντων δὲ Ἑλλήνων διὰ τὴν Τρώων ἀδικίαν* 9
*οὔτε ἐξωνεῖσθαι τὴν οἴκοι μονὴν ἠξίουν οὔτε ἀπέκρυπτον ἑαυτοὺς
ὥσπερ ἄλλοι τινες, ἀλλὰ γνόντες ὡς αὑτῶν ὁ καιρὸς εἴη καὶ προ-
ϊδόμενοι τὰς τοῦ πολέμου τύχας προὔστησαν ἑκόντες τῆς ἁπάντων*
74 D *σωτηρίας. ἀφικόμενοι δ' εἰς Τροίαν διπλῆν χρείαν παρείχοντο* 10
43 J *τοῖς Ἀχαιοῖς καὶ οὐχ ὅσον ἰατροὶ συνῆσαν, ἀλλὰ καὶ τοῖς ὅπλοις
ὠφέλουν, καὶ πολλάκις μὲν δὴ τῶν πολεμίων τροπὴν ποιήσασθαι
λέγονται, τὸ δ' ἁλῶναι τὴν Τροίαν καὶ παντάπασιν ἦλθεν εἰς
αὐτοὺς τῇ τε ἄλλῃ καὶ ⟨διὰ⟩ τὴν Φιλοκτήτου νόσον, ἣν Ὀδυσσεὺς
καὶ Ἀτρεῖδαι προκαταγνόντες ἀνίατον εἶναι Φιλοκτήτην οὐχὶ δι-
καίως ἐν Λήμνῳ κατέλιπον, οὗτοι δὲ δέκα ἔτεσιν αὐξηθεῖσαν ἰάσαν-
το. καὶ γίγνεται Φιλοκτήτης τε ἐνεργὸς τοῖς Ἀχαιοῖς καὶ Φιλο-
κτήτῃ τὰ βέλη ⟨τὰ⟩ τοῦ Ἡρακλέους χρήσιμα τῇ 'κείνων τέχνῃ. ἐπεὶ* 11
*δὲ ἑάλω Τροία, προειδότες τὰς ἐσομένας ὕστερον Ἑλλήνων εἰς τὴν
Ἀσίαν ἀποικίας καὶ ἅμα βουλόμενοι τῆς αὑτῶν εὐεργεσίας ὅτι
πλείστους ἀπολαύειν, τοῦτο μὲν Τευθρανίαν ἡμεροῦσιν εἰς ὑπο-
δοχὴν τοῦ πατρός, τοῦτο δέ, ὡς ὁ Κῴων λόγος, πλεύσαντες εἰς
Κῶ τὴν Μεροπίδα, ἣν οἰκουμένην ὑπὸ Μερόπων Ἡρακλῆς ἐκ
Τροίας ἀνιὼν ἔτι πρότερον, ἀδικίαν ἐγκαλέσας, ἐπόρθησεν, οἰκί-
ζουσί τε καὶ εἰς ἤθη πρέποντα τῇ φύσει τῆς χώρας κατέστη-
σαν, τὸ λεγόμενον περὶ τοῦ προγόνου τοῦτο, ὡς ἔοικε, μιμησά-
μενοι. Ἀπόλλω τε γάρ φασιν οἱ ποιηταὶ τὴν Δῆλον φερομένην* 12

1 *πέδων* D 3 *ἑκάστοις* Canter: *ἕκαστοι* AS^{1}T, *ἑκάστου* DUS^2 5 *τὴν* O: *τὴν τῶν* S^1 p. corr. (Junt. Ddf.) 7 *αὐτῶν* O 7. 8 *προιδόμενοι* A^{1}S^2: *προειδόμενοι* S^{1}DUTA^2 10 *τοῖσ ὅπλοισ* sic O 11 *μὲν δὴ* AT: *ὅπλοισ μὲν δὴ* SD, *μὲν δὴ ὅπλοισ* U 12. 13 *λέγονται ποιήσασθαι* U; haec, quae apud Homerum non leguntur, e carminibus deperditis hausisse oratorem potius iudicaverim quam ipsum sibi finxisse 13 *διὰ* add. Canter 15 *δὲ* DUTA^r mg.: om. A^{1}S 16 *γίνεται* ADUT 17 ⟨*τὰ*⟩ addidi 17. 18 *ἐπεὶ δὲ*] *ἐπειδὴ* S^1 18 *προιδόντεσ* T^2 (Junt.) 19 *αὐτῶν* O (edd.) 20 *τευθράνιον* A; cf. ad p. 38, 17
22 *Κῶ*] cf. v. l. p. 234, 10; *Κῶν* an *Κῶ* atticistae magis conveniat non constat (Kühner-Blass, Gr. Gr. I 405, 6. 644); Cois ipsis *Κῶ* gen. acc. voc. sonabat (Paton-Hicks, Inscr. of Cos p. 391); de re cf. Schol. Pind. N. IV 40, quae ipsa Aristides adhibuisse videtur *ἣν οἰκουμένην ὑπὸ μερόπων* AT: *γῆν οἰκουμένην ὑπὸ μερόπων ἣν* S (at *ἣν* ex *ἦν* corr. S^2) UD (ex quo tamen *ἢ* pro *ἣν* enotavi); *οἰκουμένην ὑπὸ Μερόπων* abesse vult Schwarz l. c. p. 330, at incolarum mentio propter *ἀδικίαν* necessaria 22. 23 *εἰσ τροίαν* U 25 *τὸ προλεγόμενόν τι τοῦ* A

πρότερον στῆσαι κατὰ τοῦ πελάγους ἐρείσαντα, ἐπειδὴ πρῶτον ἐν αὐτῇ ἐγένετο, καὶ οὗτοι τῆς Μεροπίδος τότε ἐπιβάντες, προκρίναντες ἁπασῶν εἶναι καλλίστην, ὅσαι παραπλήσιαι μέγεθος, ἰάσαντό τε καὶ ἀπέφηναν ἐμβατὸν πᾶσιν Ἕλλησι καὶ βαρβάροις, πρότερον 75 D
σφαλερὰν καὶ ὕποπτον οὖσαν, καὶ τὴν εὐδαιμονίαν κυρίαν τῇ νήσῳ

13 *κατέστησαν. οἶμαι δὲ καὶ Ῥοδίοις πολλῶν ἐκ πολλοῦ σεμνῶν ὑπαρχόντων ἐν πρώτοις εἶναι τὴν ἐκείνων ἀρχήν, ἣν αὐτοὶ προκρίναντες εἵλοντο σφῶν ἄρχειν Ἀσκληπιάδας, Ἡρακλειδῶν ποιησάμενοι διαδόχους. ἔσχον δὲ καὶ τὸν Καρικὸν τόπον καὶ Κνίδον τὴν τῆς Ἀφροδίτης ἱεράν· ὅ τι γὰρ ἢ ὁ ἕτερος ἢ ἀμφότεροι, κε-*

14 *κοινώσθω τὰ νῦν· ἀπέλαυσε δέ τι καὶ Κύρνος αὐτῶν. Ἀλλὰ ταῦτα μέν ἐστιν λόγων πολλῶν. ποιησάμενοι δὲ παῖδας συνεργούς τε καὶ διαδόχους τῆς σφετέρας ἐπιστήμης ὡσπερεὶ κεφάλαιον* 44 J
τοῦτο ἐπέθηκαν τῶν εἰς τοὺς Ἕλληνας εὐεργεσιῶν, προσθήσω δὲ καὶ εἰς ἅπαντας ἤδη, ἵνα μή ποτε ἐπιλείπῃ τὸ τῶν ἀνθρώπων γένος ἡ παρ' αὐτῶν ἐπικουρία καὶ χάρις, ἀλλ' ὦσιν ἐκ προγόνων τε καὶ ἐκγόνων σωτῆρες ἀθάνατοι τῆς φύσεως, τὸν ἅπαντα χρόνον κατ' ἀνθρώπους πολιτευόμενοι καὶ συνόντες ἅπασιν ὥσπερ τοῖς

15 *ἐφ' αὐτῶν. καὶ γάρ τοι κατέλυσαν μὲν τοὺς ἐν Αἰγύπτῳ βεβοημένους, τὰς δ' εὐεργεσίας σύμβολον τοῦ γένους ἐποιήσαντο.* 76 D
ἵδρυνται δὲ οὔτε ἐν Θετταλίᾳ οὔτε ἐν τοῖς τῶν Κῴων προαστίοις, ἀλλὰ πάντα ἰατρικῆς ἐνέπλησαν, ὥσπερ ὁ Τριπτόλεμος σίτου διὰ τῶν σπερμάτων· πάντα γὰρ ἐκ τούτων καὶ παρὰ τούτων ἐξεφοίτησεν. καὶ καθάπερ τὴν Μήδειάν φασιν διὰ τοῦ Θετταλῶν πεδίου φεύγουσαν, ἐκχυθέντων τῶν φαρμάκων, ποιῆσαι Θετταλίαν ἅπασαν πολυφάρμακον, οὕτως ἡ τούτων ἐπιστήμη τε καὶ φιλανθρωπία χυθεῖσα ἐπὶ πλεῖστον πάσας μὲν πόλεις Ἑλλήνων, πολλοὺς δὲ καὶ τῶν βαρβάρων τόπους ἐκόσμησέν τε καὶ κοσμεῖ, καὶ προσέτι γε ἔσωσε καὶ σῴζει, καὶ ὁ τρίτος ἐπ' ἀμφοῖν προσ-

16 *έστω χρόνος. εἰ δ' ἀνὴρ εἷς ἀπὸ τούτων Ἱπποκράτης ἔφυ κλη-*

2 *τότε*] *πάλαι* D 5 *κυρίαν* A: *εἶναι κυρίαν* SDUT *τῇ νόσῳ* D 7 *τὴν ἐκείνων ἀρχήν*] cf. or. XXIV § 45 10 *ὁ ἕτερος* — 11 *αὐτῶν*] locum illustrat v. Wilamowitz, Isyll. p. 49 sq.; *ὁ ἕτερος*: Podalirius 10. 11 *κεκοινώσθω* Wil. l. c. p. 50, 14: *κεκοινωνήσθω* O 15 *ποτε* omissum add. post *ἐπιλίπῃ* in fine versus U² *ἐπιλείπηι* A: *ἐπιλίπῃ* SDUT 16 *αὐτῶν* O (edd.) 19 *κατέλυσαν* — *βεβοημένους*] i. e. auctoritatem medicorum Aegyptiorum, quorum magna apud Graecos antiquiores fama fuerat, infregerunt 21 *προαστείοισ* O (edd.) 22 *ἀλλ' ἅπαντα* SDU 23 post *πάντα γὰρ* desiderat *τὰ φάρμακα* Rsk., *τὰ ἰατρικὰ* Schwarz l. c., quae tamen facile mente e v. 22 supplentur 24 *Μήδειάν*] cf. schol. Aristoph. n. 749 26 *οὕτω* A 29 *γε* om. U *ἔσωσε* AT: *ἔσωζε* SDU *ἐπ'* SDU: *ἀπ'* AT; praeter praesens et praeteritum tertium (futurum) tempus (Rsk.), speciosius quam p. 306, 5 29. 30 *προσέσται* U¹

ῥονόμος τῆς τέχνης διὰ πάντων ἰδιωτῶν τῶν μέσων, ἱκανὴ τῇ τε
77 D γῇ φορὰ καὶ χάρις τούτοις παρ' ἀνθρώπων ἦν ἂν τῆς σπορᾶς·
νῦν δ' ὥσπερ ἔθνος τὸ τῶν Ἀσκληπιαδῶν κατεσκευάσθη δι' αἵ-
ματος τὴν τέχνην σῷζον, οὕτω θεία μοῖρα ἡγήσατο Μαχάονι καὶ
Ποδαλειρίῳ τῆς γενέσεως. μάθοι δ' ἄν τις τοῖς Ἡρακλείδαις 17
αὐτοὺς ἀντεξετάζων τῆς χρείας ἕνεκα τῆς κοινῆς καὶ τῆς ἰδίας
τύχης. Ἡρακλεῖδαι γὰρ ἓν μὲν καὶ πρῶτον ἐσκεδάσθησαν καὶ οὐχ
ἓν σύνταγμα αὐτῶν ἐγένετο, ὡς δ' εἰπεῖν οὐδὲ ἓν φῦλον· οὐ γὰρ
ἦσαν ὁμότιμοι, ὥστε ἀλλήλοις ἀντὶ ξένων καθειστήκεσαν· ἔπειθ'
ὅσον αὐτῶν ἦν κράτιστον, οὔτε συμφορῶν ἄμοιρον λέγεται γενέ-
σθαι τήν τε πατρῴαν οὐ παντελῶς διασώσασθαι τέχνην. οὐ γὰρ
45 J ταῖς εἰς τὸ κοινὸν εὐεργεσίαις, ἀλλὰ τῇ καθ' αὑτοὺς δυνάμει τὴν
λαμπρότητα ἐκτήσαντο. Ἀσκληπιάδαι δὲ ἐκ Μαχάονος ἀρξά- 18
μενοι καὶ Ποδαλειρίου κοινὴ πᾶσιν ἀσφάλεια καὶ σωτηρία γεγό-
νασιν, τὴν τοῦ προγόνου διασωσάμενοι τέχνην, ὥσπερ ἄλλο τι
σύμβολον τοῦ γένους. πρὸς δὲ καὶ ἡ τύχη τῆς προαιρέσεως ἀξία·
οὔτε γὰρ ἠλάθησαν οὔθ' ἱκέτευσαν εἰς πόλιν οὐδεμίαν, ἀλλὰ δι-
εξῆλθον καθαροὶ συμφορῶν, μιᾷ φατρίᾳ καὶ μιᾷ γνώμῃ καὶ τύχῃ
χρησάμενοι διὰ τέλους. Ἐπάνειμι δὲ ὅθεν ἐξέβην (§ 15), ἐπὶ 19
τοὺς ἀρχηγέτας τε καὶ τοὔνομα πρώτους λαβόντας τὸ τῶν Ἀσκλη-
πιαδῶν. οἱ δὲ ἕως μὲν ἦσαν ἐν ἀνθρώποις, στρατείαις καὶ ὁμι-
λίαις καὶ γενέσει παίδων πρεπόντων αὐτοῖς καὶ συλλήβδην ἁπάσῃ
78 D τῇ πολιτικῇ δυνάμει τὰς πόλεις ὠφέλουν, οὐ μόνον τὰς τοῦ σώ-
ματος νόσους ἐξαιροῦντες, ἀλλὰ καὶ τὰ τῶν πόλεων νοσήματα
ἰώμενοι, μᾶλλον δὲ οὐδ' ἐγγίγνεσθαι τὴν ἀρχὴν ἐῶντες, ἀπ' ἀμφοῖν

---

1 *τῶν* om. S *ἱκανὴ — φορὰ*] eadem or. XXVIII § 78 (praeivit Demosth. XVIII 61) 3 *δ'* SDU, *δὲ* T: om. A *ἔθνος — σῷζον*] cf. Steph. B. v. *Κῶς* 6 *ἐξετάζων* S 9 *ἔπειτα δ' ὅσον* U² 10 *αὐτῶν ἦν* AS: *ἦν αὐτῶν* DUT; *ἦν* abesse potest 11 *πατρῶι* (*αν* supra) A, *αν* add. Aʳ; in contrarium disputat or. XL § 16. 17 *οὐ* om. D¹ a. corr. 13 *ἐκ* SDU: *καὶ ἐκ* AT; an *καὶ ἐκ Μαχάονος* ... ⟨*καὶ*⟩ *ἐκ Ποδαλειρίου*? 14 *κοινῇ* S¹ *σωτηρία* A: *σωτηρία τοῖσ ἀνθρώποισ* SDUT 15 *ἄλλο τι σύμβολον*] quia aliud dixerat p. 316, 20 *τι*] *τισ* D, at *σ* in ras. II litt. corr. pr. m. 18 *φατρίᾳ*] *φρατρίᾳ* mavult Nauck ad Lex. Vindob. p. 188, 17; at orator de Dorica gente disserit (Coorum *Ζεὺς φάτριος* Paton-Hicks l. c. n. 150; cf. v. Wilamowitz, Aristot. u. Ath. II 273, 19), nec *φατρία* plane ab Atticis aliena (Meisterhans Gram. d. gr. Inschr.² 63) 19 *ἐπάνειμι κτὲ.*] cf. Blass ad Demosth. XVIII 211 (ed. Lips. 1885; ibid. vol. II p. CXLVI) 20 *τε* Ddf.: *γε* O *πρώτωσ* D 22 *πρεπόντων*] *πάντων* A *αὐτοῖς* Junt.: *ἑαυτοῖσ* ASDU, *ἐν ἑαυτοῖσ* T (sec. Ddf., mihi nihil enotatum) 25 *ἐγγίνεσθαι* O *ἐῶντεσ — ἀρχὴν* omissa add. S² mg.

σῴζοντες τοὺς ὑπηκόους, [καὶ] τῇ τέχνῃ τὴν ἀρχὴν ἀκόλουθον κατα-
20 *σκευασάμενοι. ἐπεὶ δὲ κρείττους ἦσαν ἢ παρ' ἡμῖν μένειν, οἱ δὲ*
ὑπὸ τοῦ πατρός τε καὶ τῶν προγόνων ἀποδύντες τὰ σώματα εἰς
ἕτερον θεσμὸν ἔρχονται, οὐχ ὥσπερ Μενέλεώς τε καὶ ὁ 'ξανθὸς
Ῥαδάμανθυς', εἰς τὸ Ἠλύσιον πεδίον καὶ τὰς ἔξω νήσους, ἀλλ'
ἀθάνατοι γενόμενοι τὴν γῆν διέρχονται, τοσοῦτον τῆς ἀρχαίας
21 *φύσεως ἀποστάντες ὅσον τὴν ἡλικίαν φυλάττουσι. καὶ αὐτοὺς*
πολλοὶ μὲν ἤδη ἐν Ἐπιδαύρῳ εἶδόν τε καὶ ἔγνωσαν ἐμφανῆ κινου-
μένους, πολλοὶ δὲ ἄλλοθι πολλαχοῦ· ὃ καὶ μέγιστον ἔστω κατ'
αὐτῶν. Ἀμφιάραος μὲν γὰρ καὶ Τροφώνιος ἐν Βοιωτίᾳ καὶ Ἀμ-
φίλοχος ἐν Αἰτωλίᾳ χρησμῳδοῦσί τε καὶ φαίνονται, οὗτοι δὲ παν-
ταχοῦ τῆς γῆς διᾴττουσιν ὥσπερ ἀστέρες, περίπολοι κοινοὶ καὶ
πρόδρομοι τοῦ πατρός. ὁσαχοῖ δὲ Ἀσκληπιῷ εἴσοδοι, καὶ τούτοις
κλισιάδες τε [αὐτοῖς] ἀνεῖνται πανταχοῦ γῆς, καὶ διὰ πάντων
ἡ κοινωνία τῷ πατρὶ σῴζεται νεῶν θυσιῶν παιάνων προσόδων 79 D
22 *ἔργων ἃ πράττουσιν. ὦ μακαριστοὶ μὲν ὑμεῖς τῶν ἄνω προγόνων* 46 J
ἐπ' ἀμφότερα, εὐδαίμονες δὲ τῶν ἀφ' ὑμῶν φύντων, ἔτι δὲ ὑμῶν
τε αὐτῶν καὶ ἀδελφῶν, οἷς Ἰασώ τε καὶ Πανάκεια καὶ Αἴγλη
σύνεστίν καὶ Ὑγίεια, ἡ πάντων ἀντίρροπος, Ἠπιόνης δὴ παῖδες
ἐπώνυμοι· οὐδ' ὑμῖν θᾶκοι χωρὶς ἀλλήλων οὐδὲ διεσκηνήσατε.
23 *Ὦ κάλλιστος μὲν αὐτοὶ χορὸς τῷ πατρί, πολλοὺς δὲ ἀνάγοντες*
παρὰ ἀνθρώπων, χοροποιοὶ μακρῷ πάντων ἄριστοι, καὶ προσέτι
ἱεροποιοί τε καὶ ἐπιστάται κρατήρων καὶ χαρίτων ἁπασῶν. αἱ
μὲν ἄλλαι θυσίαι τε καὶ ἑορταὶ νόμῳ καθεστᾶσιν, ὡς εἰπεῖν, αἱ
δ' ἀφ' ὑμῶν καὶ τοῦ περὶ ὑμᾶς ἐργαστηρίου πλεῖσται μὲν ἐφ'

---

1 *καὶ* seclusi 2 *παρ' ἡμῖν μένειν* TU^2 (at *παρ' ἡμῖν* in ras. artiore): *παρ' ἡμῖν* A, *παραμένειν* SD (U^1?) 3 *ὑπὸ*] i. e. auxiliantibus 4 *θεσμὸν*] cf. ad p. 301, 4 *μενέλαόσ* S *ξανθὸς Ῥαδάμανθυς*] Hom. δ 564 6 *ἀρχαίας*] humanae 8 *ἐμφανῆ* ASDT: *ἐμφανῶσ* U, fort. *ἐμφανεῖς*; cf. p. 327, 26 10 fort. *Ἀμφιάρεως*, cf. *Μενέλεως* v. 4 et ad p. 297, 18 13 *ὁσαχοῖ* A: *ὁσαχοῦ* SDUT *πρόδρομοι*] cf. ad p. 312, 20 14 *τούτοισ κλισιάδεσ* STU: *τοῖσ ἀσκληπιάδαισ* AT *αὐτοῖς* seclusi, etiam *τε* abesse vult Wil. 15 *σώζεται* AT^1: *περισώζεται* SDUT^2, dittographia (*πρι περι-*) *ναῶν* U; cf. ad p. 120, 12 *παιώνων* A *προσόδων*] cf. p. 128, 19 17 *φύντων* om. A 19 *Ἠπιόνης* Valckenaer, Diatr. Eurip. p. 290, *ἤπιον ἦσ* A^1: *ἠπίων· ἦσ* U^1(*ἠ-*)TA^r, *ἠπιονισ* S, *ἠπιονὶσ* D, *ἠπίων· οἷσ* U^2 *δὴ*] *δὲ* S 20 *ἐπώνυμοι*] sunt *ἤπιοι* *οὔθ'* SU *διεσκηνώσατε* D; *σκηνώματα* ci. Wyttenbach, Lex. Plut. p. 765 21 *ἀνάγοντες*] hominibus medicati efficiunt, ut multi chori offerantur Aesculapio ab hominibus 23 *αἱ μὲν*] *ὡς αἱ μὲν* Junt.; *αἱ μὲν ⟨γὰρ⟩* Wil. 24 *καθεστᾶσιν, ὡσ εἰπεῖν* AT: *τελοῦνται τοῖσ ἀνθρώποισ* SDU *ὡς εἰπεῖν ⟨πᾶσαι⟩* Rsk. 25 *ἡμῶν* et *ἡμᾶσ* U *ἐργαστηρίου*] cf. ad p. 225, 17

ἡμέραν καὶ πρὸς ἁπάσας τὰς ἄλλας, καθαρῶς δὲ ἀπὸ καρδίας
ἔρχονται τὴν εὐθυμίαν ἀφ᾽ ὧν σύνισμεν φέρουσαι. ὑμῶν ἴχνη
πλεῖστα καὶ φανερώτατα, αἰεὶ δ᾽, ὥσπερ ἀνθρώπῳ σκιά, φῶς
80 D *ὅποι κινοῖσθε ἕπεται. ὦ Διοσκούροις ἰσόμοιροι καὶ ἡλικιῶται* 24
ἐν ἑτέρῳ χρόνῳ τῆς γενέσεως, οἳ πολλὰς μὲν ἤδη τρικυμίας κατ-
επαύσατε, πολλοὺς δὲ καὶ στιλπνοὺς λαμπτῆρας ἔν τε νήσοις καὶ
κατ᾽ ἤπειρον ἀνήψατε, οὗτος ὑμῖν ὁ παρ᾽ ἡμῶν λόγος ἐξ ὕπνου
τε καὶ ἐνυπνίου συντεθεὶς εὐθύς. ὑμεῖς δὲ τῇ ὑμετέρᾳ πραότητι
καὶ φιλανθρωπίᾳ .....θέντες αὐτὸν εἰς καλλίους, τῆς τε νόσου παύ-
ετε καὶ διδοίητε ὑγιείας τε ὅσον οἷς ἡ ψυχὴ βούλεται τὸ σῶμα
ὑπακούειν, καὶ τὸ σύμπαν εἰπεῖν βίου ῥᾳστώνην.

XXXIX.

I 408 D
I 252 J

(18) ΕΙΣ ΤΟ ΦΡΕΑΡ ΤΟ ΕΝ ΑΣΚΛΗΠΙΟΥ.

Τί δ᾽ ἂν εἴποις τὸ φρέαρ τὸ ἱερόν; ἢ δῆλον ὅτι τὴν τοῦ λόγου μέμφῃ φύσιν ὡς οὐχ ἱκανῶς ἐπὶ πάντα ἀφικνουμένην οὐδ᾽ ἐνδείξασθαι δυναμένην ἐνίοτε ἀρκούντως τὸ ὄν; τοῦτο γοῦν οὐδ᾽ ἂν εἷς λόγος ὁποῖόν τι τὸ κάλλος καὶ τὴν ἡδονήν ἐστιν ἐνδείξαιτο,

---

Oratio XXXIX: libri ADUT = O

---

1 *ἡμέραν* U: *ἡμέρᾳ* ASDT; cf. p. 334, 9 *πρὸς*] etiam ad *πλεῖσται* referendum; cf. ad p. 73, 15 2 *ἔχονται* D; v. 2. 3 distinxit Wil. *σύνισμεν*] cf. p. 243, 7 3 *ἀεὶ* A[1](corr. A[r])SU *σκιᾶι* A[1](-ὰι A[2])T(-ᾶ) 4 *κινοῖσθε* AS: *κινεῖσθε* DUT 7 *ἡμῶν* AST: *ἐμοῦ* DU 8 *καὶ ἐνυπνίου* SUT: om. AD; 'statim post somnum et somnium' 9 lacunam indicavi: *θέντεσ* A, *διαθέντεσ* SUT, *δὴ θέντεσ* D; et sententia et lectione A truncata verborum clades significatur; ceteri libri interpolati 9. 10 *νόσου παύετε καὶ* ADT: *νόσου καὶ πόνων παύετε καὶ* U, mg. ∵ *γρ. ἐξαίρεσθε* U pr. m., *νόσου καὶ πόνων ἐξαίρεσθε. καὶ* S 10 *διδοίητε κτἑ.*] valetudinis tantum, ut corpus possit parere iis quae animus imperat, et — ut uno omnia verbo complectar — vitae commoditatem. — Subscr. *ἀσκληπιάδαι* AST

Tit. *εἰσ — ἀσκληπιοῦ* AUT: *εἰσ τὸ φρέαρ τοῦ ἀσκληπιοῦ* Laur. Abb. 9 (unde Junt. edd.) alii; Thom. Mag. p. 13, 14; 405, 11. — Cf. ad or. XLVIII § 42. — 12 *δ᾽*] cf. p. 347, 5 *εἴπησ* D 13 *ἐφικνουμένην* U[2], cf. ad p. 92, 27 14 *γ᾽ οὖν* A, at *γ᾽* in ras. A[r] 15 *εἷς*] *τισ* D *τι* om. DU *ἐστιν* om. T

ἀλλ᾽ ἀμείνους ἐσμὲν πίνειν τούτου τοῦ ὕδατος καὶ λούεσθαι καὶ
προσορᾶν ἡδέως ἢ ἔχειν εἰπεῖν τι περὶ αὐτοῦ, ὥσπερ οἱ τῶν κα-
λῶν ἐρῶντες, οἳ τῇ μὲν δυνάμει τοῦ κάλλους ἑαλώκασιν καὶ ἴσασιν
οἵων ἐρῶσιν, ἐὰν δέ τις αὐτοὺς ἔρηται, οὐκ ἂν ἔχοιεν εἰπεῖν περὶ
2 ἀπόντων, παρόντας δὲ οἶμαι δείξαιεν ἄν. τὸ δ᾽ αὐτὸ καὶ ἐπὶ
τούτου τοῦ φρέατος πεπόνθαμεν, καὶ ἐσμὲν ἐρασταὶ μὲν αὐτοῦ
πάμπολλοι, μᾶλλον δὲ πάντες σχεδόν, ὁποίου δὲ ὄντος οὐκ ἔχομεν
εἰπεῖν. ἀλλ᾽ ἐάν τινα ἡμῶν ἀπολαβών τις ἐρωτᾷ, παραλαβόντες
ἂν αὐτὸν ἄγειν ἀξιοίημεν ἐπ᾽ αὐτὸ καὶ δεικνύοιμεν. τῷ δὲ οὐδὲ
τοῦτο ἀποχρήσει, γευσάμενος δὲ καὶ πειραθεὶς τοῦ παρ᾽ Ὁμήρῳ
λωτοῦ γεγεῦσθαι δόξει, μένειν ἐθέλων καὶ χαλεπῶς ἀξιῶν ἀπο-
3 χωρεῖν ἀπ᾽ αὐτοῦ. ἀλλ᾽ οὐ μὲν δὴ χρὴ τὸ τῶν διψώντων, φασί,
πίνειν σιωπῇ, ἀλλ᾽ ἐπικοσμῆσαί τι καὶ λόγῳ, καὶ προσειπεῖν τόν 409 D
τε σωτῆρα θεόν, οὗ καὶ τόδ᾽ ἐστὶν ἔργον τε καὶ ποίημα, καὶ τὰς
ἐχούσας αὐτὸ Νύμφας καὶ συνεργαζομένας καὶ ἡμῖν χρῆσθαι τῇ
χάριτι τοῦ θεοῦ χαριζομένας τε καὶ συνυπηρετούσας.
4 Τίς οὖν δὴ γένοιτ᾽ ἂν ἀρχή, ἢ ὥσπερ ἡνίκ᾽ ἂν ἀπ᾽ αὐτοῦ
πίνωμεν, προσθέντες τοῖς χείλεσι τὴν κύλικα οὐκέτι ἀφίσταμεν,
ἀλλ᾽ ἀθρόον . . . . . εἰσεχεάμεθα, οὕτως καὶ ὁ λόγος ἀθρόα πάνθ᾽
ἕξει λεγόμενα; ἔστω δὲ ἀντὶ τῆς τῷ χείλει προσαγωγῆς ἐκεῖνο
ἡμῖν, ὅτι ἐν τῷ καλλίστῳ τῆς πάσης οἰκουμένης ἐστίν. ὃ γὰρ ἐξ
ἁπάντων χωρίων εἵλετο ὁ θεὸς ὡς ὑγιεινότατον καὶ καθαρώτατον
καὶ ὃ ταῖς εὐεργεσίαις ταῖς παρ᾽ αὐτοῦ πεποίηκεν ἁπάντων ἐκ-
φανέστατον, ἦ που σφόδρα τοῦτο κάλλιστόν ἐστι τῶν ἐν γῇ πάν-
5 των. καὶ γὰρ οὐχ ὥσπερ ἄλλοι ἄλλοις τόποις θεοὶ ἐξ ἀρχῆς ἐγ- 253 J
γενεῖς εἰσιν, καίτοι καὶ τούτους τιμίους, οἶμαι, χρὴ δοκεῖν κατ᾽
αὐτὸ τὸ λαχεῖν αὐτοὺς τοὺς θεούς, ἀλλὰ τούτῳ γε μεῖζόν ἐστιν
ὅτι ἀπ᾽ αὐτῆς τῆς Ἐπιδαύρου δεῦρο ὁρμηθεὶς ὁ θεὸς ἠράσθη δὴ
μάλιστα, ὡς δῆλόν ἐστιν ὅτι ἑλόμενός τε αὐτὸ ἐγκατέμεινεν τὸ
λοιπὸν καὶ προκρίνας τῶν ἄλλων. ὁ δὲ θεὸς καὶ θεῶν ὁ πρα-
ότατός τε καὶ φιλανθρωπότατος προέχειν ἔκρινεν, πῶς ἡμῖν γε,

---

1 λοῦ/σθαι U p. corr. 2 προσορᾶ/ν A τι A: om. DUT 4 post εἰπεῖν add. τι U² mg. (spectabat ad v. 2) 6 τούτου Rsk.: τοῦ αὐτοῦ AT, τοῦ DU 9 ἀξιοῖμεν U 10 τοῦτ᾽ U 12 φασί] cf. Plat. symp. 214 B (supra ad p. 213, 30) 13 τι Rsk.: τε O; cf. Plat. l. c. 14. 15 καὶ τὰς ἐχούσας κτἑ.] cf. or. XLVII § 34 18 ἀφίσταμεν (ῶ) — 19 εἰσεχεάμεθα (εἰσχεό) corr. U¹ (aut U²) 19 lacunam indicavi; desidero ἀλλ᾽ ἀθρόον ⟨πᾶν ἐκπίνομεν ὅσον⟩ εἰσεχεάμεθα οὕτω DUT 23 αὐτοῦ O 27 τούτῳ Wil. (sc. τῷ τόπῳ): τοῦτό O 30 ὃ legi: ὁ O; ᾧ Junt. (edd.) 31 προέχειν DU: προσέχειν AT ἔκρινέν πωσ A

*καὶ ταῦτα τοῖς τούτου θεράπουσιν, ἄλλο τι λέγειν ἔνεστιν ἢ ὡς
τοῦτ᾽ ἔστι τὸ βέλτιστον; ἐν καλλίστῳ μὲν δὴ τῆς οἰκουμένης οὕτως* 6
410 D *ἔστιν εἰπεῖν. ἔτι δ᾽ αὐτοῦ τοῦ ἱεροῦ ὅσος ὑπαίθριος χῶρος καὶ
βάσιμος ἐν τῷ καλλίστῳ ἐστίν· μέσον γὰρ ἐν μέσῳ ἵδρυται. τὸ
δὲ ὕδωρ εἰ μὲν βούλει, ἀπὸ πλατάνου ῥεῖ — ὥσπερ γὰρ ἄλλο τι
σύμβολον καὶ τοῦτο παραπέφυκεν —, εἰ δὲ βούλει, τὸ ἔτι κάλλιόν
τε καὶ ἱερώτερον, ἀπ᾽ αὐτῶν τῶν βάθρων ἐκρεῖ, ἐφ᾽ ὧν ὁ νεὼς
ἕστηκεν, ὥστε παντί γε ταύτην τὴν δόξαν καὶ πίστιν ὑπεῖναι, ὅτι
ἀπὸ ὑγιεινοῦ καὶ ὑγιείας χορηγοῦ χωρίου φέρεται, ἀπό γε τοῦ
ἱεροῦ καὶ τῶν ποδῶν τοῦ Σωτῆρος ὁρμώμενον· οὐ γὰρ ἄν τι ἐξ
ὑγιεινοτέρων ἢ καθαρωτέρων τόπων ὕδωρ ῥυείη [ἢ τοῦτο ἐκ τού-
των ῥέον]. Ἐν τοιούτῳ δὴ φαινόμενον καὶ ἀπὸ τοιούτων ὁρμώ-* 7
*μενον, ὡς τὸ εἰκὸς ἔχει, κάλλιστόν ἐστι. πρῶτον μέν γε λεπτό-
τατον ἐγγυτάτω ἀέρος, ἔπειτα δ᾽ τούτῳ ἕπεται, κουφότατόν τε καὶ
πραότατον, τρίτον γλυκύτατόν τε καὶ ποτιμώτατον, [αὐτόχυτον],
ὃ πίνων οὐκ ἂν οἴνου προσδεηθείης. Ὅμηρος μὲν γὰρ ἔφη* (B 754)
*τὸν Τιταρήσιον ἐπιρρεῖν ἐπὶ τοῦ Πηνειοῦ, ὥσπερ ἄνδρα ἐπινηχό-
μενον, ὑπὸ κουφότητος τοῦ ὕδατος· τὸ δ᾽ ἐμοὶ δοκεῖν εἰ ἐπιρρήξαις
αὐτῷ ὕδωρ ἕτερον, ἀντάνεισιν εἰς τὸ ἄνω, τὸ δὲ δύεται, ὥσπερ*
411 D *⟨οἱ⟩ ὕφαλοι, νεῦον εἰς μυχὸν ἐκ τοῦ μετεώρου· εἰ μὴ καὶ τοῦτ᾽*

---

3 *εἰπεῖν* A^r in ras. (A^1 relliquiae ᾽ ῀) TU^2: om. DU^1 *ἔτι — ἐστίν*] construe: *ὅσος αὐτοῦ τοῦ ἱεροῦ ὑπαίθριος . . . βάσιμος, (τούτου) ἐν τῷ καλλίστῳ ἐστίν* 5 *πλατάνησ* D *τι* DU: om. AT 7 *ἱερώτερον*] *ερ* in ras. U^2, *ἱερώτατον* D 8. 9 *ὅτι ἀπὸ* DU: *ὅπου* AT 9 *ὑγιεινοῦ καὶ* delet Kaibel *φέρεται*] *φαίνεται* D, cf. v. 12 11 *ῥυῆ ἢ* U *ἢ — 12 ῥέον* seclusi; desideratur *ἢ ἐκ τοιούτων*, glossema ad interpretandum comparativum 12 *ῥέον* DU: *ῥεῖ ὂν* AT 13 *πρῶτον μέν κτἑ.*] dispositio orationis haec: exordium § 1—2; laudatio, § 4—6 e situ (ubi), 7—11 e propria virtute (qualis), 12—17 ex utilitate (quid; cf. *χρείας, χρῆται* p. 322, 23; 323, 11, *ἔχρηζον, χρῆσιν, λυσιτελέστατον* p. 323, 12. 25. 29 *χρῆσιν* 324, 5); peroratio § 18; propositio § 7 ad solam alteram orationis partem spectat, ita ut ad *πραότατον* unum *φρικῶδες οὐδέν* p. 322, 5 referendum sit et *γλυκύτατον καὶ ποτιμώτατον* una § 9 explicentur; § 10 praeter propositionem alteri parti adiecta, cuius peroratio § 11 14 *τούτῳ* UT: *τούτων* A, *τοῦτο* D 15 *αὐτόχυτον* seclusi, glossema ad *ὃ — προσδεηθείης*; fluxit e p. 324, 1 16 *ὃ* DU: om. AT, scilicet extrusit *αὐτόχυτον* interpolatum 17 *ἐπιρεῖν* A *ἄνδρα*] schol. A ad h. l. *οὐχ ὥσπερ ἄνδρα, ἀλλ᾽ ὡς ἔλαιον· καὶ γὰρ οὖν φησίν· οὐδ᾽ ὅ γε κτἑ.* (Hom. l. c.); *ὥσπερ ἄχυρα ἐπινηχόμενα* ci. Meineke ad Callim. p. 56; *ἀνθέρικα ἐπινηχόμενον* Haupt Opusc. III 542 coll. Call. h. IV 193, Stob. ecl. I 49, 45 (I p. 414, 12 Wachsm.); nihil mutandum: Titaresii aquam velut hominem natantem super Penei ferri dicit 18 *δέ μοι* O *ἐπιρρήξαις*] *ἐπιρρίψαισ* U^2 (ci. Canter) 20 *οἱ* addidi *ὕφαλοι* O: *γρ. οἱ φαλλοὶ* T^1 mg.; cf. Poll. I 97 *κολυμβητής, ὕφαλος* (distinxit Kaibel), *ὕφυδρος* *νεῦον* scripsi: *νεύοντες* O; *νέοντες* ci. Baumgart, Ael. Arist. p. 93, 87 *μυχὸν*] imum putei angulum

ἔστιν εἰπεῖν ὅτι μοι δοκεῖ κἂν τὸ ἐπεγχυθὲν ὑψῶσαι τῇ ἑαυτοῦ
κουφότητι. ὡς δὲ οὐ κομπάζομεν, σταθμῷ κρίνεται· καίτοι τί ἂν
8 εἴποι ὁ τῆς Στυγὸς ἀπορρώξ, ὅταν ἀνθιστάμενος ῥέπῃ; πρόσεστι
δὲ τούτῳ ὅτι οὔτε Στυγός ἐστιν ἀπορρὼξ τόδε τὸ ῥεῦμα οὔτε ἄλλο 254 J
ἔχει φρικῶδες οὐδέν, ἀλλ' ὑγιείας ἂν αὐτὸ προσείποις ἢ νέκταρος
9 ἤ τινος τῶν τοιούτων ἀπορρῶγα. τεκμηριοῖ δὲ καὶ τούτῳ, χρόνος
γοῦν αὐτοῦ οὐχ ἅπτεται, ἀλλ' ἀπαντληθὲν τὸ ὕδωρ καὶ ἔξω γενό-
μενον τὸ αὐτὸ ποιεῖ οἷόνπερ τὸ αἰεὶ λειπόμενον ἐν τῷ φρέατι,
10 ἄσηπτον καὶ ἀπαθὲς μένει. πλῆθος δ' αὖ τοῦ φρέατος τούτου
τοσοῦτον ὅσον, ὡς ἔπος εἰπεῖν, οὐδενὸς ἑτέρου φρέατος· μάλα ἀκ-
μῆτας εἶναι δεῖ τοὺς ἀρυτομένους καὶ νοῦν ἔχοντας, ἵνα μὴ φθάνῃ
τὸ ἐγκαταλαμβάνον. μόνον γοῦν τοῦτο πάντων φρεάτων ἀρυτο-
μένων καὶ κενούντων τὸ ἴσον αἰεὶ μέτρον παρέχεται, τῷ τετρημένῳ
πίθῳ τὸ ἀντίστροφον ποιοῦν· ὁ μὲν γὰρ οὐδέποτε πληροῦται,
11 τὸ δὲ αἰεὶ τοῦ χείλους ἐγγύς ἐστιν. ἅτε γὰρ ὂν διάκονόν τε καὶ
συνεργὸν τοῦ φιλανθρωποτάτου τῶν θεῶν ἑτοιμότατον πρὸς τὴν
ὑπηρεσίαν καὶ αἰεὶ πλῆρές ἐστι, καὶ οὔτε ἐκεῖνος ἄγει σχολὴν 412 D
ἄλλο τι πράττειν ἢ σῴζειν ἀνθρώπους καὶ τοῦτο μιμούμενον τὸν
δεσπότην αἰεὶ πληροῖ τὴν τῶν δεομένων χρείαν, καὶ ἔστιν ὥσπερ
ἄλλο τι θρέμμα ἢ δῶρον Ἀσκληπιοῦ, ὥσπερ Ὅμηρος ἐποίησεν
12 ὅπλα καὶ ἔργα Ἡφαίστου πρὸς τὸ ἐκείνῳ δοκοῦν κινούμενα. Ἐπεὶ
δὲ ἐνταῦθα ἤδη ἐγενόμην, ποῖον ὕδωρ ἂν τῶν κατ' ἀνθρώπους
τούτῳ παραβληθείη χρείας εἵνεκα; οὐ γὰρ μόνον πόμα, τὸ δ' αὐτὸ
καὶ λουτρόν ἐστιν ἥδιστον καὶ ἀβλαβέστατον· οὐδ' ..... ἀντ-

---

1 ἐπεγχυθὲν] γ in ras. A^r 3 εἴπῃ D Στυγὸς ἀπορρώξ] Titaresius, Hom. *B* 755 4 οὔτε — οὔτε Ddf.: οὐδὲ — οὔτε O 5 ὑγείασ et προσείπησ D 6. 7 τούτωι (-ω T)· χρόνος γοῦν AT: τοῦτο ὁ χρόνοσ ὅτι DU; ipse fons praebet argumenta huic opinationi (nectariam quandam habere eam naturam): tempore non depravatur; cf. or. XXXVI § 116 7 ἀπαντληθὲν] prius ν ex μ radendo et τ in ras. corr. A^r 8 τὸ αὐτό. ποι. οἷον τὸ D αἰεὶ] ιεὶ in ras. A^r; ἀεὶ A^1DU 10 μάλ' D 11 ἀρυωμένουσ A^1 (corr. A^r) καὶ νοῦν ἔχοντασ AT: καὶ κενοῦντασ DU, Thom. Mag. p. 13, 15 12 ἐγκαταλαμβάνον ADU: ἐγκαταλαμβανόμενον T; ʻτὸ ἐγκαταλαμβάνονʼ i. q. τὸ ἐκδεχόμενον, cf. or. XLVII § 6; pro Quattuorv. II p. 239, 19 Ddf. (et or. XXVI § 84); sententia: cautos haurientes esse oportet, ne aquae, quae aquis exhaustis superveniunt, oram putei superent. contra Wil. deleto τὸ intellegit: ne aqua haurientes eos, qui in puteo sint, deprehendat, prius quam exierint 12. 13 ἀρυτομένων] τ in ras. II litt. cap. A^r; ἀρυτομένων, sc. αὐτῶν (Wil.) 13 κενούντων scripsi: ἐώντων O; καὶ ἐώντων secl. Canter ἀεὶ A^1 (corr. A^r; item v. 15. 17. 19; p. 323, 3) DU p. ras. 20 ὥσπερ ἃ ὅμηροσ DU 21 τὸ] τῶι A 22 ἤδη om. T 23 ἕνεκα T δ' om. D 24 οὐδ' AT(U^1?): ἀλλ' D et in ras. U^2 lacunam indicavi; e. g. οὐδ' ⟨ὥσπερ τἄλλα εἴωθεν κατὰ τὸν θεσμὸν ψυχρόν τε καὶ θερμὸν ἀποβαίνει, ἀλλ'⟩ ἀντέστραπται; ceterum cf. or. XXXVI § 120

ἔστραπται πρὸς τὰς ὥρας τοῦ ἔτους, θέρους μὲν ψυχρότατον ὂν
αὐτὸ αὑτοῦ, χειμῶνος δὲ ὡς ἠπιώτατον γιγνόμενον, τὰ τοῦ παρόν-
τος αἰεὶ καιροῦ δυσχερῆ λῦον καὶ παραμυθούμενον, οἵαν χρὴ τὴν
Ἀσκληπιοῦ πηγὴν ἱερὰν εἶναι. καλὰ μὲν γὰρ ταῦτα καὶ ἡδέα καὶ 13
αὐτῷ χρωμένῳ καὶ ἑτέρους ὁρῶντι τοῦτο μὲν θέρους ὥρᾳ περὶ τὰ
χείλη τοῦ φρέατος περιεστηκότας ἑξῆς, ὥσπερ ἑσμὸν μελιττῶν ἢ
μυίας περὶ γάλα, ἐξ ἕω ζητοῦντας τὸ πνῖγος προκαταλαβεῖν ἀντ'
255 J ἄλλου πόματος τῶν κωλυόντων τὸ δίψος καὶ ἰσχόντων, τοῦτο δὲ
ὅταν τις κρυστάλλου πεπηγότος τὴν χεῖρα προτείνας ἀπονιψάμενος
θερμότερος αὐτὸς αὑτοῦ καὶ ἡδίων γένηται. ἀλλὰ καὶ τἆλλα ὁ 14
413 D θεὸς αὐτῷ χρῆται ὥσπερ ἄλλῳ τῳ συνεργῷ, καὶ πολλοῖς ἤδη πολ-
λάκις τὸ φρέαρ τοῦτο συνεβάλετο εἰς τὸ τυχεῖν ὧν ἔχρῃζον παρὰ
τοῦ θεοῦ. ὥσπερ γὰρ οἱ παῖδες οἱ τῶν ἰατρῶν τε καὶ θαυματο-
ποιῶν γεγυμνασμένοι πρὸς τὰς διακονίας εἰσὶ καὶ συμπράττοντες
ἐκπλήττουσι τοὺς θεωμένους καὶ χρωμένους, οὕτω τοῦ μεγάλου
θαυματοποιοῦ καὶ πάντα ἐπὶ σωτηρίᾳ πράττοντος ἀνθρώπων
εὕρημα τοῦτο καὶ κτῆμά ἐστι· συμπράττει δὴ πρὸς ἅπαντα αὐτῷ
καὶ γίγνεται πολλοῖς ἀντὶ φαρμάκου. πολλοὶ μὲν γὰρ τούτῳ 15
λουσάμενοι ὀφθαλμοὺς ἐκομίσαντο, πολλοὶ δὲ πιόντες στέρνον
ἰάθησαν καὶ τὸ ἀναγκαῖον πνεῦμα ἀπέλαβον, τῶν δὲ πόδας ἐξώρ-
θωσεν, τῶν δὲ ἄλλο τι· ἤδη δέ τις πιὼν ἐξ ἀφώνου φωνὴν ἀφῆκεν,
ὥσπερ οἱ τῶν ἀπορρήτων ὑδάτων πιόντες μαντικοὶ γιγνόμενοι·
τοῖς δὲ καὶ αὐτὸ τὸ ἀρύτεσθαι ἀντ' ἄλλης σωτηρίας καθέστηκεν.
καὶ τοῖς τε δὴ νοσοῦσιν οὕτως ἀλεξιφάρμακον καὶ σωτήριόν ἐστιν
καὶ τοῖς ὑγιαίνουσιν ἐνδιαιτωμένοις παντὸς ἄλλου χρῆσιν ὕδατος
οὐκ ἄμεμπτον ποιεῖ. πάντα γὰρ ἤδη μετὰ τοῦτο τὸ ὕδωρ γίγνε- 16
ται πειρωμένοις, οἷον εἴ τις μετὰ ἀνθοσμίαν οἶνον τῶν ἐξεστη-
κότων τινὰ πίνοι. μόνον δὲ τοῦτο τὸ αὐτὸ νοσοῦσι καὶ ὑγιαίνουσιν
ὁμοίως ἥδιστον καὶ λυσιτελέστατον ἑκατέροις τε καὶ συναμφοτέροις
ἐστίν, καὶ οὔτ' ἂν γάλα παραβάλοις οὔτ' ἂν οἶνον ποθήσαις, ἀλλ'

---

2 *αὐτὸ ἑαυτοῦ* DU Thom. Mag. p. 405, 12 sq. 4 *γὰρ καὶ ταῦτα καὶ* D *καὶ* post *ἡδέα* s. l. D[1] 5 *καὶ* s. l. T[1] 7 *μύασ* T *ἀντ' κτέ.*] aut e. v. 5 supplendum (*ὁρῶντι*) *χρωμένους αὐτῷ* aut hiant verba ante *ἀντ'* 9 *κρυστάλου* DU 12 *ἔχρῃζον*] ludit: *χρῆται* v. 11 13 alterum *οἱ* om. T *θαυματοποιῶν* O: *τῶν θαυματοποιῶν* U[1] p. corr. (Junt.) 17 *εὕρημα*] cf. [Demosth.] XXVI 26 *τὰ . . . ἀρωστήματα τοῖς τῶν ἰατρῶν εὑρήμασι καταπαύεται* *ἐστι καὶ συμπράττει* DU 18 *γίνεται* DU, item v. 26 22 *πιόντεσ ὑδάτων* T *γινόμενοι* AU 23 *ἀρύτεσθαι*] *τ* in ras. II litt. A[2] (cf. v. l. p. 322, 12. 13) 28 *πίνει* Lex. Vindob. p. 57, 10 29 post *λυσιτελέστατον* add. *ἐστι* T, omisso (30) *ἐστίν* post *συναμφοτέροις* *τε* s. l. T[1] 30 *οὔτε γάλα* U *παραβάλησ* D

ἔστιν ὥσπερ Πίνδαρος (O. VII 7) *τὸ νέκταρ ἐποίησεν αὐτόχυτον, πότιμον θείᾳ τινὶ κράσει κεκραμένον ἀρκούντως. ὥστε εἰ δύο* 414 D *εἶεν κύλικες, ἡ μὲν ἑτέρου του ὕδατος καὶ οἴνου τοῦ καλλίστου,*
17 *ἡ δὲ τούτου τοῦ ὕδατος, ἀπορήσαις ἂν πότερον λάβοις. ἔτι δὲ τὰ μὲν ἄλλα ἱερὰ ὕδατα τὴν τῶν πολλῶν ἀνθρώπων χρῆσιν πέφευγεν, οἷον τὸ ἐπὶ Δήλῳ καὶ εἴ τί που ἄλλοθι ἄλλο τοιοῦτόν ἐστι, τὸ δὲ τῷ σῴζειν τοὺς χρωμένους, οὐ τῷ μηδένα αὐτοῦ ψαύειν, ἱερόν ἐστιν· καὶ τὸ αὐτὸ καθαρσίοις τε ἐξαρκεῖ τοῖς περὶ τὸ ἱερὸν* 256 J *καὶ ἀνθρώποις καὶ πίνειν καὶ λούεσθαι καὶ προσορῶσιν εὐφραίνεσθαι.*

18 *Ἐγὼ μὲν οὔτε Κύδνον οὔτε Εὐρυμέδοντα οὔτε Χοάσπην, ὅθεν βασιλεὺς ἔπινεν περιφέρων, οὔτε ᾧ τοὺς καλλίστους στεφάνους ἀνῆκεν ἡ γῆ περὶ τὴν ὄχθην ἑκατέραν, Πηνειόν, οὔτε ..... πηγὴν ἄβυσσον, οὐθ' ὅ τι ἐρεῖς ἕτερον ὕδωρ παραβάλοιμ' ἂν τούτῳ τῷ πάντα ἱερῷ, ἀλλ' εἶναι φαίην ἂν αὐτὸ ἐν ὕδασι τοσούτῳ νικῶν ὅσονπερ τὸν προστάτην αὐτοῦ θεὸν ἐν θεοῖς. λοιπὸν ἓν εἰπεῖν, ὅτι καὶ ὅσια ἂν ποιοῖμεν οὕτω κρίνοντες· ὁ γὰρ θεὸς πρῶτος περὶ αὐτοῦ ταύτην τὴν ψῆφον ἤνεγκεν, ὥς φασιν.*

---

1 *ὥσπερ*] *ὡσ* U *αὐτόχυτον*] *νέκταρ χυτόν* Pind.; *αὐτόχυτον* e scholiis suis Pindaricis Aristides hausit, quod probatur vv. p. 321, 16 *ὃ — προσδεηθείης*, quae ad schol. Pind. ad h. l. dicta: *αὐτόχυτον καὶ ἄκρατον .... οὐ γὰρ ἐπιδέεται τοῦτο κράσεως, καθάπερ οἶνος χωρὶς ὕδατος*; cf. ad p. 41, 23; 315, 22 2 *κράσει*] *κράτει* D *ὥστ'* T 3 *ἡ μὲν* om. D *του* UT: *τε* AD 4 *τοῦ* om. A 6 *δηλίωι* AD(-ω) *ἄλλο/* A 11 *Κύδνον*] *κίνδυνον* A[1] (corr. A[r]) *οὔτε εὐρυμέδοντα* sic O *ὅθεν — ἔπινεν*] Herod. I 188 13 *πηγὴν ἄβυσσον*] ad Herodot. II 28 *πηγὰς τοῦ Νείλου ἐούσας ἀβύσσους ... ὡς δὲ ἄβυσσοί εἰσι αἱ πηγαί* quondam rettuli; quibus ut minus certis reiectis, cum in eandem opinionem Wil. incidisset, ita sententiam retractavi, ut lacunam indicarem: tradita obscuriora sunt, quam quae intellegantur, neque convenit arti membrum breve *πηγὴν ἄβυσσον* extremo loco positum, cum multo longius praecedat colon (*ᾧ — Πηνειόν*); fuerint e. g. *οὔτε ⟨ποταμῶν τὸν μέγιστόν τε καὶ θαυμαστότατον, οὗ τὸ ὕδωρ ἀνιέναι φασὶν⟩ πηγὴν ἄβυσσον* (cf. or. XLIII § 28) 14 *οὐθ' ὅτι ἱερεῖς* T 15 *ἀλλ' — νικῶν* omissa add. U[2] mg. *ὅσονπερ* A (T[1] sine dubio): *ὅσωπερ* DUT[2] 17 *ὁ γὰρ κτἑ.*] cf. § 5. — Subscr. *εἰσ τὸ φρέαρ τὸ ἐν ἀσκληπιοῦ* AT

XL.

I 53 D
I 31 J

(5) ΗΡΑΚΛΗΣ.

*Ἀλλ', ὦ φίλτατε Ἡράκλεις, σέ γε ἐπαινεῖν ἄθλων ὁ ἥδιστος·
πάντως δὲ πολυύμνητος εἶ. πολλοὶ γὰρ οἱ καταλογάδην ᾄδοντες
τὰ σά, πολλὰ δὲ ποιηταὶ κατὰ πάντας τρόπους ὑμνήκασιν, μέγι-
στον δὲ ὁ καθ' ἡμέραν ὑπὸ πάντων ἔπαινος ἐπὶ πάσης τῆς παρα-
πιπτούσης προφάσεως αἰεὶ γιγνόμενος. Καὶ θαῦμά γ' οὐδὲν τοσοῦ-* 2
*τον τῆς ἀνθρωπείας φύσεως ὑπερᾶραι ᾧ πατὴρ μὲν τὰ πρῶτα
τῶν ὄντων, μήτηρ δὲ ἣν ἐκεῖνος ἐξ ἁπασῶν προὔκρινεν. τοσαύ-
την δὲ ἔσχε τὴν σπουδὴν εἰς τὴν γένεσιν αὐτοῦ ὥστε τρεῖς ἡμέρας
καὶ νύκτας ἑξῆς, ὥς φασιν, συνῆν αὐτῇ, βουλόμενος τῆς αὑτοῦ
φύσεως ὅτι πλεῖστον καὶ ἀκριβέστατον εἰς τὰς γονὰς καταθέσθαι·
ἦν γὰρ ὑπὲρ τῶν ὅλων ἡ βουλή, ὅπως κοσμηθείη τὰ τῶν ἀνθρώ-
πων πράγματα καὶ γῆ καὶ θάλαττα ἐνεργὰ κατασταίη. καὶ γίγνε-
ται δὴ οὕτως Ἡρακλῆς συνεργὸς τῷ πατρὶ καὶ ὕπαρχος τῶν ὑπὸ
τὸν τῆς σελήνης πόλον, καὶ τὰ σημεῖα εὐθὺς ἠκολούθησεν. ἐπελ-* 3
*θόντας γὰρ αὐτῷ τοὺς δράκοντας ἐπὶ τοῖς σπαργάνοις ἀντ' ἄλλης
κινήσεως τῆς χειρὸς διεχρήσατο, παῖς δ' ἔτ' ἦν καὶ Θηβαίους ἀντ'
ἄλλης παιδιᾶς ἠλευθέρωσεν τοῦ δασμοῦ, ὃν ἐκεῖνοι συχνὸν ἤδη*
54 D *χρόνον Ὀρχομενίοις ἔφερον. Ἀρξάμενος δὲ ἀφ' ἑστίας ἐκάθηρε* 4
32 J *τὴν Ἑλλάδα, ἔπειτα δὲ καὶ τὸ κοινὸν γένος τῶν ἀνθρώπων, πάν-
τας ἐφεξῆς ἐπιών, τούς τε ἐν ταῖς νήσοις καὶ τοὺς κατ' ἤπειρον,
οὐδὲν τῶν εἰς εὐεργεσίαν φερόντων ἐλλείπων, ἀλλὰ τὰ μὲν θηρία
χειρούμενος, ὧν ὑπὸ πλήθους καὶ μεγέθους ἠδικεῖτο τὰ πολλὰ τῆς
χώρας, τοὺς δὲ τυράννους ἀναιρῶν ὃν ἑκάστους αὐτῶν προσῆκεν
τρόπον, τὰς δὲ πόλεις σωφρονίζων τὰς μὲν τοῖς νόμοις, τὰς δὲ
τοῖς ὅπλοις, λῃστὰς δὲ χερσαίους τε καὶ θαλαττίους καὶ πάντας,
ὅσοι ῥώμῃ σώματος θαρροῦντες ὕβριζον εἰς τοὺς ἐλάττους, παν-*

Libri ASDUT = O

Tit. om. D 2 *πάντως κτἑ.*] *πάντως εὔυμνον ἐόντα* Hom. h. Ap. 19 confert Kaibel; idem *πολλὰ γὰρ* ci. *εἶ·* A^{r}DUT^2: *·ἦ* S, *ῑ/*A^1 et */ῑ* T^1 agnoscuntur 3 *πολ-λοὶ* U 4 *ὁ καθ' ἡμέραν κτἑ.*] cf. § 14 5 *αἰεὶ* A, *ἀεὶ* SDUT *γινό-μενοσ* D^1 p. corr. U, *γενόμενοσ* D^1 a. corr. 9 *αὐτοῦ* ASDU 12 *γίνε-ται* U^1 13 *οὗτοσ* T 14 *τὸν* s. l. add. U^1; *τῶν* S^1 *πόλον* om. S
15 *τοῖς σπαργάνοις* scripsi: *τὰ σπάργανα* O; offendit *ἐπὶ* duplex diverso significatu instructum et deest temporis notio (propter *παῖς κτἑ.* necessaria)
16 *δ' ἔτ'* Ddf.: *τε δὲ* ASDU, *δὲ* T 18 *ἐκάθαιρε* SDU 22 *ἠδικεῖτο* ADU^{1}T^1: *ἀοίκητα ἦν* ST^2 mg. c. *γρ.*, *γρ. ἀοίκητα ἦν τὰ πολλὰ* U^2 mg. (cf. p. 326, 5) 23 *ἑκάστοισ* U

ωλεθρία διαφθείρων ὁμοίως ἔν τε τῇ Ἑλλάδι καὶ τῇ βαρβάρῳ.
5 πάντα γὰρ τὰ τῇ φύσει πολέμια ἐχθρὰ ἡγήσατο ἑαυτοῦ, καὶ μόνος
τῶν εἰς γῆν ἐλθόντων εἰς κοινὸν ἅπασιν ἐνομοθέτησεν, οὐ μόνον
ἀνθρώποις, ἀλλὰ καὶ θηρίοις, ὡς εἰπεῖν, ὅς γε καὶ τὰς ὄρνεις τὰς
[περὶ Στύμφαλον] διαφθειρούσας τὰ πολλὰ τῆς Ἀρκαδίας εὗρεν
ὅπως ἐκβάλῃ, ὥσπερ οὐ μόνον γῆν καὶ θάλατταν, ἀλλὰ καὶ τὸν
ἀέρα αὐτῷ προσῆκον ἐλευθεροῦν. καὶ μὴν ὅσα μὲν ποταμῶν
ῥεύμασιν ἢ λίμναις ἐπιέζετο, γῆν καθίστη ξηράν, ὅσα δ' αὖ τῆς
ἐξ ὕδατος καθάρσεως ἐδεῖτο, τοὺς ποταμοὺς ἐφιεὶς οὐ μόνον
6 φορητὰ ἰδεῖν, ἀλλὰ καὶ ἐνεργὰ ἀπέφαινεν. καὶ οὕτω δὴ κατειργά-
σατο γῆν καὶ θάλατταν καὶ ποταμοὺς καὶ λίμνας καὶ ἀέρα καὶ
πέτρας καὶ ἄνδρας καὶ πόλεις, τοὺς νόμους τοῖς ὅπλοις συγκε-
ραννύς, ὥστε τῆς ἐκείνου δυναστείας μηδὲν εἶναι μήτε λαμπρό-
τερον μήτε λυσιτελέστερον χρήσασθαι. βίᾳ μὲν γὰρ ἀρρήκτῳ οὐδὲν 55 D
αὐτὸν ἐξέφυγεν τῶν ἐγχειρισθέντων, δικαιοσύνης δὲ ὑπερβολῇ
7 πάντ' ἐγίγνετο ἐπ' ὠφελείᾳ τοῦ κοινοῦ γένους. ἐκ δὲ τούτων
ποιηταὶ Προμηθέας τε ὑπ' αὐτοῦ λυομένους συνέθεσαν, ὡς καὶ
ὅσα δήσειεν ὁ Ζεύς, ταῦτ' ἐξὸν Ἡρακλεῖ λῦσαι, καὶ τὸν Ἄτλαντα
ὡς ἀπέπαυσεν διαδεξάμενος καὶ ἀνασχὼν τὸν οὐρανὸν αὐτός, καὶ
τὸν Κέρβερον ὡς ἀνήγαγεν ἐξ Ἅιδου καὶ μετ' αὐτοῦ Θησέα τὸν
τῶν Ἐρεχθειδῶν, καὶ ὡς Πλούτωνα καὶ Ἥραν τρώσειεν, καὶ τοὺς
8 Γίγαντας ὡς χειρώσαιτο ἐπίκουρος τοῖς θεοῖς γενόμενος. τὰ δ'
οἶμαι βούλεται λέγειν δι' ὑπερβολῆς ὅτι Ἡρακλῆς πᾶσαν μὲν γῆν, 56 D
πᾶσαν δὲ θάλατταν διηρευνήσατο, καὶ πρὸς ἅπαντας ὅρους καὶ 33 J
πάσας ἐσχατιὰς ἀφίκετο, καὶ οὐδὲ τῶν κάτω γῆς ἄρα ἠμέλησεν
οὐδὲ τῶν μέχρι οὐρανοῦ, ἀλλ' οὕτω σφόδρα ἐν καιρῷ πᾶσιν [ἀν-
θρώποις] ἐγένετο ὥστε καὶ τοῖς θεοῖς Ἡρακλέους ἐδέησε πρὸς τὸ

---

1 ὁμοίως] hic om. U[1], add. post Ἑλλάδι in fine versus U[2] 4 ὄρνισ TS p. corr. A[2] 5 περὶ Στύμφαλον seclusi: τὰσ περὶ στύμφαλον SU, στύμφηλον (omissis τὰσ περὶ) AD, τὰ περὶ στύμφαλον T; περὶ στύμφαλον, glossema ad τὰ πολλὰ τῆς Ἀρκαδίας, in AD articulum τὰσ extrusit; T interpolatum (τὰ pro τὰσ) 6 ἐκβά/λῃ S; an ἐκβάλοι? 7 αὐτοῦ, ut vid., T[1] 8 καθίστησι S αὖ τῆσ] αὐτῆσ A[1] (corr. A[2]) 12 τοὺς νόμους — συγκεραννύς] invertit Solon. frg. 36, 14 B.[4] (cf. supra p. 185, 20) 14 ἀρρήκτῳ O: ἀρρήτω A[2]U p. ras. 15 ἐξέφυγεν αὐτὸν U ἐγχειρηθέντων UT 17 καὶ om. U[1] 18 δήσειεν — λῦσαι] cf. p. 331, 26 sq. 19 ἀπέπαυσεν A: ἀνέπαυσε SDUT 20 ἀνήγαγεν DUT: ἐξήγαγεν AS τὸν om. DU 21 τρώσειε SU[1]T(-ειεν): σώσειε ADU[2] mg. ('ἐν ἄλλω σώσειε') 22 δὲ DU 24 θάλασσαν T διερευνήσατο AD[1] et, ut vid., S[1] (η prius in ras. S[2]); cf. ad p. 264, 13 25 πάσας om. T κάτω] κατὰ U[1] 26 μέχρισ DUS[2] 27. 28 ἀνθρώποις seclusi, cum insequentibus verbis (θεοῖς) non convenit; ceterum ad vv. τοῖς θεοῖς — 327, 1

καταστήσασθαι τὰ ἑαυτῶν πράγματα. δοκεῖν δέ μοι καὶ τὴν ἔξω 9
θάλατταν πρὸς τὴν εἴσω πρῶτος ὡρίσατο, προμνώμενος τοῖς Ἕλ-
λησιν πάντα τοῦτον τὸν τόπον ὡς οἰκεῖον οἰκίζειν, καὶ τῶν στηλῶν
57 D τοῦτ᾽ εἶναι τὸ βούλημα, ἃς ἔτι νῦν Ἡρακλέους ὀνομάζομεν. οὐ 10
μόνον δὲ τοῖς ὑφ᾽ Ἑλλήνων λεγομένοις ἀκολουθῶν ἄν τις γνοίη
τὴν ἐκείνου φύσιν καὶ ὅτι κρείττων ἢ κατὰ ἀνθρώπους ἐγένετο,
ἀλλ᾽ ἴσμεν Αἰγυπτίους ὅσον τινὰ ἄγουσιν θεὸν Ἡρακλέα καὶ
Τυρίους ὅτι πρῶτον σέβουσι θεῶν. καίτοι εἰ μὲν ἅπαντες τὸν
αὐτὸν νομίζοντες οὕτω τιμῶσι, τί μεῖζον ἂν εἴποι τις σύμβολον
τῆς δυνάμεως; εἰ δ᾽ οἱ μὲν ὡς ἕνα τῶν πρεσβυτάτων θεῶν νομί-
ζουσιν, ἡμεῖς δ᾽ ὡς ὅμοιον ἐκείνῳ τοῦτον τῆς αὐτῆς ἠξιώκαμεν
58 D τιμῆς, καὶ οὕτω κρείττων ἢ κατὰ ἄνθρωπον γεγονὼς δείκνυται.
δῆλα δὲ καὶ ταῖς τοῦ θεοῦ μαντείαις. Ἐπειδὴ γὰρ ἀπῆλθεν ἐξ 11
ἀνθρώπων Ἡρακλῆς καθαρθεὶς ὃν λέγεται τρόπον, εὐθὺς ἐξηγεῖτο
νεὼς μὲν Ἡρακλέους ἱδρύεσθαι καὶ θύειν ὡς θεῷ· καὶ ταῦτα μέν-
τοι πρὸς τὴν τῶν Ἀθηναίων φράζων πόλιν, ἣ καὶ πρεσβυτάτη
τῶν Ἑλληνίδων καὶ τῆς εἰς τοὺς θεοὺς εὐσεβείας καὶ τῶν ἄλλων
τῶν σπουδαιοτάτων ὥσπερ ἡγεμὼν τοῖς ἅπασιν ὑπῆρχεν· ἔτι δ᾽
αὐτῇ καὶ φιλίας συμβόλαια πρὸς Ἡρακλέα πάμπολλα ὑπῆρχεν
ἄλλα τε καὶ ὅτι πρῶτον ξένον ἐμύησεν, ἕως ἦν ἐν ἀνθρώποις.
καὶ τοσοῦτόν γε τὸ ἐναργὲς τῆς σπουδῆς ἐγένετο καὶ οὕτω σφόδρα
τῆς κρείττονος μοίρας ἐκρίθη τὸ ἐκείνου πρᾶγμα ὥστε καὶ ὅσα
Θησεῖα ἦν κατὰ δήμους, ἅπαντα μετεσκεύασαν καὶ κατέστησαν
59 D Ἡράκλεια ἀντὶ Θησείων, νομίσαντες Θησέα μὲν ἄριστον εἶναι τῶν
34 J πολιτῶν, Ἡρακλέα δὲ ὑπὲρ ἀνθρώπου φύσιν. τί δ᾽ ἄν τις τὰ 12
παλαιὰ λέγοι; ἔτι γὰρ καὶ νῦν ἐναργὴς ἡ κίνησις τοῦ θεοῦ. τοῦτο
μέν, ὡς ἀκούομεν, περὶ Γάδειρα θαυμαστὰ οἷα ἐργάζεται καὶ νο-
μίζεται δεύτερος οὐδενὸς τῶν πάντων θεῶν, τοῦτο δὲ ἐν Μεσσήνῃ

πράγματα cf. Plat. symp. 197 B κατεσκευάσθη τῶν θεῶν τὰ πράγματα Ἔρωτος ἐγγενομένου

2 προωμνώμενοσ A a. ras. 6 κατ᾽ DUT 7 ἀλλ᾽ ἴσμεν SUT ἀλλ᾽ ἴσμεν αἰγυπτίουσ A[r] mg., ἀλλ᾽ εἰσ μὲν D: μὲν A[1] ἴσμεν — 8 θεῶν] cf. Herodot. II 43 sq. 8 τυρί/// D θεῶν A[r]SUT[2]: θεοῖν, ut vid., T[1], θεῶι A[1], θεὸν D 11 ἐκείνῳ] sc. τῷ πρεσβυτάτῳ 12 κατ᾽ U 13 τοῦ θεοῦ] Apollinis 14 ἐξηγεῖτο AT: ἐξητεῖτο SDU; subiectum Apollo (e τοῦ θεοῦ v. 13 mente supplendum), idem ad φράζων v. 16 15 μὲν AT: τε SDU, oppositum v. 25 sq. 16 φράζω T 17 εὐσεβείας] σεβ in ras. T[2] 20 ὅτι A[r]DUT: om. A[1]S ξένων ST 22 ὅσα Θησεῖα κτέ.] cf. Philochor. ap. Plut. Thes. 35 25 ὑπὲρ] ὑπὸ T[1] 26 παλαιὰ Rsk.: πολλὰ O ἡ κίνησις] cf. or. XLVIII § 4. XXX § 5 al 27 Γάδειρα] α extremum in ras T[2]; de re cf. Diod. V 20 (μέχρι τῆς καθ᾽ ἡμᾶς ἡλικίας) 28 μεσήνη T a. corr. DU; rem unus Aristides tradere videtur; de Hercule Messanio cf. Paus. IV 32, 1

*τῆς Σικελίας νόσων τε ἁπασῶν ἐκλύεται καὶ τοὺς ἐν τῇ θαλάττῃ
κινδύνους οἱ διαφυγόντες ἐξ ἴσου Ποσειδῶνί τε καὶ Ἡρακλεῖ τὴν
εὐεργεσίαν λογίζονται. πολλὰ δ' ἂν καὶ ἄλλα ἔχοι τις χωρία καὶ*
13 *ἱερὰ τοῦ θεοῦ καταλέγειν καὶ δυνάμεις ἐμφανεῖς. ἀλλὰ τί δεῖ τὰ
πόρρω λέγειν; ἀλλὰ τὸ στρατήγιον ἡμῖν Ἡράκλειον ἔοικεν εἶναι.
κἀν τούτῳ πολλάκις ἤδη παίζων ὤφθη σφαίραις τισὶν Ἡρακλείοις·
αὗται δέ εἰσι λίθοι στρογγύλοι σταθμὸν ἄγοντες οὐκ ὀλίγον· τού-
των κτύπος τε ἀκούεται καὶ αὐτοὺς ἑτέρωθεν ἑτέρωθι φέρων τί-
θησιν. θαυμαστὰ δὲ καὶ τὰ τῆς ἄλλης ἐπιφανείας· ὥστε καίπερ
οὕτω κοινὸν ὂν τὸ στρατήγιον ταῖς ἀκριβείαις ταῖς περὶ τὸν θεὸν*
14 *ἀντ' ἀδύτου καθέστηκεν. τί δ' ἂν εἴποις τὴν περιβόητον κλῆ-
σιν ἔν τε δὴ κωμῳδίαις καὶ τραγῳδίαις καὶ πᾶσι λόγοις, ἔτι καὶ
νῦν παντὸς ὡς εἰπεῖν 'ὦ Ἡράκλεις' βοῶντος ἐπὶ ἅπαντι τῷ χρείας
ἱσταμένῳ, τοῦτο δὴ τὸ τοῦ Σοφοκλέους, ἆρ' οὐ μέγιστον ὑπόμνημα
καὶ σύμβολον εἶναι τῆς ἐκείνου δικαιοσύνης καὶ δυνάμεως καὶ ὡς
τῆς ἀνθρωπείας προὔστη φύσεως πάντας ἄγων πρὸς τὸ βέλτιστον;
δι' ἃ δὴ καὶ οἱ κατ' αὐτὸν ὄντες τότε ἐκάλουν εἰς ἅπαντα, καὶ* 60 D
15 *νῦν ἐμμεμένηκε τὸ ῥῆμα ἀπὸ τῆς ἀρχαίας συνηθείας. αἱ τοίνυν
ἐπωνυμίαι Καλλίνικός τε καὶ Ἀλεξίκακος ἡ μὲν μόνῳ θεῶν, ἡ δ'
ἐν τοῖς πρώτοις δέδοται. Κῷοι δέ, ὡς ἐγὼ μέμνημαι, καὶ Ἄλεξιν
τὸν Ἡρακλέα νομίζουσιν· καὶ αὐτοῖς ἕστηκεν Ἡρακλῆς ἐκ θεοπρο-
πίου ἐπηρμένος τῷ νώτῳ τὸν πόλον, ὡς κύριος ὢν καὶ τὸν*
16 *οὐρανὸν εἰς συμμετρίαν ἄγειν. οὐ τοίνυν τοσαῦτ' ἄν τις ἔχοι μόνον
εἰπεῖν περὶ τοῦ θεοῦ, ὧν τὰ μέν, ἡνίκ' ἐν ἀνθρώποις ἦν, τὰ δὲ
καὶ νῦν ἔτι φαίνεται πράττων αὐτὸς ἐφ' ἑαυτοῦ, ἀλλὰ καὶ ἡ
τῶν παίδων γένεσις ἐν πρώτοις ἂν εἴη, οὓς ἐκεῖνος ἐποιήσατο
σωτῆρας κοινοὺς τῆς Ἑλλάδος καὶ τῆς αὑτοῦ πολιτείας κληρονό-*

---

2 *διαφεύγοντεσ* T *τε* om. DU 3 *ἔχοι τισ χωρία* ASD: *τισ ἔχοι χωρία* U, *ἔχοι τισ ἂν χωρία* T 5 *στρατηγεῖον* A^{1} (corr. A^{r} aut A^{2}) *ἡμῖν*] loquitur Smyrnaeus Aristides; itaque etiam *τὸ μητρῷον* p. 330, 8 Smyrnaeum 6 *ἤδη* AS: om. DUT (*παίζων ἤδη* Junt.) *σφαίραις — Ἡρακλείοις*] lapides tanti ponderis, ut unus Hercules iis luderet (Wil.), cf. *Ἡράκλειον ἅμμα* Paroemiogr. Gr. II 448, *Ἡρακλεία νόσος* Erotian. p. 75, 12 Kl. 7 *δέ*] *γάρ* U 10 *ταῖς ἀκριβείαις*] cf. [Dio.-] Favor. XXXVII § 9 *ταῖς περὶ*] *τῶν περὶ* ci. Rsk. 11. 12 *κλίσιν* T^{1} 12 *τραγῳδίαις*] cf. Nauck ad TGF.^{2} adesp. 38 p. 846 13 *ὥσ εἰπεῖν παντὸσ* D *τῷ*] *τῶν* A 14 *Σοφοκλέους*] Phil. 174, ubi *ἐπὶ παντί τῳ* edunt; Aristidem *ἐπὶ παντὶ τῷ* legisse patet 18 *νῦν*] *οὖν*, ut vid., U^{1} *ἐμμεμένηκε* STU^{2}: *ἐμμένηκε* DU^{1}, *ἐνμεμέληκε* A 20 *πρώτοισ*] *βροτοῖσ* SU a. corr. *μέμνημαι*] cf. or. XXXIII § 27 22 *τὸν πόλον* Preller, Gr. Myth. II^{3} 236, 4: *τὸ ῥόπαλον* O 23 *συμμετρίαν* D: *συμμετρίασ* ASUT 27 *αὐτοῦ* O

35 J *μους. ὧν οἱ μὲν Πελοπόννησον ἐκόσμησαν μένοντες, οἱ δ' Ἰταλίαν
καὶ Σικελίαν εἰς τοσοῦτο σχήματος προὐβίβασαν· ἕτεροι δὲ εἰς
τὴν Ἀσίαν περαιωθέντες τὰς ταύτῃ πόλεις Δωριέων ᾤκισάν τε
καὶ διῴκησαν. ἔοικεν δὲ καὶ ἡ τῶν Λακεδαιμονίων πόλις εἰκών* 17
τις Ἡρακλέους γενέσθαι, ʽὡς μικρὸν μεγάλῳ εἰκάσαιʼ· καὶ μάλα γε
61 D *εἰκότως. οἱ γὰρ Λεωνίδαι καὶ [οἱ] Λεωτυχίδαι καὶ Ἀρχίδαμοι καὶ
Ἀγησίλαοι καὶ Ἄγιδες καὶ πρὸ τούτων ὁ τοὺς νόμους θεὶς αὐτοῖς
Λυκοῦργος, πάντες οὗτοι τῆς Ἡρακλέους εἰσὶν ἀπορροῆς, οἳ 'κεί-
νους εἴθισαν ὀλίγους μὲν ὄντας ἀντὶ πολλῶν εἶναι, προίστασθαι
δὲ τῶν ἐν χρείᾳ πάντων ἀμισθεί, στρατηγὸν δὲ Σπαρτιάτην πλέον
ποιεῖν ἢ στράτευμα ἑτέρων. οὕτω καὶ δι' αὑτοῦ καὶ διὰ τῶν
ἐκγόνων ἀρετῆς ὡσπερεὶ πηγὰς τοῖς Ἕλλησιν ἐμηχανήσατο, καὶ
τοῖς μὲν ἀσκεῖν τὰ κάλλιστα, τοῖς δὲ ἔχειν ὑφ' ὧν σωθήσονται
παρεσκεύασεν. οὐ τοίνυν ἐπὶ πράξεσι μόνον καὶ ἀγῶσιν ἔχοι τις* 18
*ἂν Ἡρακλέους μνημονεύειν, ἀλλὰ κἂν ταῖς εὐθυμίαις τοῦ βίου
πολλοῦ τινος ἄξιος· δηλοῖ δὲ καὶ τῶν ἀγαλμάτων αὐτοῦ τὰ πί-
νοντα. Μοῖραν δ' ἔλαχε θαυμαστὴν παρὰ πάντων θεῶν, ὅν γε* 19
*δὴ Ζεὺς μὲν εἰς φῶς ἤγαγεν, Ἀθηνᾶ δὲ παραλαβοῦσα ἐπετρόπευ-
σεν καὶ τοὺς ἄθλους ἐξηγεῖτο, Ἀφροδίτη δὲ καὶ Διόνυσος ἠσπά-
ζοντο καὶ τὰς ἀναπαύσεις τῶν πόνων ἀξίως ἐδωροῦντο· Ἥρας δὲ
κηδεία καὶ Ἥβης γάμος ἀρχαῖα λέγειν. τοσοῦτον γάρ, ὡς ἔοικεν,
αὐτῷ τὸ τῆς ῥώμης ἀπεδόθη ὥστε πάντων θεῶν ἀκμήτων ὄντων*
62 D *δι' αἰῶνος, διαφερόντως Ἡρακλῆς δοκεῖ τὴν ἥβην ἔχειν. ἀλλὰ
μὴν Ἑρμοῦ γε καὶ Ἡρακλέους ἔστι νῦν ἀγάλματα κοινά· πρὸς
τοσοῦτον ἥκουσι τῆς ἑταιρείας. ἴδοις δ' ἂν καὶ ἐν ὄρεσι μέσοις* 20
*Ἡρακλέα παρὰ Μητρὶ θεῶν καὶ ἐν ἄστεσιν καὶ πάλιν αὖ σὺν
Διοσκούροις. λουτρῶν τε τὰ ἥδιστα Ἡράκλεια ἐπωνυμίαν ἔχοντά
ἐστι· χωρὶς δὲ πηγαὶ ποτίμων ὑδάτων ἐπώνυμοι καὶ αὐταὶ τοῦ*
36 J *θεοῦ· τοσαύτην παρὰ ταῖς Νύμφαις εἴληχε τὴν προεδρίαν. εἰ δ'* 21
ὀρθὴ ⟨ἡ⟩ δόξα τοῦ Θασίου ξένου ἤτοι Μακεδόνος γε, ὅς ἔφη ποτὲ

---

3 *ταύτῃ* DU: *ταύτησ* AST 4 *διῴκησαν*] interpretatur Hom. *B* 655 5 *ὡς — εἰκάσαι*] e Thuc. IV 36, 3 (plura Rein, Sprichw... bei Lucian p. 87) 6 *οἱ* seclusi 7 *πρὸσ* D 7. 8 *αὐτοῖσ ὁ λυκοῦργοσ* S (habet *ὁ* ante *τοὺς*) 8 *ἀπορροῆσ* ST² mg.: *ἀπορροίασ* ADUT¹ 10 *ἀμισθεί* A^r: *ἀμισθί* O *στρατηγὸν κτἑ.*] cf. Plut. Lyc. 30 11 *αὐτοῦ* ADUT *τῶν*] *τῆσ τῶν* U 13 *ὑφ'* ATU¹ (quae *υ* in ras.): *ἐφ'* SDU² 16 *καὶ* SDUT: om. A 16. 17 *αὐτοῦ ταπείνοντα* A a. corr. 21 *γάρ*] *ἄρα* ci. Schwarz, Zschr. f. öst. Gymn. 1885, 330, inutiliter *ὡσ ἔοικεν* — 25 *τοσοῦτον* omissa add. S² mg. 25 *ἑταιρ/* U 27 *διοσκόροισ* U *ἡράκλειον* S; an *Ἡρακλείων*? 28 *ποτίμων* Kaibel: *ποταμῶν* ASDT¹, *ποταμίων* UT² *αὐταὶ* UTA²: *αὐτὸσ* A¹SD 29 *τὰσ νίμφασ* U¹; de re cf. Preller l. c. p. 274, 3 30 *ἡ* addidi *Θασίου ξένου*] cf. or. L § 42

παιᾶνα δόξαι ᾄδειν ὑπ' ἐμοῦ πεποιημένον, εἶναι δ' αὐτῷ τοῦτο ἐπᾳδόμενον, "Ἰὴ Παιὰν Ἡρακλες Ἀσκληπιέ", εἰ ταῦτ' ἀληθῆ καὶ κύρια, καλὸν ἄν τι χρῆμα καὶ τοῦτο συζυγίας πεφηνός, ὁ Καλλίνικος ἅμα τῷ Σωτῆρι. οὕτω καὶ ἐν πόνοις καὶ ἐν θυμηδίαις καὶ ἐν θεραπείαις σώματος καὶ πανταχοῦ καιρὸν ἔχων ἐστὶν ὁ
22 *θεός. Ἅπασι μὲν οὖν ἀνθρώποις ἐν μνήμῃ καὶ τιμαῖς Ἡρακλῆς, ἐμοὶ δέ τι καὶ φιλίας ἴδιον πρὸς αὐτόν ἐστιν, ἐκ τινος φωνῆς θείας γενομένης. ἐδόκει δὲ ἥκειν ἐκ τοῦ μητρῴου· παρεκελεύετο δὲ ἀνέχεσθαι τὰ συμπίπτοντα, ἐπειδή γε καὶ Ἡρακλῆς Διὸς παῖς ὢν ἠνέσχετο. οὗτός σοι, ὦ φίλε Ἡράκλεις, ὁ παρ' ἡμῶν λόγος ἀντ' ἄλλου μέλους ᾐσμένος κατὰ τὴν τοῦ ἐνυπνίου δόξαν, ἣν ἐδόκουν Ἡρακλέους ἔπαινον λέγειν ἐν προθύροις Ἀπόλλωνος.*

XLI.

(4) ΔΙΟΝΥΣΟΣ. I 47 D I 28 J

Ἡγείσθω μὲν [αὐτὸς] Ἀσκληπιὸς ὁ φήνας τὸ ὄναρ, ἡγείσθω δὲ Διόνυσος αὐτός, ᾧ χορεῦσαι δεῖ, Ἀπόλλων τε μουσηγέτης, τοῦ μὲν
2 *πατήρ, τοῦ δὲ ἀδελφός, ὡς λόγος. τοὺς μὲν οὖν τελέους ὕμνους τε καὶ λόγους περὶ Διονύσου Ὀρφεῖ καὶ Μουσαίῳ παρῶμεν καὶ τοῖς ἀρχαίοις τῶν νομοθετῶν· αὐτοὶ δὲ ὥσπερεὶ συμβόλου χάριν, ὡς οὐ τῶν ἀμυήτων ἄρ' ἦμεν, συμμέτρῳ τῇ φωνῇ προσείπωμεν τὸν θεόν· πάντως δὲ καὶ μήκη καὶ βραχύτητες καὶ ὁτιοῦν τῶν ἐν τῇ φύσει φίλον αὐτῷ. καὶ πως καὶ τὰ ἐκ τοῦ ὀνείρατος συμβαίνει, τὸ δεῖν εἶναι πολυμηχάνους περὶ τοὺς λόγους.* 29 J

Oratio XLI: libri ASFUT = O

---

3 *ἄν*] nota ellipsim v. *εἴη* 7 *πρὸσ αὐτόν ἐστιν* AS: *ἐστι πρὸσ αὐτόν* DUT 10 *ὢν παῖσ* D *ἡράκλησ* D 12 *ἡρακλέωσ* S[1] (*-έοσ* S[2]). — Subscr. *ἡρακλῆσ ἐτῶν μη. καὶ μηνῶν η* A; *ἡρακλῆσ* TS[2]

Orationem Aristides testari videtur or. L § 25 14 *αὐτὸς* seclusi 16 *λόγοσ* AU: *ὁ λόγοσ* SFT 18 *νομοθετῶν*] Platonem (quare *λόγους*) dicit respiciens legg. II 665 A sqq.; cf. ad p. 332, 1; 333, 7 19 *ἄρ' ἦμεν*] *ἄρ' εἴημεν* Canter (ex *ἀρείημεν* Junt.); Krüger, Gr. Gr. § 53, 2, 6

Ζεὺς Σεμέλῃ συγγίγνεται· καὶ ἐπειδὴ ἐκύει ἡ Σεμέλη, ὁ Ζεὺς βου- 3
λόμενος ἀμφότερα αὐτὸς τῷ Διονύσῳ γενέσθαι, πατήρ τε καὶ μήτηρ,
τὴν μὲν Σεμέλην ἐκ τῆς γῆς εἰς τὸν Ὄλυμπον κομίζει διὰ πυρός, αὐτὸς
48 D δὲ ἀναλαβὼν τὰς αὐτοῦ γονὰς ἐρραψάμενος τῷ μηρῷ ἐφόρει δέκα
μῆνας, ἐξ ἀρχῆς δίαιταν ἔχων ἐν Νύσῃ τῇ ὑπὲρ Αἰθιοπίας. καὶ
ἐπειδὴ ὡραῖον ἦν, καλέσας τὰς Νύμφας λύει τὸ ῥάμμα, καὶ γίγνε-
ται δὴ οὕτως ὁ Διόνυσος, διχόθεν προσήκων τῷ πατρί. οὕτω δή
τι διαφερόντως αὐτὸν ὁ Ζεὺς ἐτίμησεν παρὰ πάντας θεούς τε καὶ
ἀνθρώπους· οὔτε γὰρ αὐτὸς ἄλλῳ τῳ ταῦτα ἄμφω κατέστη οὔτε
ἄλλος ἄλλῳ τῳ. ταῦτ᾽ ἄρα καὶ ἄρρην τε καὶ θῆλυς ὁ θεός, ὥς 4
49 D φασιν, ὅτι αὐτῷ καὶ ὁ πατὴρ ἑκατέρας τῆς φύσεως μετέσχεν [εἰς
αὐτόν]. ἤδη δέ τινων ἤκουσα καὶ ἕτερον λόγον ὑπὲρ τούτων ὅτι
αὐτὸς ὁ Ζεὺς εἴη ὁ Διόνυσος. καὶ τί ἂν εἴποις ὑπὲρ τοῦτο; ἔστι 5
δὲ τῇ φύσει καὶ τὴν μορφὴν προσεοικώς. ὥσπερ γὰρ δίδυμος
πάντῃ αὐτὸς πρὸς ἑαυτόν ἐστιν· καὶ γὰρ ἐν ἠιθέοις καὶ ἐν κόραις,
καὶ αὖ ὡς ἐν ἄρρεσιν ἀγένειός τε καὶ Βρισεύς, καὶ πολεμικός τε
δὴ καὶ εἰρηναῖος διαφερόντως θεῶν. διδόασι δ᾽ αὐτῷ καὶ τὸν 6
Πᾶνα χορευτὴν τελεώτατον θεῶν ὄντα, ὡς Πίνδαρός τε ὑμνεῖ
(frg. 99 B.[4]) καὶ οἱ κατ᾽ Αἴγυπτον ἱερεῖς κατέμαθον, καὶ μὴν καὶ
τὴν Ἥραν λέγουσιν ὡς μόνος θεῶν τῷ υἱεῖ διήλλαξεν κομίσας τὸν
Ἥφαιστον ἄκοντα εἰς τὸν οὐρανόν, καὶ ταῦτά γε ἀναθεὶς ὄνῳ. καὶ 7
ὡς μὲν αἴνιγμά ἐστιν ἐν τῷ λόγῳ δῆλον, δῆλον δὲ καὶ οἷ τελευτᾷ
τὸ αἴνιγμα, ὡς ἄρα πολλή τις καὶ ἄμαχος ἡ δύναμις τοῦ θεοῦ
καὶ δύναιτ᾽ ἂν καὶ ὄνους πτεροῦν, οὐχ ἵππους μόνον· ὥσπερ καὶ
λεόντων γάλα ἀμέλγειν ἀνέθηκέν τις αὐτῷ Λακωνικὸς ποιητής·
καὶ οὐδὲν ἄρα οὕτως βεβαίως δεδήσεται, οὐ νόσῳ, οὐκ ὀργῇ, οὐ

---

1 *συγγίνεται* SFUT 4 *αὐτοῦ* A^{1} (corr. A^{r}) SFU 5 *νύσσηι* AU(-*η*); auctorem habet Herodot. II 146; cf. ad. v. 19 6 *γίνεται* FU; eadem verba p. 325, 12 7 *δὴ οὕτω ὁ* FUT 10 *τῳ* SFUT: om. A *ὥσ* STU^{2}: om. AFU^{1} (ΟΘΟϹΩϹ) 11 *εἰς αὐτόν* seclusi, quae ex *εἷς ὢν αὐτός* corrupta esse dubitanter ci. Kaibel 12 *ἤδη δέ τινων κτἑ.*] cf. Preller-Robert, Gr. Myth. I p. 664, 2 *τοῦτον* U 15 post *κόραις* lacunam ind. Ddf.; potius mente *ἐστι* supplendum 16 *ὡς ἐν ἄρρεσιν*] i. e. *ὡς* (*ὅσον*) *ἄρρην*: si inter viros (solos) eum spectes; aut *ὡς* deleri aut *καὶ αὖθις ἐν* scribi vult Wil. *βρισσεὺσ* T; *Βρισεύς* i. q. barbatus, cf. Macrob. sat. I 18, 9 'item Liberi patris simulacra partim puerili aetate partim iuvenis fingunt; praeterea barbata specie, senili quoque, uti Graeci eius quem *Βασσαρέα*, item quem *Βρισέα* apellant' 17 *δὴ* om. U 19 *ὡς οἱ κατ᾽ Αἴγυπτον ἱερεῖς*] cf. Herodot. II 145 20 *υἱεῖ*] in ras. T^{1}, *γρ. διὶ* U^{1} mg.; *υἱεῖ* (δ superscr.) F pr. m. 21 *γε* A^{r}SU p. ras.: *τε* A^{1}FU a. ras. T^{2}, om. T^{1} 24 *οὐχ ἵππους μόνον*] ut Neptunus, quippe qui Pegasi pater diceretur 25 *Λακωνικὸς ποιητής*] Alcman. fr. 34 B^{4} (cf. Bergkii notam ad v. 5) 26 *οὐδὲν ἄρα κτἑ.*] cf. p. 326, 18; Plat. Tim. 41 AB

τύχῃ οὐδεμιᾷ, ὃ μὴ οἷόν τ᾽ ἔσται λῦσαι τῷ Διονύσῳ. ἀλλὰ καὶ συμπότης 50 D
ὁ τέως πολέμιος, καὶ ὁ γέρων ἀνηβήσει καὶ ..... πίεται κινοῦντος 30 J
8 *τοῦ θεοῦ. ταῦτα αὖ Σειληνοί τε μαρτυροῦσιν οἱ περὶ τοῦτον χορευταί,*
καὶ τήν γε ῥαστώνην τοῦ κράτους νάρθηκές τε ἀντὶ δόρατος καὶ νεβρὶς
ἀντὶ λεοντῆς αὐτῷ πεπορισμένα καὶ κύλιξ ἀντὶ ἀσπίδος κοίλης,
ὡς τὸ αὐτὸ ποιοῦν τῷ Διονύσῳ μάχεσθαί τε καὶ πίνειν. καὶ οὐ
πολὺ τοὐμμέσῳ τοῦ τε ἀγῶνος καὶ τῶν ἐπινικίων. Ἰνδοὺς δὲ καὶ
Τυρρηνοὺς λέγουσιν ὡς κατεστρέψατο, αἰνιττόμενοι δοκεῖν ἐμοὶ
διὰ μὲν τῶν Τυρρηνῶν τὰ πρὸς ἑσπέραν, διὰ δὲ τῶν ἑτέρων τὸν
9 *πρὸς ἕω τόπον τῆς γῆς, ὡς ἁπάσης αὐτὸν ἄρχοντα. Βάκχαι δὲ*
ἀνθ᾽ ἱππέων αὐτῷ προιοῦσαι καὶ τοξοτῶν, τῆς τε σκευῆς ἀκό-
λουθα ἣν ἀρτίως ὑμνοῦμεν καὶ ἅμα καὶ τοῦτο ἐπισφραγίζονται
ὅτι τῆς Διονύσου πολιτείας ἄρα ἦν καὶ γυναικεῖα στρατόπεδα
ὁμοῦ τοῖς τῶν ἀνδρῶν, καὶ οὐ τοὺς ἄνδρας θηλύνειν μᾶλλον ἢ τὰς
γυναῖκας εἰς ἀνδρῶν τάξιν καθιστάναι Διονυσιακόν· οὕτω μέγας
καὶ πολύτροπος καὶ παναρμόνιός ἐστιν. δῆλον δὲ καὶ ἐνθένδε.
10 *Ἀφροδίτῃ μὲν γὰρ κοινωνήσας θέατρά τε ἀνοίγνυσι καὶ συμποσίων*
καὶ θιάσων ἔξαρχος γίγνεται, Ἄρει δὲ εἰς ταὐτὸν ἐλθὼν ἔνοπλος
[γίγνεται], καὶ μὴν ἔμπυρός γε ἅμα Ἀθηνᾷ καὶ Ἡφαίστῳ γενό-
μενος. Κήρυκες δὲ καὶ Εὐμολπίδαι πάρεδρον Ἐλευσινίαις αὐτὸν

---

1 *τύχῃ*] *τέχνῃ* ci. Kaibel *ἀλλὰ* om. FU; lacunam post *ἀλλὰ* statuit Rsk. supplens *ἀλλὰ ⟨καὶ ὁ κάμνων πιὼν ῥᾷον ἔχει καὶ⟩ συμπότης*, ut responderent *νόσῳ — ὀργῇ — τύχῃ* *συμπότης — ἀνηβήσει*] cf. Plat. legg. 671 E *οἱ τοιοῦται συμπόται μᾶλλον φίλοι ἢ πρότερον ἀπαλλάττοιντο ἀλλήλων, ἀλλ᾽ οὐχ ωσπερ τὰ νῦν ἐχθροί*, 666 B *τοῦ γήρως .., ὥστε ἀνηβᾶν ἡμᾶς* 2 *ὁ* alterum om. U *καὶ πίεται* deleta vult Wil., at *πίεται* ad *συμπότης* respondere videtur; *κάὶ ⟨τοῖς νέοις συμ⟩πίεται* dubitanter ci. Kaibel 3 *αὖ* om. U *σιληνοὶ* AF *τε* ST: om. AFU 5 *πεπορισμένα* AFU[1]: *πεποιημένα* (sic) STU[2] (Junt. Steph. Jebb) *καὶ κοῖλιξ* A[1] (corr. A[2]); ceterum cf. Aristot. poet. 1457 b 20 (Vahlen ad h. l. [3]p. 50) 6 *αὐτὸ*] *ὁ* in ras. S[2] *ποιοῦν τῷ* U (ci. Rsk.): *ποιούντων* ASFT 7 *τοὐμμέσῳ* AS[1] a. ras. T: *τὸ ἐν μέσω* S[1] p. ras. FU 10 *ἁπάσησ* SFT: *αὖ πάσησ* A, *πάσησ* U 11 *ἀνθ᾽* FUT: *καὶ ἀνθ᾽* AS *προιοῦσαι* SUT: *προσιοῦσαι* AF *σκευῆς*] *σκηνῆσ* F 14 post *ἀνδρῶν* add. *ἄγειν* US[2] mg. (item *ἐπάγεσθαι* addi voluit Rsk.[2]) 15 *τάξεισ* FT *καθεστάναι* F[1] *διονυσιακόν — 16 ἐνθένδε* omissa add. U[1] mg. 17 *θέατρα — ἀνοίγνυσι*] Plat. symp. 177 E 18 *ἔνοπλος*] *Διονύσιος Ἐνυάλιος*?; cf. etiam Eur. Bacch. 302 sqq. *γίνεται* FU *ταυτὸ* U *ἐλθὼν* AS: *συνελθὼν* FUT *ἔνοπλοσ* A: *ἐνόπλιοσ* SFUT; cf. p. 305, 2 19 *γίγνεται* AS, *γίνεται* FT, om. U, seclusi glossema ad *ἔμπυρος* spectans *ἔμπειροσ* T; quod dicit Bacchum societatem (*ἅμα — γιγνόμενος*) cum Minerva et Volcano (vel cum *Ἀθηνᾷ Ἡφαιστίᾳ*) iniisse (ad *ἔμπυρος* cf. Plat. Prot. 321 CD) id redit fortasse ad *Διόνυσον τὸν ἀπὸ ἐσχάρας* (cf. Preller-Robert Gr. Myth. I 674, 2) 20 *πάρεδρον Ἐλευσινίαις*] cf. Pind. I. VII 3 *χαλκοκρότου πάρεδρον Δαμάτερος*

51 D ἐστήσαντο, καρπῶν ἔφορον καὶ τροφῆς ἀνθρώποις. ὃ δὲ τούτῳ
πρέπον μοι δοκεῖ προσθεῖναι, μόνος γὰρ τῶν ἱερῶν φασμάτων
ἐξεφοίτησεν ἐν τῷ κινδύνῳ τῷ Μηδικῷ· οὕτω τοῖς ὅλοις φιλάν-
θρωπος ὢν ἐπὶ τοὺς Ἕλληνας ῥέπει. Νύμφαις τοίνυν ἀνακραθεὶς 11
πολλὰ δὴ καὶ παντοῖα ἐχόρευσέν τε καὶ χορεύει κατ' ἀνθρώπους,
ἀκριβέστερον Εὐρυκλέους τἄνδοθεν καταλαμβάνων, καὶ ποιεῖ χο-
ρευτήν, 'κἂν ἄμουσος ᾖ τὸ πρίν'· ὁ δὲ σκιρτᾷ τε καὶ παίζει καὶ
μελῳδεῖν ἐθέλει, καὶ ταῦτα μέντοι ἀπὸ κλίνης καὶ σκίμποδος.
52 D οὕτως πᾶν δρᾶν ὁ θεὸς πεφυκώς ἐστιν· ὁ δὲ θαυμαστὸς ἀνθρώ- 12
πων τύραννος Ἔρως ἐκ Διονύσου πηγῶν ἀρυσάμενος γῆν ἅπασαν
ἐπέρχεται προηγητῇ τῷ Διονύσῳ χρώμενος, οὐδ' αὐτῷ θᾶκοι τού-
του χωρὶς οὐδ' ἔργα οὐδ' εὐναί. νυκτὸς τοίνυν καὶ ἡμέρας πέρατα 13
31 J ἐπισκοπεῖ, τὴν μὲν [ἡμέραν] αὐτὸς δᾳδοῦχός τε καὶ ἡγεμὼν τῆς
ὄψεως γιγνόμενος, τὴν δὲ [νύκτα] ἑτέροις παριείς· ἀργῶν δ' ὅμως
οὐδ' οὕτως, ἀεὶ δ' ἐν φορᾷ καὶ κινήσει τὸν αἰῶνα διεξέρχεται.
πρεσβύτατος δὲ ὢν θεῶν [αὐτὸς] καὶ νεώτατός ἐστιν, τῆς δ' ἀεὶ
παρούσης ὥρας καὶ μοίρας φίλος. καί μοι χαίρειν ἤδη τὸν
Ἴακχόν τε καὶ τὰ πολλὰ δὴ ταῦτα κεκλημένον. πλήρης γὰρ ὡς
τὰ νῦν ἡ φιλοτησία.

---

2 πρέπο̕ν U pr. m. (̕ = ειν): πρέπειν ASFT προσθεῖναι A: προσθήσω SFUT φασμάτων] cf. p. 305, 1. 2 3 ἐξεφοίτησεν] cf. or. XXII § 6, pro Quattuorv. II p. 282, 18, or. (II) Sicil. I p. 589, 8 Ddf. 5 τε om. U 6 Εὐρυκλέους] cf. Aristoph. vesp. 1019; Paroemiogr. Gr. I 340 7 κἂν — πρίν] cf. p. 92, 10; falsa Kock FCA. III 496 frg. 468 σκιρτᾷ — μελῳδεῖν] cf. Plat. legg. 653 E sq. τε AS: om. FUT 9 οὕτω U πεφυκόσ T[1] a. corr. ἀνθρώπων τύραννος] impugnat Eur. Andromedae frg. 136, 1 N[2]. σὺ δ' ὦ θεῶν τύραννε κἀνθρώπων Ἔρως; item quae de Amore Plat. symp. 196 E ad Bacchum (v. 7) rettulit neque casu verbis v. 16 πρεσβύτατος κτέ. memoriam Plat. symp. 178 C. 196 A suscitavit 10 ἀρ/υσάμενοσ F 11 τῷ S: om. A(si recte enotavi) FUT; προηγητῇ fort. e Soph. Ant. 990, ubi mox (v. 999) θᾶκον (: θᾶκοι, cf. p. 318, 20) 13 τῆσ μὲν ἡμέρασ U[1] p. corr. ἡμέραν seclusi, debebat hic νύκα, v. 14 ἡμέραν esse (cf. Schwarz, Zschr. f. öst. Gymn. 1885, 329 sq.) δαιδοῦχοσ A[r]: δαδοῦχοσ O 14 γινόμενοσ U νύκτα seclusi; cf. ad v. 13 15 οὕτω FUT ἀεὶ δ' ἐν] ἃ εἶδεν A 16 αὐτὸς seclusi: θεῶν αὐτὸσ AS, αὐτὸσ θεῶν FUT; ad insequentia cf. Eur. Bacch. 424 sq. δ' ἀεὶ] δὲ A 18 πλήρης — φιλοτησία] cf. pro rhet. II p. 155, 8 Ddf. — Subscr. διόνυσοσ AST

XLII.

(6) ΛΑΛΙΑ ΕΙΣ ΑΣΚΛΗΠΙΟΝ. I 63 D I 36 J

Ὦ πολλὰ δὴ πολλάκις ἐν νυξί τε καὶ ἡμέραις ἰδίᾳ τε καὶ
δημοσίᾳ κληθεὶς ὑφ' ἡμῶν, Ἀσκληπιὲ δέσποτα, ὡς ἀσμένοις καὶ
ὑπερποθοῦσιν ἔδωκας ἡμῖν οἷον ἐκ πελάγους πολλοῦ καὶ κατηφείας
λιμένος τε λαβέσθαι γαληνοῦ καὶ προσειπεῖν τὴν κοινὴν τῶν ἀν-
θρώπων ἑστίαν, ἧς ἀτέλεστος μὲν οὐδεὶς δήπου τῶν ὑφ' ἡλίῳ,
διισχυρίσασθαι δὲ ἔστιν ὡς Ἑλλήνων γε οὐδείς πω πλείω μέχρι
τοῦδε ἀπέλαυσεν. καὶ γὰρ εἰ σφόδρα εἰωθότι ταῦτα ἐμοὶ λέγειν,
2 ὀκνητέον γε οὐδὲν μᾶλλον. οὔκουν τάς γε προσρήσεις τὰς ἐφ'
ἡμέραν ταύτας ἐλλείπομεν φεύγοντες τὴν συνήθειαν, ἀλλὰ καὶ κατ'
αὐτὸ τοῦτο φυλάττομεν, ὅτι εἰθίσθημεν ἐξ ἀρχῆς. ἐμοὶ δὲ ἐπι- 64 D
μελὴς μὲν δήπου καὶ ἡ διὰ τῶν θυμάτων τε καὶ θυμιαμάτων 37 J
χάρις τε καὶ τιμή, εἴτε κατὰ τὴν Ἡσιόδου παραίνεσιν γιγνομένη
εἴτε καὶ προθυμότερον τῆς δυνάμεως. ἡ δ' ἐπὶ τοῦ λόγου μοι
3 πολὺ δὴ μάλιστα προσήκειν φαίνεται. εἰ γὰρ οὖν ὅλως μὲν κέρ-
δος ἀνθρώπῳ τοῦ βίου καὶ ὡσπερεὶ κεφάλαιον ἡ περὶ τοὺς λόγους
διατριβή, τῶν δὲ λόγων οἱ περὶ τοὺς θεοὺς ἀναγκαιότατοι καὶ
δικαιότατοι, φαίνεται δὲ ἡμῖν γε καὶ τὸ κατ' αὐτοὺς τοὺς λόγους
παρ' αὐτοῦ τοῦ θεοῦ γενόμενον, οὔτε τῷ θεῷ καλλίων χάρις, οἶ-
μαι, τῆς ἐπὶ τῶν λόγων οὔτε τοῖς λόγοις ἔχοιμεν ἂν εἰς ὅ τι κρεῖτ-
τον χρησαίμεθα. καὶ δὴ λέγωμεν ἀπ' ἀρχῆς ἀρξάμενοι, κοινὰ μὲν

Libri SCDUT = O

Titulum om. D. — Orationem testari Menand. epid. IX 157 (III 344 Sp.; cf. ad or. XXXVII tit.) certum non est, cf. or. L § 30 3 οἷον ἐκ πελάγους κτἑ.] Pergamum dicit; eadem de Pergamo or. XXIII § 17; cf. ad p. 335, 5 6 γε οὐδείς πω om. D 7 εἰωθότα S, εἰωθότ^{α}ι U pr. m. 8 προρρήσεισ C (Baroc. 136) 9 ἡμέραν Rsk.: ἡμέρᾳ O; cf. p. 319, 1 9 ἐκλείπομεν φεύγοντασ C 10 εἰθίσθημεν] ει in ras. T^{2} 11 μὲν om. C ἡ διὰ τῶν Rsk. (ἡ^{ὰ}δίων τῶν Baroc. 136): ἡδίων τῶν O θυμιαμάτων SCDU^{2}: θεαμάτων U^{1}T 12 Ἡσιόδου] OD. 336 καδ δύναμιν δ' ἔρδειν ἱέρ' ἀθανάτοισι θεοῖσιν γινομένη SC (at ι in ras.) DT 13 ἐπὶ] ἀπὸ ci. Rsk., item v. 19 14. 15 κέρδοσ μὲν U 15 ἀνθρώπω DU: ἀνθρώπων SCT 16 δὲ om. C 16. 17 καὶ δικαιότατοι sic O 18. 19 οἶμαι χάρισ U 20 χαρισαίμεθα C λέγομεν CU^{1} a. corr. ἐξ^{ἀπ}αρχῆσ T pr. m., cf. v. 10 20 sq. μὲν ⟨εὖ⟩ οἶδ' Rsk., at cf. Schmid p. 133

*οἶδ᾽ ὅτι καὶ βοώμενα — πῶς γὰρ οὔ; — τοσούτῳ δ᾽ ἡμῖν δικαιότερα,
ὅσῳ προστιθέντες καὶ πλεονάζοντες ταῖς θεραπείαις ἀμείνους ἂν
εἴημεν ἢ παραλείποντες ἃ μηδεὶς τῶν πάντων ἄξιοι σιγᾶν.*

Ἀσκληπιοῦ δυνάμεις μεγάλαι τε καὶ πολλαί, μᾶλλον δ᾽ ἅπασαι, 4
*οὐχ ὅσον ὁ τῶν ἀνθρώπων βίος χωρεῖ. καὶ Διὸς Ἀσκληπιοῦ νεὼν
οὐκ ἄλλως οἱ τῇδε ἱδρύσαντο· ἀλλ᾽ εἴπερ ἐμοὶ σαφὴς ὁ διδάσκα-
λος, εἰκὸς δὲ παντὸς μᾶλλον — ἐν ὅτῳ δὲ ταῦτ᾽ ἐδίδαξεν τρόπῳ
καὶ ὅπως, ἐν τοῖς ἱεροῖς λόγοις εἴρηται —, οὗτός ἐσθ᾽ ὁ τὸ πᾶν
ἄγων καὶ νέμων σωτὴρ τῶν ὅλων καὶ φύλαξ τῶν ἀθανάτων, εἰ δὲ*
65 D *θέλοις τραγικώτερον εἰπεῖν, ‛ἔφορος οἰάκων᾽, σῴζων τά τε ὄντα
ἀεὶ καὶ τὰ γιγνόμενα. εἰ δ᾽ Ἀπόλλωνος παῖδα καὶ τρίτον ἀπὸ
Διὸς νομίζομεν αὐτόν, αὖθις ⟨δ᾽⟩ αὖ καὶ συνάπτομεν τοῖς ὀνόμασιν,
. . . . · ἐπεί τοι καὶ αὐτὸν τὸν Δία γενέσθαι λέγουσίν ποτε, πάλιν
δὲ αὐτὸν ἀποφαίνουσιν ὄντα τῶν ὄντων πατέρα καὶ ποιητήν.
ἀλλὰ ταῦτα μέν, ὥς φησι Πλάτων, ὅπως αὐτοῖς τοῖς θεοῖς φίλον,
οὕτως ἐχέτω καὶ λεγέσθω. ἐπανέλθωμεν δὲ ὅθεν ἐξέβημεν. πά-* 5
*σας δὲ ἔχων ὁ θεὸς τὰς δυνάμεις διὰ πάντων ἄρα εὐεργετεῖν προ-
είλετο τοὺς ἀνθρώπους ἑκάστῳ τὰ προσήκοντα ἀποδιδούς. με-*
38 J *γίστην δὲ καὶ κοινοτάτην εὐεργεσίαν εἰς ἅπαντας κατέθετο ἀθά-
νατον ποιήσας τὸ γένος τῇ διαδοχῇ, γάμους τε καὶ παίδων γενέσεις
καὶ τροφῶν ἀφορμὰς καὶ πόρους διὰ τῆς ὑγιείας ἐργασάμενος.
τὰ δ᾽ ἐν μέρει ‛πρὸς ἄνδρα ὁρῶν᾽ ἤδη διεδίδου, οἷον δὴ τέχνας
καὶ ἐπιτηδεύματα καὶ βίους πάντας, κοινῷ τινι φαρμάκῳ πρὸς
ἅπαντας πόνους καὶ πράξεις πάσας τῇ ὑγιείᾳ χρώμενος. ἰατρεῖα
δ᾽ εἰς τὸ μέσον κατεστήσατο, καὶ φιλοτεχνεῖν ἀνέθηκεν ἑαυτῷ*

---

4 post *ἅπασαι* lacunam statuit Rsk., at cf. Baumgart, Ael. Arist. p. 53, 53 5 *Διὸς Ἀσκληπιοῦ νεὼν*] Pergami, cuius crebrior memoria in ‛sermonibus sacris᾽ 9 *δὲ* om. C 9. 10 *δ᾽ ἐθέλοισ* U 10 *τραγικώτερον*] ‛*ἔφορος οἰάκων*᾽ TGF. adesp. 39 p. 846 N^{2}. *τά τ᾽ ἐόντα* SD 11 *γινόμενα* SUT 12 *δ᾽* addidi et 13 lacunam indicavi, e. g. ⟨*οὐδὲν ἀπηχὲς οὐδ᾽ ἄπιστον οὔτε λέγομεν οὔτε νομίζομεν*⟩; sententia § 4: Aesculapius omnia potest omniaque eidem parent, quia idem est cum Iove (*Ζεὺς Ἀσκληπιός*); quem si Apollinis filium esse dicimus tertiumque origine a Iove, iterum vero ambos (Iovem et Aesculapium, nominibus iungimus (ut in *Ζεὺς Ἀσκληπιός*), ⟨neque dicimus quod absurdum vel incredibile sit neque credimus⟩, siquidem etiam Iovem natum quondam esse perhibent rursusque autumant eundem patrem esse creatoremque omnium quae sunt; falso vertit Baumgart l. c. p. 53; pro *αὖθις αὖ καὶ* ci. *ἄλλως αὐτὸν* Schmid p. 153 sententia non percepta 13 *δῖα ποτε γενέσθαι λέγουσιν* C 15 *Πλάτων*] Phaedr. 246 D *ὅπῃ τῷ θεῷ φίλον, ταύτῃ ἐχέτω τε καὶ λεγέσθω* 16 *οὕτωσ* CTU^{2}: om. SDU^{1}, cf. Plat. l. c. 17 *δὲ* om. SD 19. 20 *ἀθάνατον α— διαδοχῇ*] cf. ad p. 209, 17; or. XLIII § 22 21 *ὑγείασ* C 22 *δὲ ἐν* C *πρὸς ἄνδρα ὁρῶν*] Aristoph. av. 1334 (Ddf.)

νύκτα καὶ ἡμέραν ὑπὲρ εὐθυμίας τῶν αἰεὶ δεομένων τε καὶ δεησο-
6 μένων. ἄλλοι μὲν οὖν ἄλλα ᾄδουσίν τε καὶ ᾄσονται τὸν αἰεὶ χρό-
νον, ἐγὼ δὲ τῶν εἰς ἐμαυτὸν οὑτωσὶ μνησθῆναι βούλομαι. εἰσὶν 66 D
οἵ φασιν ἀναστῆναι κείμενοι, ὁμολογούμενα δήπου λέγοντες καὶ
πάλαι τῷ θεῷ μελετώμενα· ἡμεῖς τοίνυν οὐχ ἅπαξ, ἀλλ' οὐδὲ
ῥᾴδιον εἰπεῖν ὁσάκις τῆς εὐεργεσίας ταύτης ἐτύχομεν. ἔτη καὶ
χρόνους ἔστιν οἷς ἐπέδωκεν ἐκ προρρήσεως· τούτων ἡμεῖς ἐσμέν·
7 τοῦτο γὰρ εἰπεῖν ἀλυπότατον. ἀλλὰ καὶ μέλη τοῦ σώματος αἰτι-
ῶνταί τινες, καὶ ἄνδρες λέγω καὶ γυναῖκες, προνοίᾳ τοῦ θεοῦ
γενέσθαι σφίσι, τῶν παρὰ τῆς φύσεως διαφθαρέντων, καὶ κατα-
λέγουσιν ἄλλος ἄλλο τι, οἱ μὲν ἀπὸ στόματος οὑτωσὶ φράζοντες,
οἱ δὲ ἐν τοῖς ἀναθήμασιν ἐξηγούμενοι· ἡμῖν τοίνυν οὐχὶ μέρος τοῦ
σώματος, ἀλλ' ἅπαν τὸ σῶμα συνθείς τε καὶ συμπήξας αὐτὸς 67 D
ἔδωκε δωρεάν, ὥσπερ Προμηθεὺς τἀρχαῖα λέγεται συμπλάσαι τὸν
ἄνθρωπον. πολλὰς ὀδύνας τε καὶ ἀλγηδόνας καὶ ἀπορίας μεθ-
ημερινάς τε καὶ νυκτερινὰς ἀφεῖλεν πολλοῖς, οὐ μὲν οὖν ἔχοι τις
ἂν εἰπεῖν ὅσοις· τὰς δέ γε ἡμετέρας περὶ ταῦτα τρικυμίας αὐτὸς
8 μὲν ἄριστα σύνοιδεν, αὐτὸς δὲ καὶ παύσας φαίνεται. καὶ μὴν τό
γε παράδοξον πλεῖστον ἐν τοῖς ἰάμασι τοῦ θεοῦ, οἷον τὸν μὲν
γύψου πίνειν, τὸν δὲ κωνείου, τὸν δὲ γυμνοῦσθαι καὶ λούειν
ψυχρῷ, θέρμης † οὐδόλως, ὡς ἄν τις δόξαι, δεόμενον. ἡμᾶς
τοίνυν καὶ τοῦτον τὸν τρόπον τετίμηκεν, κατάρρους καὶ ψύξεις
ποταμοῖς καὶ θαλάττῃ παύων, κατακλίσεις ἀπόρους ὁδῶν μήκεσιν 39 J
ἰώμενος, τροφῆς δ' ἐνδείᾳ συνεχεῖ τὰς ἀμυθήτους καθάρσεις προσ-
τιθείς, ἀναπνεῖν δὲ ἀποροῦντι λέγειν καὶ γράφειν προστάττων,
ὥστ' εἴ τι καὶ τοῖς οὕτω θεραπευθεῖσιν ἔπεστιν αὔχημα, μηδ'
9 ἡμᾶς ἀμοίρους εἶναι τούτου. καὶ μὴν οἱ μὲν καρτερήσεις ἑαυτῶν
διηγοῦνται καὶ ὅσα καὶ οἷα ὑπέμειναν τοῦ θεοῦ καθηγουμένου,
οἱ δὲ ὡς ῥᾳστώνην εὕροντο ὧν ἐδέοντο· ἡμῖν δὲ πλεῖστα μὲν
δήπου κεκαρτέρηται κατὰ πολλοὺς καὶ παντοδαποὺς τρόπους,

---

1 ὑπευρυθμΐασ C 2 οὖν ἄδουσί τε ἄλλα T (Junt.) 3 μεμνῆσθαι D 6 ἔτη CD: ἔτι SUT; cf. or. XLVIII § 18. 44 7 οἷς] οἷα D, natum e οἷσἐπέ- (ᾰ supra) δωκεν (ἐ supra); cf. ἀπέδωκεν U, ἐ add. U² τούτων ⟨καὶ⟩ ἡμεῖς Rsk. 8 ἀλυπότερον U 11 τι] τε C 12 μέρος] μένοσ C 15 πολλὰς ⟨τοίνυν⟩ ὀδύνας Canter, at cf. v. 6 17 εἰπεῖν om. C δέ DUS²: om. S¹CT τρικυμίας] cf. or. XLVII § 3 18 παύσασθαι C 19 ἰάμασι scripsi: ὁράμασι O 21 οὐδόλως deletum vult Wil.; ψυχρῷ, θερμολουσίας, ὡς ci. Kaibel 22 κατάρρουσ κατὰ ψύξεισ C 25 ἀποροῦντεσ et γράφων D 26 μηδὲ|ἡμᾶσ D 27 τούτων. καὶ U 29 ὧν] intellegendum ὧν ἕνεκα ἐδέοντο 30 κεκράτηται C

τὰ δὲ πάνυ κούφως ἐν ἡδονῇ γεγένηται, ὡς μηδαμοῦ τοὺς τρυφῶν-
68 D τας ἂν εἶναι, εἰ βούλοιο ἀντεξετάζειν. καὶ τὰς μὲν ἄλλας ἂν ἔχων
εἰπεῖν πόλεις Ἀσίας καὶ Εὐρώπης ..... καὶ τὰς περὶ ταῦτα
ὁμιλίας καὶ συνευφραινομένων ὡς ἐπ᾽ οἰκείοις ἀγαθοῖς, πῶς οὐκ
ἐπέκεινα τρυφῆς θήσομαι; τί δ᾽ ἂν εἴποις θορύβους ἐν βουλευ-
τηρίοις καὶ σπουδὰς ἔξω παραδείγματος; τὸ δὲ καὶ πρὶν εἰπεῖν
ὁτιοῦν πεπιστεῦσθαι προέχειν, ἆρ᾽ οὐ θεία τις χάρις καὶ τὰ
πρῶτα τῆς ῥᾳστώνης ἔχουσα; φαίην ἂν ἔγωγε, εἴπερ εἴην με-
μνημένος τῶν κρειττόνων. ἤδη τοίνυν τινῶν ἤκουσα λεγόντων ὡς 10
αὐτοῖς πλέουσι καὶ θορυβουμένοις φανεὶς ὁ θεὸς χεῖρα ὤρεξεν,
ἕτεροι δέ γε φήσουσιν ὡς πράγματα ἄττα κατώρθωσαν ὑποθήκαις
ἀκολουθήσαντες τοῦ θεοῦ· οὐδὲ ταῦτα ἀκούειν μᾶλλον ἢ λέγειν
ἔχομεν πεπειραμένοι. ὅσα δ᾽ αὐτῶν οἷόν τε ἀπομνημονεῦσαι, ἐν
τοῖς ἱεροῖς καὶ ταῦτα ἔνεστι λόγοις. ἀλλὰ καὶ σοφίσματα πυκτικὰ 11
πύκτῃ τινὶ τῶν ἐφ᾽ ἡμῶν ἐγκαθεύδοντι προειπεῖν λέγεται τὸν
θεόν, οἷς ἔδει χρησάμενον καταβαλεῖν τινα τῶν πάνυ λαμπρῶν
ἀνταγωνιστῶν· μαθήματα δὲ ἡμῖν γε καὶ μέλη καὶ λόγων ὑπο-
θέσεις καὶ πρὸς τούτοις ἐννοήματα αὐτὰ καὶ τὴν λέξιν, ὥσπερ οἱ
τοῖς παισὶ τὰ γράμματα. ἐπιθεὶς τοίνυν ὥσπερ κεφάλαιον τῶν
εὐεργεσιῶν τοῦ θεοῦ καὶ δὴ κατακλείσω τὸν λόγον ἐνταῦθά που.
40 J Ἐμοὶ γάρ, ὦ δέσποτα Ἀσκληπιέ, πολλὰ καὶ παντοῖα, ὥσπερ ὑπεῖ- 12
69 D πον, παρὰ σοῦ καὶ τῆς σῆς φιλανθρωπίας γεγένηται, μέγιστον δὲ
καὶ πλείστης χάριτος ἄξιον καὶ σχεδὸν ὡς εἰπεῖν οἰκειότατον οἱ

---

1 κούφω μὲν ἡδονὴ S[1] (-νῆι S[2]), μὲν κούφω ἡδονὴ C; κοῦφα καὶ ἐν ἡδονῇ ci. Rsk. μηδαμοῖ C p. corr. 3 εὐρώπην C lacunam ind. Rsk.; sententia plana: quomodo alibi orationes meae acceptae sint, omitto dicere; at benevolentia ea, qua acceptae sunt exercitationes meae circa hunc sacrum locum habitae, quamvis voluptatem oblectationemque superat; initio fuerint ἄλλας ⟨ἃς⟩ ἂν ἔχων .. Εὐρώπης ⟨τυγχάνω .. ταῦτα C: ταύτασ SDUT 4 ἐποικείασ S[1] 7 πεπιστεῦθαι UT; v. 6. 7 distinxit Wil. 8 εἴπερ εἴην μεμνημένος scripsi dubitanter: εἴπερ εἴη (εἰ περιείη S[1]C) μεμνῆσθαι O; κρείττονες di sunt (cf. v. 7 θεία τις χάρις); cf. p. 338, 22; optativus εἴη per attractionem (φαίην); ad Rsk. interpretationem 'nisi meliora haberem commemoranda' varia temptat Schwarz, Zschr. f. öst. Gymn. 1885, 330 9 ἤδη] ηδ/ S[1] agnoscitur 13 πεπειρασμένοι D δ᾽] δὲ C 14 καὶ ταῦτα] cf. p. 335, 8; or. L § 26 sqq.; μέλη ib. § 31; praeterea p. 314, 1 17. 18 λόγους ὑπέθηκε καὶ ci. Rsk., λόγων ὑποθέσεις ⟨ὑπέθηκε⟩ καὶ Baumgart l. c. 55, 59; accusativi pendent e προεῖπεν, quod e προειπεῖν v. 15 suppleas (cf. Schwarz l. c.) 18 ⟨τά τε⟩ ἐννοήματα Rsk.[2] αὐτὰ] αὐτῶν C; ἐννοήματα αὐτὰ i. q. ψιλὰ ἐννοήματα, cf. or. L § 26 ἐπίταγμα πλέξαι λόγον διὰ ψιλοῦ τοῦ νοῦ οἱ] sc. ὑποτιθέντες (ex ὑποθέσεις supplendum, Rsk.); οἱ ⟨γραμματισταὶ⟩ τοῖς Schwarz l. c. 23 οἰκειότατον DU: ὑγιώτατον CTS[1], ἰδιαίτατον S[2] mg.

*λόγοι. τὸ γὰρ τοῦ Πινδάρου μετέβαλες· ἐκείνου μὲν γὰρ ὁ Πὰν
τὸν παιᾶνα ὠρχήσατο, ὡς λόγος, ἐγὼ δέ, εἰ θέμις εἰπεῖν, ὧν . . . . . ὑπο-
κριτὴς εἶναι· προὔτρεψάς τε γὰρ αὐτὸς ἐπ᾽ αὐτοὺς καὶ τῆς ἀσκή-*
13 *σεως κατέστης ἡγεμών. καὶ οὐκ ἀπέχρη ταῦτα, ἀλλ᾽ ἃ καὶ τούτοις
εἰκὸς ἦν ἀκολουθῆσαι, καὶ τούτων ἐπεμελήθης, ὅπως ἔσται σοι
τὸ ἔργον ἐν δόξῃ. καὶ οὐκ ἔστιν οὐ πόλις, οὐκ ἰδιώτης, οὐ τῶν
εἰς ἄρχοντας τελούντων, ὃς οὐ καὶ κατὰ μικρὸν ἡμῖν ὁμιλήσας οὐκ
ἠσπάσατο εἰς ὅσον οἷός τε ἦν τὸν ἔπαινον ἐκτείνων, οὐ τῶν ἐμῶν,*
14 *οἶμαι, λόγων ταῦτα ἐργαζομένων, ἀλλὰ σοῦ τοῦ κυρίου. τὸ δὲ δὴ
μέγιστον τῶν περὶ ταῦτα τὸ καὶ τοῖς θείοις βασιλεῦσιν εἰς τοσοῦ-
τον οἰκειοῦσθαι καὶ χωρὶς τῆς διὰ τῶν γραμμάτων συνουσίας ἐπι-
δείξασθαι λέγοντα ἐν αὐτοῖς καὶ σπουδαζόμενον ἃ μηδεὶς πώποτε,
καὶ ταῦτα ὁμοίως μὲν παρὰ τῶν βασιλέων, ὁμοίως δὲ τῶν βασι-
λίδων γενέσθαι, καὶ παντὸς δὴ τοῦ βασιλείου χοροῦ. Ὀδυσσεῖ δὲ
ὑπῆρξεν παρ᾽ Ἀθηνᾶς ἐν Ἀλκινόου καὶ Φαίαξιν ἐπιδείξασθαι, —
μέγα δήπου καὶ τοῦτο καὶ μάλα ἐν καιρῷ — καὶ ταῦτά τε οὕτως
ἐπέπρακτο καὶ τὸ σύνθημα παρῆν ἀνακαλοῦν, ἔργῳ σοῦ δείξαντος
ὅτι πολλῶν εἵνεκα προήγαγες εἰς μέσον, ὡς φανείημεν ἐν τοῖς* 70 D
15 *λόγοις καὶ γένοιντο αὐτήκοοι τῶν κρειττόνων οἱ τελεώτατοι. τού-
των καὶ πολλῶν ἑτέρων οὔτε . . . παρ᾽ αὐτοῖς ἡμῖν ἰδίᾳ κἀν ταῖς
ὁμιλίαις ταῖς πρὸς τοὺς ἐντυγχάνοντας τὴν δυνατὴν ἔχοντες χάριν
οὐ παυσόμεθα, ἕως ἄν τι μνήμης καὶ τοῦ φρονεῖν μετὸν ἡμῖν*

1 *Πινδάρου*] frg. 95 B.[4]; cf. pro Quattuorv. II p. 231, 1 Ddf. 2 lacunam ind. Rsk., quem secutus *ὧν ⟨σὺ ἐδίδαξας λόγων, ἠξιούμην τούτων⟩ ὑποκριτὴς εἶναι* suppleverim; *⟨τῶν σ⟩ῶν ὑποκριτὴς εἶναι ⟨δοκῶ⟩* Canter, *⟨τῶν σ⟩ῶν ⟨λόγων⟩ ὑποκριτής εἰμι* Schwarz l. c. 3 *προύπεμψάσ* C 4 *ἀπέχρη* CD: *ἀπόχρη* SUT *ἀλλὰ καὶ* S[1]C 5 *σοι* O; *μοι* Baroc. 136 (prob. Jebb Ddf.); necessarium *σοι*; opus Aesculapii, Aristides actor, cf. v. 8 sq. 6 *πόλις*] *πολίτησ* D 10 *τοῖς θείοις βασιλεῦσιν*] Marco et Commodo autumno a. 176 p. Chr. n., cf. ad p. 12, 15; cum enim certum sit Aristidem or. XVII neque Smyrnae neque praesentibus imperatore et Caesare habuisse, consequitur eum postea in ipsa urbe apud imperatorem declamasse; hoc convenit cum iis, quae Philostr. v. s. II 9 refert; *βασιλίδες* filiae sunt Marci; Faustina enim brevi ante mortua erat 11 *οἰκειοῦσθαι* scripsi ('nisi praestat *ᾠκειῶσθαι*' Kaibel): *οἰκειῶσαι* O *διὰ* Wil.: *ἐπὶ* O 11. 12 *ἐπιδείξασθαι* scripsi: *ἀποδεῖξαι* O, cf. v. 19 13 *δὲ καὶ τῶν* Baroc. 136 (prob. Ddf.) 16 *καὶ ταῦθ᾽ οὕτωσ* C; 'hoc quoque meum cum imperatoribus commercium eiusdem rationis erat et (ut Ulixi Minerva fuit auctor praestandae apud Phaeaces virtutis ita) signo dato (*σύνθημα*) Aesculapius me evocavit, ut et ego spectarer in arte et sublimes illi (*οἱ τελεώτατοι* v. 19) ipsis auribus qui essent flores artis (*τῶν κρειττόνων*, cf. ad p. 179, 5) perciperent' 18 *ἕνεκα* CU 20 lacunam indicavi; e. g. *⟨δημοσίᾳ οὑτωσὶ οὔτε⟩*, orationem publice Pergami declamavit; cf. p. 334, 1 sq. *κἀν*] *'ν* in ras. S[2] 22 *τι*] *τῆσ* C *μετὸν ἡμῖν* ST: *ἡμῖν μετὸν* U, *μεστὸν ἡμῖν* CD

τυγχάνῃ. φαίην δ' ἂν ἔγωγε καὶ ταύτην παρὰ σοῦ κεκομίσθαι τὴν χάριν, τὸ σὲ τὸν πάντα ἄριστον παρεῖναί τε ἡμῖν καὶ ἐπιψηφίζειν τοὺς λόγους.

XLIII.

I 1 D
I 1 J

(1) ΕΙΣ ΔΙΑ.

Τάδε σοὶ κατ' εὐχήν, Ζεῦ βασιλεῦ τε καὶ σῶτερ, δῶρα ἀνάγομεν, σὺ δὲ δέξαι, καὶ ὥσπερ ἔσωσας εὐμενῶς, καὶ προσοῦ τὰ χαριστήρια τῷ τε λόγῳ ἐπάρκεσον καὶ παράπεμψον εἰς ὅσον ἀνθρώπου λόγον ἐξικνεῖσθαι δυνατὸν [ὡς πλεῖστον], ὡς μὴ τελέως καταγέλαστοι γενώμεθα μηδὲ ἀπὸ τοῦ παντὸς πέσωμεν. καίτοι 2
πρὸς αὐτῷ γιγνόμενος οὐκ ἔχω τίς γένωμαι, ἀλλὰ νῦν μοι δοκῶ καὶ σφόδρα μανθάνειν ὡς τελέως ἄρα ἐκινδύνευον, καὶ οὐκ ἐν ἐμαυτῷ ἦν ὑπὸ τῆς θαλάττης, κατὰ τοιούτων εὐχόμενος, ἃ μήτε ἀποπληρῶσαι ῥᾴδιον μήτε ἐγχειρῆσαι σωφροσύνης ἴσως ἔχει πίστιν, ὑπισχνούμενος ὕμνον ἐρεῖν Διός, καὶ ταῦτα ἄνευ μέτρου. ἡ πολλὴ 3
2 J *τότε ἦν ⟨ἡ⟩ θάλαττα καὶ πᾶν ἐποίει καὶ πράττειν καὶ λέγειν· ὅμως δὲ — οὐ γὰρ ἐκλειπτέον οὐδὲν εὐκταῖον, φασίν, ἀλλὰ πᾶν ὁτιοῦν ὁπωσοῦν ἀποδιδόμενον κρεῖττον ἢ καθάπαξ ἐκλειφθέν — πειραθῶμεν ἀμωσγέπως ἀφοσιώσασθαι πρὸς τὸν θεόν· τοῦ δὲ*
2 D *κάλλιον ἢ ἐνδεέστερον αὐτῷ μελήσει. καὶ δὴ τὸ μὲν ὅλως ἐκλιπεῖν* 4
ἀργίας οἴσει δόξαν, ἣν οὐ θέμις ἐν τοῖς πρὸς τοὺς θεοὺς ἔχειν, τοῦ δὲ μὴ ἐφικέσθαι ἡ τοῦ πράγματος αὐτοῦ φύσις παρέξει τὴν συγγνώμην. οὐ γὰρ ἑκόντες ἐλλείπειν δόξομεν, ἀλλ' ἀναγκαίως

Oratio XLIII: libri SCDUT = O; pauca adnotavi e B

1 *τυγχάνῃ*] *ηι* in ras. S[2] 2 *ἐπιψηφίζειν*] *ίζ* in ras. S[2]; cf. p. 36, 6. — Subscr. *λαλιὰ εἰσ ἀσκληπιόν* SCT

Titulum om. D 7 *ἐξικνεῖσθαι* C: *ἐξικέσθαι* SDUT, cf. v. 20 *ως πλεῖστον* secl. Wil.; cf. p. 354, 1 8 *μηδὲν* T *πέσωμεν* scripsi: *πέσοιμεν* O 9 *αὐτῷ* SU[1] a. corr. TD[1] p. corr.: *αὐτὸ* CD[1] a. corr. U[1] p. corr. (*αὐτὸν* B) *γιγνόμενος*] *γινόμενοσ* SDUT; *γενόμενος* ci. Abresch Observ. miscell. V (Amstelod. 1734) p. 227 11 *ἐμαυτοῦ* C *θαλάσσησ* C *κατὰ*] cf. p. 91, 9. 11 14 *ἡ* add. Junt.: om. O 15 *ἐκλειπτέον* sic O *εὐκτέον φησὶν* C *φασίν*] proverbium mihi ignotum vel memoria poetae incerti (cf. Demosth. III 18, unde Lucian. hist. conscrib. 51) 21 *ἐλλείπειν* S[1] a. corr. UT: *ἐλλιπεῖν* S[1] p. corr. D, *ἐκλιπεῖν* C (Baroc. 136) *ἀλλὰ* C

ὕστεροι γίγνεσθαι. ὡς δὲ εἰπεῖν, κρεῖττον, εἰ δεῖ, γέλωτα ὀφλεῖν
5 *ἢ μέμψιν ἐκ θεῶν. ἐπειδὴ οὖν εὐξάμεθά τε καὶ οὐκ ἂν ἄλλως*
ταῦτα ἔχοι, δεῖ δὴ ὥσπερ τῶν ἀθλητῶν τοὺς ἀπογράψαντας ἑαυ-
τοὺς μὴ ἀναχωρεῖν, ἀλλ᾽ ὁμόσε ἰέναι καὶ πειρᾶσθαι τοῦ ἀγωνί-
6 *σματος. Εἶεν δή, Μοῦσαι Διὸς παῖδες — οὐ γὰρ ἔγωγε ὁρῶ πότε*
ἄν τις ὑμᾶς ἄμεινον καλέσειεν ἢ νῦν, εἴθ᾽ ὑμεῖς γε ἐπ᾽ Ὀλύμπου
σὺν Ἀπόλλωνι μουσηγέτῃ τὴν θείαν ᾠδὴν ᾄδετε, ὑμνοῦσαι τὸν
ὑμέτερόν τε καὶ τῶν ὅλων πατέρα, εἴτε Πιερία φίλον ὑμῖν ἐνδιαί-
τημα, εἴτε ἐν Ἑλικῶνι τῷ Βοιωτίῳ χορεύετε τῶν Διὸς ἔργων τε
καὶ δωρεῶν ὅτιπερ ὄφελος — ἄγ᾽ ὦ πάντ᾽ εἰδυῖαι, πόθεν ἀρχώ-
μεθα; τί τολμήσομεν εἰπεῖν περὶ Διός; δότε μοι μανικὸν γενέσθαι
τὸν λόγον ὥσπερ τῇ ὑποθέσει οὕτω καὶ τοῖς πρέπουσιν εἰς αὐτόν,
καὶ μή με οὐρανοῦ καὶ γῆς ἐν τῷ μέσῳ καταλίπητε.

7 *Ζεὺς τὰ πάντα ἐποίησεν καὶ Διός ἐστιν ἔργα ὅσα ἐστὶ πάντα,*
καὶ ποταμοὶ καὶ γῆ καὶ θάλαττα καὶ οὐρανὸς καὶ ὅσα τούτων
μεταξὺ [ἄνω] καὶ ὅσα ὑπὲρ ταῦτα, καὶ θεοὶ καὶ ἄνθρωποι καὶ ὅσα
ψυχὴν ἔχει καὶ ὅσα εἰς ὄψιν ἀφικνεῖται καὶ ὅσα δεῖ νοήσει λαβεῖν.
8 *ἐποίησεν δὲ πρῶτος αὐτὸς ἑαυτόν, οὐ Κρήτης ἐν εὐώδεσιν ἄντροις*
τραφείς, οὐδ᾽ ἐμέλλησεν αὐτὸν Κρόνος καταπιεῖν οὐδ᾽ ἀντ᾽ ἐκεί- 3 D
νου λίθον κατέπιεν οὐδ᾽ ἐκινδύνευσε Ζεὺς οὐδὲ μήποτε κινδυ-
νεύσῃ, οὐδ᾽ ἔστιν πρεσβύτερον οὐδὲν Διός, οὐ μᾶλλόν γε ἢ υἱεῖς τε 8 J
πατέρων πρεσβύτεροι γένοιντ᾽ ἂν καὶ τὰ γιγνόμενα τῶν ποιούν-
των, ἀλλ᾽ ὅδε ἐστὶ πρῶτός τε καὶ πρεσβύτατος καὶ ἀρχηγέτης
9 *τῶν πάντων, αὐτὸς ἐξ αὑτοῦ γενόμενος. ὁπότε δὲ ἐγένετο οὐκ*
ἔστιν εἰπεῖν, ἀλλ᾽ ἦν τε ἄρα ἐξ ἀρχῆς καὶ ἔσται εἰσαεί, αὐτοπάτωρ
τε καὶ μείζων ἢ ἐξ ἄλλου γεγονέναι. καὶ ὥσπερ τὴν Ἀθηνᾶν ἄρα
ἐκ τῆς κεφαλῆς ἔφυσεν καὶ γάμου οὐδὲν προσεδεήθη εἰς αὐτήν,
οὕτως ἔτι πρότερον αὐτὸς ἑαυτὸν ἐξ ἑαυτοῦ ἐποίησεν καὶ οὐδὲν
προσεδεήθη ἑτέρου εἰς τὸ εἶναι, ἀλλ᾽ αὐτὸ τοὐναντίον πάντα
εἶναι ἀπ᾽ ἐκείνου ἤρξατο. καὶ οὐκ ἔστι Χρόνον εἰπεῖν· οὐδὲ γὰρ

---

1 *ὄφλειν* SCDT; inepta de hoc loco Kock CAF. III 485 frg. 405 6 *Ὀλύμπου* — 8 *Πιερία* — 9 *Ἑλικῶνι*] ad Hesiod. Th. 37. 53. 1 sq.; cf. Plat. Phaedr. 237 A 8 *πιέρεια* C 9 *εἴτ᾽* U 10 *πάντα εἰδυῖα* C; ad Hom. *B* 485 *ἴστε τε πάντα* *ἀρχόμεθα* S p. ras. (B); *ἀρξώμεθα* Thom. Mag. p. 390, 18 12 *οὕτωσ* T 15 *θάλασσα* C 16 *ἄνω* seclusi (glossema ad *ὑπὲρ ταῦτα*): *ἄνω καὶ ὅσα* SDUT, *καὶ ἄνω ὅσα* C *ὑπὲρ* scripsi: *ὑπὸ* O 18 *οὐ — ἄντροις*] impugnat Arat. ph. 33 sq. (E. Maass, Aratea p. 252) 19 *ἐμέλησεν* CU p. ras. *οὐδ᾽ ἀντ᾽* Ddf.: *οὔτ᾽ ἄντ᾽* O 20 *οὐδ᾽*] *οὐδὲ* C 20. 21 *κινδυνεύσοι* U[1] 21 *γε* om. C 22 *γινόμενα ποιούντων* C 25 *ἐσ ἀεὶ* U 28 *αὐτὸσ ἑαυτὸν* omissa add. T[2] mg. *ἐξ αὐτοῦ* C *ἐποίησεν*] *ἐγέννησε* U 29 *ἑτέρων* U *ἀλλ᾽ αὐτὸ*] *ἀλλὰ* C (*ἀλλ᾽ αὖ* B) 30 *καὶ — εἰπεῖν*] contra eos, qui *Χρόνον* ab initio rerum stare docebant *οὐδὲ* Ddf.: *οὔτε* O

*χρόνος ἦν πω τότε, ὅτι μηδὲ ἄλλο μηδέν· δημιουργοῦ γὰρ ἔργον
οὐδέν ἐστι πρεσβύτερον. οὕτω δὴ ἀρχὴ μὲν ἁπάντων Ζεύς τε καὶ
ἐκ Διὸς πάντα. ἅτε δὲ ὢν χρόνου τε κρείττων καὶ οὐδένα ἔχων* 10
4 D *τὸν ἀντικόψοντα, αὐτός τε ὁμοῦ καὶ ὁ κόσμος ἦν. οὕτω ταχὺ
πάντα ἐποίησεν. ἐποίησε δὲ ὧδε· εἰ δέ πῃ σφαλλόμεθα, ὁ Μει-
λίχιος ἡμῖν κεκλήσθω. Ἄρχεται ἐκ θεμελίων καὶ ποιεῖ γῆν,* 11
*ὅπως αὐτῷ τὰ πάντα ἐπὶ ταύτης βεβήκοι, ῥιζώσας τε ῥίζαις
ἀπείροις τὸ βάθος καὶ πυκνώσας πέτραις τε ἀντὶ γόμφων καὶ
τηδαλη † πυκνῶσαι φύσιν εἴληχεν, ὄρη τε ἐξαναστήσας ὑετῶν
καὶ κυμάτων ἀλεξητήρια, καὶ πεδία ἐν μέσῳ καταμίξας ὀρῶν ἕδρας
καὶ γῆς ὅτι περ . . . . . δύναμιν, τῷ ἑτέρῳ τὸ ἕτερον πηγνύς. ὅσα* 12
*δὲ αὐτῷ τὰ δεύτερα τοῦ βάρους εἶχεν ἐπῆγεν, θάλατταν ἐπὶ τῇ
γῇ μέσην ἐν μέσῃ τιθείς· οἷα δὲ ἐπὶ γειτόνων φιλίαν καὶ κοινω-
νίαν πραγματευόμενος ποταμοὺς ἐγκατέμιξεν, οἳ ἔκ τε γῆς εἰς τὴν*
5 D *θάλατταν ῥυήσεσθαι καὶ πάλιν ἐκ τῆς θαλάττης κατ' ἄλλους
ἀφανεῖς πόρους εἰς τὴν γῆν ἔμελλον ὑπορρυήσεσθαι καὶ συνάπτειν
ἑκάτερα πρὸς ἄλληλα. συνέπλεξέ τε αὐτὰ οὕτως ὡς εἶναι μέσα*
4 J *ἑκάτερα ἀλλήλων, νήσοις τε καὶ πορθμοῖς καὶ ἰσθμοῖς τὸ ἕτερον
τοῦ ἑτέρου αἰεὶ ἐν μέσῳ γιγνόμενον, ὥσπερ τὴν γῆν δι' ἑκατέρου
τοῦ σχήματος ὠχύρωσεν, οὕτω τὴν γῆν αὖ καὶ τὴν θάλατταν, δι' ἀλ-
λήλων ἀμφότερα ἀσφαλῆ ποιῶν. ἀέρα τε ὑπὲρ ἀμφοτέρων ἔστησε,* 13
*γῆς καὶ θαλάττης ἀναπνοήν, καὶ πῦρ ἄνωθεν, ὃ δὴ αἰθέρα ὀνο-
μάζουσιν, ἐπιστήσας τετάρτῳ τούτῳ τὰ πάντα κατέλαβεν, τῆς τε
φιλοτεχνίας τὰ κράτιστα ἐνταῦθα τοῦτ' εἰσηνέγκατο, κοσμήσας*

---

1 *πω τότε* DUTS^2: *πώ ποτε* S^{1}C 2 *οὕτωσ* D 3 *χρόνον* C 4 *οὕ-τωσ* DT 5 *ἐποίησε* om. C *σφαλλώμεθα* S 5. 6 *Μειλίχιος* scripsi: *μείλιχοσ* O; cf. p. 346, 25 sq. 6 *ἐκ*] *δὲ ἐκ* C 9 *τῇ δάλη* ST(*τη*, item B); e. g. *γόμφων* ⟨*ἢ ὅσα ἄλ*⟩*λα δὴ πυκνῶσαι* *πυκνῶσαι* C (Baroc. 136): *πυκνῶ-σθαι* SDT, *πεπυκνῶσθαι* U 10 *ἀλεξιτήρια* O (corr. S^2); praedicative positum, item *ἕδρας* (Wil.) *ὀρῶν* CDT *ἕδρα* D, *ἐνέδρασ* C, *ἕδρασ*// S 11 lacunam indicavi; ⟨*στερεώτατόν ἐστι τὴν*⟩ temptavit Kaibel; *γῆς* [*ὅτιπερ*] *δύναμιν* Wil. intellegens vim et potentiam terrae omnium genetricis, cui favet hym. in Isid. v. 72 [cf. ad p. 365, 27]), ut *ὅτιπερ* sit correctoris ad v. 9 *τηδάλη* (qui voluerit *ὅτι περ ἄλλο*) huc delatam 13 *ἐν μέσῃ* TU p. corr.: *ἐν μέσω* SCDU a. corr., cf. v. 10 *δὲ* UT: *γε* SCD 15 *θάλασσαν* C 16 *πόρους* Rsk.: *τόπουσ* O 19 *ὥσπερ δὲ τὴν* UT *ἑκάτερον*] sc. *ὀρῶν καὶ πεδίων*, v. 9 sq. 20 *αὖ* om. C 21 *ποιῶν· ἀλλ' ἀέρα τε* C; ad *τε* cf. v. 17 22 *πῦρ ἄνωθεν κτέ.*] Diog. L. VII 137 *ἀνωτάτω . . . τὸ πῦρ, ὃ δὴ αἰθέρα καλεῖσθαι, ἐν ᾗ πρώτην τὴν τῶν ἀπλανῶν σφαῖραν γεννᾶσθαι κτέ.* 23 *τε* om. D 24 *τὰ* om. UT *κράτιστα*] *κάλλιστα* D *τοῦτ'*] suspectum; conieci *καὶ τότ'* ad Plat. Tim. 37 E *τότε ἅμα ἐκείνῳ* (sc. *οὐρανῷ*) . . . . *μηχανᾶται*; *τοῦτ'* secl. Wil.

μὲν ἄστροις τὸν πάντα οὐρανόν, ὥσπερ ταῖς νήσοις τὴν θάλατταν,
καὶ δι' αὐτῶν ποιήσας διαφανῆ, τὴν δὲ τοῦ πυρὸς ἀπορροὴν κατα-
πέμψας μέχρι γῆς, οὐκ ἐν ὅσῳ νῦν ἡμεῖς διήλθομεν χρόνῳ περὶ
αὐτῶν ἀποτελεώσας ἅπαντα ταῦτα, ἀλλ' ὀξύτερον ἢ νοῆσαι ἐγχω-
14 *ρεῖ. ἅμα δὲ τῇ ποιήσει τε καὶ δημιουργίᾳ διῄρει κατὰ τὸ εἰκὸς*
ἕκαστα καὶ κλήρους ἀπένεμεν, ποιῶν μὲν ζῷα τὰ πρέποντα ἑκά-
στοις τόποις τάς τε [οἰκείους] γιγνομένας οἰκήσεις τε καὶ λήξεις
τοῖς γεννηθεῖσιν ἀποδιδούς, θεοῖς μὲν ἐν οὐρανῷ οἷον ἐν ἀκροπόλει
τοῦ παντὸς οἰκεῖν, ὃ δὴ κάλλιστόν τε καὶ λαμπρότατον οἰκητηρίων
⟨καὶ⟩ ἁγνότατον — οὐδὲ ⟨γὰρ⟩ γῆρας εἴσεισιν εἰς αὐτό —, ἀνθρώποις δ'
ἐπὶ γῆς· θαλαττίοις δὲ φύλοις τὴν θάλατταν ἀπέδωκεν, καὶ πτηνοῖς 6 D
ἀέρα, ὡς μάλιστα τῆς ἀξίας ἔμελλον ἕκαστοι τεύξεσθαι, κατὰ τὴν
αὐτῶν φύσιν τε καὶ δύναμιν τὰς λήξεις εὑρισκόμενοι καὶ τὰς συγ-
γενεῖς οἰκήσεις λαμβάνοντες· τὸ μὲν γηγενές τε καὶ γεῶδες φῦλον
τὴν γῆν, τὸ δὲ ὑγρότερον τὴν θάλατταν, τὸ δὲ κουφότερον καὶ
ξηρότερον τὸν ἀέρα, τὸ δ' αὖ νοερόν τε καὶ διάπυρον καὶ πᾶσι
15 *τούτοις ἐπιτεταμένον τὸν αἰθέρα τε καὶ οὐρανόν. οὕτω δὴ ὥσπερ*
πόλιν ποιῶν αὐτὴν [ἢ] δειμάμενος εἶτα τοὺς ἄνδρας εἰσῆγεν. ὡς
δὲ διέκρινε τὴν ὕλην καὶ κατεσκευάσατο τὸν κόσμον, ἐπλήρου γε-
νῶν, πάντα ἑξῆς ποιῶν σὺν ἁρμονίᾳ καὶ προνοίᾳ τοῦ μηδὲν παρα-
λειφθῆναι τὸ μὴ οὐ πάντα πρέποντα καὶ τέλεα ἀλλήλοις . . . . .
δημιουργὸς αὐτὸς καὶ οἰκιστής, ⟨τὰς⟩ τοῦ παντὸς οὐσίας τε καὶ

---

1 *θάλασσαν* C; cf. p. 350, 23 sq. 2 *τήνδε* Canter ap. Rsk.: *τήν τε* O 6 *ἀπένεμε* SDUT: *ἀπένειμεν* C *μὲν* om. C 7 *τε*] *δὲ* C *οἰκείουσ* SDUT, *ἐν οἰκήσει* C, seclusi, glossema ad vocem proximam *γιγνομένας* scripsi: *γονὰσ* O, corruptum, postquam glossema praecedens lineam occupavit; *γιγνόμενος* i. q. *πρέπων*, Schmid p. 182 9 *λαμπρότατον* Canter: *λαμπρότερον* O 10 *καὶ* addidi; *κάλλ. τε καὶ λαμπρ.* ad Plat. Tim. 40 A (cf. ad p. 345, 15) *τοῦ . . θεῖον . . ὅπως ὅτι λαμπρότατον ἰδεῖν τε καὶ κάλλιστον εἴη*; his de suo cum vi subiunxit *ἁγνότατον* i. e. *ἄβατον* (cf. Soph. O.C. 37), ut parenthetice explicat *γὰρ* add. Rsk.; Heraclit. alleg. c. 29 *οὐδὲ γὰρ ἐν οὐρανῷ γῆρας* 13 *αὐτῶν* O 14 *καὶ* om. D in confinio paginarum (fol. 96rv) *γαιῶδεσ* S¹ 15 prius *δ'* C 16 *τὸ δ' αὖ νοερόν* scripsi: *τὸ δ' οὖν νοερόν* C, *γρ. τὸ δὲ νοερώτερον* U² mg., *τὸ δ' αὖ νοτερόν* D, *τὸ δ' ἂῦ νοτέρ//|τερόν* relliquiae S¹, *τὸ δ' ἀνώτερόν* UTS² *ἐπι-τεταμένον* SDU: *ἐπιτεταγμένον* CT (ci. Rsk.) 17 *οὕτωσ* DT 18 *ἢ* seclusi 20 *πάντα*] *πάντων* D 21 *τὸ*] *τῷ* C *πρέποντα καὶ τέλεα* SDUT: *τέλεα καὶ πρέποντα* C *ἀλλήλοις* mihi glossema male excogitatum ad *πρέποντα*: 'ut iusta omnia et absoluta perfectaque fierent' (ut stoici docuerunt, e. g. Chrysipp. ap. Plut. mor. 1054 F) lacunam ind. Canter, supplens *εἶναι* vel *γίγνεσθαι*; fuit, opinor, ⟨*γίγνεσθαι, πάντων*⟩, quae glossema *ἀλλήλοις* extrusit 22 *τὰς* addidi; Wil. *οἰκιστὴς τοῦ παντός* iungit ita, ut *οὐσίας τε καὶ δυνάμεως ἔχων* habeat pro v. l. depravata ad p. 343 ,2, quae integra fuerit *πατρὸς οὐσίας τε καὶ δυνάμεως ἔχει*

5 J *δυνάμεις ἔχων. ὥστε καὶ θεῶν ὅσα φῦλα ἀπορροὴν τῆς Διὸς τοῦ
πάντων πατρὸς δυνάμεως ἕκαστα ἔχει καὶ ἀτεχνῶς κατὰ τὴν
Ὁμήρου σειρὰν ἅπαντα εἰς αὐτὸν ἀνήρτηται καὶ πάντα ἐξ αὐτοῦ
ἐξῆπται, πολὺ καλλίων ἅλυσις ἢ κατὰ χρυσῆν τε καὶ εἴ τινα ἄλλην
τις ἐπινοήσειεν. Ἔρωτά τε καὶ Ἀνάγκην, δύο τούτω συναγωγο-* 16
*τάτω τε καὶ ἰσχυροτάτω, ἐν τοῖς πρῶτα ἐγέννησεν, ὅπως αὐτῷ τὰ
πάντα συνέχοιεν. τό τε θνητὸν φῦλον οὐ μιᾶς οὐδὲ τῆς αὐτῆς
ἅπαν μοίρας ἠξίωσεν, οὐδὲ ἀπηνήνατο μὴ οὐ καὶ ἀνθρώπων ὡς
καὶ θεῶν εἶναι πατήρ, ἀλλ᾽ ἐκ τοῦ αὐτοῦ γένους ὥσπερ νῦν οἱ τὰ*
7 D *μύρα σκευάζοντες, ὅσον ἦν οἷον ὑποστάθμη τε καὶ ἐμμεμενηκὸς
κάτω, τοῦτο ὑπελείπετο ἀνθρώπου σπέρμα εἶναι, οὔτε τιμὴν ἴσην
οὔτε δύναμιν ὁμοίαν ἔχον, οὐδὲ κακῶν εἰλικρινές τε καὶ ἄμοιρον,
ὥσπερ ἦν ἐκεῖνο τὸ πρότερον γένος, ὅμως δὲ ἐντιμότερον τοῦ γε
ἄλλου θνητοῦ γένους, ἅτε τοῦ λόγου κεκοινωνηκὸς καὶ οὐ παντά-
πασιν ἀπηλλαγμένον τῆς θείας μοίρας, ἀλλ᾽ οἷον ὀχετοῦ ἢ πηγῆς
τὸ τελευταῖον ἐσχηκός. οὕτω δὴ προεδρίαν μὲν καὶ ἀρχὰς καὶ* 17
*προστασίας δίδωσι θεοῖς, δεύτερα δὲ πολὺ ὕστερον καὶ ἀνθρώ-
ποις δίδωσιν, τὰ δὲ μέσα ὅσα τε ἀέρος καὶ θαλάττης θρέμματα
καὶ ὅσα λοιπὰ γῆς, ὑπ᾽ ἀμφοτέροις ἐποίησεν, ὥσπερ οἱ ἐν τοῖς
στρατοπέδοις τοὺς μὲν ἀρίστους εἰς τὸ ἔμπροσθεν τάττοντες, τοὺς
δὲ δευτέρους ἐξόπισθεν, τοὺς δ᾽ αὖ κακούς, τοῦτο δὴ τὸ λεγόμενον,
εἰς μέσους. καὶ τοῖς μέν γε δὴ θεοῖς τὰς τέτταρας ἀπέδωκεν* 18
*χώρας, ὅπως μηδαμοῦ μηδὲν κενὸν εἴη θεῶν, ἀλλὰ πανταχοῦ πᾶσι
παρεῖεν, οὖσί τε καὶ γιγνομένοις, τὴν δὴ πρώτην πατρίδα τὴν
οὐράνιον καὶ τὴν κατ᾽ ἀέρα καὶ τὴν ἐν θαλάττῃ καὶ τὴν ἐπὶ γῆς
οἷον ὕπαρχοί τινες καὶ σατράπαι μεμερισμένοι. τῆς δὲ ἐξ αὐτῶν* 19
προνοίας οὐδὲν πλέον ἢ ἄνθρωπον μετέχειν ἐποίησεν, πανταχοῦ

1 *δυνάμεισ* U[2] in ras. (ci. Canter): *δυνάμεωσ* O *ἔχον* C *ὥστε* Canter: *ὡσ δὲ* O 2 *ἔχει κατατεχνῶσ* C 2. 3 *τὴν τοῦ ὁμήρου* D; Hom. *Θ* 19 (cf. p. 156, 24); et haec allegoria stoica: Heraclit. l. c. 36 3 *εἰσ ἑαυτὸν* C *ἀνήρτηται* Valckenaer in notis ineditis: *διήρτηται* O 4 *ἅλυσισ* S 5 *Ἔρωτά τε καὶ Ἀνάγκην*] non stoicorum, sed Aristidis iungentis quos inter se opposuit Agatho Plat. symp. 195 B (cf. 191 D *συναγωγεύς*), quanquam cf. Heraclit. l. c. 69; quae secuntur stoica redolent: v. 10 *ὑποστάθμη* (Diog. L. VII 137), 11 *σπέρμα* (*σπερματικὸς λόγος*), 14 *λόγου* (*λογιστικόν*), 15 *ὀχετοῦ ἢ πηγῆς* (Marc. Ant. II 4 *ἀπόρροια* al.) 6 *τε* om. T *αὐτὰ τὰ* C 8 *ἅπαντα* U a. ras. 9 om. *καὶ* T[1] 10 *μεμενηκῶσ*, addito *ἐμ* s. l., C pr. m. (cf. v. l. p. 328, 18), *ἐμμενηκὸσ* S[1]D 13 *ἐκεῖ τὸ* C *γε*] *τε* U a. corr. (Baroc. 136) 21 *δ᾽ αὖ*] om. C, *δὲ* U *τὸ λεγόμενον*] Hom. *Δ* 299 *κακοὺς δ᾽ ἐς μέσσον ἔλασσεν* (Ddf.) 22 *δὴ* sic O *τέσσαρασ* T 24 *παρεῖεν, οὖσίν τε καὶ* scripsi: *παραινοῦσιν τε καὶ* C, *παροῦσι τε καὶ* SDT, *παρῶσι τε καί*, ut vid., U[1], in *παρειεν* (sic) *τοῖσ* corr. U[2]; cf. p. 346, 22 *δὴ*] *δὲ* CT[1] p. corr. *πατρίδα*] *καὶ πατρίδα* C; *πατρίδα* praedicative 25 *τὴν κατὰ* C

σῴζων τοῖς γένεσιν τὴν ἀξίαν καὶ τὴν τάξιν οὐκ ἀνόητον ἀξιῶν
εἶναι. ταῦτα εἰδότες ἄνθρωποι καὶ μεγάλην μεγάλων ὀφείλοντες
χάριν, ὡς χρόνῳ ὕστερον ἀθροίζοντες ἀλλήλους πόλεις ᾤκιζον, τὰς
ἀκροπόλεις ἐξεῖλον Διί, πρός τε τὸ τοῦ παντὸς παράδειγμα βλέ- 6 J
ποντες, ὅτι ἦν αὐτὸς τῶν ἄκρων τοῦ παντὸς οἰκήτωρ, καὶ ἅμα 8 D
τῶν ἐπικαιροτάτων ἑκόντες ἐξιστάμενοι, ὡς μόνῳ τυράννων ἄρχειν
20 εἰδότι. καὶ τοῖς ἀρχομένοις σύμφορον εἶναι τοῦ γένους τὴν οἰκειό-
τητα κἀνταῦθα ἐνεδείξατο ἡμῖν ἐκ τῶν δευτέρων· θεῶν μὲν γὰρ
βία οὐχ ἅπτεται· διὰ τοῦτο νόμων οὐδὲν δέονται· ἄνθρωπος δὲ
αὖ μόνος τῶν ἄλλων ζῴων ἐνόμιζεν, φόνῳ τε ὅπως μὴ φθείρων-
ται καὶ ἁρπαγαὶ καὶ βίαι μὴ γίγνωνται, ἀλλὰ δίκη βίας ἔμπροσθεν
ᾖ. ταῦτα δὲ ἐνομοθέτει Ζεύς, ὅτε ἔπεμπεν εἰς ἀνθρώπους Αἰδῶ
καὶ Δίκην, μετὰ τῶν ἄλλων θεῶν ἐπιμελησομένας ἀνθρώπων καὶ
21 φυλαξούσας αὐτοῖς τὸν βίον. ἥ τε οὖν ἐξ ἀρχῆς γένεσις ἐκ Διὸς
ἡμῖν, ὥσπερ καὶ τῷδε τῷ παντί, καὶ ἡ τοῦ βίου σωτηρία καὶ
τέχναι καὶ νόμοι, καὶ θνητὸν ὂν ἡμῶν τὸ γένος κατὰ μέρος ἀθάνατον
εἶναι τῇ διαδοχῇ. καὶ ὁ περὶ αὐτῶν τούτων λογισμὸς Διός ἐστι
22 μέρος. Ὅμηρος (Θ 1 sqq.) δὲ πόρρω τοῦ καιροῦ μανικὸς ἦν, ὃς
ἐποίησεν ἐν θεῶν ἀγορᾷ Δία κωλύοντα θεοὺς ἀνθρώπων ἐπιμέ-
λεσθαι· ὁ δὲ οὐ τοῦτο ἐκώλυσεν, οὐδὲ μὴ κωλύσῃ γε, αὐτὸς αὐτὸν

---

1 an σῴζειν? τάξιν om. C ἀνόητον D 2 ταῦτα δὲ εἰδότεσ C καὶ τὴν μεγάλην C μεγάλων SC: ὑπὲρ μεγάλων DUT 3 ἀθροίζοντες — ᾤκιζον] ad Plat. Prot. 322 B ἐζήτουν δὴ ἀθροίζεσθαι .. κτίζοντες πόλεις, cf. ad v. 7. 12 τὰς — 4 ἐξεῖλον] cf. p. 307, 12, ad ἐπικαιροτάτων (v. 6) ibid. v. 15 6 τυράννων D: τυράννῳ SCUT 7 σύμφορον εἶναι τοῦ γένους κτἑ.] eo nomine iterum (ἐκ τῶν δευτέρων; prius beneficium p. 343, 13) hominibus utilis fuit cognatio quae eis cum dis erat, quod Iuppiter illorum tantum vitam (non beluarum) legibus tutatus est; invertit Plat. Prot. 322 A ἐπειδὴ δὲ ὁ ἄνθρωπος θείας μετέσχε μοίρας, πρῶτον μὲν διὰ τὴν τοῦ θεοῦ συγγένειαν ζῴων μόνον θεοὺς ἐνόμισεν, ubi quae nunc eiciunt διὰ — συγγένειαν, ea Aristidem legisse (eadem or. XLV § 17 expressit) apparet, neque possunt deesse ad sententiam; scrib. vero τοῦ θείου apud Plat. 8 θεῶν — ἅπτεται] Plat. symp. 196 C βία γὰρ Ἔρωτος οὐχ ἅπτεται 9 ἄνθρωποσ . . . μόνοσ C: ἀνθρώπουσ . . . μόνουσ SDUT; ad ἐνόμιζεν supplendum νόμους e νόμων v. 8; ἀνθρώποις — μόνοις ci. Rsk., at v. 12 demum orator addit (idque cum vi), Iovem illas leges in vitam humanam introduxisse; ergo v. 10 non est subiectum Ζεύς 10 φθείρονται C 11 βίαι μὴ sic O γίνωνται C 12 Ζεύς — 13 Δίκην] ad Plat. Prot. 322 C Ζεὺς . . . Ἑρμῆν πέμπει ἄγοντα εἰς ἀνθρώπους Αἰδῶ τε καὶ Δίκην 13 post θεῶν add. οὓσ ἔπεμπεν εἰσ ἀνθρώπουσ C ἐπιμελησομένας . . . 14 φυλαξούσας scripsi (ante μετὰ distinxi): ἐπιμελησομένουσ . . . φυλάξοντασ O ἀνθρώπων om. D 16 καὶ θνητὸν — διαδοχῇ] cf. ad p. 209, 17; 335, 19. 20 καὶ U^2 in ras.: καὶ τὸ O τὸ CU^2: om. SDU^1T 20 οὐδὲ Ddf.: οὔτε O αὐτὸσ αὐτὸν S^1T

*αἰδούμενος. οὐ γὰρ θέμις αὐτῷ μεταστραφῆναι οὐδὲ ἑτέραν γνώ-
μην ἔχειν οὔτε ὑπὸ λήθης οὔτε ὑπὸ μετανοίας ἧς ἔσχεν ἐξ ἀρχῆς,*
9 D *ὅτε ἐποίει θεοὺς μὲν ἀνθρώπων ἐπιμελητάς, ἀνθρώπους δὲ θεῶν
θεραπευτάς τε καὶ ὑπηρέτας· ὃ δὴ μάλιστα πρέψειν τε καὶ συνοί-
σειν ἔμελλεν ἀμφοτέροις. ἔστιν οὖν πάντων δὴ τῶν ὄντων Ζεὺς* 23
*αἴτιός τε καὶ δημιουργός, καὶ διὰ τοῦτον ἅπαντα γίγνεται ὅσα τε
οὐράνια καὶ ὅσα ἐπίγεια, ὥσπερ καὶ τὸ ὄνομα αὐτὸ παραδηλοῖ,
οὐ πόρρω τῆς αἰτίας λεγόμενον, ἐπειδὰν λέγωμεν Δία. Ζεὺς μὲν
γὰρ ὅτι ζωῆς τε καὶ οὐσίας ἑκάστοις ἐστὶν αἴτιος κέκληται ἡμῖν,
αὖθις δὲ καθὸ αἰτιώμενοί τινας ὀνομάζομεν, κατὰ ταύτην τὴν*
7 J *χρείαν τῆς φωνῆς ὁμώνυμον αὐτὸν ἐποιήσαμεν, τῷ τῆς αἰτίας
ὀνόματι Δία προσαγορεύσαντες, ἐπειδήπερ δι᾽ αὐτὸν ἅπαντα γί-
γνεταί τε καὶ γέγονεν. καὶ ἡλίου τε ἄπαυστος κίνησις ὑπὲρ γῆς* 24
*τε καὶ ὑπὸ γῆν Διός ἐστι πρόρρησις ἡλίῳ προειρημένη ὑπὲρ τῆς
τοῦ παντὸς κόσμου φανότητος, καὶ σελήνης δρόμοι καὶ χορεῖαι
πάντων ἄστρων Διός ἐστιν διάκοσμος· ὅ τε γῆς περίρρους Ὠκεα-
νὸς ἐκ Διὸς ὥσπερ ἐξ ἀρχῆς ἐγένετο, οὕτω καὶ μένει τοὺς ἑαυτοῦ
φυλάττων ὅρους· ὧραί τε καθ᾽ ἕκαστον ἔτος ἐκ περιτροπῆς γῆν
τὴν πᾶσαν ἐπέρχονται· καὶ ὁ πᾶς χρόνος εἰς ἡμέραν καὶ νύκτα
μερισθεὶς πρέποντα τῷ καιρῷ τὰ ἑκατέρων ἔχει μήκη, ἀναπαύσεις
τε καὶ πόνους, ὡς δὴ ἁρμόττει, πλείους ἢ ἐλάττους παρεχόμενος·
ἥ τε οὐρανοῦ καὶ ὄμβρου συνουσία Διός· καὶ Ἀπόλλων ἀνθρώποις* 25
χρησμῳδεῖ ʽΔιὸς νημερτέα βουλήνʼ (hymn. in Ap. 132), *καὶ Ἀσκλη-
πιὸς ἰᾶται οὓς ἰᾶσθαι Διὶ φίλτερον, Ἀθηνᾶ τε Ἐργάνη Διὸς γνώ-
μη ταύτην εἴληχε τὴν τάξιν, καὶ Ἥρα γαμηλία καὶ Ἄρτεμις λοχία*
10 D *καὶ κυνηγέτις εὐεργετοῦσιν ἀνθρώπους, τὴν τοῦ μεγάλου σῴζουσαι
πάντων εὐεργέτου γνώμην· Πᾶνές τε ὀρῶν ἔνοικοι καὶ Νύμφαι
ναμάτων ἐπίσκοποι σὺν Διὶ τὴν κληρουχίαν ἔχουσιν. Ποσειδῶν*

---

3 *ἀνθρώπου* C 4 *πρέψειν ἔμελλε καὶ συνοίσειν* U 5 *ἀμφοτέροις*] *ἑκατέροισ* C 8 *ἐπειδὰν — Δία* deleverim; ad insequentia cf. Plat. Crat. 396 A; Diog. L. VII 147; Cornut. c. 2 10 *καθότι* C *καταύτην τὴν* C 11 *χρείαν* Jebb: *χώραν* O 12 *ἐπειδὴ δι᾽* C 12. 13 *γέγονέν τε καὶ γίγνεται* C 13 *καὶ ἡ ἡλίου* Baroc. 136 (Jebb Ddf.), at cf. v. 15 (Rsk.²); cf. Heracl. alleg. c. 36 *οὐρανὸς ἀπαύστοις περιφοραῖς εἰλούμενος* 14 fort. *γῆς*, cf. p. 31, 20. 209, 19 15 *χο-ρεῖαι — ἄστρων*] ad Plat. Tim. 40 C 16 *γῆσ καὶ περίρρουσ* D 17 $\overset{\textit{οῦ}}{\textit{ἑαυτων}}$ C pr. m. (*ἑαυτῶν* Junt.) 21 *πόνουσ* SCD: *τοὺσ πόνουσ* UT *δὴ ἁρμόττει* Rsk.: *διαρμόττει* SDUT, *μηδιαμάρτη* C (Baroc. 136) 22 *ἥ — Διός*] *οὐρανοῦ* i. e. sereni, *εὐδίας*; *ὄμβρος* i. e. *ὕδωρ ἐκ Διός* 24 *οὓς ἰᾶσθαι Διὶ φίλτερον* scripsi, *οὓσ ἰᾶται διὶ φίλτεροι* C: om. SDUT 25 *λοχεία* SCDU 26 *κυνη-γέτησ* C 27 *Πᾶνές*] *ᾶ* et *εσ* in ras. U², *πάντεσ* DU¹; verborum poetico colore seductus falsa Kock CAF. III 612 frg. 1230 *τε* om. D

τε καὶ Διόσκουροι σῴζουσι τοὺς πλέοντας πειθόμενοι Διί, καὶ
Μοῦσαι μουσικὴν εὗρον καὶ κατέδειξαν Διὸς βουληθέντος εἶναι
Μούσας καὶ μουσικὴν θεῶν ἅμα καὶ ἀνθρώπων εἵνεκα. καὶ πάντα
δὲ πανταχοῦ Διὸς μεστὰ καὶ πᾶσιν ἐφ᾽ ἑκάστης πράξεως παρ-
ίδρυται, ὥσπερ οἱ διδάσκαλοι τοῖς παισὶ καὶ ⟨οἱ⟩ παραβάται τοῖς
ἡνιόχοις. καὶ ἁπάντων θεῶν εὐεργεσίαι Διός εἰσιν ἔργον, καὶ
πάντες ἀνθρώπων ἐπιμελοῦνται τὴν ὑπὸ τούτου παραδοθεῖσαν
τάξιν φυλάττοντες, οἷον ἐν στρατοπέδῳ συμπάντων στρατηγοῦ.
27 *Μοῖρα δὲ ἃ ἂν νείμῃ ἐπίσταται, εἰκότως· δίδωσι γὰρ αὐτός, καὶ*
τοῦτ᾽ ἔστιν ἄφυκτος εἱμαρμένη, ὅ τι ἂν ἑκάστῳ νείμῃ Ζεύς, οὗ
πάντα τὰ ὄντα γεννήματα. τοῦτον οὐκ ὁρῶν ἐκφεύγουσι κορυφαί, 8 J
οὐ πηγαὶ ποταμῶν, οὐ πόλεις, οὐχ ἡ κάτω τῆς θαλάττης ψάμμος,
οὐκ ἀστέρες, οὐ νὺξ ἔμπροσθεν ἵσταται, οὐχ ὕπνος τῶν τούτου
28 *μεγάλων τε καὶ μόνων ἑωρακότων τἀληθὲς ὀφθαλμῶν. ποταμῶν*
τε ὁ κάλλιστος καὶ ἀξιολογώτατος καὶ αὐτὸς ἄρα ‛διιπετὴς᾽ [Νεῖλος]
ἦν, ἅτε δὴ μιμούμενος τὸν πατέρα, καὶ οἷον ὕπαρχος ὑπ᾽ αὐτοῦ
τῶν κατ᾽ Αἴγυπτον τεταγμένος, ἀντὶ τῶν Διὸς ὄμβρων αὐτὸς
29 *ἔπεισι καὶ πληροῖ τὴν γῆν. Ζεὺς πάντων πατὴρ [καὶ ποταμῶν]*
καὶ οὐρανοῦ καὶ γῆς καὶ θεῶν καὶ ἀνθρώπων ⟨καὶ ζῴων⟩ καὶ φυτῶν, 11 D
καὶ διὰ τοῦτον ὁρῶμεν καὶ ἔχομεν ὁπόσα καὶ ἔχομεν. οὗτος ἁπάντων
εὐεργέτης καὶ προστάτης καὶ ἔφορος, οὗτος πρύτανις καὶ ἡγεμὼν
καὶ ταμίας ὄντων τε καὶ γιγνομένων ἁπάντων, οὗτος δοτὴρ ἁπάν-
30 *των, οὗτος ποιητής. οὗτος ἐν μὲν ἐκκλησίαις καὶ δίκαις νίκην*
διδοὺς Ἀγοραῖος κέκληται, ἐν δὲ μάχαις Τροπαῖος, ἐν δὲ νόσοις
καὶ πᾶσιν καιροῖς βοηθῶν Σωτήρ, οὗτος Ἐλευθέριος, οὗτος Μει-
λίχιος — εἰκότως, ἅτε καὶ πατήρ —, οὗτος Βασιλεύς, Πολιεύς,
Καταιβάτης, Ὑέτιος, Οὐράνιος, Κορυφαῖος, πάνθ᾽ ὅσα αὐτὸς εὗρεν
μεγάλα καὶ ἑαυτῷ πρέποντα ὀνόματα· οὗτος ἁπάντων ἀρχὰς καὶ

1 *διόσκοροι* U¹, ut solet 3 *Μούσας καὶ* abesse vult Kaibel 4 *Διὸς μεστὰ*] Arat. ph. 2 sq., cf. ad p. 340, 18 5 *τοῖς*] *τὰ τοῖσ* C ⟨*οἱ*⟩ add. Rsk. 6 *εὐεργεσίαι*] *εὐεργέται* C 7 *πάντεσ* SCD: *πάντων* UT 8 *συνπάντων* C 9 *Μοῖρα* Wil.: *μοῖραν* O *δὲ* SCD: *τε* UT *ἃ* scripsi: *ἣν* O *νέμῃ* C, item v. 10; ceterum cf. Plut. mor. 1056 C 11 *γενήματα* SD *οὐκ ὁρῶν ἐκφεύγουσι*] cf. ad p. 300, 26 13 *οὐ*] *οὐδὲ* ci. Kaibel 15 *διιπετὴς — πατέρα*] cf. or. XXXVI § 104 sq. *Νεῖλος* secl. Wil. 16 *ὕπαρχος*] ut di, cf. p. 343, 26. 325, 13; etiam p. 302, 22 17 *ἀντὶ — ὄμβρων*] invertit Eur. Hel. 2; cf. p. 268, 19 18 *καὶ ποταμῶν* seclusi, interpolatum e p. 340, 15 (post *ἀνθρώπων* Baroc. 136) 19 *καὶ ζῴων* add. Schwarz, Zsch. f. öst. Gymn. 1885, 327 coll. Plat. Phaed. 70 D; 110 E 20 *ὁπόσα καὶ* C: *ὁπόσα* T, *ὅσα* SDU *ἁπάντων*] *ὁ πάντων* C 21 *προστάτησ καὶ ἔφοροσ* C: *ἔφοροσ καὶ προστάτησ* SDUT 22 *τε* C: om. SDUT, cf. p. 343, 24 23 *μὲν ταῖσ ἐκκλησίαισ* D; ad *ἐπικλήσεις* cf. Cornut. c. 9 25 *Μειλίχιος — Βασιλεύς*] cf. Hom. β 47 *βασίλευε, πατὴρ δ᾽ ὣς ἤπιος ἦεν* 26 *Πολιεύς* om. D

πέρατα καὶ μέτρα καὶ καιροὺς ἔχων, ἴσον πανταχοῦ πάντων κρατῶν, αὐτὸς ἂν μόνος εἰπὼν ἃ χρὴ περὶ αὑτοῦ, θεὸς ἅτε πλέον τι λαχών· τοῦτο γὰρ οὖν Πινδάρῳ κάλλιον ἢ ἄλλ' ὁτιοῦν ὁτῳοῦν εἴρηται περὶ Διός. ἀπὸ τούτου ἄρχεσθαι χρὴ καὶ τελευτᾶν εἰς 31
τοῦτον, παντὸς λόγου καὶ πάσης πράξεως ἡγεμόνα καὶ βοηθὸν καλοῦντας, ὥσπερ εἰκὸς τὸν ἁπάντων κρατοῦντα ἀρχηγέτην καὶ τέλειον μόνον αὐτὸν ὄντα τῶν πάντων.

XLIV.

I 401 D
I 247 J

(17) ΕΙΣ ΤΟ ΑΙΓΑΙΟΝ ΠΕΛΑΓΟΣ.

Πέλαγος δὲ οὐδείς πω διὰ τέλους ᾖσεν οὔτε ποιητὴς οὔτε λογογράφος, ἀλλ' Ὅμηρος λέγει ʽἰοειδέα πόντονʼ καὶ ʽοἴνοπα πόντονʼ 248 J *καὶ [Εὐριπίδης] ʽἅλα πορφυρέηνʼ καὶ εἰ δή τις ἄλλος ἄλλο τι τοιοῦτον· τὰ δὲ πολλὰ καὶ βλασφημοῦσιν εἰς τὴν θάλατταν, ʽἁλμυρὰνʼ καὶ ʽβαρύβρομονʼ καὶ τὰ τοιαῦτ' ὀνομάζοντες. ἡμεῖς δὲ τὸν* 2 *μὲν ὑπὲρ πάσης τῆς θαλάττης λόγον ὅσην καὶ οἵαν χρείαν ἀνθρώποις ἔχει καὶ ὑπὲρ ἡλίκων αὐτὴν ἐποίησεν ὁ θεὸς ἐάσομεν ἐν τῷ παρόντι, τῷ δὲ Αἰγαίῳ τὸ ὀφείλημα ἀποδώσομεν καὶ ὑμνήσομεν, πρῶτον ὅτι θέσεως ἄριστα εἴληχεν, ὡς καὶ πόλεως ἄν τις ἐπαινέσειεν πρῶτον τὴν θέσιν.*

Ἐν γὰρ τῷ μέσῳ τῆς πάσης οἰκουμένης τε καὶ θαλάττης μά- 3 *λιστα ἵδρυται, πρὸς ἄρκτον μὲν Ἑλλήσποντον καὶ Προποντίδα καὶ Πόντον καταλιπών, πρὸς δὲ μεσημβρίαν τὴν λοιπὴν θάλατταν, διαιρῶν μὲν τὴν Ἀσίαν ἀπὸ τῆς Εὐρώπης, ᾗ πρῶτον μεθ' Ἑλλήσποντον διίστασθον. γένη δὲ τὰ ἐνδοξότατα καὶ ἡμερώτατα ἐφ'* 4

Or. XLIV: libri SCDUT = O

1 *καιροὺσ* S¹: *κλήρουσ* CDUTS² 2 *ἂν*] *εἰ* C *αὑτοῦ*] ʽet *το* in ras. S²; *αὐτοῦ* T¹ a. corr. 3 *Πινδάρῳ*] frg. 145 B.⁴; *θεὸς* et *λαχών* orator fort. immutavit; postulo *θεὸς* ⟨*θεῶν*⟩ *ἅτε* (*αὐτοῦ θεῶν ἅτε* Junt.) *ἄλλο τι οὖν* S¹C *ὁτῳοῦν* om. C 4 *ἄρχεσθαι χρὴ κτἑ.*] cf. Hom. *I* 97 5 *βοηθὸν*] cf. p. 346, 21; 339, 4 6 *τὸν*] *τῶν* S¹ 7 *αὐτὸν μόνον* U. — Subscr. *εἰσ δία* SC

Titulum om. D 8 *δὲ*] cf. p. 319, 12 9 *Ὅμηρος* ⟨*μὲν*⟩ *λέγει* Rsk.² 10 *Εὐριπίδης* seclusi; *ἅλα πορφυρέην* Homeri (*Π* 391); nomen interpretamentum ad *ἁλμυράν*: Eurip. Tro. 1 *Αἴγαιον ἁλμυρὸν βάθος πόντου* cf. p. 349, 12; delendum ergo Eur. frg. 882 N². *πορφύρεον* C 12 *βαρύβρομον*] cf. Aristoph. nub. 284 (Bacchyl. XVII 76 Ken.) *τοιαῦτα νομίζοντεσ* C 13 *μὲν* om. U 15 *ὀφείλημα*] *ὄφλημα* D; utraque lectio ap. Thom. Mag. p. 260, 3 16. 17 *ἐπαινέσειεν ἄν τισ* U 18 *πάσης* om. UT 20 *καταλείπων* ci. Kaibel 21 *ᾗ* SCDU²: *ἧσ* U¹T 22 *διΐσταται* U¹ *καὶ ἡμερώτατα καὶ ἐφ'* C

ἑκατέρας τῆς ἀκτῆς ἔχων, ἔνθεν μὲν Ἰωνίαν καὶ τὴν Αἰολίδα γῆν,
ἑτέρωθεν δὲ τὴν Ἑλλάδα ὥστε μόνον τοῦτο πελαγῶν μέσον 402 D
εἶναι τῆς πάσης Ἑλλάδος ἄξιον εἰπεῖν, εἴ τις ἓν τοῦτο γένος
5 Ἑλλήνων ἐφ᾽ ἑκατέρας τῆς ἠπείρου τιθείη. καίτοι εἰ ποταμῶν
εὐδοκιμοῦσιν ὄχθαι δένδρα ἔχουσαι καὶ λειμῶνας, ἦ που σφόδρα
τὰς τοῦ Αἰγαίου δίκαιον εὐδοκιμεῖν ἀκτάς, τοιούτοις γένεσι κεκοσμημένας, καὶ ταῦτα ἐν αὐτοῖς τοῖς προσοικοῦσιν Ἕλλησιν· ἐπεὶ
καὶ τοῦ ἀέρος τὸ μετριώτατον καὶ πρὸς πάσας τὰς ὥρας τὸ αὐτὸ
ἀνεκτότατον, τοῦτ᾽ ἂν εἴη τὸ ὑπερέχον τοῦ Αἰγαίου καὶ περὶ
6 ταύτας τὰς χώρας μάλιστα ἱδρυμένον. δῆλον δὲ κατ᾽ ἀμφοτέρους
τοὺς λόγους. οἵ τε γὰρ τὴν Ἀττικὴν ἐν τῷ καλλίστῳ τοῦ οὐρανοῦ φάσκοντες εἶναι οἵ τ᾽ αὖ τὴν Ἰωνίαν ὁμολογοῦσι δήπουθεν ἀμφότεροι περὶ τοῦτον ὅλως τὸν τόπον εἶναι τὸ βέλτιστον. καθότι γὰρ ἀμφοτέρας παρατείνει τὰς ἀκτάς, ὁποτέραν ἄν τις αὐτῶν τιθῇ κρατεῖν, ἔχει ταύτην, καὶ εἰ δεήσειεν αὖ κατὰ τὰς ἄλλας ἀμφισβητήσεις ἐπιχωρήσαντας ἀλλήλοις ἐπὶ τὸ μέσον ἐλθεῖν, ὅπερ εἶπον, ὁ Αἰγαῖός ἐστι τοῦτο. ὥστε τὸ κάλλιστον τῶν ἀέρων οὗτος εἴληχεν.
7 Ἡ μὲν δὴ θέσις αὐτοῦ τοιαύτη τε καὶ ἐν τοιούτῳ τοῦ παν- 249 J
τός· ἡ δὲ φύσις θαυμαστή. τὸ μὲν γὰρ μέγεθος τοῦ πελάγους ἐν τοῖς πρῶτον ἐλλόγιμόν τε καὶ πάντη τεταμένον, εἴ τις ἀκριβῶς αὐτὸ ἀπὸ τῆς ἀρχῆς εἰς τέλος ἐξετάζοι πανταχῇ, καὶ περιπλέοντι

---

1 ἀκτῆσ CUTS² mg.: ἀρχῆσ S¹, καταρχῆσ D 2 μόνον τοῦτο πελαγῶν sic SDUT: τοῦτο μόνον πελαγῶν C μέσον] μεστὸν T 5. 6 σφόδρα γε τὰσ Baroc. 136 (prob. Ddf.) 7 καὶ ταῦτα] ἐνταῦθα U 8 πρὸς] πρὸ C 9 τοῦ Αἰγαίου Rsk.²: τὸν αἰγαῖον O 11 οἵ τε γὰρ τὴν Ἀττικὴν — οἵ τ᾽ αὖ τὴν Ἰωνίαν] illorum dicit imprimis Plat. Tim. 24 C ἐκλεξαμένη τὸν τόπον . . . τὴν εὐκρασίαν τῶν ὡρῶν ἐν αὐτῷ κατιδοῦσα κτέ. (quem locum optime novit, cf. ad p. 307, 23; etiam ad or. XXVI § 73 adferre debui Tim. 24 AB); cf. Eur. frg. 981 N.² (v. Wilamowitz, Kydathen p. 228 sq.), Med. 829 sq.; gravissimus locus Procl. ad Plat. Tim. p. 50 B (Παναίτιος μὲν καὶ ἄλλοι τινὲς τῶν Πλατωνικῶν, quem ignoravit Schmekel, Mittl. Stoa p. 230 sq.); ipse Aristides Panath. I p. 160, 1 sqq. Ddf. Ioniae laudator Herod. I 142 (τῶν ὡρέων ἐν τῷ καλλίστῳ . ., πάντων ἀνθρώπων τῶν ἡμεῖς ἴσμεν), unde totus pendet Aristid. Panath. l. c. v. 14 sqq.; idem or. XXIII § 9; cf. praeterea Hippocr. de aere 12. 16, Galen. XVI p. 393 K. εἰ δέ τις καὶ τὴν ἀκριβῶς εὔκρατόν τε καὶ μέσην εἰδέναι ἐθέλει [τὴν, seclusi] ζώνην τῆς οἰκουμένης, οὗτος πρὸς τὴν διὰ Κνίδου καὶ Κῶ τὸν νοῦν προσεχέτω καὶ ὅσα χωρία μὴ πολὺ ἀπὸ τούτου τοῦ μορίου τῆς γῆς ἀποκεχώρηκεν
ἐν τῷ καλλίστῳ] neutrum, cf. τὸ βέλτιστον (sc. τοῦ οὐρανοῦ) v. 13, τὸ κάλλιστον v. 17 12 τ᾽ αὐτὴν C 14 τιθῇ Ddf.: τιθείη O 15 ταύτηι C αὖ SU C p. corr.: ἂν DT (et certo C a. corr.) 17 τὸ] τὸν ci. Rsk.; at cf. ad v. 11 18 τε om. C 20 πρῶτον S¹: πρώτοισ CDUTS² 21 περιπλέοντι τὸν κύκλον SCDU: περὶ κύκλον πλέοντι T; περὶ κύκλῳ πλέοντι ci. Rsk. (prob. Ddf. coll. Plat. Phaed. 112 E, qui locus et ipse dubiae fidei)

τὸν κύκλον ἡμερῶν πλῆθος ἀμύθητον τριφθήσεται. οὐ μὴν ἐψί-
λωταί γε οὐδ' εἰς ἀπέραντον καθιστὰν τὴν ὄψιν ἀθυμίαν καὶ
403 D *ἀπορίαν παρέχει, ἀλλὰ πολλὰ μὲν Αἰγαίου πελάγη, πολλοὶ δὲ*
κόλποι, ἄλλο δὲ ἀλλαχοῦ θαλάττης εἶδος. προκαταλύσαις δ' ἂν
καὶ ἐν μέσῳ τῷ πελάγει τὸν πλοῦν καὶ ἐντύχοις ἂν καὶ γῇ καὶ
πόλεσι καὶ χωρίοις ὥσπερ τισὶ μικραῖς ἠπείροις περιρρύτοις, καὶ
ταμίας ἂν γένοιο αὐτὸς τοῦ πλοῦ, καὶ πρὶν ἐκπερᾶσαι πᾶν τὸ
πέλαγος, αὖθις ἂν ὀπίσω κομίζοιο, ὁμοίως ἐκτελέσας τὸν σκοπόν.
οὐ γὰρ κατὰ τὸ Ὁμήρου πέλαγος δι' ἐρήμου δεῖ διελθεῖν καὶ ἐπί 9
τι τῶν οἰκουμένων ἀνύσαι, ὥστε μηδενὶ θεῶν κεχαρισμένην εἶναι
τὴν ὁδὸν ὑπὸ τῆς ἐρημίας, ἀλλ' ἐνταῦθα γὰρ δὴ καὶ 'Νηρῄδων
χοροὶ κάλλιστον ἴχνος ἐξελίσσουσιν ποδί' (Eur. Tro. 2. 3), *ὅτι τὸ*
μάλιστα οἰκούμενον καὶ ἀκμάζον τῆς θαλάττης τοῦτό ἐστι, καὶ
τοσαῦτά ἐστι πλεῖν ὁπόσα τις βούλεται, καὶ τοσαῦτά γε αὖ πεζεῦ-
σαι ὁπόσα τις μὴ περιπλεῖν βούλεται, ἀλλὰ διεξελθὼν ἐπ' ἄλλην
ἀκτὴν κατάρας ἐκεῖθεν ἀφιέναι. μόνον γὰρ τοῦτο πελαγῶν οὐχ
ἧττον οἰκεῖται ἢ αὐτὴ ἡ γῆ· πόλεις τε ἔχει τοσοῦτον ἀλλήλων
διεχούσας ὅσον ἂν καὶ τὰς ἐν τῇ ἠπείρῳ πόλεις αἱ μεταξὺ χῶραι
404 D *διακρίνοιεν. ὥστε διὰ μὲν ὀξύτητά τε τοῦ πελάγους καὶ πλῆ-* 10
θος τοῦ παντὸς πλοῦ φοβερώτατός ἐστιν, διὰ δ' αὖ τὰς ἀνα-
παύσεις ἡμερώτατος. τάχιστα δὲ κινούμενος μάλιστα καὶ σῴζει,
τὸ θεῖον μᾶλλον δὴ διαφυλάττων — δεῖ γὰρ αὐτὸ φρικῶδες μὲν δι'
ἰσχύν, σωτήριον δὲ εἶναι διὰ πραότητα. ἠχεῖ δὲ πελαγῶν λιγυρώ- 11
τατον περὶ τὰ ἑαυτοῦ δῶρά τε καὶ γεννήματα. οἷόνπερ τοὺς Πᾶ-
νας καὶ Σατύρους φασὶ ποιηταὶ κατά τε τὰ ὄρη καὶ περὶ τὰ δέν-
250 J *δρα ἠχεῖν ὥρᾳ ἔτους τερπομένους, ἅτε καὶ τοὺς μουσικωτάτους*
τῶν θεῶν ἑαυτοῦ πολίτας τε καὶ ἐνοίκους ἔχων Ἀπόλλω τε καὶ
Ἄρτεμιν, οὓς ὁ πάντων πατὴρ Ζεὺς ὡς ἐν καλλίστῳ τούτῳ τῆς
οἰκουμένης ἔφυσεν, ἵν' εἶεν τέλειοι τὴν μουσικήν, καὶ τὴν Λητὼ

---

2 *γε*] *τε* C *ἀπέρατον* U *καθιστὰν* (*ὸν* suprascr.) Monac. 432, *καθίστανται* C pr. m., *καθιστ/ν* S[1] agnoscitur: *καθιστῶν* DUTS[2]; cf. p. 9, 18 3 *πολλὰ μὲν*] *πολλάκισ* D 6 *ἠπείροισ* omissum add. S[2] mg. 7 *ἐκπερᾶσαι* U[1] a. corr. TC (-*άσαι*): *ἐκπεράσαισ* STU[1] p. corr. *πᾶν* om. U[1] a. corr., *πᾶν τὸ* om. C 9 *Ὁμήρου πέλαγος*] cuius insulae *ἔρημαι*: *γ* 270, *μ* 351 *δι' ἐρήμου* om. C; potius v. 11 *ὑπὸ τῆς ἐρημίας* suspecta *καὶ* ⟨*οὕτως*⟩ Rsk., ⟨*πρὶν*⟩ *καὶ* Kaibel 10 *θεῶν* deleverim 12 *ἐξελίσσουσι* O *ποδὶ*] *ποδὸς* Eurip. 14 *καὶ* — 15 *βούλεται* om. C 15 *ἐπ' ἄλλων* C a. corr. 19 *τε* om. T 20 *φοβερώτατός*] subiectum *Αἰγαῖος*, quod mente suppl. (Rsk.) 21 *μάλιστα δὲ καὶ* D 22 *μᾶλλον δὴ* C, om. in spatio VI vel VII litt. libero relicto S (cf. ad p. 78, 9): om. DUT *διαφυλάττον* D 24 *γενήματα* SC[1] a. corr., cf. p. 346, 11 25 *κατὰ τὰ ὄρη ἢ περὶ* S

διὰ τριῶν ἑτέρων νήσων ἤγαγεν εἰς μέσην ἐν μέσῳ τῷ Αἰγαίῳ
12 τὴν Δῆλον, Ἀθηνᾶν ἡγεμόνα ποιησάμενος αὐτῇ τῆς ὁδοῦ. δῆλον
δὲ καὶ παντὶ τοῦ πελάγους τὸ φύσει μουσικόν, ὅ γε εὐθὺς ἐξ
ἀρχῆς ἀνῆκεν ὥσπερ ἄλλον τινὰ χορὸν τὸν τῶν νήσων, αἳ διειλη-
φυῖαι τὸ πέλαγος πολλαὶ πρὸς ἀλλήλας κεκλιμέναι παντὸς κύκλου
διθυραμβικοῦ θέαμα ἱερώτερον ναύταις τε καὶ ἐπιβάταις φαίνον-
ται, κινδύνων τε παραψυχὴ καὶ κατὰ νοῦν ἰόντος πλοῦ ψυχαγωγία
13 θαυμαστή. πᾶσαι γὰρ ἀλλήλων ἔξω τε καὶ μέσαι εἰσίν, ὥσπερ
ὅταν θέρους ὥρᾳ καὶ πρὶν ζέφυρον κατιέναι πλοῖα κατ' ἰχθύων 405 D
θήραν σαλεύῃ πολλά, καὶ παρελθόντι εἴσω τά τε ἐκ πρύμνης καὶ
τὰ ἐκ πρῴρας καὶ τοῖχος ἑκάτερος πάντα ὁμοίως εἰς νῆσον τε-
λευτᾷ, ὥστε ἀπορῆσαι τὴν πρώτην ὅπῃ καὶ χρὴ διεξελθεῖν. ὅπερ
δὲ τὰ ἐπιβοηθοῦντα σκάφη, τοῦτο αὗται ποιοῦσιν αἱ νῆσοι τοῖς
χειμαζομένοις, ἀπαντῶσιν οἷον χεῖρα ὀρέγουσαι καὶ καλοῦσαι παρ'
αὐτάς· τοιαῦτα τοῦ Αἰγαίου τὰ φιλοτεχνήματα, ἀναμίξαντος
ὁμοῦ τῷ πελάγει τὴν γῆν, ὥσπερ αἱ στικταί τε ἔλαφοι καὶ
⟨αἱ⟩ τῶν παρδαλέων δοραὶ τὰς χρόας καὶ τοὺς κύκλους ἀναμὶξ
14 ἔχουσιν. καὶ περιλάμπεται μὲν αἴγλῃ πᾶσα ἡ ταύτῃ θάλαττα,
ἀπολείπονται δὲ λειμῶνες ἐν ἠπείροις ἀνθῶν κατάπλεῳ καὶ ὅ τι
τις ἄλλο ἐπινοήσειεν ταύτης τῆς ὥρας καὶ τούτων τῶν ποικιλ-
μάτων· εἰκότως. τὰ μὲν γὰρ κατ' ἤπειρον πάντα καὶ ἐνταῦθά
ἐστιν ἐν ταῖς ἐν μέσῳ χώραις, τὸ δὲ τούτου κάλλος ἐκείναις οὐ
πρόσεστιν· ὥσπερ δὲ οὐρανὸς τοῖς ἄστροις κεκόσμηται, οὕτω καὶ
15 τὸ τοῦ Αἰγαίου πέλαγος ταῖς νήσοις κεκόσμηται. ὥσθ' ὅτῳ καὶ μὴ

1 τριῶν] fort. ad Callim. h. IV 155 sqq. Ἐχινάδες — Κέρκυρα — Κόων; Wil. insulas maris Aegaei intellegens (quod e.v. 1 colligendum esse mihi non videtur) memoriam eiusdem paeanis latere censet, quem Oleni sub nomine traditum fuisse (ad p. 309, 11) coniecit 4 τινὰ] τι C 6 διθυραμβικοῦ· ∽∽∽∽∽. θέαμα sic T pr. m. ἱερώτερον Rsk.: ἱερώτατον O 8 ὥσπερ] ὥστε C 10 σαλεύει S¹DU¹ a. corr. T εἴσω] in mare Aegaeum 12 ἀπορῆσαι T ἀπορήσαι/ U, ' σ add. U²: ἀπορήσαισ SCD 14 καλοῦσαι] αι in ras. S² 15 αὐτὰσ SDU ταῦτα τοῦ C 16 τε om. C 17 αἱ addidi; τῶν ἐλάφων καὶ τῶν ci. Rsk.; non omnes cervorum pelles maculis sparsae, pardorum omnes 18 καὶ scripsi: ὥσπερ S¹, ὥστε US², οἷσπερ CTU¹ mg. c. γρ. S m. recentiss.; καὶ in ὡς corrupto varia e proximis (v. 8. 16. 23; 24. 351, 3) interpolatores; locum, qui erat de benigna opera navigantibus ab Aegaeo praebita, excipit locus de maris pulcritudine ταύτῃ] η in ras. S² 20 ἄλλο ⟨ἂν⟩ Wil.; at cf. p. 30, 15; or. XLVI § 32 21 εἰκότως om. C γὰρ om. U¹ 22 τούτου] Aegaei maris 23 ὥσπερ — 24 κεκόσμηται spuria dicit Wil.; orator quod dixerat mare insulis decori esse, iam invertit: insulae etiam (καὶ) mari ornamenta; cf. p. 342, 1; alterum utrum κεκόσμηται suspectum οὕτω — 24 κεκόσμηται omissa add. S² mg. οὕτω καὶ UTS² (in supplemento): οὕτω CD

δεῖ πλοῦ, τούτου γ᾽ ἂν ἕνεκα αὐτοῦ πλεύσειεν εἰκότως, τοῦ δι᾽
251 J Αἰγαίου κομισθῆναι· οὕτω καὶ πελαγῶν καὶ τῶν ἐν τῇ γῇ πάν-
των οὗτος ὡραιότατος. ὥστε καὶ σύμβολόν ἐστι τοῦ Αἰγαίου τὸ
τῆς εὐμορφίας ἴδιον, καὶ ἐντεῦθεν ἄρχεται, ὅθεν ὡς εἰπεῖν αἱ
νῆσοι εἶναι ἄρχονται τὴν ψιλὴν ὑπερβαλόντι θάλατταν. μόνον 16
δὲ Αἰγαῖον οὐδὲ ʽἀτρύγετονʼ ἔξεστιν εἰπεῖν, οὐ γὰρ γυμνὸς οὐδὲ
406 D ἄκαρπός ἐστιν, ἀλλὰ διαφερόντως μὲν εὔοινος καὶ σίτου καὶ
πάντων ὁπόσα ὧραι φύουσιν εὔφορος, εὔιχθυς δὲ καὶ εὔθηρος
οἵαν μάλιστα Ὅμηρος εἶναι ἔφη (τ 113 sq.) τὴν τῶν εὐδαιμόνων
δεῖν θάλατταν, χρείας πάσας καὶ πάσας ἡδονὰς καὶ θεάματα ἔχων,
μεστὸς μὲν λιμένων, μεστὸς δὲ ἱερῶν, μεστὸς δ᾽ αὐλῶν καὶ παι-
άνων καὶ πηγῶν καὶ ποταμῶν, Διονύσου μὲν τροφεὺς ὤν, Διοσ-
κούροις δὲ καὶ Νύμφαις ὁμοίως κεχαρισμένος· βίους εὐδαίμονας
ἀπὸ παντὸς εἴδους παρεχόμενος ἐνοίκοις τε αὐτοῦ καὶ ἐμπόροις,
ἐπικερδὴς καὶ σωτήριος οἷς ἂν εὐμενὴς ᾖ. ὥσπερ δὲ καλοῦ σώ- 17
ματός εἰσιν ἀρχαὶ καὶ τέλη πρέποντα, οὕτω καὶ τούτου τοῦ πελά-
γους κινδυνεύει μόνου καὶ ἀρχὴ καὶ τέλος εἶναι κεχαρισμένον.
ἄρχεται μὲν γὰρ ἀπὸ τοῦ πρώτου στοίχου τῶν νήσων τῶν πρὸς
μεσημβρίαν, τελευτᾷ δὲ εἰς τὸν Ἑλλησπόντιον πορθμόν, ὃν περιρ-
ρυεὶς τὴν ἀξιοθέατον χερρόνησον ποιεῖ. ὥστε, τὸ δὴ λεγόμενον,
ἐκ κεφαλῆς εἰς πόδας αὐτῷ διήκει τὸ κάλλος. τοὺς δ᾽ ἀπόρρους
αὐτοῦ καὶ κόλπους οὔτε ὅσοι τὸ πλῆθος οὔτε οἷοι τὸ κάλλος ἔστιν
εἰπεῖν. μάλιστα δὲ Αἰγαῖον [πέλαγος] δεδιότες μάλιστα καὶ ποθοῦ- 18
σιν ἅπαντες δεύτερον περαιωθῆναι, ἐπεὶ καὶ ἐπ᾽ αἰτίαις ἡδίσταις
τοῦτον ἄνθρωποι περαιοῦνται· ἀγῶνες καὶ μυστήρια καὶ τὰ τῆς
Ἑλλάδος καλὰ πληροῖ τοῦτον τῶν στόλων, καὶ τῶν πανταχόθεν

---

1 τούτου γ᾽ U (Junt.): τούτου τ᾽ CT (τούτ᾽ ἂν S²), τοῦτ᾽ ἂν S¹D 3 σύμβο/λόν S 5 ὑπερβαλόντι C: ὑπερβάλλοντι SDUT 6 δὲ εξαγαῖον C οὐδὲ] quia οὐ ψιλός, quod redit ad ἐρήμου p. 349, 9 8 εὔφορος huc trai. Wil., recepi dubitanter: post (v. 7) εὔοινος O; εὔοινοσ καὶ εὔφοροσ καὶ σίτου Monac. 432 (prob. Rsk.²); εὔοινος, εὔφορος ⟨δὲ⟩ καὶ σίτου Kaibel 8 ὧραι φύουσιν] cf. ad p. 223, 9 9 εἶναι om. C 10 δεῖν] δὴ U² 11 δὲ] δ᾽ C 12 ante ὢν ras. II vel III litt. C 13 δὲ om. C 14 αὐτοῦ O (at s. l. C¹) 15 ᾖ] εἴη C 17 κεχαρισμένον CUTS²: κεχρημένον S¹D 19 ἑλλησποντίαν SD; vox suspecta ὃσ περιρρυεὶσ S, ὅνπερ ῥυεὶσ T 20 ποιεῖ] εἰ C λεγόμενον] cf. Hom. Π 640 Ψ 169; Aristoph. Pl. 650; cf. Th. W. Rein, Sprichw. ... bei Lucian (Tubing. 1894) p. 36 23 πέλαγος seclusi, cf. masculina v. 20. 26. p. 352, 1; debuit praeterea τὸ Αἰγαῖον esse, quod ci. Rsk. δεδοικότεσ μάλιστα δὲ καὶ C 25 ἀγῶνεσ UTS²: ἀγῶνασ S¹CD καὶ τὰ] κατὰ S¹ 26 τοῦτον UTS²: τοῦτο S¹D, τούτω C τῶν στόλων scripsi: τὸν στόλον O

φιλοκάλων καὶ γενναίων οὗτός ἐστι συναγωγεὺς καὶ πληρωτής, τῶν ἡδίστων θεαμάτων τοῖς ἐπιφανεστάτοις τῶν θεῶν τὰ κάλλιστα ὑπηρετῶν. 407 D

Ταῦτά σοι παρ' ἡμῶν, ὦ φίλε σῶτερ Αἰγαῖε, ἤσθω τῇ ἡμετέρᾳ μουσικῇ, σὺ δὲ ἡσθεὶς σῷζε αἰεὶ αὐτόν τε καὶ σύμπλους.

XLV.

(8) ΕΙΣ ΣΑΡΑΠΙΝ. I 81 D I 47 J

Εὔδαιμόν γε τὸ τῶν ποιητῶν ἐστι γένος καὶ πραγμάτων ἀπήλλακται πανταχῇ. οὐ γὰρ μόνον αὐτοῖς ἔξεστι τὰς ὑποθέσεις τοιαύτας ὁποίας ἂν αὐτοὶ βουληθῶσιν ἑκάστοτε ἐνστήσασθαι, οὔτε ἀληθεῖς οὔτε ἐνίοτε πιθανάς, ἀλλ' οὐδὲ ἐχούσας σύστασιν τὸ παράπαν, εἴ τις ὀρθῶς βούλοιτο σκοπεῖν, ἀλλὰ καὶ διαχειρίζουσι ταύτας οὕτως ὅπως ἂν αὐτοῖς δόξῃ νοήμασί τε καὶ ἐνθυμήμασιν, ὧν ἔνια, εἴ τις τὰ πρὸ αὐτῶν τε καὶ μετὰ ταῦτα ἀφέλοι, οὐδὲ μαθεῖν ἔστιν αὐτά γε καθ' ἑαυτὰ ὅ τι δηλοῖ· ὁμοῦ δὲ πάντων λεχθέντων συνέντες ἀπεδεξάμεθα, ὥσπερ ἀγαπήσαντες ὅτι συνήκαμεν. ἐνίων δὲ τὰς ἀρχὰς εἰπόντες τὸ λοιπὸν ἀφῆκαν, ὥσπερ καταγνόντες, τὰ δὲ τῆς ἀρχῆς στερήσαντες, ἄλλων δὲ τὰ μέσα

Oratio XLV: libri SCDUT = O

---

1 *συναγωγεὺς καὶ πληρωτής*] cf. p. 360, 8. 9 et Hesych. *πληρωτής· ἐράνου συναγωγός* 4 *σῶτερ* C: *σωτὴρ* SDUT 5 *ἡσθεὶς*] *ῥησθεὶσ* C. — Subscr. *εἰσ τὸ αἰγαῖον πέλαγοσ* SC

Tit. *εἰσ σάραπιν* CS¹ p. corr. (*εἰσ ἄρα-* a. corr.): *εἰσ τὸν σάραπιν* UT (et in subscr. ST); om. D. — Orationem Menand. epid. IX 157 W. (III 343 Sp.) testatur: *τῷ μὲν ποιητῇ ἐξαρκεῖ καὶ μέρος τι ἀπολαβόντι . . . . πεπαῦσθαι, ὁ δὲ συγγραφεὺς πειράσεται διὰ πάντων ἐλθεῖν,* quibus prooemium orationis inverti, (imprimis § 1. 3. 13. 10 *διὰ παντὸς — δίεισιν*) cum tota sententia probatur tum eo, quod ipsis his verbis Menander laudationem '*μαντευτῶν*' Aristidis (cf. ad tit. or. XXXVII) subiunxit; cf. eundem l. c. p. 146 W. (338 Sp.). Aristides ipse prooemii § 1—13 vestigia Isocr. IX 9—11 pressit (cf. Plat. legg. 669 D; ad § 4 cf. Isocr. III 7 sq.); cf. etiam Antiphan. CAF. II 90 frg. 191 K. *μακάριόν ἐστιν ἡ τραγῳδία κτἑ.* (Kaibel). Prooemium accuratius (nequaquam vero usus iudicio) tractavit Baumgart, Ael. Aristid. p. 15 sqq. — 8 *ἐνστήσασθαι*] cf. ad p. 32, 14
9 *ἀληθεῖσ* SDUT: *ἀληθινὰσ* C 10 *διαχειρίζουσι* CUTS²: *διαχαράττουσι* S¹D
11 *ἐνθυμήμασιν* DUTS²: *ἐπιμνησθῶσιν* CS¹ 12 *καὶ τὰ μετὰ ταῦτα ἀφέλω* C
15 *τὸ* — 16 *στερήσαντες* om. D

ἐξελόντες, ἀποχρῆν ᾠήθησαν, ὥσπερ τύραννοί τινες τῶν νοημάτων
ὄντες. ἔπειτα δὲ οὐδὲν αὐτοῖς ἀτόλμητον οὐδ' ἄπορόν ἐστιν, 2
ἀλλὰ θεοὺς ἀπὸ μηχανῆς αἴρουσι, καὶ εἰς πλοῦν ἐμβιβάζουσιν
συμπλεῖν οἷς ἂν αὐτοῖς δοκῇ, καὶ ποιοῦσιν οὐ μόνον συγκαθημένους,
ἂν οὕτω τύχῃ, τοῖς ἀνθρώποις, ἀλλὰ καὶ συμπίνοντας καὶ λύχνους
ἔχοντας φῶς ποιοῦντας. καὶ ταῦτά γε δὴ οὕτω μεγαλοπρεπεῖς 3
82 D εἰσιν ⟨καί⟩, ἀφ' οὗ πᾶς ὅδε ὁ λόγος ὡρμήθη [ὥς εἰσιν] εὐδαίμονές τε
καὶ κατ' αὐτὸν τὸν Ὅμηρον 'ῥεῖα ζώοντες', ἐπειδὰν ποιῶσι τοὺς
ὕμνους καὶ παιᾶνας τοῖς θεοῖς· δυεῖν στροφαῖν ἢ περιόδοιν ἀπ-
επλήρωσαν τὸ πᾶν. καὶ 'Δᾶλον ἀμφιρύταν' εἰπόντες ἢ 'Δία τερ-
πικέραυνον' ἢ 'πόντον ἐρίβρομον', καὶ παρελθόντες ὡς Ἡρακλῆς
εἰς Ὑπερβορέους ἀφίκετο καὶ ὡς Ἴαμος ἦν μάντις παλαιὸς ἢ ὡς
83 D τὸν Ἀνταῖον Ἡρακλῆς, ἢ Μίνωα ἢ Ῥαδάμανθυν προσθέντες ἢ
48 J Φᾶσιν ἢ Ἴστρον, ἢ ὡς αὐτοὶ 'θρέμματα Μουσῶν' εἰσι καὶ ἄμαχοί
τινες εἰς σοφίαν ἀναφθεγξάμενοι, αὐτάρκως σφίσιν ὑμνῆσθαι
νομίζουσιν, καὶ οὐδὲ τῶν ἰδιωτῶν οὐδεὶς πλέον ἐπιζητεῖ παρ'
αὐτῶν. οὕτω δὲ σφόδρα αὐτοὺς ἱεροὺς ἄγομεν καὶ σεμνύνομεν 4
ὥστε καὶ αὐτοὶ τοῦ ποιεῖν τοὺς ὕμνους τοῖς θεοῖς καὶ προσ-
αγορεύειν τούτοις παρακεχωρήκαμεν, ὥσπερ προφήταις ὡς ἀληθῶς
οὖσι τῶν θεῶν. ᾧ δὲ καὶ τὸ προσῆκον ὀρθῶς ὑποθέσθαι καὶ
διαχειρίσαι τοῖς πᾶσιν ἐξητασμένως ἔστι καὶ διὰ πάσης ἐλθεῖν

1 νοημάτων Canter: ὀνομάτων O 3 θεοὺς κτἑ.] una sola Minerva Odysseae respicitur (Wil.); β 270 sqq. γ 51 sqq. 5 τύχῃ CU: τύχοι SDT λύχνους— ποιοῦντας] Hom. τ 34 Ἀθήνη χρύσεον λύχνον ἔχουσα φάος . . ἐποίει 6 γε C: om. SDUT 7 καὶ add. Kaibel et ego ὁ C: om. SDUT ὥσ εἰσιν secl. Kaibel et ego ὡσ S¹DU¹T, ὥστ' S²U², om. C; vv. ἀφ' — ὡρμήθη a v. εὐδαίμονες seiungi nequeunt, cf. p. 352, 6 7. 8 τε καὶ C: om. SDUT; τε delet Wil. 9 δυεῖν scripsi (cf. p. 117, 17), δεῖν στροφαῖν ἢ περιόδοιν C: αἱ δὲ στροφαὶ ἢ περίοδοι SDUT 10 ἀμφιρρύταν DUTS², ἀμφιρύτων S¹; incerti poetae ἢ Δία Canter: ἠδὲ O (ἢ δὲ C); e. g. Hom. Α 419 11 πόντον ἐρίβρομον] incerti poetae παρελθόντες] παρενθέντες ci. Rsk., διελθόντες Kaibel; post prooemium (vv. Δᾶλον — ἐρίβρομον significatum) in ipsum carmen deveniunt poetae; interpretatio firmatur vv. ὡς —Ὑπερβορέους, quibus διήγησιν Pind. O III 11 sqq. (ibid. 14 Ἴστρον, cf. v. 14) spectat; denique v. 14 ἢ ὡς κτἑ. extremi carminis (πρόφαντον σοφίᾳ Pind. O. I 107) 12 ὡς Ἴαμος ἦν Canter: ὥσ ἄνοσ ἦν S, ὅσα νοσὴν C, ὡσ ἰανὸσ ἦν DUT; Pind. O. VI 43. 50 13 Ἀνταῖον] Pind. Isth. III 70 sqq. ἢ μίνωα ἢ ῥαδάμανθυν CTS² mg., ἢ μίνωσ ἢ ῥαδάμανθυσ U (at ω sup. -ωσ et ν sup. -υσ add. pr. m.) S² inter verba: ἡμῖν ἢ ὁ ῥαδάμανθυσ S¹D 14 θρέμματα Μουσῶν] incerti poetae 15 ὑμνῆσθαι Rsk.: ὑμνεῖσθαι O 18 αὐτοὶ τοῦ C: αὐτὸ τὸ SDUT; cf. p. 356, 7 sq. 20 ᾧ δὲ καὶ scripsi ad Reiskii καὶ οὐδὲ ⟨ᾧ⟩: οὐδὲ καὶ C, καὶ οὐδὲ SDUT; ad χρῆσθαι p. 354, 2 obiectum (ᾧ, quod explicat ibid. v. 3) desideratur; iunge καὶ — καὶ — καὶ: εὕρεσις, τάξις, λέξις; οὗ δὲ [καὶ] Wil. 21 τοῖς πᾶσιν] cf. ad p. 226, 7

ἀκριβείας εἰς ὅσον ἀνθρώπῳ δυνατὸν τέτακται, οὐδὲν ἡγούμεθα
δεῖν πρός γε τοὺς θεοὺς χρῆσθαι· ἀλλ᾽ ἐπὶ μὲν τὰ ἄλλα πάντα
ἀγωνίσματα τῷ λόγῳ χρώμεθα, καὶ πανηγύρεις τε ἐγκωμιάζομεν
καὶ πράξεις ἀνδρῶν καὶ πολέμους ἀφηγούμεθα καὶ μύθους ποιοῦ-
μεν κἀν τοῖς δικαστηρίοις ἀγωνιζόμεθα καὶ πρὸς πάνθ᾽, ὡς ἔπος
εἰπεῖν, ἡμῖν ἔπεισιν ὁ λόγος, πρὸς δὲ τοὺς θεοὺς αὐτοὺς τοὺς
δόντας ἡμῖν αὐτὸν οὐ παντάπασιν ἀξιοῦμεν χρῆσθαι τούτῳ. ἀλλ᾽
ὑπὲρ μὲν τῶν ἱερῶν αὐτῶν καὶ τῶν τελουμένων θυσιῶν λόγῳ πεζῷ
διηρήκαμεν ἃ χρὴ ποιεῖν, νόμους γράψαντες· ὕμνους δὲ οὐχ ἡγού- 84 D
5 μεθα δεῖν κατὰ τοῦτον τὸν τρόπον ποιεῖν. πότερον οἱ μὲν ποιηταὶ
χρήζουσι τῶν θεῶν, ἡμεῖς δὲ — ὃ μὴ θέμις εἰπεῖν; ἀλλὰ μὴν τοῦτό
γε καὶ παρ᾽ αὐτῶν τῶν ποιητῶν μαρτυρεῖται ὅτι ʿπάντες δὲ θεῶν
χατέουσ᾽ ἄνθρωποιʾ· πάντας οὖν καὶ τιμᾶν αὐτοὺς εἰκὸς ἀπὸ τῆς
6 ὑπαρχούσης ἑκάστοις δυνάμεως. ἀλλ᾽ οἱ ποιηταὶ μόνοι θεοφιλεῖς
εἰσιν καὶ παρὰ τούτων οἱ θεοὶ ἥδιστα δέχονται τὰ δῶρα; τί οὖν
7 οὐ καὶ ἱερέας τῶν θεῶν μόνους τοὺς ποιητὰς ἐποιήσαμεν; ἀλλ᾽
ὅτι νὴ Δία καὶ οἱ προφῆται τῶν θεῶν ὁπόσοι μαντικοὶ μέτρῳ
σημαίνουσιν ἃ χρὴ ποιεῖν; τὰ δέ γε πλείω νὴ Δία χωρὶς μέτρου
ἡ πρόμαντις αὐτὴ ἡ ἐν Δελφοῖς, αἱ ἐν Δωδώνῃ ἱέρειαι, Τροφώ-
8 νιος, τὰ ἐξ Ἀσκληπιοῦ καὶ Σαράπιδος ὀνείρατα. ἀλλὰ μὴν κατὰ
φύσιν γε μᾶλλόν ἐστιν ἀνθρώπῳ πεζῷ λόγῳ χρῆσθαι, ὥσπερ γε
καὶ βαδίζειν, οἶμαι, μᾶλλον ἢ ὀχούμενον φέρεσθαι. οὐ γὰρ μέτρα 49 J
πρῶτον ἐγένετο, εἶθ᾽ οὕτως εὑρέθη λόγος καὶ διαλέγεσθαι, οὐδὲ
ποιηταὶ γενόμενοι καὶ τὰ ὀνόματα οἷς δεῖ χρῆσθαι διέθηκαν, ἀλλ᾽
ὄντων ὀνομάτων καὶ λόγου πεζοῦ χάριτός τινος ἕνεκα καὶ ψυχα- 85 D
γωγίας ἡ τούτων ἐργάτις ὕστερον εἰσῆλθε ποιητική. ὥστ᾽ εἰ τὴν
φύσιν τιμῶμεν, αὐτὴν τὴν τῶν θεῶν διάταξιν καὶ βούλησιν τι-
μῶντες ἂν εἴημεν, καὶ εἰ τὸ πρότερον καὶ πρεσβύτερον καὶ κατ᾽
αὐτοὺς ἄμεινον τοὺς ποιητάς, τιμιώτερον ἂν ποιοῖμεν τῇ τοιᾷδε
προσρήσει προσαγορεύοντες τοὺς ἅπαντα ταῦτα διαθέντας θεούς,
ὥσπερ γε καὶ ἡμᾶς αὐτοὺς ἄνευ μέτρων προσαγορεύοντες οὐκ

---

1 ἀ̅ν̅ο̅υ̅ ωι δυνατον C; ωι correctura genetivi; τέτακται ex εἰς ὅσον pendet (non ex ᾧ δὲ p. 353, 20) 2 τἆλλα C 5 ἀγωνιζώμεθα C 6 ἔπεισι λόγοσ C 9 διηρήκαμεν S: διειρήκαμεν CDTU(at ει in ras. U[1]?) 10 πότερ᾽ C 12 αὐτῶν] α/////των S[1] agnoscitur δὲ καὶ θεῶν D; Hom. γ 48 13 πάντασ DU: πάντεσ C, πάντα ST τιμὰσ C 21 ἀνθρώπων C 24 καὶ C: om. SDUT δεῖ] δὴ T 25 ἕνεκα omissum add. S[2] mg. 27 τιμῶντεσ S (at μεν s. l. add. pr. m.) C αὐτὴν τὴν scripsi: τὴν αὐτὴν S[1]CUT: τὴν αὐτῶν DS[2] 28 εἰ abesse voluit Rsk.; at vv. καὶ κατ᾽ — ποιητάς praedicatum: εἰ τὸ πρότερον καὶ πρεσβύτερον . . (ἐστι) καὶ . . ἄμεινον 29 ποιοῖμεν UT: ποιῶμεν SCD τῇ om. U 30 προρρήσει et διατεθέντασ C

αἰσχυνόμεθα. Ταῦτα οὐ τὸ τῶν ποιητῶν ἀτιμάζων γένος εἶπον 9
οὐδ᾽ ἀφαιρούμενος ἣν ἔχει τάξιν, ἀλλ᾽ ἐξ αὐτῶν τῶν ἐκείνοις
συγκεχωρημένων ἀποδεικνὺς ὅτι καὶ ταῦτα δικαίως ἂν προσνο-
μίζοιμεν ὥσπερ ἱερεῖα πρὸς τοῖς οὖσιν. καὶ εἰ τὸ κατὰ φύσιν
ἐφ᾽ ὅτου ποτ᾽ ἂν εἴπῃς μᾶλλον κεχαρισμένον τοῖς θεοῖς,
μᾶλλον ἂν ἐκ τῶν εἰκότων χαριζοίμεθα αὐτοῖς οὕτω τι-
μῶντες ἢ ᾽κείνως, καὶ μᾶλλόν γ᾽ ἂν ἡμᾶς οἱ θεοὶ τιμῷεν, εἰ τὰ
πρεσβεῖα ἀποδιδοῖμεν τοῖς αὐτοῖς οἷσπερ ἐκεῖνοι, ἐπεὶ καὶ τὸ
μέτρον αὐτὸ τὴν μὲν εὐφημίαν τοῦ ὀνόματος τοῖς ποιηταῖς νέμει,
τῇ δὲ χρείᾳ πολὺ μᾶλλον ἡμέτερόν ἐστιν. ἐκεῖ μὲν γὰρ τὸ ἔπος 10
86 D ⟨ἢ τὸ⟩ ἰαμβεῖον μετρεῖ μόνον, εἰ πληροῖ τὸν τόνον, ἐνταῦθα δὲ ὅλον
καταμετρεῖ τὸν λόγον καὶ διὰ παντὸς ὡς ἀληθῶς δίεισιν, καὶ
ἄρχεταί γε εὐθὺς ἐκ τοῦ ὀνόματος. οὔτε γὰρ ὑπερβαλεῖν οὔτ᾽
ἐνδοτέρω τῆς ἀξίας ἐλθεῖν ἐᾷ, ἀλλ᾽ ἑκάστῳ τὸ γιγνόμενον ἀπο-
διδόναι κελεύει. ἔπειτα παρεμβαλεῖν οὐκ ἐᾷ περιττά, ὃ γελοῖόν
ἐστιν, εἵνεκα τοῦ μέτρου· ἔπειτα ἐπὶ τὰς περιόδους ἐλθὸν ἀπαι-
τεῖ τὸ αὔταρκες, ἁπάντων, οἶμαι, μέτρων χαλεπώτατον, καὶ ἐπὶ
πᾶσιν αὖ δὴ τοῦθ᾽ ὃ προεῖπον (V. 12), εἰ τὰ σύμπαντα συμμετρίαν
ἔχει, καὶ τὸν σκοπὸν τὸν προταθέντα εἰ πεπλήρωκεν ἐπισκοπεῖ.
50 J ὥσπερ οὖν τὰ κατ᾽ ἀγορὰν μέτρα οἷς νομίζομεν ἔστιν, οἶμαι, 11
τοῦθ᾽ ὃ καλεῖται, οὐ μέντοι τό γε τοῦ μέτρου τυγχάνειν παρὰ
τοῖς καπήλοις μάλιστ᾽ ἂν φήσαιμεν εἶναι, ὅτι χοίνικα καὶ κοτύλην
κέκτηνται, ἀλλὰ ταῦτα μέν ἐστι τὰ καθ᾽ ἕκαστα μέτρα, μᾶλλον
δὲ ὀνόματα ὡς εἰπεῖν μέτρου, τὸ δὲ ὅλον μέτρον, εἰς ὃ καὶ τού-
των δεῖ πολλάκις καὶ πρὸς ὃ πάντα ἀναφέρειν χρὴ περὶ παντὸς
πράγματος καὶ τὸ ὡς ἀληθῶς τοῦ παντὸς ἄξιον καὶ φέρον εἰς
ἀρετήν, ἄλλο τι καὶ εἰδέναι καὶ ἔχειν φαῖμεν ἄν, οὕτω καὶ ἐνταῦ-
θά ἐστιν τὰ μέτρα παρὰ τοῖς ποιηταῖς τὰ καθ᾽ ἕκαστα, οἶμαι,
ταῦτα, οὐ μέντοι τό γε ὅλον μέτρον πρὸς αὐτοῖς. καὶ μάλιστα 12

---

1 ταῦτ᾽ οὐ C, ταῦτα γ᾽ οὐ U τὸ om. C 4 ὡσ περὶ ἱερεῖα C 5 εἴποισ UT 7 ἢ ἐκείνωσ SDUT καὶ μᾶλλόν — 8 πρεσβεῖα ἀποδι(δοῖμεν) om. C 8 οἷσπερ Canter: ὥσπερ O 11 ἢ add. Rsk., τὸ Wil. ἰαμβεῖον U a. ras.: ἰάμβιον SCDTU p. ras. τόνον] 'versum', dictio Herodotea, cf. Stein ad Herod. I 12 13 ὀνόματος] scriptoris ὑπερβάλλειν C 14 ἐνδοτέρω] ἡ ἀξία quasi terminus ad quem oratoris ars pervenire debet; quod quae non fecerit, intus manserit; cf. Panath. I p. 319, 11 Ddf. εἴσω πίπτειν 16 ἐλθὸν CDU: ἐλθὼν ST 18 αὖ Ddf.: ἂν O δὴ om. C ὅπερ εἶπεν εἰσ συμμετρίαν ἔχει C 19 προτεθέντα U (Baroc. 136) 20 οἷσ νομίζομεν U: οἷον νομίζομεν CDT, οἱονομιζονται (ν s. l.) S, at ν s. l. add. S[2] 22 μαλιστ᾽ ἂν Junt.: μάλιστα O 23 κέκτηται S[1] 27 ἔχειν sic O 29 πρὸς scripsi: παρ᾽ O; i. e. πρὸς τοῖς καθ᾽ ἕκαστα μέτροις

*οὐδ᾽ ὀκνητέον διὰ τὴν τοῦ ὀνόματος εὐφημίαν, ὡς τῶν ποιητῶν
μόνων εἰδότων τὸ μέτρον τῶν λόγων. ἔνι γὰρ καὶ χωρὶς μέτρων* 87 D
*τῶν γε τοιούτων τυγχάνειν τοῦ μέτρου καὶ τοὐναντίον, ὥσπερ
ἰατρὸν ἄνευ σταθμῶν καὶ μέτρων ἔνεστι τὸ δέον συλλογίσασθαι
καὶ αὖ τὸν τούτοις χρώμενον διαμαρτεῖν ἀπειρίᾳ τοῦ πράγματος*
13 *εἰς ὃ δεῖ τῶν μέτρων. ἐγὼ δὲ οὐκ ἀγνοῶ μέν, ὅπερ εἶπον, ὡς
πολὺ ῥᾷον δι᾽ ᾠδῆς ἢ λόγῳ ταῦτα ποιεῖν καὶ ὡς τοῖς ποιηταῖς
παρακεχώρηται τῶν τοιούτων ἀγωνισμάτων· εἰκότως. πολλὰ γὰρ
αὐτοῖς ὑπάρχει πλεονεκτήματα καί εἰσιν αὐτοκράτορες ὅ τι ἂν
βούλωνται ποιεῖν. ἡμῖν δὲ οὔτε ‘ἀνοῖξαι πίθον ὕμνων’ οὔθ᾽ ‘ἅρμα
μουσαῖον’ οὔθ᾽ ‘ὁλκάδα μυριοφόρον’ οὔτε νεφέλας.... οὐ γρῦπας οὐδὲ
τῶν τοιούτων οὐδὲν ἔξεστιν εἰπεῖν, οὔτε θρασύνασθαι οὔτ᾽ ἐπεμ-
βαλεῖν λόγον ἔξω τοῦ πράγματος, ἀλλ᾽ ὡς ἀληθῶς δεῖ μένειν ἐν
τῷ μέτρῳ καὶ μεμνῆσθαι παρὰ πάντα ἑαυτοῦ, οἷον ἐπὶ στρατείας
τὴν τάξιν φυλάττοντα. ὅμως δὲ πειρατέον τήν γε πρόσρησιν
ἐκτελέσαι, ἄλλως τε καὶ εὐχὴν ἀποπληροῦντας, ἐπειδήπερ ἐσώθη-
μεν, καὶ ἅμα διατρίβειν περὶ μέτρου διαλεγομένους οὐ συμβαῖνόν*
14 *ἐστιν. εἶεν. σὲ γὰρ δὴ πᾶς τις ἐν παντὶ καιρῷ βοηθὸν καλεῖ,
Σάραπι· δὸς λέξαι τὸν λόγον εὐμενῶς — πάντως οὐδέν γε σοὶ ἀδύ-
νατον — ἀρχήν τε ἥτις σοι φίλη πορίζειν, καὶ ὥσπερ τὰ πρῶτα* 51 J
*ἔδωκας, οὕτω καὶ τὰ δεύτερα εἰσακούσας γενοῦ. καὶ πάντα γὰρ
πανταχοῦ διὰ σοῦ τε καὶ διὰ σὲ ἡμῖν γίγνεται ἃ μάλιστ᾽ ἂν ἡμῖν
γίγνεσθαι βουλοίμεθα.*

15 *Ὅστις μὲν δὴ καὶ ἥντινα τὴν φύσιν ἔχων ἐστὶν ὁ θεὸς ἱερεῦ-* 88 D
*σί τε καὶ λογίοις Αἰγυπτίων παρείσθω λέγειν τε καὶ εἰδέναι,
ὅσων δὲ καὶ οἵων ἀγαθῶν αἴτιος ἀνθρώποις δείκνυται, ἀρκούν-
τως τ᾽ ἂν ἐγκωμιάζοιμεν ὡς ἐν τῷ παρόντι λέγοντες καὶ ἅμα
καὶ τὴν φύσιν αὐτοῦ διὰ τῶν αὐτῶν τούτων ἔξεστιν ἐπισκοπεῖσθαι.
ἂν γὰρ ἃ δύναταί τε καὶ διαδίδωσιν εἴπωμεν, καὶ τὸ ὅστις ἐστὶ*

---

3 *τυγχάνει* C 4 *ἰατρῶν* S^1C 5 *καὶ αὐτὸν* CD *ἀπειρίᾳ* || desinit C 6 *δεῖ*] *δὴ* T 10 *δὲ οὔτ᾽* U *ἀνοῖξαι — ὕμνων*] poetae incerti *ἅρμα μουσαῖον*] cf. ad. p. 177, 20 11 *μυριοφόρον*] cf. Schmid p. 181 lacunam indicavi; et unicum *οὐ* (post *οὔτε*) molestum neque v. *νεφέλας* ab oratoribus aliena; e. g. *οὔτε νεφέλας ⟨στρατόν* (Pind. P. VI 11), *οὐχ ἱππαλεκτρυόνας, οὐ τραγελάφους⟩, οὐ γρῦπας* (cf. Aristoph. ran. 937) 12 *θρασύνασθαι* ST: *θρασύνεσθαι* DU 14 *πάντασ* D 17 *συμβαῖνόν*] sc. *τῷ τὴν πρόσρησιν ἐκτελέσαι* 18 *ἐν — βοηθὸν*] cf. p. 346, 25 20 *ἀρχήν κτέ.*] i. e. *ἀρχήν τε (πόριζε) ἥτις σοι φίλη πορίζειν*, nota dicendi brevitate (Kaibel); *ἀρχήν* dicit ipsa haec verba; *πρῶτα* § 1—13, *δεύτερα* laudes Serapidis § 15 sqq. 24 *τὴν* om. U 27 *τ᾽* SD: *γ᾽* UT 29 *τε*] *τισ* Baroc. 136 (prob. Ddf.) [*δια*]*δίδωσιν* Kaibel, fort. recte

καὶ ἥντινα ἔχει τὴν φύσιν σχεδὸν εἰρήκαμεν. οὐ γὰρ ἀλλοῖός ἐστιν
ἢ οἷος ἐκ τῶν ἔργων ἐπιφαίνεται καὶ δείκνυται. τίνα οὖν ἔργα 16
Σαράπιδος; οὐκ ἀνθρωπείας μοι δοκεῖ δεῖσθαι τοῦτ' ἔτι τῆς ἀποκρίσεως. ἀλλ' Ὅμηρος ⟨μὲν⟩ δέκα γλώττας καὶ δέκα στόματα οὐκ ἄν φησιν οἷός τε εἶναι λαβὼν τὸν τῶν νεῶν ἀριθμὸν εἰπεῖν ὅσαι τοῖς Ἀχαιοῖς εἵποντο, εἰ μὴ αἱ Μοῦσαι εἴποιεν αὐτῷ καὶ ἡγήσαιντο τοῦ λόγου· ἐμοὶ δὲ τὰ τοῦ μεγίστου τῶν θεῶν ἔργα τε καὶ δῶρα εἰς ἀνθρώπους ἀεὶ τελούμενα ἤ που σφόδρα ἀμήχανον ἁπάντων ἀνθρώπων στόματα καὶ πᾶσαν ὅση ἀνθρωπίνη φωνὴ κτησαμένῳ, εἰ μὴ θεοί τινες ὡς ἀληθῶς ἡγεμόνες τῷ λόγῳ γένοιντο. καὶ δὴ θεοὶ μὲν κεκλήσθων αὖθις, τὰ δὲ ἔργα τοῦ θεοῦ λέγωμεν — βούλεται γὰρ καὶ δίδωσι λέγειν αὐτός· οἷς ὁ τῶν ἀνθρώπων βίος διοικεῖται καὶ σῴζεται, ταῦτά ἐστιν ἔργα Σαράπιδος. ἀρκτέον δέ φασιν ἐξ ἀρχῆς. Τρία ταῦτα ἐπὶ παντὸς ἀν- 17
θρώπου θεωρεῖται καὶ συνέχει τὸν βίον, ψυχή, σῶμα, ὅσα τούτων ἐκτὸς εἰς χρείαν ἔρχεται. τούτοις δὴ πᾶσιν ἐφέστηκεν οὗτος ὁ θεός, ἐξ ἀρχῆς τε ἡμᾶς ἄγων εἰς φῶς καὶ τὴν ἑαυτοῦ ἀρχὴν καὶ
89 D *γενομένοις ὅπως ἕκαστα ὑπάρξει προνοούμενος, τὴν μὲν ψυχὴν σοφίᾳ κοσμῶν [ἡμῶν], ἣ μόνη τὴν πρὸς θεοὺς συγγένειαν ἀνθρώ-*
52 J *ποις δείκνυσι καὶ ᾗ τῶν ἄλλων θνητῶν [ἢ ζώων] διαφέρομεν, ἣ θεῶν τε αὐτῶν ἔννοιαν ἔδωκεν ἀνθρώποις καὶ ἱερὰ καὶ τελετὰς καὶ τιμὰς πάσας εὗρεν, ἔτι δὲ νόμους καὶ πολιτείαν καὶ μηχανήματα πάντα καὶ τέχνας πάσας ἐδίδαξε καὶ κατεστήσατο, καὶ ψευδοῦς καὶ ἀληθοῦς ἔδωκε διάγνωσιν, ὡς δ' εἰπεῖν, ἐποίησε τὸν βίον.*
τὴν μὲν δὴ ψυχήν, ὅπερ εἶπον (v. 19), *σοφίᾳ καθαίρων, τὸ δὲ σῶμα* 18
ὑγίειαν διδοὺς σῴζει, ἧς χωρὶς οὔτε τοῖς τῆς ψυχῆς ἀγαθοῖς χρῆσθαι οὔτ' ἄλλης οὐδεμιᾶς εὐτυχίας ἀπολαύειν ἔστι. τοσαύτην δ' ἔχει δύναμιν καὶ τιμὴν παρὰ θεοῖς καὶ ἀνθρώποις ὥστε ἐκ

---

1 *καὶ*] *καὶ τὸ* S (Baroc. 136) 2 *οἷον* D *ἐπιφαίνεται* scripsi: *ἐπιφαίνει* O *οὖν*] *γοῦν* D 4 *μὲν* add. Rsk. 5 *φησιν*] Hom. *B* 489. 491; cf. p. 376, 7 12 *λέγωμεν* UT: *λέγομεν* SD *αὐτός· οἷς* Rsk.: *αὐτοῖσ οἷσ* O; cf. p. 361, 20 14 *φασιν*] cf. Plat. Tim. 29 B. 48 B *Τρία κτἑ.*] per totam orationem provinciae cum aliorum deorum tum Osiridis in unum Serapidem collatae (cf. Drexler, Wochenschr. f. kl. Phil. 1886, 1464) 19 *ἡμῶν* secl. Jebb. cf. v. 25 (Schwarz, Zschr. f. öst. Gymn. 1885, 331) *ἡμῶν. ꩜꩜ ἣ* T, lineolae in ras. VI vel VII litt. *ἣ μόνη — 24 βίον*] invertit Plat. Prot. 322 AB; cf. ad p. 344, 7 *μόνη* omissum add. S^2 mg. 20 *ἢ ζώων* seclusi; cf. p. 343, 7. 14 22 *εὗρεν* SDU^2: *εὑρεῖν* U^1T *δὲ καὶ νόμουσ καὶ* D 24 *ἐποίησε ⟨βιωτὸν⟩ τὸν* Rsk.[2] 26 *ἧς χωρὶς κτἑ.*] cf. Ariphr. PLG. III p. 597 B.[4] (Kaibel) 28 *ὥστε ἐκ μὲν θεῶν κτἑ.*] *Ἥλιος Σάραπις* (ad p. 359, 21; Plut. Is. et Os. c. 52; Plew, de Sarap. p. 28 sq.; Head H.N. 720; at cf. etiam de Osiride Plut. l. c. [B]); inde p. 358, 3 *οὓς — προλίπῃ* 'caeci' intellegendi

*μὲν θεῶν οἴκων οὐδὲ ἐξέρχεται, οὐ πρότερόν γε ἢ ἄστρα τε ἐξ
οὐρανοῦ καὶ αὐτὸς ⟨ὁ⟩ οὐρανὸς ἐξέλθοι ποτ᾽ ἂν τῆς αὐτοῦ χώρας,
ἀνθρώπων δὲ οὓς ἂν προλίπῃ ζῶντες οἰκτείρονται μᾶλλον ἢ τε-
λευτήσαντες. μόνος δὲ ὁμοίως μὲν βασιλεῦσιν, ὁμοίως δὲ ἰδιώταις
τίμιος, ὁμοίως δὲ σοφοῖς καὶ φαύλοις, καὶ μεγάλοις καὶ ἐλάττοσι,
καὶ καλῶς καὶ τοὐναντίον πράττουσιν, τοῖς μὲν τῆς ὑπαρχούσης
εὐδαιμονίας ὄνησιν διδούς, τοῖς δὲ ἀντὶ τῶν ἄλλων δυσχερῶν
μόνος γιγνόμενος. τὴν δ᾽ αὖ μεθ᾽ ὑγίειαν περισπούδαστον ἀν-
θρώποις χρημάτων κτῆσιν καὶ ταύτην Σάραπις δίδωσιν ἄνευ πο-*
19 *λέμων καὶ μάχης καὶ κινδύνων. οὕτω διὰ παντὸς ἡμῖν εἰσι τοῦ
βίου καὶ οὐδεμία ἀργὸς χώρα παρείθη τῷ θεῷ τούτῳ, ἀλλὰ μεθ᾽* 90 D
*ὧν ἄνθρωπον δεῖ † νοεῖν, πάνθ᾽ οὗτος ἐξετάζει καὶ κατὰ πᾶν μέρος
ἐργασίαν ἔχει, ἀπὸ τῆς ψυχῆς ἀρξάμενος καὶ τελευτῶν εἰς τὰς*
20 *ἔξωθεν εὐπορίας. καὶ πεποίηκεν ἡμῖν οἷον ἁρμονίαν τὸν βίον καὶ
συνῆψε ταῖς δωρεαῖς, σοφίας ἐρᾶν δι᾽ ὑγιείας ποιήσας, ὑγίειαν
δὲ ἡδίω σὺν εὐπορίᾳ καταστήσας, τῷ δὲ μέσῳ τὰ ἄκρα οἷον γόμ-
φῳ συλλαβὼν καὶ βεβαιωσάμενος, τῇ ὑγιείᾳ τὰ τῆς ψυχῆς ἀγαθὰ
καὶ τὴν τῶν ὄντων ὄνησιν. πῶς οὖν οὐ τοῦτον ἀνακηρύττειν χρὴ
ἐν πανηγύρεσί τε καὶ πάσαις ἡμέραις κηδεμόνα καὶ σωτῆρα πάν-* 53 J
21 *των ἀνθρώπων αὐτάρκη θεόν; Καὶ μὴν καὶ τὰ ὅλα γε τοῦ βίου
μέτρα συνέχων ἀνθρώποις καὶ ταμίας ὢν τοῦ βιωσίμου, κατὰ
τοῦτ᾽ ἂν δικαίως ἅπαντα περιειληφέναι νομίζοιτο καὶ πάντα οἷον
κυβερνᾶν ἡμῶν τὸν βίον. οἱ μὲν δὴ τῆς μεγάλης πρὸς Αἰγύπτῳ
πόλεως πολῖται καὶ ἕνα τοῦτον ἀνακαλοῦσι Δία, ὅτι οὐκ ἀπολέ-
λειπται δυνάμει περιττῇ, ἀλλὰ διὰ πάντων ἥκει καὶ τὸ πᾶν πε-* 91 D
22 *πλήρωκε. τῶν μὲν γὰρ ἄλλων θεῶν διῄρηνται αἱ δυνάμεις τε
καὶ τιμαί, καὶ ἄλλους ἐπ᾽ ἄλλα ἄνθρωποι καλοῦσιν, ὁ δὲ
ὥσπερ κορυφαῖος πάντων ἀρχὰς καὶ πέρατα ἔχει. μόνος δὲ καὶ
ἕτοιμος τῷ τινος δεομένῳ τοῦτ᾽ ἐπιτελεῖν· ὥστε καὶ ἄνθρωποι*

2 ὁ addidi *αὐτοῦ* SD 3 *προλίποι* T 8 *μεθ᾽ ὑγίειαν*] alludit ad scolion PLG. III p. 645 n. 8 B.^{4} 9 *χρημάτων κτῆσιν*] Serapis est *Πλούτων* Plut. l. c. 27; Euseb. pr. ev. IV 23 (e Porphyrio) 10 *ἡμῖν εἰσι* S^{1}U: *ἡμῖν εὐμενής ἐστι* DS^2 mg., *εὐμενής ἐστιν ἡμῖν* TU^1 mg. c. *γρ.*; cf. v. 25, p. 355, 12 11 *παρείθη* UT: *παρὰ* S, om. D 12 *νοεῖν*] corruptum, expecto *ζῆν καὶ φρονεῖν* 13 *ἐργασίαν* scripsi: *εὐεργεσίαν* O; oppositum *ἀργὸς* v. 11; cf. p. 361, 10 al. *ἀπὸ* — 14 *εὐπορίας*] cf. Plat. Alc. 104 A 15 *σοφίας ⟨μὲν⟩ ἐρᾶν* Canter 20 *ἀνθρώπων* om. U (Monac. 432) 23 *τῆς — πολῖται*] Alexandrini, cf. p. 362, 4; *Ζεὺς Σάραπις*, cf. ad. p. 359, 21 et quae congessit Drexler l. c. 1435 sqq. 26 *γὰρ* D: *γὰρ οὖν* SUT 27 *καὶ ⟨αἱ⟩ τιμαὶ* Rsk. *ἄνθρωποι* legi: *ἄνθρωποι* O; item v. 29 28 *κορυφαῖος — ἔχει*] cf. p. 346, 27 sqq.; omnino ad § 21 sqq. cf. or. XLIII § 23 sqq. 29 *τοῦτ᾽ ἐπιτελεῖν* scripsi: *τοῦτον καλεῖν* O; *τοῦτ᾽* ad *τινος* redit; cf. Kavvadias, Fouill. d' Épidaure n. 1, 13 (SGDI. 3339)

περὶ μὲν τῶν ἄλλων οὐ κατὰ τὰ αὐτὰ φέρονται, ἀλλὰ τιμῶσιν
ἄλλοι ἄλλους θεούς, τοῦτον δὲ μόνον πάντες ὁμοίως τοῖς σφετέ-
ροις νομίζουσιν. διὰ γὰρ τὸ τὰς πάντων ἔχειν δυνάμεις οἱ μὲν 23
ἀντὶ πάντων τοῦτον θεραπεύουσιν, οἱ δὲ οἷς νομίζουσιν ἐφ᾽
ὁτῳοῦν καὶ τοῦτον προσνομίζουσιν ὡς κοινὸν ἁπάσης ὄντα τῆς
γῆς ἐξαίρετον. οὐ μόνον δὲ τὰς ἐν τῇ γῇ πάσας ἔχει δυνάμεις
92 D οὗτος εἷς ὢν καθ᾽ ἑκάστην, οὐδ᾽ ὥσπερ ἄλλος ἄλλῃ τέτακται
θεός, οὐδὲ κατὰ τὸν Ὁμήρου (O 187 sqq.) κλῆρον † τριῶν μοῖραν
ἔλαχε λαβών, ὡς τὸν Δία καὶ τὸν Ποσειδῶ καὶ τὸν Πλούτωνα
ἐκεῖνος ἔφη διαλαχεῖν, ἀλλὰ καὶ ἐν θαλάττῃ μέγας οὗτος ὁ θεὸς —
καὶ ὁλκάδες καὶ τριήρεις ὑπὸ τούτῳ κυβερνῶνται — καὶ ἐν αἰθέρι
καὶ νεφέλαις, . . . ἐκείνῳ μέλειν γῆς καὶ θαλάττης Ἀνάγκης λόγος
αἱρεῖ. Ὅμηρος μὲν οὖν ἔφη (O 193) τὴν γῆν ἐπίκοινον λελεῖφθαι 24
καὶ τὸν Ὄλυμπον τοῖς θεοῖς, ὁ δὲ γῆς τε κληροῦχος αὐτὸς διαφέ-
ρων καὶ τῶν ἰδίων αὖ τῶν ἄλλων μερῶν κοινωνὸς ἑκάστῳ προσ-
φαίνεται, πάντα αὐτὸς εἷς ὤν, ἅπασιν εἷς ταὐτὸν δυνάμενος,
πάσας πράξεις καὶ πάσας εὐπορίας ἐν ἅπασι καιροῖς καὶ τόποις
54 J συγκατεργαζόμενος, γῆς καὶ θαλάττης, φαῖεν ἂν ποιηταί, κληῖδας
93 D ἔχων, ἐπεὶ καὶ μετὰ τὴν ἀναγκαίαν τοῦ βίου τελευτὴν ἔτι οὗτος
ἄρχων ἀνθρώποις μένει. καὶ παρὰ τοῦτον δεῖ βαδίζειν παρ᾽ 25
αὐτοῦ, τοῦτο δὴ τὸ λεγόμενον οἴκοθεν οἴκαδε, ὡς αὐτόν. χώρους
τε ὁ διαιρῶν ἑκάστοις οὗτός ἐστιν πρὸς ἀξίαν τῆς ἐν τῇ γῇ δι-
αίτης καὶ δικαστὴς τῶν ὕστερον γιγνομένων, ἡμέρας μὲν τὰ ὑπὲρ

5 κοινὸν ὄντα τῆσ πάσησ γῆσ U 8 θεῶν U κατὰ τῶν — κλῆρον S[1], κατὰ τῶν — κλήρων D τριῶν μοῖραν] corrupta; aut ⟨τῶν⟩ τριῶν aut, quod Wil., τριῶν delendum 9 ὡς τὸν T: ὡς καὶ τὸν SDU 10 ἐν θαλάττῃ] cf. § 29. 33; in titulis *Iovi Optimo* [*Maximo*] *Neptuno Serap*[*idi*] CIL. VIII 1002, *Sarapidi Neptuno* CIL. III 3637; plura Drexler, d. aegypt. Gottheiten in d. Donauländern p. 140 sqq. 11 καὶ ἐν — νεφέλαις] Iovis regnum, Hom. *O* 192 Ζεὺς δ᾽ ἔλαχ᾽ οὐρανὸν εὐρὸν ἐν αἰθέρι καὶ νεφέλῃσιν; Plutonis regnum § 25 12 lacunam indicavi; ⟨ὥστε ἀληθῶς⟩ proposuit Kaibel μέλειν U (ν add., ut vid., postea pr. m.): μέλει T, μέλλει SD ἀνάγκησ DUS[2]: ἀνάγκην S[1]T; cf. Emped. v. 369 St. ἔστιν Ἀνάγκης ῥῆμα, Plat. Tim. 48 A 13 αἱρεῖ U: αἴρει SDT 15 αὖ τῶν] αὐτῶν SD 16 alterum εἷς] εἰσ U[1]T 18. 19 κληῖδασ ἔχων UT: κλῆδα θεῶν SD; cf. Pind. P. VIII 3 βουλᾶν τε καὶ πολέμων ἔχοισα κλαῖδας al. 20 παρὰ τοῦτον] 'illius a latere'; ψυχοπομπός est (p. 360, 2; Ἑρμάνουβις? Pauly-Wissowa R.-E. I 2646, Wiedemann, Herodots 2. Buch p. 287; Head l. c.) 21 οἴκοθεν οἴκαδε] cf. p. 205, 12 (p. 137, 20); Pind. O. VI 99 (schol. παροιμία). VII 4 ὡς αὐτόν] Iulian. or. IV p. 175, 23 H. εἷς Ζεύς, εἷς Ἅιδης, εἷς Ἥλιός ἐστι Σάραπις χώρους — διαιρῶν] ita non Aegypti, sed Graeci in mysteriis (Dieterich, Nekyia p. 72 sqq.) 22 ἀξίαν Junt.: ἀξίασ O 23 δικαστὴς Schwarz l. c.: δίκησ τῆσ O ἡμέρας — κρίσεις] Osiris Aegyptiorum Sol et iudex inferorum, cf. ad v. 21. p. 358, 9 et p. 357, 14

γῆς ἐπιών, νυκτὸς δὲ τὰς ἀθεάτους ζῶσιν κρίσεις ποιούμενος,
σωτὴρ αὐτὸς καὶ ψυχοπομπός, ἄγων εἰς φῶς καὶ πάλιν δεχόμενος,
26 *πανταχῇ πάντας περιέχων.* εἰ δέ του θεῶν, καὶ Σαράπιδος
μνησθεὶς ἀνὴρ εὐθυμίας ἅμα καὶ δέους ἐμπίπλαται· φιλανθρω-
πότατος γὰρ θεῶν καὶ φοβερώτατος ὁ αὐτός, τὸν λυσιτελῆ φόβον
ἀνθρώποις ἔχων, ὅπως μήτε ποιήσουσιν μήτε πείσονται κακῶς
ἀλλήλους μηδ᾽ ὑπ᾽ ἀλλήλων. πρὸς δ᾽ οὖν τὸν ἔλεον μᾶλλον τέ-
τραπται καὶ ὅπερ εἶπε περὶ πάντων τῶν θεῶν Ὅμηρος (I 497),
στρεπτοὺς εἶναι καὶ παραιτητούς, μάλιστα οὗτος βεβαιοῖ· τοσαύ-
27 τας στρέφεται στροφὰς ἐπὶ σωτηρίᾳ τῶν ἀεὶ δεομένων. καὶ
τοίνυν καὶ θυσιῶν μόνῳ τούτῳ θεῷ διαφερόντως κοινωνοῦσιν 94 D
ἄνθρωποι τὴν ἀκριβῆ κοινωνίαν, καλοῦντές τε ἐφ᾽ ἑστίαν καὶ
προιστάμενοι δαιτυμόνα αὐτὸν καὶ ἑστιάτορα, ὥστε ἄλλων ἄλλους
ἐράνους πληρούντων κοινὸς ἁπάντων ἐράνων οὗτός ἐστι πληρωτής,
συμποσιάρχου τάξιν ἔχων τοῖς ἀεὶ κατ᾽ αὐτὸν συλλεγομένοις. ὥσπερ
Ὅμηρος ἔφη (γ 62) τὴν Ἀθηνᾶν αὐτὴν ἅμα σπένδειν τε καὶ τελεῖν
ἕκαστα, αὐτὸς ὢν ὁμόσπονδός τε καὶ ὁ τὰς σπονδὰς δεχόμενος,
ἐπὶ κῶμόν τε ἀφικνούμενος καὶ καλῶν ὡς αὐτὸν κωμαστάς, οἳ
χορεύοντες ὑπ᾽ αὐτῷ τὴν ἀδεᾶ κακῶν χορείαν, ἅμα τοῖς στεφάνοις
τὴν ἀγαθὴν εὐθυμίαν οἴκαδε εἰσενεγκάμενοι τὴν δευτέραν ἀποδι-
28 δόασιν ⟨στροφὴν⟩ ἐπικαλεσάμενοι. παραπλησία δὲ καὶ ἡ κατὰ τὰ
ἄλλα πρὸς αὐτὸν κοινωνία, ὁμοτίμων πρὸς ὁμότιμον, οἷον ἐμπό-
ρων καὶ ναυκλήρων, οὐ μόνον δεκάτας ἀναγόντων, ἀλλὰ καὶ μερί- 55 J
την ἐξ ἴσου ποιουμένων, ὡς πρὸς συνέμπορον καὶ κοινωνὸν τῶν
διὰ μέσου πάντων· ἐπὶ τοσοῦτον ἀνθρώποις ἐγκαταμέμικται. 95 D
29 οὗτός ἐστιν ὁ τῷ ὄντι ταμίας ἀνέμων πολὺ μᾶλλον ἢ ὁ νησιώτης,
ὃν Ὅμηρος ἐποίησεν, οὗτος κύριος 'ἠμὲν παυέμεν⟨αι⟩ ἠδ᾽ ὀρνύμεν
ὅν κ᾽ ἐθέλησιν' (κ 22)· οὗτος ὕδωρ ἀνῆκε πότιμον ἐν μέσῃ θα-

---

3 *του* TS²U (at *ισ* s. l. pr. m.): *τισ* S¹D 4 *μνησθεὶς* Rsk.: *μνησθῇ* O 5 *ὁ αὐτὸσ* Baroc. 136: *αὐτὸσ* O 6 *ποιήσουσι* UT: *ποιήσωσιν* SD(-*σι*) *πείσωνται* S 11 *θεῷ* om. U 12 *ἄνθρωποι* legi: *ἄνθρωποι* O *τε* UTS²: *δὲ* S¹, *δέ τε* D 13 *αὐτῶν* T, *αὐτὸν* U, at *ῶν* s. l. add. pr. m.; cf. Plat. Tim. init. 14 *πληρούντων ἐράνουσ* U 15 *κατὰ ταυτὸν* D 18 *αὐτὸν* O 19 *ἀδεᾶ κακῶν*] quae saltantibus non noceat (non lasciva), cf. p. 251, 25; dictio audax fort. poetae 21 *στροφὴν* addidi (cf. or. XXXVI § 36 LI § 17), spatium v litt. liberum relictum S (cf. ad p. 78, 9): sine lacuna DUT; prior feriarum pars (quasi stropha) saltatio (homines apud deum), altera (antistropha) caena Serapica (Tertull. apolog. 39; deus quod homines) 22 *ὁμοτίμων* scripsi: *ὁμότιμοσ οὐ* O; *ου* primitus correctio 24 *ὡς πρὸς* scripsi: *ὥσπερ* O *συνέμπορον* Rsk.: *οὖν ἔμπορον* O 27 *παυέμεναι* Hom.: *παυέμεν* O 28 *κε θέλησιν* DU *ὕδωρ ἀνῆκε πότιμον*] cf. or. XXXVI § 10

λάττῃ, οὗτος κειμένους ἀνέστησεν, οὗτος περισπούδαστον ἡλίου
φῶς τοῖς θεαταῖς ἔδειξεν, ὧν ἱεραὶ θῆκαι βίβλων ἱερῶν ἀπείρους
ἀριθμοὺς ἔχουσιν. μεσταὶ δὲ ἀγοραί, φασί, καὶ λιμένες καὶ τὰ 30
εὐρύχωρα τῶν πόλεων τῶν καθ᾽ ἕκαστα ἐξηγουμένων. ἐμοὶ δ᾽
ἐγχειροῦντι λέγειν ἀπέραντον ἡμερῶν πλῆθος ἐπιρρυὲν ἀτέλεστον
ὁμοίως ἕξει τὸν κατάλογον. οὐδὲ γὰρ ἕστηκεν αὐτοῦ τὰ ἔργα οὐδὲ
τοσαῦτά ἐστιν ὁπόσα γέγονεν, ἀλλ᾽ ἐφ᾽ ἡμέρᾳ καὶ νυκτὶ πρόσει-
σιν ἄλλα ἐπ᾽ ἄλλοις. καὶ ὥσπερ τοῦ παντὸς αἰῶνος καθ᾽ ἡμέραν
ἑκάστην προϊόντος οὐκ ἔστιν εἰπεῖν τὸ ἀπανηλωμένον, ἀλλ᾽ ἀεὶ
τὸ ἴσον λείπεται, οὕτως οὐδ᾽ ὧν ὁ θεὸς ἔργων ἐργάζεται οὐκ
ἔνεστιν εἰπεῖν πότερ᾽ ἃ εἰλήφαμέν ἐστι τὰ πλείω ἢ τὰ μέλλοντα
ἔσεσθαι· τοσαῦτα γίγνεται. εἰ δή τις οὖν ταῦτα καταλέγειν ἐπι- 31
χειροίη, τὰ ἐκφεύγοντα διώξεται, οἷον οἱ τὰ τῶν ποταμῶν ῥεύ-
96 D ματα κατόπιν διώκοντες, καὶ ὅμοιον ποιήσει ὥσπερ ἂν εἰ πάντα
τὸν αἰῶνα ἀξιοίη ζῆν· ⟨τοῦ⟩ παντὸς γὰρ αὐτῷ δεήσει. ἀλλὰ ταῦ-
τα μὲν ἀνὰ χρόνους ἄλλα ἄλλοι βοήσονται, οἱ μὲν ἐν σφίσιν αὐ-
τοῖς, οἱ δὲ ἐν ἑτέροις ὁρῶντες γιγνόμενα. καὶ ἡμῖν ἤδη προει-
ρήσθω κοινῷ λόγῳ ὥσπερ ἐν σπονδῶν ἀπαγγελίᾳ· πάντως οὐ
δέος μὴ ψευσώμεθα. Ὃ δ᾽ οὖν ὑπεθέμεθα ἐν ἀρχῇ (p. 357, 12), 32
διὰ πάντων δείκνυται, οἷς τὸ ἀνθρώπειον φῦλον ἄγεται, ταῦτ᾽
εἶναι ἔργα Σαράπιδος, καὶ μηδέποτε ἐκφεύγειν ἡμᾶς τὸ τούτου
κράτος, ἀλλὰ καὶ ⟨νῦν⟩ σῶς εἶναι καὶ ὕστερον εἶναι τὴν παρὰ τούτου
56 J πρόνοιαν. προέστηκε δὲ καὶ πάντων ζῴων γενέσεως καὶ τροφῆς, καὶ
πολλὰ τῶν ἱερῶν θρεμμάτων ὥσπερ ἄνθρωποι πρὸς τοῦτον δι-
αιτᾶται. οὗτος ἄγει Νεῖλον ὥρᾳ θέρους, οὗτος χειμῶνος ἀνακα-
λεῖ, οὗτος δύο καὶ τετταράκοντα ἱερὰ κατ᾽ Αἴγυπτον, οὗτος πάν-
97 D τας τοὺς ἐν τῇ γῇ νεὼς συνέχει τε καὶ κοσμεῖ, φύλαξ τῶν φανερῶν

---

1 *οὗτος περισπούδαστον κτἑ.*] studia astronomica pontificum (*ἱεραὶ θῆκαι*) Aegyptiorum significat: effecit deus (qui Sol) ut studio solis vacarent (*περισπούδαστον*) 3 *ἀγοραὶ δὲ μεσταὶ* D *φασί*] Arat. ph. 2 sq., cf. p. 346, 4 4 fort. *τῶν ⟨τὰ⟩ καθ᾽* 6 *ἕστηκεν* SU: *ἕστη* DT 7 *πρόσεισιν* S a. ras. T: *πρόσεστιν* D, *πρόεισιν* US p. ras. 12 *γίνεται* O 13 *ἐκφεύγοντα διώξεται*] proverbium, cf. Panath. I 200, 8 *τῷ λόγῳ ὡς ἄρ᾽ οὐ τὰ φεύγοντα διώκουσιν*; Callim. ep. 31, 5 (Paroemiogr. Gr. I 345 ad *ἀκίχητα διώκεις*) 14 *ἂν* om. U 15 *τοῦ* add. Rsk.², cf. p. 339, 8 18 *σποδῶν* U¹T *ἀπαγγελίᾳ* Canter: *ἐπαγγελία* O(-ᾳ D) 22 *νῦν* addidi *σῶς εἶναι* scripsi: *σώζειν* O; 'quod et nunc et post mortem salvi sumus, eius est providentia' 23 *προέστηκε* — 25 *διαιτᾶται*] cf. Wiedemann l. c. p. 272 sqq. *δὲ* om. S sic 25 *ἄγει*] *αἴρει* ci. Schwarz l. c. p. 332, inutiliter; cf. ad p. 302, 6 *χειμῶνος* Canter: *χειμῶνασ* O 26 *δύο καὶ τετταράκοντα ἱερὰ*] ita ut numerus numero *νομῶν* Aegypti respondeat (cf. Wiedemann l. c. p. 584); erant Osiridis proprie

καὶ τῶν ἀπορρήτων, ἡγεμὼν ἀνθρώπων καὶ δαιμόνων. καὶ ἡμῶν ἤδη μεταστρέφει τὸν λόγον πρὸς αὐτόν, καὶ προσειποῦσιν ὥρα καταπαύειν.

33 *Ω τὴν καλλίστην ὧν ἐφορᾷς κατέχων πόλιν, ἥ σοι τὴν δι᾽ ἔτους πανήγυριν πληροῖ, ὦ κοινὸν ἅπασιν ἀνθρώποις φῶς, ἡμῖν τε δὴ πρώην περιφανῶς γενόμενος, ὅτε ἐπιρρεούσης τῆς θαλάττης καὶ πολλῆς πάντοθεν αἰρομένης καὶ οὐδενὸς δρωμένου πλὴν τοῦ μέλλοντος καὶ σχεδὸν ἤδη παρόντος ὀλέθρου χεῖρα ἀντάρας οὐρανόν τε κεκρυμμένον ἐξέφηνας καὶ γῆν ἔδωκας ἰδεῖν καὶ προσορμί-*
34 *σασθαι, τοσοῦτον παρ᾽ ἐλπίδα ὥστ᾽ οὐδ᾽ ἐπιβᾶσι πίστις ἦν. τούτων τε δή σοι πολλὴ χάρις, ὦ πολυτίμητε, καὶ τὰ νῦν μὴ πρόες με, ἀλλ᾽ ἀνάσωσον βεβαίως, τόν τε ὕμνον τόνδε ὡς ἐν τοιούτοις πεποιημένον προσοῦ φαιδρῶς, χαριστήριον μὲν ἐκείνων τῶν ἔμπροσθεν, ἱκετηρίαν δὲ καὶ παράκλησιν περὶ τῶν μελλόντων, ἡδίω καὶ βελτίω τῶν παρόντων γενέσθαι.*

XLVI.

(3) ΙΣΘΜΙΚΟΣ ΕΙΣ ΠΟΣΕΙΔΩΝΑ.

I 29 D
I 17 J

Ἐπειδὴ τῆς γε Ὀλυμπικῆς πανηγύρεως ἀπελείφθην, τύχῃ τινὶ ἀδυνάτως ἔχων κατὰ τὸ σῶμα συμμετασχεῖν ὑμῖν τῶν γιγνομένων, κινδύνου τε εἰς ἔσχατον ἐλθὼν ἐκ τοῦ τότε μοι συμπεσόντος νοσήματος, Διός γε Σωτῆρος τυχὼν καὶ Ποσειδῶνος ἀδελφοῦ Διὸς Ἀσφαλίου, καὶ τινος οἷον λιμένος τῆς τε παρούσης ταύτης ὑγιείας τε καὶ σωτηρίας λαβόμενος καὶ τῆς διατριβῆς τῆς μεθ᾽ ὑμῶν,
2 *πρὸς δὲ καὶ λόγου διαγγελθέντος ἐπὶ τούτῳ τοιούτου τινός, ὡς*

Oratio XLVI: libri SDUT = O

---

2 *αὐτὸν* S¹DU *προσειποῦσιν*] *οῦ* in ras. corr. et *ν* add. S² 4 *ὧν — πόλιν*] Hom. *Γ* 277 (*Ἥλιος* i. e. *Σάραπις*); Iulian. ep. 51 init. (de Alexandria) *πολιούχου θεοῦ . . . Σαράπιδος*; Eupol. frg. 290 K. *ὦ καλλίστη πόλι πασῶν, ὅσας Κλέων ἐφορᾷ* confert Kaibel 5 *πανήγυριν*] cf. ad or. IL § 48 8 *ἀνταίρασ* S 11 *πρόες* Canter: *πρόη* 13 *φαιδροῦ* S. — Subscr. *εἰσ τὸν σάραπιν* ST

Tit. *ἰσθμικὸσ εἰσ ποσειδῶνα* UT, *ἰσθμικόσ* S; om. D; cf. p. 363, 15 16 *ἐπειδὴ*] apodosis 363, 7 *ἔγνων* post *τινὶ* eras. *δὲ* S 17 *κατὰ* omissum add. D¹ mg. 20 *ὑγείασ* DU 22 *τούτω* UT: *τούτον* SD

ἄρα ἐπόθουν τινὲς τὴν ἐμὴν παρουσίαν, — καὶ τούτων οἳ
ἐμφανέστατοι —, οὐ δι' ἐμὲ τοσοῦτον, ὥς γε ἐγὼ νομίζω, οὐδὲ
διὰ τοὺς λόγους τοὺς ἐμούς, ἀλλ' ἐνδεικνύμενοι τό τε γενναῖον
καὶ τὸ φιλότιμον τὸ περὶ ταῦτα καὶ τὴν πρὸς τοὺς πρεσβυτέρους
τιμήν τε καὶ εὔνοιαν ὁπόσοις ὁ βίος ἐν τούτοις, ὑφ' ὧν καὶ πρό-
τερον ἡσθέντας πολλάκις ἑαυτοὺς μέμνηνται καὶ ἡδίους γενομένους
ἐν ταῖς κοιναῖς τῶν Ἑλλήνων πανηγύρεσιν, ἔγνων μὴ ὀκνητέον
εἶναί μοι διὰ ταῦτα παρελθεῖν εἰς ὑμᾶς, ἀλλ' ἅμα ἐν τῷ αὐτῷ
ἀποτιστέον διπλῆν ἔκτισιν δυοῖν ἀδελφοῖν, τὴν μὲν προτέραν τε
30 D καὶ πρεσβυτέραν καὶ τρόπον τινὰ εἰωθυῖαν, τὴν δὲ νῦν ἄρξεσθαι
18 J μέλλουσαν. εἶναι γὰρ οὐδὲ εὐαγὲς ἴσως ἐμὲ πανταχοῦ τοῦ θείου 3
μεμνημένον καὶ σχεδὸν τῆς πλείστης μοι διατριβῆς τῶν λόγων
περὶ ταῦτα οὔσης παρεωρακέναι δοκεῖν τὸν ἀπὸ τῶν λόγων ἔρανον
πρὸς μόνον θεῶν τοῦτον, καὶ μηδένα εἶναι λόγον ἐπώνυμον ἐμὸν
μήτε τοῦ θεοῦ αὐτοῦ μήτε τοῦ τόπου τούτου ἐν ᾧ νῦν ἐσμέν, ἀλλ'
ὠλιγωρῆσθαι πρᾶγμα τηλικοῦτον· ὑπὲρ οὗ καλῶς ἂν ἔχειν ἴσως
καὶ ἐξιλάσασθαί μοι τὸν θεὸν [πρότερον] καὶ ἐξευμενίσασθαι, τῶν
μὲν πρότερον συγγνώμην ἔχειν, εἰ ἄρα τι παρῶπταί μοι εἰς ταῦτα,
τὰ δὲ παρόντα ταῦτα εὐμενῶς προσδέξασθαι καὶ ἵλεῳ τῇ γνώμῃ
[καὶ] τἄλλα τε ἀγαθὰ διδόναι καὶ εἰπεῖν τι οἷον χρή· κἂν ὡς ἑτέ-
ρως συμβαίνῃ, πρὸς τὴν ἐμὴν δύναμιν ὁρᾶν, καὶ μὴ πρὸς τὸ τοῦ
λόγου μέγεθος ἀμύθητον ὂν καὶ ταὐτὸν ἀτεχνῶς τὸ λέγειν τι περὶ
τούτων καὶ ἐγχειρεῖν ὥσπερ ἂν εἴ τις ἐξαριθμεῖσθαι βούλοιτο
τοὺς χόας τῆς θαλάττης. οὐ μὴν ἀλλ' ἐπειδὴ καὶ τὰ μέγιστα τῶν 4
πελαγῶν καὶ ἀνήνυτα παρέχειν ὁ θεὸς οὗτος εἴωθε πορεύσιμα,
καὶ ἐνίοτέ γε καὶ ἐξ οὐρίων οἷς ἂν ἵλεως ὢν τυγχάνῃ, ἀνήχθω καὶ
νῦν ἡμῖν ὁ περὶ αὐτοῦ λόγος, καὶ ἀνήφθω γε ἐξ αὐτοῦ τοῦ θεοῦ
πρυμνησίου τινὰ τρόπον, ὡς ἂν εἴποι τις.
Ὅσα μὲν οὖν εἰς τὴν τῶν ὅλων φύσιν ἀνάγειν ἀξιοῦντες οἱ 5
31 D πρῶτοι ταῦτα φιλοσοφήσαντες τοὺς περὶ τοῦ θεοῦ τούτου λόγους

---

1 οἳ legi: οἱ O; καὶ τοῦτο οἱ ci. Rsk. 2 οὐ δι' ἐμὲ κτἑ.] cf. p. 338, 8sq. ὥς — νομίζω omissa add. U¹ mg. 5 ὑφ' U (ci. Rsk.): καὶ ὑφ' SDT; ad constructionem acc. c. part. cf. p. 51, 9 9 τὴν μὲν κτἑ.] sc. sacrificandi 10 ἄρξεσθαι] ε in ras. U¹, ἄρξασθαι D 14 θεὸν D 15 αὐτοῦ μήτε scripsi: μήτε αὐτοῦ O; μητ' αὖ τοῦ τόπου ci. Kaibel (et ego olim), αὐτοῦ delet Wil. 17 πρότερον seclusi, cf. v. 17 20 καὶ secl. Wil. 20. 21 ἑτέρ^{ω} S (ἑτέρῳ Baroc. 136 Monac. 432) 22 ταὐτὸν scripsi ad Reiskii ταυτὸν ὂν: ταῦτα O 23 ἐξαριθμεῖσθαι — θαλάττης] proverbium, cf. Kock CAF. 496 frg. 467 (qui falso versum hinc fabricatus est) et ad p. 377, 1 24 τοὺς] τὰσ D 25 οὗτος Rsk.: αὐτὸσ O 29 ὅσα μὲν οὖν] apodosis p. 364, 16 ταῦτα

*. . . . . πᾶν ὅσον ὑγρὸν ἐν τῷ παντί, ἤτοι μέρος ὂν τὸ μέγιστον
τοῦ σύμπαντος ἢ καὶ τὸ σύμπαν αὐτὸ τοῦτο, λέγω δὲ τὴν ὑγρὰν
οὐσίαν οὕτω κληθεῖσαν — καθὰ καὶ ὁ τῶν ποιητῶν λόγος μαρτυρεῖ
γένεσιν τοῦτ' εἶναι θεῶν φάσκων, ὥς που εἴρηται 'Ὠκεανόν τε
θεῶν γένεσιν'* (Hom. *Ξ* 201) *ἐν ἑτέρῳ ὀνόματι τῷ τοῦ Ὠκεανοῦ,
καὶ τροφήν τε καὶ ζωὴν ξυμπάντων ὁπόσα τε θεῖα καὶ τῆς κάτω*
6 *μοίρας· καὶ διὰ τοῦτο καὶ ὅρκον τοῦτ' εἶναι μέγιστον θεῶν ἐν
ἑτέρῳ πάλιν ὀνόματι τῷ τῆς Στυγὸς ὕδατι· καὶ ὡς θεοὺς πηγὰς
καὶ ποταμοὺς ἐνόμιζον οἱ πρῶτοι μεγίστους τε καὶ πρώτους, καὶ
ἔτι γε νάματα· καὶ εἶναί τε πάντα ἐνθένδε ὁπόσα γενέσεως μέτοχα* 19
*καὶ ἀπιέναι πάλιν ἐκεῖσε κατὰ τὴν φθορὰν αὐτῶν, καὶ τοῦτ' εἶναι
τὴν ἀρὰν τὴν Ὁμήρου ἐπαρωμένου εἰς ὕδωρ πάντα ἐλθεῖν, ὡς
ἔχει καὶ τὸ ἔπος* (*H* 99)

ἀλλ' ὑμεῖς γε πάντες ὕδωρ καὶ γαῖα γένοισθε·

7 *καὶ ὅσα ἄλλα τοιουτότροπα ὑπό τε ἀνδρῶν καὶ ποιητῶν σοφῶν
εἴρηταί τε καὶ ἐξεύρηται, ταῦτα μὲν ἤτοι τέλεον ἡμῖν παρείσθω
ἢ ἐπὶ τοσοῦτον εἰρήσθω ἐν γοῦν τῷ παρόντι. ἃ δέ ἐστι κοινὰ
πάντων καὶ γνώριμα καὶ ἐν τοῖς πάντων ὀφθαλμοῖς, τούτων δὲ
καὶ νῦν ἂν πως πρέποι μνησθῆναι· ἔστι δὲ οὐδὲ ταῦτα καθ'*
8 *ἑαυτά, ἀλλὰ καὶ αὐτὰ σὺν μάρτυσι τοῖς ποιηταῖς λεγόμενα. Ὁμο-
λογοῦνται μὲν γὰρ Κρόνῳ τρεῖς παῖδες γενέσθαι ἐκ Ῥέας* [*τῆς μη-* 32 D
τρὸς αὐτῶν], *Ποσειδῶν καὶ Ζεὺς καὶ τρίτος ὃν ἐπὶ τούτοις ἀκού-
ομεν· καὶ δῆτα διαλαχεῖν ἐπὶ τούτοις τὸν κλῆρον τοῦ πατρός,
τὸ πᾶν τοῦτο νομῇ δικαιοτάτῃ δασάμενοι, Δία μὲν σχεῖν τόν
τε οὐρανὸν καὶ τὸν αἰθέρα καὶ τὰ ἐν τούτοις καὶ αὐτόθεν ὁρμᾶ-
σθαι, τὸν δὲ Ποσειδῶ τὴν θάλατταν, τὸν δὲ τρίτον ἀδελφὸν τὸν*
9 *ὑπὸ γῆς τόπον. θεασώμεθα δὴ νῦν ἐν ἡμῖν αὐτοῖς πότερος αὐ-
τῶν τὴν ἀρχὴν φιλανθρωποτέραν ἐποιήσατο τὴν αὑτοῦ καὶ κοινο-
τέραν, πότερον ὁ μηδὲ μεταδοὺς μηδὲν αὐτῆς μηδενί, ἢ ὁ μετα-
διδοὺς μέν, οὐ πρότερον δὲ πρὶν* [*ἢ*] *οἴχεσθαι, ἢ ὁ ζῶντάς τε*

---

1 lacunam post *λόγους* ind. Rsk. (post *σύμπαντος* v. 2 Canter); desidero e. g. ⟨*ἐξήνεγκον ὡς ὄντα αὐτὸν ἀτεχνῶς*⟩ *ὂν* US p. corr.: *ὢν* S a. corr. DT 6 *κάτω* omissum add. S² mg. 7 *τοῦτ' ἂν εἶναι* S, *ἂν* expunctum 11 *τοῦτ' εἶναι* DU: *τεῖναι* ST 14 *γε*] *μὲν* Hom. 17 *ἢ ἐπὶ* SD: *ἢ καὶ ἐπὶ* UT 19 *πρέποι* sic O 20 *αὐτὰ* scripsi: *ταῦτα* O; sicut illa (§ 5. 6) philosophorum *ὁμολογοῦνται — παῖδες* Rsk.²: *ὁμολογεῖται — παῖδασ* O 21 *τῆς μητρὸς αὐτῶν* seclusi; nisi ex matre homo non nascitur; cf. Hom. *O* 187 22 *τρίτον* U¹ 23 *διαλαχεῖν ἐπὶ τούτοις — 24 σχεῖν*] 'divisisse ea condicione . . ut acciperet'; ad omissum *ὥστε* cf. Thuc. II 70, 5 *ἐπὶ τοῖσδε οὖν ξυνέβησαν ἐξελθεῖν αὐτοὺς κτἑ.* 24 *δασάμενοι* scripsi: *δασαμένουσ* O 27 *γῆν* UT *θεασόμεθα* D *δὴ* Junt.: *δὲ* O 28 *αὐτοῦ* SD 29 *αὐτῆσ μηδὲν μηδενὶ* D *ἢ* seclusi: *ἢ πρὶν* SD, *πρὶν ἢ* UT *ὁ* om. S

ὑποδεχόμενος ἅπαντας καὶ παρέχων ἑαυτῷ συζῆν καὶ συνεῖναί τε καὶ συμπολιτεύεσθαι καὶ ἐπεργάζεσθαι τὸν κάλλιστον τῶν κλήρων, τὴν θάλατταν, καὶ πάνθ᾽ ὅσα ἀγαθὰ ἀπὸ θαλάττης, ἔκ τε αὐτῆς καὶ δι᾽ αὐτῆς, ἐξεύρηται, καὶ δοὺς ἑαυτὸν εἰς ἅπαντα τῷ γένει τῷ τῶν ἀνθρώπων. καὶ μὴν ἄνθρωπός γε τί μὲν τῶν δένδρων 10 *διέφερεν τῶν ἐν τῇ γῇ τῶν αὐτοφυῶν, ἕως ἐν γῇ μόνον ἦν; τί δὲ ἦν αὐτῷ καλόν, πρὶν παρανοῖξαι τὸν θεόν τοῦτον τὴν θάλατταν, ἔπειτα δὲ καὶ ἀναπετάσαι; ἢ τί μὲν ἰδεῖν, τί δὲ ἀκοῦσαι; ὅς οὐδὲ τὴν γῆν αὐτὴν ἐν ᾗ ἦν ἠπίστατο, πλὴν τὰ ἐν ποσίν, οὐχ ὅπως τὰ* 20 J *πέρατα αὐτῆς ἢ τὴν ἑτέραν ἤπειρον ἢ τὴν καταντικρύ· ἀλλ᾽ ἔζων τρόπον θηρίων οἱ πρότεροι ἐκεῖνοι, κατὰ χειὰς καὶ χηραμοὺς καὶ δένδρα, οἱ μακάριοι καλούμενοι. ὧν τί ἦν ἀθλιώτερον, μήτε εἰδότων μηδὲν μήτε ἑωρακότων μήτ᾽ ἐχόντων πλὴν ὅσα ἐφ᾽ ἡμέραν ἑκάστην ἐπ᾽ ἴσης τοῖς ἀλόγοις ζῴοις; ἐπειδὴ δὲ ἀνεῖπεν οὗτος* 11 33 D *ὁ θεὸς φοιτᾶν παρ᾽ ἑαυτὸν θαρρούντως καὶ ἐπινέμεσθαι τὴν θάλατταν καὶ τρόπον τε ὑπέδειξε δι᾽ ὅτου καὶ τὸ δεῖμα ἐξεῖλε τῆς ψυχῆς, ὃ καθάπερ πρὸς θηρίον δεινόν τε καὶ φοβερὸν εἶχον τὴν θάλατταν, συναρπασθήσεσθαι προσδοκῶντες ἀεὶ καὶ αὐτοὶ καὶ τὴν γῆν σύμπασαν ἅμα τοῖς ἀνέμοις [βλέποντες], τηνικαῦτα δὲ οὐδὲ εἰπεῖν τῷ λόγῳ ῥάδιον τὸ πλῆθος τῶν ἀγαθῶν τῶν φοιτώντων εἰς τὴν γῆν παρὰ τῆς θαλάττης· συνελθεῖν τε εἰς ταὐτὸν ἄμφω ταῦτα τὸ μέγιστον ἔργον Ποσειδῶνος καὶ φιλίαν αὐτοῖς γενέσθαι καὶ ἐπιμιξίαν. πρότερον δὲ οὐδὲ τοῦτο ἦν, ἀλλὰ πολεμίω ἤστην ἀλλήλοιν ἥ τε γῆ καὶ ἡ θάλαττα. νυνὶ δὲ συνῳκι-* 12 *σθήτην ὑπὸ τοῦ θεοῦ τούτου, καὶ πόλεις τε ἐπολίσατο τοῖς ἀνθρώποις αὐτόθι, ἃς δὴ νήσους νυνὶ καλοῦμεν, ὡς μηδὲ ἐν θαλάττῃ ποθεῖν τὴν γῆν μηδὲ ἄλλο τι ἢ ἐν γῇ εἶναι, καὶ πάντα τὰ ⟨ἐν⟩όντα ἀνῆκε καὶ ζῷα παντοδαπά, ὅπου γε καὶ φυτὰ τὰ μὲν εἰς χρῆσιν*

---

7 *παρανοῖξαι — ἀναπετάσαι*] paullulum aperire — late expandere (Wil.) 15 *παρ᾽ αὐτὸν* T 16 *δι᾽ ὅτου*] sc. *ἐπινεμοῦνται* 19 *βλέποντες* seclusi; glossema primitus spectans ad *τὴν θάλατταν* additum ab eo, qui rationem omissae praepositionis, sc. *καθάπερ πρὸς θηρίον — (πρὸς) θάλατταν*, non perspexit *δὲ* om. D 21 *συνελθεῖν τε*] *τὸ γὰρ συνελθεῖν τε* ci. Rsk.²; *ἀσυνδέτως* explicat summatim (*μέγιστον*) quae singillatim enarrari posse negaverat *εἰσ ταυτὸ* D 24 *συνοικισθήτην* S 26 *καλοῦμαι* S¹ 27 *ἄλλο τι*] i. e. *μηδὲ ἐν θαλάττῃ ἄλλο τι ἢ κτέ.*; *ἄλλοθι* ci. Canter *ἐνόντα* scripsi (sc. *ἐν ταῖς νήσοις*): *ὄντα* O; cf. Plat. Crit. 113 E (de Atlantide *insula*) *αὐτὸς* (Neptunus) *δὲ τὴν . . . νῆσον . . διεκόσμησεν, ὕδατα . . . πηγαῖα . . ., τροφὴν δὲ παντοίαν καὶ ἱκανήν*; 114 E — 115 B *ὅσα ὑπὸ μεταλλείας ὀρυττόμενα . . . ὅσα ὕλη . . . ὅσα εὐώδη* (p. 366, 1) *κτέ.* (cf. etiam hymn. in Isid. v. 70 sqq. ap. Sauppe, Ausgew. Schrift. p. 193); huc *Ποσειδῶν γενέθλιος, ἐπιφυτάλμιος, ἐπιλίμνιος* 28 *γε* scripsi (puncto ante *ὅπου* sublato): *δὲ* O

τῷ ἀνθρώπῳ, τὰ δὲ καὶ τέρψιν τε καὶ ἡδονήν. καὶ μὴν καὶ τρά-
πεζαν πολλῷ ἀφθονωτέραν παρέθηκε τῆς γῆς ἀναπαύλας τε
13 *μυρίας ἐξεῦρεν. Καὶ τὸν ἄνθρωπον ἁπλῶς εἰπεῖν πτηνὸν ἀπέδειξε,*
μόνον οὐχ ὡς πτεροῖς τισι διὰ τῆς θαλάττης χρώμενον, καὶ τάξας
μετὰ τῶν ἀνέμων φέρεσθαι καὶ οὐδὲ τούτου φθονήσας, οὐχ ὅπως
ἄλλου τινός, οὐχ ὥσπερ ὁ πρεσβύτατος ἀδελφὸς αὐτοῦ ἕνα τὸν
Περσέα παρεῖναι λέγεται εἰς τὴν ἀρχὴν τὴν αὐτοῦ, καὶ τοῦτον
μικρὸν ἀπέχοντα τῆς γῆς καὶ τῆς θαλάττης, καὶ τὸν Βελλεροφόν-
την τὸν ἐνθένδε μετὰ ταῦτα οὐκ ἐπὶ καλῷ· οὗτος δὲ πάντα τινὰ 34 D
τὸν βουλόμενον καὶ ἄνδρα καὶ γυναῖκα καὶ αὐτοὺς τοὺς παῖδας.
14 *καὶ ἔστι γε οὓς καὶ ἀνέφηνεν ἐκ τῆς θαλάττης, ὥς τόν τε Ἀπόλλω*
καὶ τὴν Ἄρτεμιν. καὶ τούτων μὲν ὁ Ζεὺς εἰκότως ἂν χάριν αὐτῷ 21 J
εἰδείη, ὅτι οὔτε τὴν Λητὼ περιεῖδεν ἐλαυνομένην πάντα τὸν χρό-
νον ὑπὲρ ὧν ἐτύγχανεν, οὔτε τὴν γένναν αὐτοῦ μικροῦ γε ἐξάμελη-
θεῖσαν. οὗτος δὲ καὶ τὸ Ἀφροδίτης κάλλος ἀνήνεγκεν ἐξ ἑαυτοῦ,
καθάπερ ἐκ κεφαλῆς τινος [καὶ οὗτος] τῆς θαλάττης κατὰ τὴν
πρὸς Δία μίμησιν, εἴ γε καὶ πρότερος οὗτος οὐ μόνον τὰ ἀνθρώ-
πινα, ἀλλὰ καὶ τὰ θεῖα, ὡς ἔχει ὁ κατὰ τὴν Ἴδην τὴν Τρωικὴν
15 *λόγος λεγόμενος. ἐπεὶ δὲ Λητοῦς ἐμνήσθημεν, εἰσῆλθέ με ὅσους*
καὶ ἄλλους ἔρωτας συνδιήνεγκε τῷ ἀδελφῷ· καὶ γὰρ τὸν Ἰοῦς τῆς
Ἰνάχου καὶ τὸν Εὐρώπης τῆς καλῆς, τάχα δέ που καὶ ἄλλον καὶ
ἄλλον, ὧν ἔτι καὶ νῦν ὀνόματα κατ᾽ ἀνθρώπους. τὸν δὲ παῖδα
τὸν καλὸν τὸν μετὰ τῆς μητρὸς τῆς καλῆς καὶ παῖδα ἔθετο ἑαυτῷ
καὶ κοινωνοὺς τῆς ἀρχῆς ἐποιήσατο αὐτόν τε καὶ τὴν μητέρα.
16 *ἀλλ᾽ οὗτος μὲν ὁ λόγος ἀναμένει ἡμᾶς εἰς τὸ ἐπειδὰν αὐτῷ καθ-*
ήκῃ, νῦν δὲ τὰ Ποσειδῶνος ἔργα διέξιμεν ἐν ἀλλήλοις, οἷά τε
καὶ ἡλίκα, καὶ τὴν ἀρχὴν αὐτοῦ, ὁπόσου ἀξία· ἐφεξῆς δ᾽ ἂν ἴσως
εἴη καὶ τὰς τιμὰς τὰς κατὰ ἀνθρώπους ὁποῖαί τινες καὶ ὁπόσου 35 D
ἄξιαι. πάντα γὰρ ὁπόσα μέρη τῆς γῆς ἐπισημότατα καὶ ὀνομα-

---

1 *καὶ⟨εἰς⟩τέρψιν* Rsk.^{2} 4 *καὶ* delet Rsk. (prob. Ddf.), at iunge *καὶ* — 5 *καὶ* 7 *εἰς*] *εἰ* D posterius *τὴν* om. U *αὐτοῦ* O 9 *ἐνθένδε*] Corintho
δδ
10 *παῖ* S^1 12. 13 *αὐτῷ εἰδείη χάριν* U (i. e. *αὐτῷ χάριν εἰδείη*, corr. U^2) 13 *οὔτε* DU: *οὐ* ST 14 *ὧν ἐτύγχανεν*] Iovis amplexum dicit *μικρὸν* S^1 *ἐξ-αμεληθεῖσαν*] *ἐξαμβλωθεῖσαν* ci. Rsk., quod ut intellectum voluit ita non dixit orator, qua nimia erat pudicitia 16 *καὶ οὗτος* seclusi 17 *εἴ γε* scripsi: *εἴτε* O 18 *ὡς ἔχει — λεγόμενος*] Hom. *O* 166 *καὶ γενεῇ πρότερος* (Wil.) *τὴν Τρωικὴν*] *τρωικὸσ* U 21. 22 *καὶ ἄλλον* om. S^1 (add. S^2 mg.) D 23 *ἑαυ-*
ῶ
του U pr. m. 24 *κοινωνὸν* U^1 25 *εἰσ τὸ* T: *εἰσ τότε* DUS^2, *εἰ τότε* S^1; cf. *τὸ ὡς* p. 371, 11; significat § 35—41 26 *ἐν ἀλλήλοισ*] cf. p. 373, 9; 364, 27 *ἐν ἡμῖν αὐτοῖς*; 372, 9 *ἡμᾶς*

στότατα Ποσειδῶνι ἐπιπεφήμισται. ἐπὶ μὲν ταῖς εἰσβολαῖς τοῦ 17
Εὐξείνου πόντου ἥ τὸ στενότατον τῆς θαλάττης ἀναπετάννυσιν
ἐξ αὐτοῦ τὴν πολλὴν θάλατταν καὶ πέτρα τε κυανέα αὐτόθι ὠνό-
μασται καὶ πύλαι θαλάττης πρότερον εἶναι κλεισταὶ δοκοῦσαι,
ἱερά τε αὐτοῦ καὶ τεμένη καὶ βωμοί· ἄλλα τε ..... καὶ ἡ κατ-
αίρουσα πρὸς ἡμᾶς ἐκεῖθεν θάλαττα Λευκάτα τε οὕτως ἐπωνο-
μασμένη κατὰ τὴν ἐνταυθοῖ ⟨Λευκάταν ἄκραν, ὥσπερ ἡ περὶ⟩ Λευ-
κάδα ⟨κατὰ⟩ τὴν ἐπὶ τῷ Ἀκτίῳ, οὐ πέτρα τις οὖσα ὥσπερ αὕτη, ἀλλὰ
γῆ πολλὴ προχωροῦσα εἰς θάλατταν, προχωννύουσα ἐπὶ πολὺ
αὐτὴν σχήματι κυκλοτερεῖ ἐξ ἡμισείας, δρεπάνης τινὰ τρόπον
ἀτεχνῶς, ὡς καὶ τὸ ὄνομα εἶναι τοῦτο τῇ προχώσει, καὶ λέγεσθαί
γε ἐπ' αὐτῷ καὶ λόγον τινὰ καὶ μῦθον, ὡς ἄρα ἐνταῦθα ἐπράχθη
τὸ ἔργον τὸ περὶ τὸν Κρόνον ὑπὸ τῶν παίδων αὐτοῦ [τὸ περὶ
τὴν ἐκτομήν]. ὑπερβάντι δὲ τὴν Προποντίδα καὶ τὸν Ἑλλήσπον- 18
22 J τον καὶ διαβάντι τὰς νήσους τὰς Κυκλάδας καλουμένας κατὰ μὲν
τὴν πρὸς τῷ Αἰγαίῳ θάλατταν ἥ τε Εὔβοια καὶ τὰ ἄκρα αὐτῆς
⟨καὶ⟩ ὁ ἐν Γεραιστῷ λιμὴν καὶ ἱερὸν τοῦ θεοῦ, οὗ καὶ Ὅμηρος
μέμνηται ἐν Ἀχαιῶν νόστῳ καὶ τῷ ἀπόπλῳ τῷ ἐξ Ἰλίου. κατὰ
δὲ τὰς εἰσβολὰς τὰς εἰς τὸν Ἰόνιον ἥ τε ἐπὶ Ταινάρῳ ἄκρα τοῦ

---

3 αὑτοῦ S²U²: αὐτοῦ O τε] τις ci. Rsk.² αὐτόθεν T (tuetur Rsk.² 'statim protinus ab ipso Ponti ostio inde') 4 θαλάσσησ U 5 lacunam indicavi; e. g. ἄλλα τε ⟨καὶ ὁ κάλλιστος κατὰ Βόσπορον πορθμὸς ἔχει τοῦ θεοῦ ἱερὰ⟩ καὶ ἡ κτέ. 6 ἐκεῖθεν UT: τοὺσ ἐκεῖθεν SD; ἡμᾶς aut Asiani aut Mysii quorum Aristides λευκὰ τὲ οὕτωσ D 7 Λευκάταν ἄκραν ὥσπερ ἡ περὶ et 8 κατὰ addidi, ut sententiam significarem; duo promuntoria, quibus eadem fuit appellatio (v. 8 οὐ πέτρα — ὥσπερ αὕτη), orator composuit; de Leucata promuntorio quo includitur sinus Astacenus cf. Plin. n. h. V 149 (Theophan. chr. p. 561, 3 Bon. Λευκάτῃ τόπῳ κρημνώδει καὶ παραθαλασσίῳ κατὰ τὸν Νικομηδειάσιον κόλπον, quae cum Aristideis, v. 9, non conveniunt); idem IV 5 egressos sinu Ambracio ... promunturium Leucates'; ad v. 11 cf. St. B. s. v. Δρεπάνη Βιθυνίας πρὸς τῷ Ἀστακηνῷ κόλπῳ; Wil. locum ita legi vult: βωμοί, ἀλλὰ [τε] καὶ ... Λευκάτα [τε] οὕτως ... ἐνταυθοῖ Λευκάδα τὴν κτέ., sc. ἱερὸν αὐτοῦ 8 αὐτὴ T 11 προσχώσει DU 12 γε om. U 13 τὸ περὶ — περιτομήν secl. Schmid, Philolog. 1889 (I) 375; ceterum cf. Preller-Robert gr. Myth. I 56, 3

14 προποντι (δ superscr.) S¹ 16 τὴν πρὸς τῷ Αἰγαίῳ θάλατταν] mare Myrtoum; cf. Strab. II 124 τὸ δὲ συνεχὲς (sc. τῷ Μυρτῴῳ) τὸ Αἰγαῖόν ἐστιν θάλασσαν ST 17 ⟨καὶ⟩ addidi ἐν] cf. e. g. CIA. II 380, 10 τοῦ ἐν Ζέᾳ λιμένος, item Ἐφημ. ἀρχ. 1884, 170, 43; Polyb. X 1, 1 τῶν ἐν Τάραντι λιμένων 18 ἐν Ἀχαιῶν — Ἰλίου] carminis cyclici memoria subest (Aristides fere ubique solo Homeri nomine utitur), quod cum ipsum oratorem non legisse certissimum sit, alium scriptorem, qui carminibus cyclicis usus esset, eum compilasse sequitur; cf. ad p. 368, 1 (ad γ 103 sqq., ubi Γεραιστὸν v. 177, potius revocat Wil.)

19 θεοῦ καὶ ἡ αὐτόθεν ἀναγωγή. Ὅμηρος δὲ καὶ εἰς Αἰγὰς καὶ Ἑλίκην ἀποδημοῦντα πεποίηκεν αὐτὸν ἐπὶ δαῖτα — καὶ ἄνωθεν ἐπὶ τῶν κυμάτων ἐπιθέοντα αὐτόν τε καὶ τοὺς ἵππους αὐτοῦ, οὐ προσαπτομένους τῆς θαλάττης· ὃν τρόπον καὶ τῷ ἀνθρώπῳ διπλοῦν ὄχημα ὑπέθηκεν, ἅρμα μὲν ἐν γῇ, ναῦν δὲ ἐν θαλάττῃ —, ἔνθα ἱερά τε αὐτοῦ καὶ τεμένη καὶ βωμὸς θυήεις, ὡς αὐτὸς οὗτος ἔφη· † ὃν τρόπον καὶ εἰς γαλακτοφάγους τὸν ἀδελφὸν αὐτοῦ. . . . . 36 D

20 Καθάπαξ μὲν γὰρ εἰ δεῖ μὴ κατασμικρύνειν τὸν λόγον, πᾶσαι μὲν ἀκταί, πάντες δὲ λιμένες καὶ πάντα μέρη τῆς γῆς καὶ τῆς θαλάττης ἱερὰ Ποσειδῶνος καὶ ἀναθήματα καὶ ἀγάλματα καὶ τεμένη καὶ νεῴ. οὐ μὴν οὕτω γε φίλον οὐδὲν οὐδὲ ἀγαπητὸν αὐτῷ οὐδὲ τίμιον ὡς ὁ ἰσθμὸς οὗτος καὶ ὅδε ὁ χῶρος. καὶ ταὔτ' ἐγὼ καὶ ἀρχεῖα Ποσειδῶνος καλῶ καὶ βασίλεια καὶ αὐλήν, ὥσπερ Ὅμηρος

21 τοῦ Διὸς αὐλὴν ὠνόμασε, καὶ ὁρμητήριον. τεκμαίρομαι δὲ τοῖς τε ἄλλοις καὶ ὅτι πᾶσαν τὴν πανταχόθεν θάλατταν ἐπέστρεψε δεῦρο, πύλας ἑκατέρωθεν ἐπιθεὶς καὶ προπετάσας αὐτῇ τὸν ἰσθμὸν τοῦτον καλούμενον πρός τε ἕω καὶ πρὸς ἑσπέραν ὁμοίως, συγκλείσας τε ἅμα, ὡς μὴ ἐπιμιγνύοιντο, οὐ πολλῷ τινι μέτρῳ γῆς,

---

1 ἡ ἀναγωγή] cf. Eur. Cycl. 292 ἱερός τ' ἄθραυστος Ταινάρου λιμήν Ὅμηρος — 4 θαλάττης] non conveniunt cum Homero, at subsunt memoriae Θ 203 οἵ δέ τοι εἰς Ἑλίκην τε καὶ Αἰγὰς δῶρ' ἀνάγουσιν et α 22 Αἰθίοπας μετεκίαθε — ἔνθ' ὅ γε τέρπετο δαιτὶ παρήμενος et (v. 2 καὶ ἄνωθεν κτἑ.) N 29. 30 (ubi Neptunus inde ab Aegis ad specu sacrum, non ad Aegas curru vehitur); quae omnia Aristidem, qui Iliadis et Odysseae carmina optime cognita haberet, labante memoria peccasse veri est dissimillimum; ad carmen illud cyclicum memoriarum Homericarum plenum ea redire censeo 2 ἄνωθεν — 5 θαλάττῃ deleta vult Schmid l. c. 3 τοὺς] τὰσ U (τοὶ Hom. N 29) 3. 4 προσαπτομένουσ S[1] p. corr. DT: προσαπτομένασ S[1] a. corr. U 4. 5 διπλοῦν ὄχημα] eadem olim de Minerva or. XXXVII § 15 sq. 5 ἔνθα — θυήεις] Θ 48 θ 362 ἔνθα τέ οἱ τέμενος βωμός τε θυήεις, at de Iovis fano in Ida monte sito et Veneris Paphio; consulto (ὡς — ἔφη; N 21. 22 argumentationi non apti) alium locum adsciscit 7 lacunam post αὐτοῦ ind. Rsk.; e. g. ὃν ⟨δὲ⟩ τρόπον . . . γαλακτοφάγους (Strab. VII 300. 302) . . αὐτοῦ ⟨πεποίηκε βλέποντα (N 5. 6), ὡς ὄντων ἐκεῖ νεών τε καὶ ἱερῶν αὐτῷ, οὕτως . . . (memoria loci Neptuno sacri)⟩. Καθάπαξ κτἑ. 10 ante ἱερὰ IV litt. erasae D ἀναθήματα καὶ om. U 11 νεῴ Rsk.: νεώσ O αὐτῷ omissum add. U pr. m. post οὐδὲ in fine versus 11. 12 οὐδὲ/τίμιον U (corr. pr. m.): οὔτε τίμιον SDT 12 ἰσθμὸσ Monac. 432 (sec. Rsk.[2]): ἰσθμοῖ O ταὔτ' scripsi: τοῦτ' O; τοῦτον ci. Rsk. 13 καλῶ omissum add. S[2] mg. βασίλεια (-εῖα) Rsk.: βασιλείαν O Ὅμηρος] δ 74; cf. p. 117, 24 et ad p. 305, 13 14 τοῦ (ὗ α) sic O 16 πολεισ U pr. m. προπετάσας scripsi: ἀναπετάσασ O, cf. p. 369, 2 17 τοῦτον ⟨οὕτως⟩ καλούμενον Rsk. 18 ἐπιμιγνύοιντο Schmid l. c. p. 376: ἐπιμίγνυντο O; subiectum αἱ θάλατται (e v. 15)

ἀλλ' οἷον αὐλῶνι στενῷ, καὶ νόμον θεὶς καὶ τάξας ἐπ' αὐταῖς
φυλάττειν τὰ ἑαυτῆς ὅρια ἑκάστην, καὶ ἀναπετάσας πάλιν καὶ δοὺς 22
37 D πολλήν τινα τοῦ πρόσω εὐρυχωρίαν ἑκάστῃ — ⟨ὅ⟩ θεαμάτων ἁπάν-
των ὁπόσα ἐν γῇ παραδοξότατόν τε ὁμοῦ καὶ ἥδιστον — εἰσπλεῖν τε
καὶ ἐκπλεῖν ἐν τῷ αὐτῷ ἐξ οὐρίων ἑκάστους, καὶ ὑπὸ τοὺς αὐτοὺς
ἀνέμους ἀναγωγάς τε καὶ καταγωγὰς γίγνεσθαι ἐν μόνῃ τῶν πασῶν
23 J τῇ γῇ ταύτῃ καὶ τῇ θαλάττῃ, πάντα τε δεῦρο φοιτᾶν τὰ πανταχόθεν
κατά τε γῆν καὶ κατὰ θάλατταν· καὶ τοῦτ' ἔστιν ὑφ' οὗ
καὶ ἐκ παλαιοτάτου ἀφνειὸν [τε] ὕμνηται ⟨τὸ⟩ χωρίον ὑπὸ τῶν
ποιητῶν, ἅμα μὲν [καὶ] διὰ τὸ πλῆθος τῶν παρόντων ἀγαθῶν,
ἅμα δὲ καὶ διὰ τὴν ὑπάρχουσαν εὐδαιμονίαν ἐν αὐτῷ. ἔστι γὰρ 23
οἷον ἀγορά τις, καὶ αὕτη κοινὴ τῶν Ἑλλήνων, καὶ πανήγυρις, οὐχ
38 D ἣν διὰ δυοῖν ἐτοῖν συμπληροῖ αὐτῇ τὸ Ἑλληνικόν, καθάπερ ἡ
παροῦσα αὕτη, ἀλλ' ἣν διὰ παντὸς ἔτους καὶ καθ' ἡμέραν ἑκάστην.
εἰ δὲ ἦν ὥσπερ ἀνδράσιν, οὕτω δὲ καὶ πόλεσι προξενία
πρὸς ἀλλήλας, τοῦτ' ἂν εἶχεν ἡ πόλις τοὔνομα καὶ τὴν τιμὴν
ταύτην ἁπανταχοῦ. ὑποδέχεται γὰρ ἁπάσας εἰς ἑαυτὴν καὶ προ- 24
πέμπει πάλιν ἐξ ἑαυτῆς καὶ κοινὴ πάντων ἐστὶ καταφυγή, καθάπερ
τις ὁδὸς καὶ διέξοδος ἁπάντων ἀνθρώπων, ὅποι καὶ μόνον
πορεύοιτό τις, καὶ κοινὸν ἄστυ τῶν Ἑλλήνων, οἷον μητρόπολίς
τις ἀτεχνῶς καὶ μήτηρ αὐτὸ τοῦτο. τά τε γὰρ ἄλλα καὶ οὐκ
ἔσθ' ὅποι τις ἀναπαύσαιτο καθάπερ ἐν μητρὸς κόλποις οὔτε ἥδιον
οὔτε προσφιλέστερον· τοιαύτη ἀνάπαυλά τέ ἐστι καὶ καταφυγὴ
καὶ σωτηρία πᾶσι τοῖς ἐντυγχάνουσιν. Ἀλλὰ δῆτα τοῦ κάλλους 25
αὐτῆς καὶ τῶν ἱμέρων καὶ τῶν ἐρώτων τόσον ἐξῆπται τὸ πλῆθος,
ὡς πάντας μὲν ἀναδήσασθαι τῷ ἤδει, φλέγεσθαί τε ἅπαντας ἐπ'

3 τοῦ scripsi (cf. τοῦ πρόσω ἰέναι al.): τὴν O; τῶν ci. Rsk. πρόσω S^{1}DUT^1 mg. c. γρ.: πρὸς ἕω TS^2 mg. U^1 mg. c. γρ. ὅ addidi (θέαμα τῶν ἁπάντων legit Rsk., θέαμα πάντων ci. Wil.); vv. ⟨ὅ⟩ θεαμάτων—ἥδιστον ad εὐρυχωρίαν parenthetice addita; infinitivi εἰσπλεῖν κτέ. pendent κατὰ σύνεσιν ex δοὺς . . εὐρυχωρίαν (sc. ὥστε . . εἰσπλεῖν) 7 τῇ ante θαλάττῃ om. T (prob. Kaibel) 8 ἔστιν scripsi: εἶναι O 9 παλαιτάτου Baroc. 136 τε secl. Rsk.; Hom. *B* 570 ἀφνειόν τε Κόρινθον; invertit Thuc. I 13, 6 τοῖς παλαιοῖς ποιηταῖς δεδήλωται, ἀφνειὸν γὰρ ἐπωνόμασαν τὸ χωρίον; cf. or. XXVII § 7 τὸ addidi, cf. Thuc. l. c. 10 καὶ secl. Ddf. παρόντων] sc. τῇ πόλει; ἀγαθὰ ad priora, εὐδαιμονία ad insequentia spectat 12 καὶ αὕτη T, καὶ αὐτὴ SDU; καὶ αὐλὴ ci. Rsk., fallitur: 'urbs Corinthi (hoc mente subiectum suppl.) forum, idque (αὕτη, Wil) commune omnium Graecorum' 13 αὐτὴν D^1 a. corr. (Monac. 432) καθάπερ] καθά omissa add. S^2 15 οὕτωσ T 18 ἐξ αὐτῆσ UT 19 πάντων U μόνον] cf. p. 371, 4 20 κοινὸν ἄστυ κτέ.] cf. or. XXVI § 61 22 ὅπῃ D ἥδιον sic O 23 τοιαύτη Rsk.: οἷον αὐτὴ SUT, οἷον αὐτῇ D 25 τόσον scripsi: ὅσον O 26 φλέγεσθαι δὲ — ὁμοίως· ἔχει ci. Schwarz l. c.

αὐτῇ ὁμοίως, ἔχειν δὲ ἐν ἑαυτῇ φιλότητας ἱμέρους ὀαριστὺν πάρ-
φασιν, ὡς κλέψαι τὸν νοῦν καὶ τῶν μέγα ἐφ' ἑαυτοῖς φρονούν-
των, καὶ εἰ δή τι ἄλλο πρὸς τούτοις, πάντα ὅσα λέγεται τῆς θεοῦ
φάρμακα, ὡς εἶναι σαφῶς τῆς Ἀφροδίτης τὴν πόλιν, ἣν ἐμοὶ καὶ 39 D
ἐπονομάζειν ἔπεισιν ὅστις ποτὲ οὗτος ὁ κεστός ἐστιν, ᾧ πάν-
τας ἡ θεὸς ἀναδεῖται πρὸς ἑαυτήν, καὶ καθάπερ τινὰ ὅρμον καὶ
περιδέραιον συμπάσης τῆς Ἑλλάδος τοῦτ' εἶναι, καὶ τέμενος
Νυμφῶν, ναΐδων ἁπασῶν ἐνταυθοῖ ναουσῶν, καὶ θάλαμον Ὡρῶν,
ᾧ πάντα τὸν χρόνον ἐγκάθηνται καὶ ὅθεν προέρχονται ἀνοιγνῦσαι
τὰς πύλας εἴτε Διὸς σύ γε βούλει καλεῖν εἴτε Ποσειδῶνος· εἰ δὲ
καὶ ἔρις ποτὲ περὶ κάλλους ἐνέπεσεν ταῖς πόλεσιν, ὥσπερ ταῖς 24 J
θεαῖς λέγεταί ποτε γενέσθαι ἐν ἀλλήλαις, μετὰ Ἀφροδίτης ἂν
ἦν. καὶ περὶ μὲν τοῦ εἴδους τῆς πόλεως τί ἄν τις καὶ λέγοι, ὅ
26 *γε οὐδὲ οἱ πάντων ὀφθαλμοὶ χωρεῖν εἰσιν ἱκανοί; μεγέθους γε*
μὴν τί ἄν τις μεῖζον τεκμήριον ποιήσαιτο ἢ τὸ ἀποτετάσθαι αὐ-
τὴν εἰς ἁπάσας θαλάττας, καὶ συνῳκίσθαι τε αὐταῖς καὶ παρα-
27 *κατῳκίσθαι, οὐ τῇ μέν, τῇ δὲ οὔ, ἀλλὰ πάσαις ὁμοίως. καὶ μὴν*
εὐνομίας γε ὁρμητήριον ἡ πόλις . . . . ἔτι καὶ νῦν βραβεύει τὰ
δίκαια τοῖς Ἕλλησιν· πλούτου γε μὴν καὶ πλήθους ἀγαθῶν 40 D
ὅσον εἰκὸς ἐπαντλούσης αὐτῇ τῆς τε γῆς τῆς πανταχόθεν καὶ
τῆς πανταχόθεν θαλάττης, οἷον ἐννάουσαν ἐν μέσοις τοῖς ἀγα-

---

1 *φιλότητας* — 2 *φρονούντων*] paraphrasis Hom. Ξ 216 sq.; item v. 3 sq. *ὅσα* — *φάρμακα* Ξ 215 *ὁ ἀριστὺν* S¹T 2 *ἐφ'*] *ἐν* D¹ 3 *δή* US²: *δεῖ* DT (S¹?) 4 nonne *σαφὲς*? *τῆς* Rsk.: *τε* O *ἐμοὶ καὶ* ST: *καὶ ἐμοὶ* U (Monac. 432), *ἐμοὶ* D 6 *ὅρμον καὶ περιδέραιον*] ex *ἐπονομάζειν ἔπεισιν* v. 5 pendent; invertit hymn. in Ven. VI 10 sqq. *δειρῇ δ' ἀμφ' ἁπαλῇ* — *ὅρμοισι χρυσέοισιν ἐκόσμεον* sc. *αἱ Ὧραι*, ut pateat hinc oratorem ad *Ὡρῶν* mentionem (v. 8) delatum esse, cf. etiam quae Preller-Robert l. c. 478, 6; Horas dicit quas Pind. O. XIII 6 sq., quo et v. 18 *εὐνομίας ὁρμητήριον* revocanda (cf. ad. v. 8); fort. orator etiam Periandri memor 7 *περιδέρραιον* SDT *τέμενος Νυμφῶν κτέ.*] propter Corinthi situm 8 *θάλαμον* — *ἀνοιγνῦσαι*] cf. Pind. frg. 75, 14 B.⁴; p. 22, 10 9 *ᾧ* U¹TS² mg.: *ᾗ* S¹DU² *προσέρχονται* S a. ras. D 10 *Διὸς*] Hom. *Ε* 749 sqq. (*Θ* 393 sqq.) *Ποσειδῶνος*] cf. Pind. O. XIII 4 *Κόρινθον, Ἰσθμίου πρόθυρον Ποτιδᾶνος* 11 *κάλλους* — 12 *Ἀφροδίτης ἂν ἦν*] ita tegit quae Corinthi, Veneris vulgivagae sedis, infamia erat *συνέπεσε* D 15 *ἀποτετάσθαι*] *αὐτὸ τετάσθαι* T 16 *θαλάσσασ* T *τε αὐταῖσ* U¹T: *ταύταισ* SDU² (correctura non perfecta) 18 locum lacunosum esse ind. Rsk.; interciderunt cum alia tum verbum ex quo *ὅσον* v. 20 pendebat, e. g. ⟨*καὶ δικαιοσύνην ὥσπερ τι σύμβολον αὑτῆς ἔχει πάντα τὸν χρόνον διασῳζομένη, ἥτις*⟩, cf. p. 317, 15 sq. et Panath. I p. 307, 22 sqq. Ddf. *νῦν*] Corinthus sedes proconsulis Achaiae 19 *πλούτου* — *πλήθουσ* S¹DU¹ p. corr. T: *πλούτου* — *πλῆθοσ* U¹ a. corr. (Baroc. 136), *πλοῦτοσ* — *πλῆθοσ* S²; *πλούτου τε γέμει καὶ πλήθους* ci. Rsk.; nihil deest, *ὅσον* sc. ⟨*ἔχει*⟩, cf. ad v. 18

θοῖς καὶ περικλυζομένην αὐτήν, καθάπερ τινὰ ὁλκάδα, ἐν κύκλῳ
μεστὴν τῶν ἀγαθῶν. σοφὸν δὲ δὴ καὶ καθ' ὁδὸν ἐλθὼν ἂν 28
εὕροις καὶ παρὰ τῶν ἀψύχων μάθοις ἂν καὶ ἀκούσειας· τοσοῦ-
τοι θησαυροὶ γραμμάτων περὶ πᾶσαν αὐτήν, ὅποι καὶ μόνον
ἀποβλέψειέ τις, καὶ κατὰ τὰς ὁδοὺς αὐτὰς καὶ τὰς στοάς,
ἔτι τὲ τὰ γυμνάσια καὶ διδασκαλεῖα [καὶ] μαθήματά τε καὶ ἱστο-
ρήματα. τί οὖν δεῖ Σισύφου μεμνῆσθαι ἢ τῆς Σισύφου συνέσεως 29
ἢ Κορίνθου τοῦ Διὸς ἢ Βελλεροφόντου τοῦ Ποσειδῶνος ἢ ἄλλου
41 D του τῶν ἡρώων τε καὶ τῶν ἡμιθέων; ἢ τὰ μετὰ ταῦτα πάλιν
τοὺς ἐξευρόντας σταθμά τε καὶ ζυγὰ καὶ μέτρα καὶ τὸ ἐν τού-
τοις δίκαιον, καὶ τὸ ὡς ναῦν ἐναυπηγήσατο αὕτη ἡ πόλις, οὐ
τριήρη μόνον, ἀλλὰ καὶ αὐτὴν τὴν Ἀργώ, ἔγωγ' ἂν φαίην; ὁ γοῦν
ἡγεμὼν αὐτῆς τοῦ στόλου μετὰ τὸν ἀνάπλουν τὸν ἐκεῖθεν φαίνε-
ται δεῦρό τε καταγόμενος αὐτὴν καὶ δεῦρο ὁρμισάμενος. ἢ τὰ ἐν
τῇ γῇ πάλιν, τὸ Πηγάσου πτερὸν λεγόμενον, εἴτε καὶ ὡς ἵππου σὺ
φήσεις εἴτε καὶ ὡς ὄρνιθος, καὶ τὸν πρῶτον ἐπιτολμήσαντα αὐτῷ,
τὸν μετάρσιον ἱππέα; Ἀλλὰ ταῦτα μὲν παλαιὰ καὶ μυθώδη· 30
τά γε μὴν ἔτι καὶ νῦν μνημονευόμενα εἰρηναῖά τε ὅσα αὐτῶν καὶ
25 J πολεμικὰ τίνος μὲν οὐ λαμπρότερα τῶν Ἑλληνίδων, τίνος δὲ οὐκ
ἐπισημότερα ἢ κατὰ γῆν ἢ κατὰ θάλατταν; τίνων δὲ ἔργα καὶ
πράξεις περιφανέστεραι; ἀλλὰ γὰρ οὐ πολέμων ὁ παρὼν καιρός, 31
ὥστ' οὐδὲ ἡ μνήμη ἐν καιρῷ ἀνηγέρθη τῶν τοιούτων, πανη-
γυριζόντων τε τῶν Ἑλλήνων καὶ ὁμονοούντων ἐν τῇ καλλίστῃ τῶν

1 ἐν κύκλῳ] non proprie dictum, sed ad augendam vim v. μεστήν (ut nos 'rings gefüllt'); item p. 61, 1 sq. εἷς . . . ἢ πάντες κύκλῳ 2 καὶ omissum add. S² mg. ἐλθὼν om. U 3 εὕρησ et μάθησ D 4 μόνον] cf. p. 369, 19 5 prius καὶ om. U a. corr. 6 τὰ om. U primum καὶ U: τὰ SDT(B) medium καὶ seclusi, obtemperans Wilamowitzio, qui τὰ γυμνάσια καὶ τὰ διδασκαλεῖα μαθήματα coll. Cic. de fin. V 5 (de Athenis) 'quacunque enim ingredimur, in aliquam historiam vestigium ponimus' 7 ἢ τῆς — συνέσεωσ] quae mihi suspecta ut tueretur, καὶ pro ἢ ci. Wil. 8 Κορίνθου τοῦ Διὸς] in proverbio ὁ Διὸς Κόρινθος, cf. schol. Pind. N. VII 105 (155) et Aristoph. ran. 439 βελλερεφόντου T 10 τοὺς ἐξευρόντας κτέ.] accusativi pendent e verbo quale ἀπομνημονεύειν, quod mente e μεμνῆσθαι (v. 7) suppl.; dicit aut Phidonem antiquissimum Corinthiorum legislatorem (Arist. pol. II 1265 b 12) aut Periandrum, quo regnante verisimillimum est argentum cudi Corinthi coeptum esse (Head H.N. 334) 11 αὕτη] cum vi ut contra Thuc. I 132 ita in volgarem opinionem, quam suo Marte (ἔγωγ' ἂν φαίην) impugnat: Iaso huc redux, ergo hinc profectus; unde ille profectus, ibi navis inventa, quia prima Argo; nihil deest, cf. p. 308, 16; pro αὕτη ci. πρώτην Wil. 12 ἔγωγ'] ἐγὼ δ' D 15 τῇ om. D καὶ U om., at cf. p. 372, 15 19 λαμπρότερα sic O 22 ἀνηγέρθη scripsi (sine ἄν; ea enim revera memoravit v. 19): ἀνηρρήθη D, ἂν ἐρρήθη T, ἀνερρώσθη SU cf. Pind. O. VIII 74 (Aristoph. ran. 370 sq.) 23 τε om. U

24*

*πανηγύρεων τῇδε καὶ ὀνομαστοτάτῃ, διὰ . . . [δυοῖν] δὶς εἰς ἓν
συνιούσῃ διπλασιαζομένῃ τε παρὰ τὰς ἄλλας, καὶ παριούσῃ καὶ
φθανούσῃ τὰς λοιπὰς καὶ αὖθις ἐπικαταλαμβανούσῃ, ἀτεχνῶς
ὥσπερ ἐν ἁρματηλασίαις, εἴ πως ἦν ἰδεῖν ἀνθρώποις οὖσι φερό-* 42 D
*μενον τὸ Ποσειδῶνος ἅρμα, καὶ ἐπὶ κοινὸν κρατῆρα συνιόντων
καὶ σπενδόντων τε ἅμα καὶ θυόντων καὶ θεωρίας ἀναγόντων τῷ
τε Ποσειδῶνι καὶ τῇ Ἀμφιτρίτῃ καὶ τῷ Παλαίμονι καὶ τῇ Λευ-
κοθέᾳ. ταῦτα οὖν καὶ ὑμνεῖν καὶ λέγειν καλῶς ἂν ἔχοι καὶ διάγειν
ἡμᾶς ἐν τοῖς περὶ τούτων λόγοις.*

32 *Τὰ μὲν δὴ περὶ αὐτοῦ τοῦ Ποσειδῶνος εἴρηται τρόπον τι-
νὰ καὶ ὕμνηται οὐ μεμπτῶς, ὥς γ' ἐμοὶ δοκεῖ — ὁρῶ δὲ
καὶ ὑμᾶς οὕτω διακειμένους —, καὶ νὴ Δία γε καὶ περὶ αὐτῆς
τῆς πόλεως, ὡς † ἐν βραχυτάτῳ τις εἴποι· ὁρῶ δὲ λοιπὸν
ὄντα ἡμῖν τὸν περὶ τοῖν θεοῖν, τοῦ τε παιδὸς καὶ τῆς μητρὸς*
33 *αὐτοῦ, εἴτε καὶ λόγον εἴτε καὶ μῦθον χρὴ φάναι. ὃν ἐγὼ δέδοικα
καὶ πάνυ ὀρρωδῶ τε καὶ ἀπορῶ ὅπῃ ποτὲ χρή με διαθέσθαι μεθ'
ὑμῶν, πότερα ὡς τοῖς πολλοῖς δοκεῖ καὶ Ὁμήρῳ δὲ συνδοκεῖ, θεῶν
παθήματα συμπεισθῆναι καὶ ἡμᾶς, οἷον Ἄρεως δεσμὰ καὶ Ἀπόλ-
λωνος θητείας καὶ Ἡφαίστου ῥίψεις εἰς θάλατταν, οὕτω δὲ καὶ
Ἰνοῦς ἄχη καὶ φυγάς τινας, ἢ τοῦτο μὲν οὔτε ὅσιον οὔτε εὐσεβὲς
εἰπεῖν, ἄλλως τε καὶ περὶ τῶν θεῶν τὸν λόγον ποιούμενον, ἀλλὰ* 43 D
*τοῦτον μὲν τὸν λόγον ὑπεροριστέον ἡμῖν οὐ μόνον ἔξω τοῦ Ἰσθ-
μοῦ καὶ τῆς Πελοποννήσου, ἀλλὰ καὶ ξυμπάσης τῆς Ἑλλάδος· καὶ
ἀποκαθαρτέον γε καὶ ἐπ' ἄμφω ταῖν θαλάτταιν ἐλθόντας, εἰ δέοι,
τὸν Ἀθάμαντα, ὅστις ποτὲ ἦν, καὶ τὴν μανίαν τὴν ἐκείνου, εἴτε
οὖσαν εἴτε καὶ ψευδῶς θρυληθεῖσαν ὑπὸ τῶν κάκιστα ἀπολωλό-*
34 *των τῶν ταῦθ' ἕκαστα ἡμῖν συνθέντων. Ἰνὼ δὲ ἡ οὔτε ἦν οὔτε* 26 J

---

1 lacunam indicavi et *δυοῖν* seclusi; fuit *διὰ ⟨τεττάρων ἐτῶν⟩ δίς*, quae v. *δυοῖν* (e p. 369, 13) extrusit; *εἰς — συνιούσῃ* i. q. *συναθροιζομένῃ* 2 *συνιοῦσι* D *παριούσῃ* scripsi: *προσιούσῃ* SDT, *προιούσῃ* U (ci. Canter; idem quod *φθανούσῃ* foret) 3 *τὰς λοιπὰς* suspectum 4 *ἰδεῖν* om. U[1] a. corr. 5 *συνιόντων κτέ.*] iungenda cum *πανηγυριζόντων κτέ.* p. 371, 22 6 *σπευδόντων* D *καὶ |||* *θυόντων καὶ θεωρία/σ* U *ἀναγόντων* Abresch l. c. (ad p. 339, 9) p. 226 coll. or. XLIII § 1. XLV § 28; pro rhet. II p. 136, 2 Ddf.: *ἀπαγόντων* O 9 *ἡμᾶς*] cf. ad p. 366, 26 10 *περὶ* om. Baroc. 136 (prob. Ddf.); cf. p. 363, 15 11 *γέ μοι* SDT *ὁρῶ/* S (*ὁρῶν* B) 13 *τις ἂν εἴποι* Junt., cf. p. 350, 20, quamquam nunc potius hiare verba iudicarim, e. g. *ὡς ⟨ἂν ἀρκούντως⟩ ἐν* 15 prius *καὶ* del. Ddf., at cf. p. 371, 15 16 *ὅποι* UT (B) 17 *δὲ* B (ci. Ddf.): *τε* O 18 *συμπεισθῆναι*] ex *χρή* v. 16 pendet; item *εἰπεῖν* v. 21 *ἄρεωσ* S[1](B): *ἄρεοσ* DUTS[2] 19 *εἰσ τὴν θάλατταν* T 21 an *ποιουμένους?* 24 *ἄμφω ταῖν*] miror apud Aristidem 25 *ὅτίσ* T *ποτ'* D 26 *καὶ* om. D 27 *συνθέντων* UTS[2]: *συντιθέντων* S[1] (-*τεθ*- S[2]) D; ceterum cf. p. 28, 9 *Ἰνὼ* — 373, 2 *Λευκοθέα*] distinguit deas, cf. Preller-Robert l. c. p. 601, 2

ἐγένετό ποτε ἣν οἱ πολλοί φασιν, ἢ εἴπερ ἦν καὶ ἐγένετο, ἀλλ'
οὐδέν γε προσήκουσα τοῖς τῇδε γιγνομένοις. Λευκοθέα δὲ θεός
τε ἦν ἀπ' ἀρχῆς εὐθὺς καὶ οὐκ ἐντεῦθεν ἤρξατο ὅθεν οἱ πολλοὶ
οἴονται. εἰ δὲ καὶ 'αὐδήεσσά' γε ἦν, ὡς ἔφη ὁ τοῦτο εἰπών, ἀλλὰ
'βροτός' γε οὐκ ἦν· Ὅμηρος δὲ καὶ θεοὺς ὄντας πεποίηκεν ὥσπερ
ἀνθρώπους, καὶ φθεγγομένους γε ἄντικρυς καὶ ἀνθρώποις διαλεγο-
μένους, καὶ Ἀθηνᾶν καὶ Ἑρμῆν καὶ αὐτὸν τὸν Ποσειδῶνα. τὸ 35
δ' ἐπὶ τούτοις καλῶς ἂν ἡμᾶς ἴσως ἔχοι καὶ φίλως τοῖς θεοῖς
λέγειν τε καὶ ἀκούειν ἐν ἀλλήλοις, ἐρασθῆναι μὲν Ποσειδῶνα Λευ-
κοθέας καὶ ἐρασθέντα γε ἔχειν αὐτὴν παρ' ἑαυτῷ — ὃν τρόπον
καὶ Τυροῦς τῆς Σαλμωνέως καὶ Ἀμυμώνης καὶ ἄλλης τινὸς καλῆς
44 D — καὶ κρύψαι [γε] καὶ ταύτην ὑπὸ τῷ κύματι· τὰς δὲ ὁδοὺς αὐ-
τῆς τὰς δεῦρο ἐκεῖθεν, εἰ ἄρα καὶ ταύτας παραδέξασθαι ἡμᾶς
χρή, οὐ φυγῇ φευγούσης γενέσθαι, ἀλλ' ὥσπερ ἐπὶ θάλαμον
ἰούσης τὴν θάλατταν, οὐδὲ τὸν παῖδα, ὃς ἦν ἐξ ἑτέρου λέχους
ἄρα αὐτῇ, φέρειν ἁρπάσασαν, ἀλλὰ παρακαταθήκην τε καὶ ἄθυρ-
μα καὶ δῶρον Ποσειδῶνι. δηλοῖ δὲ ὅτι ταῦτα τοῦτον ἔχει τὸν 36
τρόπον τό τε ἀληθὲς αὐτὸ καὶ τὰ περὶ αὐτῶν ἔτι καὶ νῦν λεγό-
μενά τε καὶ δρώμενα ὡς περὶ θεῶν. κακὰ γὰρ οὔτε ἔστιν ἐν
θεοῖς, ἀλλ' οὐδ' ἂν δύναιτο γενέσθαι ποτέ — ὑπερώρισται γὰρ
ταῦτά γε εἰς τὸν πρὸς γῆν τόπον — οὐδὲ παθήματά γε καὶ
συμφοραί. τοσούτου δεῖ τοῦτο ἂν ἀρχὴ γένοιτο τοῦ ἀθανάτου
τινί. κακὰ γὰρ ἐκ κακῶν, ἀγαθὰ δὲ ἔργα τὰ θεῶν, ἄλλως δὲ οὐ-
δαμῇ θέμις γίγνεσθαι. ἀλλ' εἰ μὲν ἄνθρωπος οὐκ εὐτυχὴς ἦν, 37

3 τε SU: om. DT 4 ὁ — εἰπών] Hom. ε 334 Λευκοθέη, ἣ πρὶν μὲν ἔην βροτὸς αὐδήεσσα 5 ἦν suspectum 6 γε] τε ci. Rsk. 8 δὲ U 9 ἐρασθῆναι — Λευκοθέας] immutat volgarem fabulam in mare se (cum filio) Leucotheam proripuisse; ad μὲν respondet δὲ v. 12 12 prius καὶ STU¹ p. corr.: om. DU¹ a. corr. γε seclusi ταύτην] αὐτὴν U¹ a. corr. (Monac. 432) 13 ἐκεῖθεν] Orchomeno Boeotiae 14 ὥσπερ — θάλατταν] quod p. 37, 27 ad hunc locum revocavi, propterea factum erat, quod tunc mihi observasse videbar, Aristidem in comparationibus id genus inter substantivum praepositione instructum et substantivum, ad quod eadem praepositio mente supplenda est, vocem interponere solere (ut hic ἰούσης); nunc sententia mutata καὶ illo loco deletum volo; cf. e. g. p. 102, 4 et quod maxime me movit Panath. I 318, 15 Ddf. ὥσπερ ἐν κατόπτρῳ τοῖς λόγοις ἐμβλέποντας, ubi invertit Plat. legg. 905 B ὡς ἐν κατόπτροις αὐτῶν ταῖς πράξεσιν — καθεωρακέναι 16 ἄρα αὐτῇ, SUT: ἄρα, αὐτὴν D (Baroc. 136, prob. Jebb Ddf.) τε Rsk.: γε O 18. 19 λεγόμενά τε καὶ δρώμενα] erant mysteria (cf. ad p. 184, 14) Palaemonis, p. 375, 3 19 κακὰ γὰρ κτἑ.] cf. p. 135, 4 sq. 20 ὑπερώρισται Rsk. (vertit 'cum — relegata sint' Canter): ὑπερωρίσθαι O 21 posterius γε SU: τε T, om. D 22 τοσούτου δεῖ] adverbialiter, cf. J. Wackernagel, Vermischte Beitr. z. griech. Sprachkunde (Basel 1897) p. 28 sq. 23 prius δὲ om. D

*πῶς ἂν οὖν θεὸς ἐγένετο εἰπέ μοι· εἰ δ' ἦν θεοφιλής, οὐδ' ἂν
ἐδυστύχησε πώποτε. καὶ εἴ γε μὴ ἀπ' ἀρχῆς ἦν τοιαύτη, οὐδ'
ἂν ἐγένετο μετὰ ταῦτα — εἰ γὰρ ἀπαλλάξαι κακῶν οἷοί τέ εἰσιν
οἱ θεοί, μηδὲ προσελθεῖν τὰ κακὰ ἐᾶσαι ἐπ' αὐτοῖς ἔστι, καὶ
μὴν εἴ γε ἀντιδοῦναι ἀγαθὰ κακῶν, καὶ τὸ μέγιστον τὴν τοῦ* 27 J
*ἀθανάτου μοῖραν, καὶ φῦναι εὐθὺς οὕτως ἔχοντας· ἦν οὖν
Λευκοθέα θεὸς εὐθὺς ἀπ' ἀρχῆς, καὶ οὐχ αἱ συμφοραὶ εἰς* 45 D
*τοῦτο ἤγαγον αὐτήν, ἀλλὰ τὸ εἶναι τοιαύτην εὐθὺς ἀπὸ γενεᾶς
μηδὲ ἐν συμφορᾷ τινι τὸ παράπαν γενέσθαι παρεσκεύασεν αὐτὴν
— οὐδ' ἂν ἦν μετὰ θεῶν θεὸς [οὖσα] οὐδ' ἂν ἔσχεν ἰσχὺν*
38 *τοσαύτην ὅσην ἀκούομεν. νυνὶ δὲ ἐπεὶ δεῖ πείθεσθαι τῷ Ὁμήρου
λόγῳ, κινδυνεύει τὸ κατ' αὐτὴν μοναρχία τις εἶναι τῆς ἀρχῆς τῆς
κατὰ θάλατταν καὶ οὐδὲ τῷ Ποσειδῶνι αὐτῷ ἐξεῖναι οὐδὲν μὴ
συνεθελούσης ταύτης. εἰρήσθω γὰρ οὖν, εἴ γε οὐδὲ τὸν φονέα
τοῦ παιδὸς παρῆν αὐτῷ τιμωρήσασθαι, ἔχοντα καὶ ταῦτα ἐν ταῖς
χερσίν, ὡς ἂν εἴποι τις, ἀλλὰ τηνάλλως ῥοιβδεῖν, καὶ μηδὲν εἶναι
τὸ κυκᾶν πάντα χρήματα μηδ' ὅσα ἐποίει τὴν τρίαιναν ἡρπακὼς
πρὸς τὸ τῆς θεοῦ ταύτης πρόβλημα, εἴτ' οὖν κρήδεμνον τῷ ποι-
ητικῷ λόγῳ εἴτε καὶ ἄλλως πως χρὴ φάναι· τὸ δ' ἦν σωτηρία
καὶ ἀσφάλεια ἐν μέσοις τοῖς δεινοῖς, δῆλον ὡς οὐ πρὸς βίαν τού-
των γιγνομένων οὐδὲ ἀκουσίως [τοῦ θεοῦ], ἀλλ' ὑφιεμένου τοῦ
Ποσειδῶνος πρὸς ἅπαντα αὐτῇ καὶ ἐφιέντος ποιεῖν ὅ τι βούλοιτο.*
39 *καὶ καλῶς γε ἐποίησεν ὁ λόγος εἰς τοῦτο ἐλθών, ἄλλως τε καὶ ὅτι
καλόν τι ἡμῖν ἐξ αὐτοῦ ἀνεφάνη φιλόσοφός τις οὖσα [ἡμῖν] ἡ Λευ-
κοθέα, οὐ φιλοικτίρμων μόνον, καὶ φιλοῦσα τοὺς Ἕλληνας· ἥ γε καὶ
τὸν Ὀδυσσέα ἔσῳζεν ἄρα τὸν σοφώτατον τῶν Ἑλλήνων καὶ ἄριστον,
καὶ δῆλον ὡς καὶ ἄλλον τινὰ καὶ πάντας ὁπόσοις σοφίας ἔρως [ἦν], καὶ
ἐπηταὶ βούλονται εἶναι καὶ ἀγχίνοι καὶ ἐχέφρονες, τὰ καὶ κατὰ τοῦ*

1 prius *ἂν* om. U fort. *θεός ⟨γ'⟩*; *οὖν* delet Wil. 3 *εἰ — 9 αὐτήν*] una parenthesis 4 *προελθεῖν* T 6 *ἔχοντας* scripsi: *ἔχοντα* O 7 *οὐχὶ αἱ* D 8 *τοῦτο* US^2: *τότε* S^1, *τόδε* T(B), *τοῦτο γε* D 10 *οὖσα* secl. Wil. (dittographia); *θεῶν ⟨μὴ⟩ θεὸς* Rsk. 11 *τοσαύτην*] *τὴν* in ras. ampliore U^2 *ἀκούσομαι* S^1 *ἐπεὶ δεῖ* SU^2(B): *ἐπειδὴ* DU^{1}T; *ἐπειδὴ δεῖ* Junt. 12 *τὸ* om. S^1 14 *συνελθούσησ* U 15 *τοῦ παιδὸς*] Polyphemi *καὶ ταῦτα ἔχοντα* ci. Rsk., def. recte Ddf. coll. Quattuorv. II 332, 19 Ddf.; inter exempla fuit Plat. legg. 677 E *σπάνια καὶ ταῦτα*; ceterum cf. p. 284, 25 sq. 17 *μηδ'* Ddf.: *μήθ'* O 18 *πρόβλημα*] cf. p. 182, 13 sq.; *περίβλημα* ci. Wil. 19 *τὸ*] *τό^{ῶ}* praeter ' U^2 21 *τοῦ θεοῦ* seclusi 24 *ἡμῖν* secl. Rsk.^{2}: *ἡμῖν ἡ λευκοθέα* SDT, *ἡ λευκοθέα ἡμῖν* U (Baroc. 136) 25 posterius *καὶ* om. TU p. ras. 27 *καὶ δῆλον* SUT(B): om. D *ἦν* secl. Wil. ('se ipsum dicit'); an *ἔρως, ἣν καὶ — βούλωνται?* 28 *ἐπηταὶ κτέ.*] Hom. ν 332 *ἐπητὴς ἐσσὶ καὶ ἀγχίνοος καὶ ἐχέφρων* (Minervae verba) *βούλοντ'* SD tertium *καὶ* om. U

Ὀδυσσέως λεγόμενα. Ταῦτα μὲν δὴ περὶ αὐτῆς, φίλα καὶ αὐτῷ 40
τῷ Ποσειδῶνι, ὡς οἴομαι· Παλαίμονα δὲ καὶ εἰπεῖν καλὸν καὶ
τοὔνομα αὐτοῦ ὀνομάσαι καὶ ὅρκον ποιήσασθαι καὶ τῆς τελετῆς
46 D ⟨τῆς⟩ ἐπ' αὐτῷ καὶ τοῦ ὀργιασμοῦ μετασχεῖν — τοσοῦτός τις ἵμε-
ρος πρόσεστι τῷ παιδί — καὶ ἰδεῖν γε καὶ ἐν γράμματι, ... ὅπου
δὲ καὶ ἐπ' αὐτῶν τῶν νώτων τῆς θαλάττης, ὅπου δὲ καὶ ἐν ταῖς
28 J χερσὶν τῆς μητρὸς τὸ θάλος τοῦ παιδὸς καὶ τὴν ὥραν καὶ τὸ ἄν-
θος· ταῦτα γὰρ θεάματα θεαμάτων ἥδιστα καὶ ἰδεῖν γε καὶ ἀκοῦ-
σαι· καὶ Θάλατταν αὐτοῦ παρεῖναι [ἐν γράμματι] καὶ Γαλήνην,
καλὸν καὶ τοῦτο, καὶ μειδιάματα τοῦ παιδὸς πρὸς Ποσειδῶνα
ὑποδεχόμενον τῷ πέπλῳ. ἄλλο δὲ μηδ' ὁτιοῦν προσπαραγράφειν 41
τούτοις, οἷα ἐνιαχοῦ τὰ φοβερά τε καὶ ἀσεβῆ γράμματα, ἃ ἐγὼ
θαυμάζω πῶς ποτε καὶ ἠνέσχοντο οἱ πρῶτοι ταῦτα ἰδόντες καὶ
οὐ μετ' ὀργῆς ἦλθον ἐπὶ τοὺς τούτων δημιουργούς τε καὶ αὐτό-
χειρας, ἢ ἔτι καὶ νυνὶ ἀνέχονται ἐν μέσοις τοῖς ἱεροῖς. ἀλλὰ γὰρ
οὐκ ἐμὸν ἴσως τοῖς τοιούτοις ἐπιτιμᾶν.

Λοιπὸν οὖν εὐξαμένους τῷ Ποσειδῶνι καὶ τῇ Ἀμφιτρίτῃ καὶ 42
τῇ Λευκοθέᾳ καὶ τῷ Παλαίμονι καὶ Νηρηίσι καὶ δαίμοσι θαλατ-
τίοις πᾶσί τε καὶ πάσαις ἀσφάλειάν τε καὶ σωτηρίαν ἔν τε γῇ
καὶ ἐν θαλάττῃ διδόναι βασιλεῖ τε τῷ μεγάλῳ καὶ γένει ξύμπαντι
τούτου καὶ τῷ γένει τῷ τῶν Ἑλλήνων καὶ κατὰ τὰ ἄλλα τε εὐ-
θενεῖν ἡμᾶς καὶ κατὰ τοὺς λόγους, χωρεῖν ἐπὶ τὰ προσήκοντα
ἡμῶν ἑκάστῳ.

---

1 ὀδυσσέωσ S 4 ⟨τῆς⟩ add. Rsk. 5 ἰδεῖν] pendet e καλὸν v. 2; cf. v. 10 lacunam indicavi, e. g. ⟨ὅπου μὲν ἐπὶ δελφῖνος ὀχούμενον⟩; sine lacuna ὅπου μὲν ἐπ' ci. Wil. 6 θαλάσσησ D 7 θάλλοσ D 9 ἐν γράμματι seclusi (item Wil.), glossema ad αὐτοῦ 10 μειδίαμα UT 11 ὑποδεχόμενον Rsk. (Preller, Gr. Mythol. I[4] 605): ὑποδεχομένου O (at ου in ras. T[1]) μηδ' ὁτιοῦν U (Junt.): μηθ' ὁτιοῦν SDT 12 ἀσεβῆ] Athamantea 17 λοιπὸν οὖν] hinc pendet χωρεῖν v. 22, ceteri infinitivi ex εὐξαμένους 18 τῷ D: om. SDT νηρείσι S[1]DT 20 βασιλεῖ] Commodo 21 τούτου UT: τούτω SD prius (sic) τῷ om. T 21. 22 εὐσθενεῖν DUT 23 ἑκάστω UT: ἑκάστου SD; imitatur Thuc. II 46, 2. — Subscr. εἰσ ποσειδῶνα ἰσθμικόσ T

XLVII.

(23) ΙΕΡΩΝ ΛΟΓΩΝ ΠΡΩΤΟΣ. I 445 D I 273 J

Δοκῶ μοι κατὰ τὴν Ἑλένην τὴν Ὁμήρου τὸν λόγον ποιήσεσθαι. καὶ γὰρ ἐκείνη πάντας μὲν οὐκ ἄν φησιν εἰπεῖν ʻ*ὅσσοι Ὀδυσσῆος ταλασίφρονός εἰσιν ἄεθλοι*ʼ (*δ* 241), *πρᾶξιν δέ τινα αὐτοῦ μίαν* 274 J *ἀπολαβοῦσα, οἶμαι, διηγεῖται πρὸς τὸν Τηλέμαχον καὶ Μενέλεων, κἀγὼ πάντα μὲν οὐκ ἂν εἴποιμι τὰ τοῦ Σωτῆρος ἀγωνίσματα, ὅσων ἀπέλαυσα εἰς τήνδε τὴν ἡμέραν. καὶ οὐκέτ᾽ ἐνταῦθα τὸ τοῦ Ὁμήρου προσθήσω* ʻ*οὐδ᾽ εἴ μοι δέκα μὲν γλῶσσαι, δέκα δὲ στόματ᾽ εἶεν*ʼ (*B* 489)· *μικρὸν γὰρ τοῦτό γε· ἀλλ᾽ οὐδ᾽ ἂν εἰ πᾶσαν ὑπερβαλοίμην τὴν ἐν ἀνθρώποις δύναμίν τε καὶ φωνὴν καὶ γνώ-*
2 *μην, οὐκ ἄν ποτε οὐδ᾽ ἐγγὺς αὐτῶν ἀφικοίμην. ἀλλὰ καὶ ὅσοι πώποτε τῶν φίλων ἐδεήθησαν ἢ προὔτρεψαν εἰπεῖν καὶ συγγράψαι περὶ αὐτῶν, οὐδενὶ πώποτε ἐπείσθην, φεύγων τὸ ἀδύνατον. ἐδόκει γάρ μοι παραπλήσιον εἶναι ὥσπερ ἂν εἰ διὰ παντὸς τοῦ πελάγους ὕφαλος διεξελθὼν εἶτ᾽ ἠναγκαζόμην ἀποδιδόναι λόγον, πόσοις*

Libri ASDT = O

Tit. *ἱερῶν λόγων πρῶτοσ* T(U): *ἀριστείδου λόγων ἱερῶν* α AS; om. D; *ἐν πρώτῳ* (*δευτέρῳ κτἑ.*) *ἱερῶν λόγων* Thom. Mag. constanter; *ἐν τοῖς ἱεροῖς λόγοις* ipse orator p. 335, 8. 337, 14, cf. p. 396, 30; *ἱεροὶ λόγοι* titulus solemnis librorum, quibus dei cuiusdam facinora celebrabantur. — Testantur ʻsacros sermonesʼ Philostr. v. s. II 9 (*ἐν ἱεροῖς βιβλίοις*, quem locum significat Synes. de insomn. 24 Krab.) et Sopat. proleg. in Aristid. p. 738, 7 sqq. Ddf. (inde schol. Aristid. p. 432, 31 sqq. Ddf. [p. 159 Fro.]); de Artemidori testimonio accuratius alio loco dicendum.

2 *ὅσσοι* A[1] p. corr. T[1] p. corr.: *ὅσοι* O *ὀδυσῆοσ* T[1] a. corr. 5 *Σωτῆρος*] Aesculapii, qui in his orationibus simpliciter *ὁ θεός* audit, cf. e. g. p. 377, 4. 9. 16. 21 al.; *ἀγωνίσματα* sunt studia et facinora 6 *ἀπέλαυσα*] ε in ras. A[r] *οὐκέτ᾽*] *οὐκ* Junt. (U) 12 *ἐπείσθη* D 14 *διεξελθὼν εἶτ᾽ ἠναγκαζόμην ἀποδιδόναι* SDT (item Junt., nisi quod *διδόναι*, fort. recte): *διεξέλθοιμι διδόναι* A

τισὶ τοῖς πᾶσιν ῥοθίοις ἐνέτυχον καὶ ποίας τινὸς τῆς θαλάττης
παρ᾽ ἕκαστον αὐτῶν ἐπειρώμην καὶ τί τὸ σῷζον ἦν. ἑκάστη γὰρ 3
τῶν ἡμετέρων ἡμερῶν, ὡσαύτως δὲ καὶ νυκτῶν, ἔχει συγγραφήν, εἴ
τις παρ᾽ ἓν ἢ τὰ συμπίπτοντα ἀπογράφειν ἠβούλετο ἢ τὴν τοῦ θεοῦ
πρόνοιαν διηγεῖσθαι, ὧν τὰ μὲν ἐκ τοῦ φανεροῦ παρών, τὰ δὲ τῇ
446 D πομπῇ τῶν ἐνυπνίων ἐνεδείκνυτο, ὅσα γε δὴ καὶ ὕπνου λαχεῖν
ἐξῆν· σπάνιον δ᾽ ἦν ὑπὸ τῶν περὶ τὸ σῶμα τρικυμιῶν. ταῦτ᾽ 4
οὖν ἐνθυμούμενος ἐγνώκειν παρέχειν ὡς ἀληθῶς ὥσπερ ἰατρῷ τῷ
θεῷ σιγῇ ποιεῖν ὅ τι βούλεται. νῦν δὲ ὡς ἔσχεν τὸ τοῦ ἤτρου
δηλῶσαι πρὸς ὑμᾶς βούλομαι· λογιοῦμαι δὲ ἕκαστα πρὸς ἡμέραν.
Ἦν μὲν γὰρ Ποσιδεὼν μήν, ἴστε οἷον χειμῶνος· ἔκαμνεν δὲ 5
ὁ στόμαχος τὰς νύκτας καὶ ἀγρυπνίαι ἦσαν ὑπερφυεῖς, ὥστε οὐδὲ
τὰ βραχύτατα πέττειν ἦν. αἰτία δ᾽ οὐχ ἥκιστα ἡ συνέχεια τῶν
χειμώνων, ἣν οὐδὲ κέραμος οὐδεὶς ἐνέγκαι ἐλέγετο· ἐπεὶ καὶ ὁ
ἱδρὼς ἔστη πάντα τοῦτον τὸν χρόνον πλὴν ὅσα λουμένῳ. Δωδε- 6
κάτῃ δὲ τοῦ μηνὸς ἀλουσίαν προστάττει ὁ θεὸς καὶ τῇ ὑστεραίᾳ
τὸ αὐτὸ τοῦτο καὶ τῇ μετ᾽ ἐκείνην. ταύτας τρεῖς ἡμέρας ἑξῆς
διήγαγον παντελῶς ἀνιδρωτὶ νύκτα καὶ ἡμέραν, ὥστε μηδὲ χιτω-
275 J νίσκον δεῆσαι μεταλαβεῖν, καὶ οὔπω πρόσθεν ἐμαυτοῦ ῥᾴονος
ᾐσθόμην. διήγαγον δὲ περιπάτῳ χρώμενος κατ᾽ οἰκίαν καὶ ἅμα
παιδιᾷ, οἷα ἑορτῶν οὐσῶν· καὶ γὰρ ἡ τοῦ θεοῦ παννυχὶς ἐγκατει-
λήφει τὴν προτέραν ἑορτήν, τὴν τοῦ Ποσειδῶνος. Μετὰ δὲ 7
τοῦτο ὄναρ γίγνεται, ἔχον μέν τινα ἔννοιαν λουτροῦ, οὐ μέντοι
χωρίς γε ὑπονοίας· ἀλλ᾽ ἐδόκουν τι καὶ μολυνθῆναι· ὅμως δὲ
ἔδοξεν λούσασθαι, πάντως δ᾽ εἰ καὶ τῷ ὄντι τοῦτ᾽ ἐπεπόνθειν,
ὕδατος δεῖν. εὐθύς τε οὖν οὐχ ὡς ἥδιστα ἔσχον ἐν τῷ βαλανείῳ,
καὶ ἐπειδὴ ἐπανῆλθον, ἐδόκει πάντα πλήρη εἶναι, καὶ τὸ πνεῦμα
οἷον ἀσθμαίνοντος ἦν· ὥστε ἐπ᾽ ἀρχῇ τῆς τροφῆς εὐθὺς ἐπαυσά-

1 πόσοις — ῥοθίοις] innumerabiles fuisse morbi impetus ita dicit, ut alludat ad proverbium ἀριθμεῖν τὰ κύματα, cf. Rein, Sprichwörter . . . bei Lucian (Tubingae 1894) p. 82   2 καὶ postea add. A pr. m. in fine versus per compendium (Junt.): om. O   4 παρ᾽ ἓν scripsi: παρὼν O (def. Wil.), cf. παρ᾽ ἕκαστον v. 2; ansa corruptelae v. 5   5 τοῦ SDT: om. A   τῇ — ἐνυπνίων] cf. Plat. rp. 383 A τὴν τοῦ ἐνυπνίου πομπήν   6 γε δὴ καὶ ὕπνου sic O   7 τρικυμιῶν] cf. p. 336, 17   11 ποσιδεῶν A[1] (-ὼν corr. m. inc.): ποσειδεὼν SDT; Posideo mensis anni Asiani quartus comprehendit dies inde a d. XXIV. m. Decembr. usque ad d. XXIII. m. Ianuar. (cf. Mommsen, Ath. Mitth. XVI 235 sqq.)   14 ἣν οὐδὲ AS[2]: ἦν· οὐδὲ S[1]DT, unde ἦν, ⟨ἣν⟩ οὐδὲ Boissonade ad Pachym. declam. (Paris. 1848) p. 144, 6   15 πλὴν ὅσα] cf. Schmid p. 145   λουμένῳ sic O; λελουμένῳ A[2]   18 ἀνιδρωτὶ O: ἀνιδρωτεὶ A m. inc. (non credo A[r])   18. 19 χιτωνίσκον SDT: χιτωνίσκου A   22 μετὰ δὲ τοῦτο] d. XV. Posid., cf. ad p. 378, 2   26 ἔχον D   28 ὥστ᾽ D

μην. διαφθορὰ μετὰ τοῦτο ἐκ νυκτὸς καὶ προῆλθεν εἰς τοῦτο,
8 ὥστε μόλις κατέστη πρὸ μεσημβρίας μικρόν. Ὄψις δὲ ὀνεί-
ρατος οὑτωσί πως εἶχεν, ὡς ἄρα εἴην ἐν ὕδασι θερμοῖς, προ-
κεκυφὼς δὲ εἰς τὸ πρόσθεν ὁρῴην τὰ κάτω τῆς κοιλίας ἀτοπώ- 447 D
τερον διακείμενα. ἐβουλευσάμην μὲν δὴ μεῖναι ἐπ᾽ ἀλουσίας, ἔφη
δέ τις ὡς οὐκ ἐπ᾽ αὐτοῦ γε τοῦ λουτροῦ τὸ δυσχερὲς ἦν τὸ φαινό-
μενον, οὐδ᾽ εἰκὸς ὡς αἴτιον φυλάξασθαι. ἐλουσάμην τε εἰς ἑσπέ-
ραν καὶ ἅμα τῷ ὄρθρῳ τὸ ἦτρον ἤλγουν, καὶ ἐπεχώρει τὸ ἄλγημα
9 ἐπὶ δεξιὰ καὶ μέχρι βουβῶνος κάτω. Ἑβδόμῃ ἐπὶ δέκα ἀλουσία
ἐξ ὀνείρατος, ὀγδόῃ δ᾽ ἐπὶ δέκα ἀλουσία. Ἐνάτῃ ἐπὶ δέκα
ἔδοξά τινας τῶν βαρβάρων ἐγκρατεῖς γεγενῆσθαί μου καί τινα
αὐτῶν ἐπιέναι μοι καὶ δόξαν παρασχεῖν ὡς στίξοντα· ἔπειτα
καθεῖναι τὸν δάκτυλον οὑτωσὶ μέχρι τοῦ λαιμοῦ καί τι ἐγχέαι
κατὰ δή τινα ἐπιχώριον νόμον, ὀνομάσαι δὲ αὐτὸ ὀξυσιτίαν· ταῦτα
δὲ ὕστερον ὡς ὄναρ διηγεῖσθαι καὶ τοὺς ἀκούοντας θαυμάζειν καὶ
λέγειν ὡς ἄρα τοῦτο αἴτιον εἴη τοῦ διψῆν μέν, μὴ δύνασθαι δὲ
πιεῖν, τῷ τρέπεσθαι εἰς ὄξος τὰ σιτία. ἐκ δὴ τούτου ἔμετός τε
ἐδείκνυτο καὶ προσέταξεν ὁ βάρβαρος λουτροῦ τε ἀποσχέσθαι καὶ
διάκονον ἕνα παραστήσασθαι τὸ τήμερον εἶναι. ἀλουσία καὶ ἔμε-
10 τος μετὰ ῥᾳστώνης. Εἰκάσιν ἐδόκουν ἐν προπυλαίοις εἶναι τοῦ
Ἀσκληπιοῦ, καί τινα τῶν ἐπιτηδείων ἐντυχόντα μοι περιβάλλειν
καὶ φιλοφρονεῖσθαι, οἷα δὴ διὰ χρόνου ἑωρακότα· εἰπεῖν δὴ πρὸς
αὐτὸν ὡς ἐν ἀηδίᾳ τε εἴην γεγονὼς καὶ προϊόντος τοῦ λόγου
μνησθῆναι ὅσα δὴ καὶ περὶ τὸ ἱερὸν τυγχάνοι κεκινημένα, καὶ 276 J
11 ἅμα ταῦτα λέγοντες εἰσῆμεν εἴσω. ὡς δὲ ἐγενόμεθα οὗ ἡ Ἀγαθὴ
τύχη καὶ ὁ Ἀγαθὸς δαίμων, ἐπιστάντες ἔτι διελεγόμεθα· καί τινα
τῶν ὑπηρετῶν ἰδὼν τῶν περὶ τὸ ἱερὸν ἠρόμην ὅπου ὁ ἱερεὺς εἴη.
ὁ δ᾽ ἔφη 'ἐξόπισθε τοῦ νεώ'· καὶ γὰρ εἶναι περὶ λύχνους ἤδη τοὺς

1 διαφθορὰ] virium defectio et languor; ad κατέστη cf. καθειστήκει or. IL § 20 ex. 2 μεσημβρίας] est d. XVI. Posid. (cf. v. 9), eiusdem diei somnium quod sequitur; ex tota qua utitur orator enarrandi ratione, pauca ante ὄψις intercidisse coniecerim 5 μὲν s. l. add. T^1 (aut T^2; om. Junt.) 6 ὡσ sic O 9 δεξιὰ A: δεξιᾶ SDT (edd.) ἑβδόμηι ἐπὶ A: ἑβδόμη δ᾽ ἐπὶ SDT, cf. v. l. v. 10; p. 379, 23; 380, 6 10 post alterum δέκα add. δ᾽ A^2 (Laur. Abbat. 9) 11 τῶν βαρβάρων] Parthorum; sunt tempora belli Parthici (§ 33. 36 sq.) 12 ὡσ τίξοντα S^1 14 ὀξυσιτίαν DTS^2: ὀξισιτίαν AS^1 16 διψεῖν A 17 πιεῖν] ποιεῖν T^1 a. corr. τῶι AS(-ῶ): τὸ DT δὴ AS: δὲ DT 19 παρίστασθαι D; sublato puncto ante τὸ (O Thom. Mag. p. 348, 3) distinxi post εἶναι 20 Εἰκάσιν Usener, Rh. Mus. XXXIV 425, 11: εἰκάσαι AS^1, ὡσ εἰκάσαι DTS^2 ἐδόκουν A^1 p. corr. TS^2: δόκουν A^1 a. corr., δοκοῦν S^{1}D 22 φιλοφρονεῖσθαι] περιφρονεῖσθαι T 25 εἰσήϊμεν A^1, εἰσήειμεν SDTA^2 27 ἠιρόμην A^r περὶ — 379, 1 ἱερούς] cf. or. LI § 28

448 D ἱεροὺς τάς τε δὴ κλεῖς ἀνακομίζειν τὸν νεωκόρον. καὶ τυχεῖν ἐν
τούτῳ κλεισθὲν τὸ ἱερόν, οὕτω μέντοι ὥστε καὶ συγκεκλεισμένου
εἴσοδόν τέ τινα λείπεσθαι καὶ τὰ ἔνδον ὁρᾶσθαι. προσῆλ-
θόν τε δὴ ταῖς θύραις καὶ ὁρῶ ἄγαλμα ἕτερον ἀντὶ τοῦ πα-
λαιοῦ κατηφές. θαυμάζοντι δέ μοι καὶ ζητοῦντι τὸ ἀρχαῖον οὗ
εἴη, προσφέρει τις, καὶ οὐδ' αὐτὸ πάνυ ἔδοξα γνωρίσαι, προσεκύ-
νησα δ' οὖν σπουδῇ. μετὰ δὲ ταῦτα περιελθόντες ἐντυγχάνομεν 12
τῷ ἱερεῖ καὶ ἠρχόμην ἐγὼ πρὸς αὐτὸν λόγου τοιοῦδε· 'ἐμοὶ καὶ
ἐν Σμύρνῃ ὀνείρατα ἐγίγνετο διαλεχθῆναί σοι περὶ τοῦ ἱεροῦ, καὶ
νομίσας τὸ πρᾶγμα μεῖζον εἶναι ἢ κατ' ἐμὲ ἐσιώπησα· καὶ νῦν
ἐναγχός μοι περὶ αὐτῶν τούτων γεγένηται', καὶ ἅμα ἐν νῷ
εἶχον λέγειν περὶ τοῦ τὸ ἕδος εἰς τὴν ἀρχαίαν χώραν καταστῆσαι.
περιπατοῦντος δέ μου ἀποπίπτει τὸ διάβαθρον τοῦ ἑτέρου ποδὸς
καὶ ὁ ἱερεὺς ἀνελόμενος προσφέρει· κἀγὼ τῆς μὲν τιμῆς ἕνεκα
ἥσθην, βουλόμενος δὲ αὐτὸν οἷον ἀμείβεσθαι καὶ δεξιοῦσθαι
κύψας λαμβάνω. κἂν τούτῳ ταῦρός τις ἐπῄει μοι κατ' αὐτὰς 13
τὰς ἀκοὰς τοῦ θεοῦ. κἀγὼ ἐδεδοίκειν τε καί πως ἐπειρώμην φυ-
λάττεσθαι, ὁ δ' ἄλλο μὲν οὐδὲν ἔδρασεν, ὑπὸ δὲ τὸ γόνυ τὸ δεξιὸν
ἐνέθλασεν. ὁ δὲ Θεόδοτος σμίλην τινὰ λαβὼν ἀνεκάθαρεν· ὥστε
ἔμελλον πρὸς αὐτὸν ἐρεῖν ὅτι 'σὺ αὐτὸ ἐποίησας ἕλκος'. ταῦτ' 14
ἦν τὰ φανθέντα καὶ ἐνταῦθα ἔληξεν ὁ φόβος καὶ ἐγένετο ὑπὸ τὸ
γόνυ τὸ δεξιὸν ἑλκύδριον ἄνθρακι ἐοικός, καὶ ἐδόκει ἀγαθὸν εἶναι
πρὸς τὰ ἄνω. Δεκάτῃ ὑστέρᾳ ἐδόκουν ἐσθῆτα ἔχειν ἱερέως 15
καὶ αὐτὸν παρόντα ὁρᾶν τὸν ἱερέα· ἐδόκουν δὲ καὶ τῶν ἐπιτη-
277 J δείων τινὰ ὑποχωλεύοντα ἰδὼν ἐκ τῶν περὶ τὴν ἕδραν φάναι
πρὸς αὐτὸν ὅτι ταῦτα ἡσυχία θεραπεύοι. ἐπετάχθη καὶ ἔμετος
449 D διὰ πολλῶν. καὶ ἦν αὕτη πέμπτη ἀλουσιῶν ἑξῆς. ἄξιον δὲ καὶ 16
τὸ πάρεργον τῶν ὀνειράτων εἰπεῖν. ἐδόκουν γὰρ ὡς ἐπὶ τῇ εἰ-

---

14 εἵνεκα SDT 17 ἀκοὰς τοῦ θεοῦ] ἀκοαὶ τοῦ θεοῦ fort. locus vel apparatus quidam sacer audiebat, quem extra ipsum templum fuisse e v. 2 (κλεισθὲν) et 7 (περιελθόντες, cf. Büchner, Philolog. 1890, 183) apparet; monet Wil. easdem intellegendas esse videri ἀκοας Aesculapii Epidaurii (Kavvadias, Fouilles d' Epidaure n. 5, 10. 18 [Ἐφημ. ἀρχ. 1883, 227 sq.]), quas ipse (Isyll. p. 118, 4) *aquas* interpretatus esset 19 Θεόδοτος] fort. medicus Pergamenus, cf. or. XLVIII § 34. L § 21. 38. 42; idem § 55. 56 σμήλην S a. corr. A[1] p. corr.; μηλήν A[1] a. corr ἀνεκάθαρεν] pro rhet. II 103, 8 Ddf. διακαθᾶραι ὥστ' D 20 αὐτὸ] αὖθις ci. Holleck, Coniect. crit. in Ael. Aristid. Panath. thes. 2; intellego 'tu illud (quod bos fecit) ut vulnus fieret effecisti' ταυτὶ ἦν Thom. Mag. p. 383, 6 21 φαθέντα D, item p. 380, 16 22 ἑλκύδριον A: ἑλκύδιον SDT 23 post δεκάτῃ add. δ' A[2], cf. ad v. l. p. 378, 9; est d. XXI. Posid. 26 ἡσυχία/ S

ωθνίᾳ μελέτῃ τῶν λόγων Δημοσθένους τινὰ μεταχειρίζεσθαι καὶ
λέγειν δὴ πρὸς τοὺς Ἀθηναίους ὡς ἐκεῖνος ὤν· ‛ὑμεῖς μὲν οὖν
διὰ τοῦ κήρυκος ἐρωτᾶτε τίς ἀγορεύειν βούλεται, ἐγὼ δὲ ὑμᾶς
ἡδέως ἂν ἐροίμην τίς ὑμῶν βούλεται πράττειν· ἢ κωμῳδία γε τὸ
λοιπόν ἐστιν;’ ἔλεγον δὲ ἀναφέρων εἰς τοὺς Τελμησσέας τοῦ
17 *Ἀριστοφάνους ὡς ἐκεῖ λόγῳ τις ἠγωνίζετο, ἔργῳ δὲ οὔ. Ἐνάτῃ*
ἐδόκουν ὡς ἐν Σμύρνῃ περὶ ἑσπέραν προσιέναι τῷ ἱερῷ τοῦ Ἀσκλη-
πιοῦ τῷ ἐν τῷ γυμνασίῳ, προσιέναι δὲ μετὰ Ζήνωνος, καὶ εἶναι
τὸν νεὼν μείζω τε καὶ ἐπειληφότα τῆς στοᾶς ὅσον ἐστὶν τὸ ἐστρω-
μένον· ἅμα δὲ καὶ ὡς περὶ προνάου τούτου διενοούμην. προσευ-
χομένου δέ μου καὶ ἀνακαλοῦντος τὸν θεὸν ὁ Ζήνων ‛οὐδέν, ἔφη,
προσηνέστερον’, λέγων δὴ καὶ αὐτὸς τὸν θεόν, καταφυγήν τε καὶ
τοιαῦτα ὠνόμαζεν. περιεσκόπουν δὲ ὡς ἐν τῷ προνάῳ δὴ τούτῳ
ἀνδριάντα ἐμαυτοῦ· καὶ τοτὲ μέν γε ὡς ἐμαυτοῦ ὄντα ἑώρων,
πάλιν δὲ ἐδόκει μοι εἶναι αὐτοῦ τοῦ Ἀσκληπιοῦ μέγας τις καὶ
καλός. ταῦτα καὶ ὡς ὄναρ μοι φανθέντα αὖθις διηγεῖσθαι πρὸς
αὐτὸν τὸν Ζήνωνα· καὶ ἐδόκει σφόδρα ἔντιμον τὸ τοῦ ἀνδριάντος
εἶναι. αὖθις δὲ αὖ τὸν ἀνδριάντα ἑώρων ὡς ἐν τῇ στοᾷ τῇ προ-
18 *μήκει τοῦ γυμνασίου. περὶ δὲ βαλανείου τοιάδε ἔδοξα. πρῶτον*
μὲν ὡς μεταξὺ ἀνατριβόμενος εἰσελθεῖν εἴς τι βαλανεῖον τῶν
ἰδιωτικῶν· ἔπειτα φάναι ὡς ἔλαθον ἐμαυτὸν εἰσελθὼν ‛ἀλούτων
ἡμερῶν ἧδε’. ἔπειτα ἐδόκει μοι παραθαρρύνειν Φοῖβος παρών,
19 *ὥστε καὶ εἰς τὸ ὕδωρ εἰσέβαινον ἀνυπόπτως ἤδη. αὖθις*
δὲ ἐδόκουν πρὸς αὐτῷ τῷ Ἀσκληπιῷ νεανίσκον τινὰ τῶν γυ-
μναστικῶν ἔτι ἀγένειον περὶ βαλανείων διαλέγεσθαι, τὰ μεγάλα δὴ 450 D

---

1 *Δημοσθένους* scripsi: *δημοσθένη* O; ceterum cf. or. XXVIII § 6 *καὶ* om. D 2 *ὑμεῖς — βούλεται*] miscet Demosth. VIII 23 et XVIII 170 4 *ἂν* om. D *ἢ* D(U): *ἡ* AST; virgulam posui; vv. *ἡ — ἐστίν* deleta vult Büchner l. c. 5 *ἔλεγον*] ‛ita (nempe comoediae mentionem iniciens) cum concionabar, provocavi ad Telmessenses Aristophaneam, ubi verbis quis certat, non armis’ *Τελμησσέας* dedi: *τελμησέασ* A a. ras., *τελμισέασ* SDTA p. ras.; CAF. I 526 frg. 529 K.; comoediae titulum iniuria in *Τελεμησσῆς* corrigunt ad inscriptiones Atticas (CIA. I 37. 234); alia, ut persaepe, titulorum alia scriptorum orthographia; cf. etiam Head H. N. 580 6 post *ἐνάτῃ* add. *δ’* Junt. (edd.), cf. v. l. p. 378, 9; *ἐνάτῃ* sc. *φθίνοντος* i. e. d. XXII. Posid. 8 prius *τῷ* scripsi: *τοῦ* O *Ζήνωνος*] cuius unica haec memoria, item Phoebi v. 22 10 *τούτου*] templi 11 *οὐδέν — προσηνέστερον*] sc. *ἐστι τοῦ θεοῦ* 14 *τότε* ASD; *τοτὲ — πάλιν*, cf. p. 384, 6. 7 16 *αὖθις*] *εὐθὺς* ci. Jacobs ad Ach. Tat. p. 791; *αὖθις* ‛postea’ 19 fort. *βαλανείων*; de pluribus refert § 18 et 19—24 *τοιάδε* A: *τοιαῦτα* SDT 20 *εἴσ τι* DTA^2S^2: *ἔστι* A^1S^1 21 ⟨*τῶν*⟩ *ἀλούτων* Kaibel, fort. recte 22 *ἧδε* scripsi: *ἤδη* O: ‛dierum, inquam, quibus (balneum privatum) clausum, hic’ 22 *μοι*] *με* ci. Wil.; de Phoebo ad v. 8

ἐπαινοῦντα καὶ τοιαύτας τινὰς τὰς ἀπολαύσεις τοῦ βίου τιθέ-
278 J μενον. δείξας οὖν αὐτῷ τὴν θάλατταν ἠρόμην εἰ καὶ ἐνταῦθα
ἄμεινον λούεσθαι ἢ ἐν μικρῷ. ʽἐν μικρῷʼ, ἔφη. μετὰ δὲ τοῦτο
λίμνην τινὰ ἔδειξα καὶ ἠρόμην εἰ καὶ ἐν λίμνῃ τοσαύτῃ κρεῖττον
ἢ ἐν μικρῷ. συνεχώρει κἀνταῦθα ὅτι αἱρετώτερον τὸ ἐν μικρῷ.
ʽοὐκ ἄρα, ἔφην, πανταχοῦ τό γε μεῖζον αἱρετώτερον, ἀλλʼ ἔστιν
τις καὶ μικροῦ χάριςʼ. καὶ ἅμα ἐνενόησα πρὸς ἐμαυτὸν ὡς καὶ
ἐπιδεικνυμένῳ που καλὸν εἰπεῖν ὅτι τῶν μὲν ἄλλων ἀνθρώπων
αἱ ἡδοναὶ κινδυνεύουσιν ὑῶν τινων εἶναι ἡδοναί, ἡ δὲ ἐμὴ καθα-
ρῶς ἄρα ἀνθρώπου εἴη, ὅστις σύνειμί τε καὶ χαίρω λόγοις. ἐδό- 20
κει δʼ οὖν ταῦτα λέγειν ὁ νεανίσκος περὶ τοῦ βαλανείου τοῦ πρὸς
ταῖς πύλαις ταῖς εἰς Ἔφεσον φερούσαις, καὶ τέλος ἔδοξέ μοι χρῆ-
ναι ἀποπειραθῆναι — πότε γὰρ δὴ καὶ ἄλλοτε θαρσῆσαι, εἰ μὴ
νῦν; — οὕτω δὴ συνθέσθαι εἰς ὥραν ἕκτην ὡς τηνικαῦτα ἀσφα-
λέστατον ὂν κινεῖσθαι. ἐπεὶ δὲ ἀφίκετο ἡ ὥρα, αἰτιᾶσθαι Βάσ- 21
σον ὡς διατρίβοντα. ʽὁρᾷς, ἔφην, ὡς καὶ δὴ παρέρχεται ἡ σκιά;ʼ
δεικνὺς τὴν τῶν κιόνων. ἐπορευόμεθά τε, καὶ ὡς ἠνύσαμεν,
ἐπιστὰς τῇ δεξαμενῇ τοῦ ψυχροῦ ἐπειρώμην τοῦ ὕδατος καί
μοι ἔδοξεν παρʼ ἐλπίδας οὐ μάλα ψυχρὸν εἶναι, κυανοῦν δὲ καὶ
ἡδὺ ἰδεῖν. κἀγὼ ʽκαλήʼ, ἔφην, οἷα δὴ γνωρίζων τὸ τοῦ ὕδατος
ἀγαθόν. ὡς δὲ παρῆλθον εἴσω, πάλιν εὗρον ἕτερον ἐν θερμοτέρῳ
οἴκῳ ἀνειμένον μᾶλλον, καὶ ἅμα ἐγιγνόμην τε ἐν τῷ θερμῷ καὶ
ἀπεδυόμην· ἐλουσάμην καὶ μάλʼ ἡδέως. Ὀγδόῃ ἔμετος εἰς
ἑσπέραν κατὰ ὄναρ καὶ οὗτος. Ἑβδόμῃ ἐδόκουν ἐν ὕδασιν 22
451 D εἶναί που θερμοῖς. τυχεῖν οὖν τινας πλησίον ἀνθρώπους ἐγχει-
ρίδια ἔχοντας καὶ ἄλλως οὐκ ἀνυπόπτους. καὶ δῆτα προσελθεῖν
μοί τινας αὐτῶν, ὥς τινος προστασίας χρῄζοντας, ἐγκαλεῖσθαι
γὰρ ὑπό τινων. ὡς δʼ ἅπαξ περιεσχέθην, ἐν παντὶ εἶναι, οὔτε
πιστεύων ἐνδείξασθαί τε οὐκ ἐθέλων ὅτι ἀπιστοίην. ἰέναι τε δὴ

---

1 *τοιαύτας τινὰς κτἑ.*] cf. or. XXXIII § 29—31 2 *ἠιρόμην* A[r], item v. 4; cf. v. l. 378, 27 3 *λοῦσθαι* scr. Ddf. 4 *ἔδειξα* sic O 5 *συνεχώρει — μικρῷ* omissa add. D pr. m. mg. 8 *που* legit Schmid, Philol. 1889 (I) 377: *ποῦ* O 9 *ἡδοναὶ — ὑῶν*] cf. p. 235, 18 10 *τε* A: om. SDT 12 *ἔδειξέ μοι* T 13 *θαρρῆσαι* scr. Ddf. 15. 16 *Βάσσον*] obiectum; ceterum cf. or. L § 28 16 *καὶ δὴ* SDT: *καὶ ἤδη* A 18 *ψυχροῦ* SDT: *ψυχροῦ τοῦ ἔξω* A, interpretamentum propter *παρῆλθον εἴσω* v. 21 additum; *τῇ ἔξω* ci. Wil., *ἔξω* enim *δεξαμενὰς τοῦ ψυχροῦ* stare solere 20 *καλὴ* A (sc. *ἡ δεξαμενή*): *καλὸν* SDT 22 *οἴκῳ*] cf. ad p. 290, 6 23 *καὶ ἐλουσάμην* trai. P. Stephanus (*ἐλουσάμην δὲ καὶ* U) *μάλα* SDT 23 *Ὀγδόῃ — 24 Ἑβδόμῃ*] d. XXIII. XXIV. Posid. 24 *κατὰ ὄναρ καὶ οὗτοσ* A: *καὶ οὗτοσ. κατὰ* (*κατʼ* D) *ὄναρ* SDT 29 *ἄπιστοι ἦν* A[1] (corr. A[2])

τινα ὁδὸν καὶ ἐκδέχεσθαι ψαλίδα πάνυ μακράν, ἐν ᾗ καὶ σφόδρα
δεῖσαι μὴ ἐπιθεῖντό μοι. ὡς δὲ διεξελθεῖν ἄσμενος, φανῆναί τε
ἐν τῇ πόλει τῶν Σμυρναίων ἐν τῇ ἀγορᾷ καὶ σκοπεῖν ὅπως ὡς
τάχιστα πολλοί τε ἀθροισθεῖεν καὶ ἐνδειξαίμην τὸ ὄν. κἀκ τού-
του αὐτός τε λαμπάδα λαμβάνω καὶ πάντες ἐλαμπαδηφόρουν οἱ 279 J
ἐν τῇ ἀγορᾷ καὶ τὸ Εὐριπίδειον τοῦτο (Phoen. 3) ἔλεγον· ‘Ἥλιε
θοαῖς ἵπποισιν εἱλίσσων φλόγα,’ καὶ γὰρ ἅμα ἡλίου ἀνατολῇ
ἐδόκουν εἰσελθεῖν. ταῦτα καὶ ὕστερον πρὸς Κοδρᾶτον τὸν ἡγεμόνα
ἐδόκουν ὡς ὄναρ διηγεῖσθαι, καὶ τὸν εἰπεῖν ‘ποίησον οὕτω’· καὶ
23 ἡ λαμπὰς ἤρθη. ἀλουσία. Ἕκτῃ ἐδόκουν ἅμα Ἀλεξάνδρῳ τῷ
διδασκάλῳ προσιέναι τῷ αὐτοκράτορι, καθέζεσθαι δ' αὐτὸν ἐπί
τινος βήματος. προσειπόντος δὲ αὐτὸν τοῦ Ἀλεξάνδρου προτέρου
καὶ προσρηθέντος ὑπ' αὐτοῦ τε καὶ τῶν περὶ αὐτόν, ἅτε καὶ ἐκ
πολλοῦ γνωρίμου καὶ συνήθους ὄντος, μετὰ τοῦτο προσῄειν ἐγώ.
προσειπόντος δὲ κἀμοῦ καὶ στάντος ἐθαύμασεν ὁ αὐτοκράτωρ,
ὡς οὐ καὶ αὐτὸς προσελθὼν φιλήσαιμι. κἀγὼ εἶπον ὅτι ὁ θερα-
πευτὴς εἴην ὁ τοῦ Ἀσκληπιοῦ· τοσοῦτον γάρ μοι ἤρκεσεν εἰπεῖν
περὶ ἐμαυτοῦ. ‘πρὸς οὖν τοῖς ἄλλοις, ἔφην, καὶ τοῦτο ὁ θεός μοι
παρήγγειλεν μὴ φιλεῖν οὑτωσί’· καὶ ὃς ‘ἀρκεῖ’ ἔφη· κἀγὼ ἐσίγησα.
καὶ ὃς ἔφη ‘καὶ μὴν θεραπεύειν γε παντὸς κρείττων ὁ Ἀσκλη-
24 πιός.’ Πέμπτῃ ἐφαίνετο μὲν τὸ ἱερὸν τοῦ Ἀπόλλωνος τὸ ἐν
τῷ ὄρει τῷ Μιλύᾳ· ἐδόκει δὲ οἰκήματα ἄττα προσγεγενῆσθαι, καὶ
ὄνομα εἶναι τῷ χωρίῳ Ἐλεφαντίνη ἀπὸ Ἐλεφαντίνης τῆς ἐν Αἰ- 452 D
γύπτῳ· ἔχαιρον δὴ καὶ κατ' αὐτὰ τὰ οἰκήματα καὶ κατὰ τὴν οἰ-
25 κειότητα τοῦ τόπου τῷ τόπῳ. καὶ δὴ καὶ ἱερέα εἶναι τοῦ θεοῦ
τὸν τῆς Ἴσιδος τῆς ἐν Σμύρνῃ ἱερέα, παρ' ᾧπερ καὶ κατάγεσθαι,
καὶ ἐνθυμεῖσθαι πρὸς ἐμαυτὸν ὅτι πολλά μοι πρὸς αὐτὸν οἰκεῖα
ὑπάρχοι ἐκ πολλοῦ· καί τι καὶ τυγχάνειν παρ' αὐτοῦ πρόσθεν
26 ἐωνημένος, ἔπειτα ὑπόλοιπόν τι ἔχων ἐθέλειν ἀλλάξασθαι. κἀκ
τούτου δὴ ἐδόκουν εἰπεῖν τινὰ κοιφὶ μετὰ οἴνου· λαβεῖν τε δὴ

2 ἄσμενοσ A: ἀσμένωσ SDT 6 εὐριπίδιον A 7 ἑλίσσων DS[2] 8 ὕστε-ρον] ον s. l. add. T[2] Κοδρᾶτον] cf. or. L § 63 10 ἀλουσία traieci post ἤρθη: οὕτω ἀλουσία καὶ AS a. ras., οὕτω καὶ DTS p. ras., ante καὶ add. mg. ἀλουσία T[2]S[2] Ἕκτῃ] d. XXV. Posid. 12 ἀλεξάνδρω τῶ διδασκάλω DTS[2]: ἀλέξανδρον τὸν διδάσκαλον AS[1]; dicit Alexandrum Cotiaensem, quocum Romae (cf. ad p. 227, 2) sub Pio imperatore (τῷ αὐτοκράτορι v. 11) commercium orator habuerat 14 τοῦτο/ S 19 οὑτωσί SDT: οὕτωσ A 21 Πέμπτῃ] d. XXVI. Posid. 22 Μιλύᾳ] cf. Herm. 1890, 313 sqq. 26 Ἴσιδος — Σμύρνῃ] cf. or. IL § 49. 50 ὅπερ S[1] 28 ὑπάρχοι A: ὑπάρχει SDT posterius καὶ om. D 29 ἔχον D 30 κοιφὶ A(sine acc.)ST: κρύφῆ sic D; de medicamento accurate Plut. Is. et Os. c. 80

εὐθὺς αὐτὸ ὡς ἴαμα καὶ σκοπεῖν εἴτε τῷ προσώπῳ δέοι προσθέ-
σθαι εἴτε καὶ τοῖς ἐντός. καί τινος εἰπόντος ὅτι ἐπικάοι ὅπου
ἐπιτεθείη, ἐνθυμηθῆναι ὡς ἐπιτηδείως ἔχοι παντὸς μᾶλλον ψύξεως
εἶναι φάρμακον. καί πως ἐκ τούτων εἰπεῖν πρὸς τὸν ἱερέα ὅτι
280 J δῆλον ἦν ἐξ ὧν ἀνεγίγνωσκον ὅτι οὐχὶ δεήσοι φαγεῖν. καὶ δῆτα
εὐθὺς εἶχον ἐν νῷ ὡς διατελέσων ἄσιτος τὴν ἡμέραν· ᾐσίτησα
δή. Ἡ δὲ ἐπιοῦσα ἀλουσίας πάλιν ἦν. Τρίτῃ φθίνοντος 27
ἐδόκουν ἐφθαρμένης μοι τῆς τροφῆς συμβουλεύεσθαι περὶ λουτροῦ
Ζωσίμῳ τῷ τροφεῖ καὶ ἐρωτᾶν εἰ δέοι πλείω λούσασθαι, τὸν δὲ
οὐ συμφῆσαι. μετὰ δὲ τοῦτο λελοῦσθαί τε καὶ τῆς γαστρὸς φαύ-
λως ἔχειν, καὶ φάναι πρὸς τὸν Ζώσιμον 'ἔδει γὰρ ᾐσιτηκέναι;',
καὶ τὸν εἰπεῖν 'ἔδει'. ᾐσίτησα αὖθις. Καὶ τῆς ἐπιούσης ἥμουν 28
πάλιν εἰς ἑσπέραν. ἦν δὲ τὸ ὄναρ ὡς ὀστοῦ γε ἐγκειμένου
καὶ δέον ἐκβαλεῖν, ἔννοια δὲ καὶ αἵματος ἀφαιρέσεως ἀπὸ τῶν
σφυρῶν· καὶ ἐποίησα οὕτω καὶ προῆλθεν οὐ πολύ. Ληναιῶνος 29
νουμηνίᾳ ἐδόκουν ἐν τῷ Ἀδριανείῳ κεχρῖσθαι μέν, λελοῦσθαι δ'
οὔ· ὡς δ' ἐπανελθεῖν, φάναι πρός τινα τῶν φίλων ὅτι οὐ λουσαί-
μην, ἀλλὰ χρισαίμην· τὸν δὲ 'καὶ γὰρ ἐγώ, φάναι, κέχρισμαι μόνον'.
ἀλουσία ἡμερῶν ἕξ. Δευτέρᾳ ἐδόκουν ἐν τῷ ἱερῷ εἶναι τοῦ 30
453 D Ἀσκληπιοῦ ὄρθριον εὐθὺς ἐξ ὁδοῦ ποθεν ἥκων καὶ χαίρειν ὡς
ταχέως ἀνεῴγνυτο. ἐδόκουν δὲ καὶ τοὺς παῖδας ᾄδειν τὸ ἀρχαῖον
ᾆσμα, οὗ ἡ ἀρχή ἐστιν

Δία τὸν πάντων ὕπατον κλῄζω,

καὶ εἶναι ἐν ἐκείνῳ τῷ μέρει τοῦ ᾄσματος·

πολὺ γὰρ πολύ μοι τὸ μέσον βιότου
μέλπειν τε θεοὺς ἔν τ' εὐφροσύναις
ἦτορ ἰαίνειν τοιῷδ' ὑπὸ παιδονόμῳ (PLG. III p. 684 sq. B.[4]),

ὥστ' ἐθαύμαζον ὡς αὐτόματον τὸ ᾆσμα εἰς μέσον ἧκεν. πάλιν 31

---

5 ἀνεγίνωσκον DTS p. ras., ἂν ἐγίνωσκον S a. ras., ἂν ἐγίγνωσκον A δεήσει T[1] p. ras. (U) 6 εἶχον ἐν νῷ ὡς διατελέσων] acsi esset παρεσκευαζόμην ὡς κτἑ., cf. Schmid p. 55 et ad p. 180, 21 7 Ἡ δὲ — φθίνοντος] d. XXVII. XXVIII. Posid. 10 τε scripsi: γε O 12 ἐπιούσης] d. XXX. Posid. 15 καὶ ἐποίησα] haec post somnium, d. XXXI. Posid. προῆλθεν A (sc. sanguinis): προῆλθον SDT Ληναιῶνος νουμηνίᾳ] d. I. m. Lenaeonis, qui excipiens Posideonem comprehendit in anno ordinario dies inde a d. XXIV. m. Ianuar. usque ad d. XX. m. Febr., cf. ad p. 377, 11 16 μὲν////λελοῦσθαι S 18 ἀλλὰ] ἀλλ' οὐ D 19 ἀλουσία ἡμερῶν ἕξ AS a. ras. (e rasurae ambitu constat): om. DTS p. ras.; cf. p. 384, 11. 14 ἱερῷ — Ἀσκληπιοῦ] Pergami, id quod e παίδων commemoratione sequitur, quos, cum Pergami degeret, alebat (cf. L § 38) 22 ἡ om. S 25 τὸ μέσον] λῷστον ci. Bergk.; τὸ μέσον quasi 'centrum vel umbilicus' 27 παιδονομῆϊ ci. Bergk.; praestaret ὑπὸ παιδονόμῳ τοιῷδε .... Wil.

δὲ ὡς γενεθλίων προσιόντων προπέμπειν εἰς τὸ ἱερὸν τοὺς οἰκέ-
τας ἀποκομίζοντας δή τινα καὶ ἅμα γράμματα ἐγγράφειν ἐπ᾽ αὐ-
τῶν ὧν ἀπεκόμιζον· καὶ φιλοτεχνεῖν ὑπὲρ συμβόλου ἀγαθοῦ ὅπως
32 χωρήσειεν ὅσων ἔδει τῷ λόγῳ. Τρίτη λύχνων εἰσφορά τις ἐφαί-
νετο εἰς τὸ ἱερὸν ὑπὸ τοῦ θυρωροῦ κατ᾽ εὐχὴν ὑπὲρ ἐμοῦ, καὶ
33 ἐμεῖν ἔδει· ἤμεσα. Πέμπτῃ θεοῖς ἐδόκουν εὔχεσθαι, τὰ μὲν οἷς
εἴωθα κοινῇ, πάλιν δὲ ἰδίᾳ Διὶ καὶ Ἄρει καὶ θεοῖς οἳ Συρίαν
ἔχουσιν. καὶ παραπλήσια τἀκεῖ τοῖς οἴκοι κατὰ τὴν οἴκησιν ἐφαί-
νετο. καὶ μετὰ τοῦτο ἐγίγνετο ἡ πρόσοδος ἡ πρὸς τὸν αὐτοκρά-
τορα· ἐπεπόμφειν δὲ ὡς τὸν ἐν τῇ Συρίᾳ τότε αὐτοκράτορα, καὶ 281 J
34 συνέβη καλῶς. Ἑβδόμῃ ἔν τινι ἀποδυτηρίῳ βαλανείου Χαρίδη-
μον ἰδεῖν τὸν ῥήτορα τὸν ἐκ Φοινίκης φαιδρόν τε καὶ ἄρτι λελου-
μένον, καὶ φάναι δὴ πρὸς αὐτὸν ἅμα τῇ προσρήσει οὑτωσί, ὅτι
35 πρωίτερον λούσαιτο, καὶ αὐτὸς ἅμα ἀποδύεσθαι. ἐλουσάμην. Καὶ
πάλιν τῇ δεκάτῃ τοῦ μηνὸς ἐδόκει μοι Ἀντωνῖνος ὁ Πυθοδώρου
διαλέγεσθαι περὶ Νυμφῶν ἐπαινῶν· εἰπεῖν οὖν καὶ αὐτὸς ὅτι οὐκ
εἶεν θεαὶ χαριέστεραι, πάντως δὲ εἶναι καὶ τῷ ἐπιεικεῖ ἀπολαύειν
αὐτῶν, εἰ καὶ μὴ πολλὰ λουμένῳ, τά γε μέτρια. ταῦτά τε δὴ καὶ
36 Ὑγιείας ἐδόκουν τι λέγειν ἐγκώμιον. Δωδεκάτῃ ἐδόκουν Ἀντω- 454 D
νῖνον τὸν αὐτοκράτορα τὸν πρεσβύτερον καὶ τὸν τῶν πολεμίων
βασιλέα σπονδὰς καὶ φιλίαν πεποιῆσθαι πρὸς ἀλλήλους· προσιόν-
των δὲ τῶν περὶ τὸν Βολογαῖσσον φωνὴν εἶναι οὐκ ὀλίγην καὶ
δοκεῖν αὐτοὺς ἑλληνίζειν. ἔπειτα ἀφικέσθαι παρ᾽ ἐμὲ ἀμφοτέρους
μετὰ τοῦ σχήματος τοῦ βασιλικοῦ, καὶ εἶναι τόν τε Ἀντωνῖνον
ἐπιεικῶς ἐν ἀκμῇ κἀκεῖνον βλοσυρόν τινα ἰδεῖν· καθίζεσθαι δέ

---

3 *συμβόλῳ* scripsi: *συμβούλῳ* O; fausto augurio (omine), ut bene procederent quae ad orationem (nempe quam L. Vero Antiochiam mitteret, v. 9 sq.) necessaria erant; inde v. 11 *συνέβη καλῶς* 5 *ἱερὸν*] aut Iovis Olympii patrii aut Aesculapii, cuius templum Aristidi prope sedem paternam erat (or. L § 49. 50); neque enim Smyrnae neque Pergami facta sunt, quae his commentariis orator comprehendit (cf. § 51. 54) 6 *ἤμεσα*] *καὶ ἤμεσα* T 10 *ἐπεπόμφειν — αὐτοκράτορα* om. D 11 *ἀποβατηρίω* D *Χαρίδημον*] cuius unica haec memoria; item Antonini v. 15 14 *πρωίτερον* A^1(-*ω*|*ί*-)ST, *προίτερον* D: *πρωι*|*αίτερον* A^r (U; prob. Ddf.); illud atticistis magis probatum (Thom. Mag. p. 309 sq.) *ἐλουσάμην*] d. VIII. Lenaeon. 15 *πυθοδώρ/ου* S; cf. ad v. 11 18 *λουομένω* SDT 19 *Ἀντωνῖνον — τὸν πρεσβύτερον*] Marcum 21 *φιλίασ* D *πεποιῆσθαι* A: *ποιεῖσθαι* SDT 22 *βολογαῖσσον* A: *βολόγαισον* ST, *βολόγεσσον* D(U); *Vologessus* Scr. r. A. v. Marci 8, 6, *Βολόγαισος* Iamblich. Erot. script. I 225, 10 H., *Οὐολόγεσ(σ)ος* Luc. hist. conscrib. 14. 19. 31, *Vologaesus* Fronto p. 127 Nab. (*Vologesus* CIL. III 6010, 195), *Ολογασος* (et '*Volgasi*') nummi Head H. N. 695 sq. 25 *βλοσσυρόν* D(U) *τινα* A: *τι* SDT *καθίζεσθαι* A: *καθέζεσθαι* SDT

μου αὐτὸν οὐκ ἀπὸ πολλοῦ, ἑτέρωθεν δὲ ἐν θρόνῳ τὸν Ἀντωνῖνον.
ἐδόκει δ' ἐμοὶ καὶ ἰατρικῶν τινων ἐμπείρως ἔχειν ὁ Μῆδος, δεξιού- 37
μενος δ' ἐμὲ εἰπεῖν 'πότε ἡμῖν ἀναγιγνώσκεις;' κἀγὼ ἡσθῆναί τε
τῷ ῥήματι καὶ φάναι 'ὅταν ὑμεῖς κελεύητε.' καὶ οἱ μὲν παρεσκευ-
άζοντο πρὸς τὴν ἀκρόασιν, ἐγὼ δὲ ἀπῄειν ἐκλέξων τῶν βιβλίων.
καί μοι ἔδοξεν πρόλογόν τινα ὡς ἐν βραχεῖ συνθεῖναι εἰς αὐτούς, 38
καὶ εἶχεν οὕτω πως — ἐδόκουν δὲ καὶ πάνυ τοῦ συντεθέντος
ἅπαντος μνημονεύειν, ἃ δ' οὖν διεσωσάμην· 'ἤδη μέν τις καὶ ἄλ-
λος χρηστοῦ τινος αὐτῷ συμβάντος καὶ βουλόμενος ἐνδείξασθαι
τὴν ἡδονὴν εἶπεν ὡς ἄρα εἴη πλεῖν ἢ διπλάσιος γεγονώς, ἄλλος
δέ τις ὡς ἐν μακάρων νήσοις εἶναι δοκοίη, ἐγὼ δὲ καὶ αὐτὸς οὕ-
τως ὑπὸ τῆς παρούσης ἡμέρας τε καὶ τύχης διάκειμαι'. καὶ ἅμα
ἐσκοπούμην, εἰ κοινοῦν χρὴ τὸν λόγον ἢ πλέον τῷ παρ' ἡμῖν βασι-
282 J λεῖ νέμειν, ἔπειτα οὕτως ἐφέπεσθαι τὰ πρὸς τὸν ἕτερον. εἶπον
δὲ οὕτω πως· 'ὥστ', ἔφην, εἰ μὴ γεγυμνασμένος ἦν ἐν θείαις
ὄψεσιν, οὐκ ἄν μοι δοκῶ ῥᾳδίως οὐδὲ πρὸς αὐτὴν τὴν πρόσοψιν
455 D ἀντισχεῖν, οὕτω μοι δοκεῖ θαυμαστή τις εἶναι καὶ κρείττων ἢ κατ'
ἄνθρωπον,' ἔλεγον δὲ θείας ὄψεις, μάλιστα δὴ ἐνδεικνύμενος τὸν
Ἀσκληπιὸν καὶ τὸν Σάραπιν. ταυτὶ μὲν τοιαῦτα. τῶν δὲ βιβλίων 39
τέως μὲν ἐκλέγειν ἠξίουν, ἔπειτα ἔδοξέ μοι τὸ κιβώτιον κομίζειν
καὶ ἐπ' αὐτοῖς ποιήσασθαι ἀνελέσθαι ὅ τι ἂν βούλωνται· τοῦτο
γὰρ καὶ ἄλλως χάριν τινὰ ἔχειν καὶ ἅμα οὕτω μάλιστα αὐτοὺς
ἐκπλῆξαι. ταῦτα καὶ ὕστερον ὡς ὀνείρατα φανθέντα πρὸς Πέλοπα
κατὰ ῥῆμα ἐδόκουν διηγεῖσθαι. ὕστερον δὲ ἔδοξα λελουμένῳ μοι 40
προσφέρεσθαι, τοτὲ μὲν ὡς ὕδωρ ψυχρόν, τοτὲ δὲ ὡς γάλα· ἀμ-
φιγνοεῖν οὖν καὶ λέγειν δὴ πρὸς Ζώσιμον ὅτι οὔτε διψῴην οὔτε
πεινῴην· τί οὖν ἄν τις ἐσθίοι; καὶ μετὰ τοῦτο ἐκυροῦτο ἡ ἀσιτία
καὶ ὁ ἱερεὺς ἐδόκει μου τὰ χείλη ἐκμύζειν. αὕτη μὲν ἀσιτίας, ἡ
δὲ ἐπιοῦσα ἀλουσίας, ἡ δὲ ἀπ' ἐκείνης ἀλουσίας καὶ ἐμέτου.
Πέμπτῃ ἐπὶ δέκα ἐδόκουν τὸν ἡγεμόνα ἐπιστέλλοντά μοι τὴν πρόσ- 41

2 δέ μοι O τινων] τι ci. Jacobs Lect. Stob. p. 49 3 δεμε A, δέ με SDT ἀναγινώσκεισ SDT 5 ἐκλεξ//ων S 7 συντιθέντοσ unus T 8 διεσωσάμην ⟨εἶχεν οὕτως πως⟩ Jacobs l. c. p. 64; orator levi anacolutho uti voluit idque cum arte 8 τις] iste imitatus erat Plat. Euthyd. 300 D ὥστε ὁ Κτήσιππος ἐγένετο πλεῖον ἢ δεκαπλάσιος, unde δεκαπλάσιος ap. Aristid. ci. Kaibel 10 πλεῖν] πλὴν D; πλεῖον Plato ἄλλος κτὲ.] Socrates ap. [Plat.] Menex. 235 C 13 κοινοῦν] 'κοινὸν (ἴσον) ἀμφοτέροις ποιεῖσθαι' 17 κατὰ SDT 20 μὲν λέγειν S[1] 23 Πέλοπα] cuius unica haec mentio, item Metrodori p. 386, 3 24 κατὰ ῥῆμα AT: om. SD ῥῆμά ⟨μοι⟩ ἐδόκουν Schmid p. 96, falsus; ἐδόκουν hic quoque de somnio dictum 27 τῇ ἀσιτία T[1] a. corr. 28 ἐκμύζειν] in ἐκμυζῆν corr. D[1] αὕτη] d. XII. m. Lenaeonis ἀσιτείασ D a. ras. 30 sq. πρόσρησιν TS[2]: πρόρρησιν AS[1]D

ρησιν οὕτω ποιήσασθαι· Ἀριστείδῃ τῷ ἱερεῖ χαίρειν'. καὶ ἦν
ἀλουσίας καὶ αὕτη. Τῇ δὲ ἐπιούσῃ κάδους τινὰς ἔδει καταχέασθαι·
42 *ἔπειτα ἀλουσία. Ὀγδόῃ ἐπὶ δέκα ἐδόκει μοι Μητρόδωρος ὁ*
ποιητὴς ἀγωνίζεσθαι ἐν Σμύρνῃ τὸν τῶν ποιητῶν ἀγῶνα, ὅσπερ
καὶ ἦν σχεδὸν κατ' αὐτὴν τὴν ἡμέραν· πρὶν δ' εἰσιέναι, λαλεῖν
μοι περί τινων καὶ ἅμα ἐσθίειν φύλλα πράσων καὶ ᾠὸν μετ' ἄρ-
του, καὶ μέρος τι τοῦ ᾠοῦ ἐγκαταλιπεῖν· κἀγὼ μέντοι πρὸς αὐτὸν
εἰπεῖν '....ἐπισχνὼν ὀλίγα, ὅπως καὶ ἀγωνίσῃ'. ἐγένετο δὲ ὁ λόγος
καὶ περὶ τοῦ ἱεροῦ τοῦ ἐν Περγάμῳ καὶ τοῦ φρέατος, οἷον μέν τι
εἴη αὐτὸν προσελθόντα πιεῖν, οἷον δὲ ἕτερον πίνοντα ἰδεῖν, οἷον
δὲ αὐτὸ ἰδεῖν. ταῦτά τε οὕτως ἐδόκουν διαλέγεσθαι καὶ τυγχάνειν
43 *ἀκηκοὼς ὡς, εἰ γενοίμην ἐν χερσὶ τοῦ θεοῦ, ἐλπίδες εἶεν. καί*
πως ἅμα τούτοις ἑστάναι μὲν ὡς οἴκοι ἐν τῷ προθύρῳ, ναρκῶν-
τος δέ μοι τοῦ ποδὸς παρελθεῖν εἰς τὸν οἶκον τὸν μέγαν· καί 456 D
τινα ἐπελθεῖν τῶν ἐκ τοῦ ἱεροῦ τοῦ Διὸς τοῦ Ὀλυμπίου· διεξιέναι 283 J
δή πρὸς αὐτόν, ὡς ὀνειράτων μοι γεγονότων παρὰ τοῦ θεοῦ καὶ
κελεύειν ὑπηρετῆσαι. ὁ δὲ καὶ αὐτὸς ἔφη γεγενῆσθαι ὄναρ αὐτῷ,
λαβόντα σκέλος χοίρειον ἐγκοιμίσαι ἐν Ἀσκληπιοῦ, σκευάσαντα
44 *ὥσπερ ἐγὼ εἴωθα χρῆσθαι. μετὰ δὲ τοῦτο ὡς ἐν Περγάμῳ ἐδόκουν*
στέφανον πέμπειν τῷ θεῷ τῶν μακρῶν, οἷ⟨οί⟩ εἰσιν οὓς ἰδίᾳ
τῷ Ἀσκληπιῷ κομίζουσιν, προστάξας τῷ ἀποκομίζοντι — εἶναι δ'
αὐτὸν Ἀγαθίωνα — ἐπαναφέρειν μοι παρὰ τοῦ νεωκόρου ἕτερον.
ὡς δ' ἐπανήνεγκεν, παραθέσθαι αὐτὸν ὡς ἔτυχον κατακείμενος ἐκ
45 *δεξιᾶς. ἐπὶ δὲ τούτοις ἔδοξα εἶναι μὲν ὅπου δή, ἀναστὰς δὲ ζη-*
τεῖν τὴν τροφόν — τὴν δὲ κατ' ἀντίθυρον οἰκεῖν μου —, καί τινα
ἀποκρίνασθαι, ὡς ἐναντιωμάτων τινων αὐτῇ γεγονότων, πρίν γε
δὴ καὶ κατιδεῖν αὐτήν τε προσάγουσαν τὴν τροφὸν καὶ τὴν σύν-
τροφον τὴν Καλλιτύχην ἑπομένην. φέρειν δὲ τὴν τροφὸν τὸ μὲν

---

1 *τῶ ἱερῶ* T 2 *κάδους — καταχέασθαι*] corpori aliquot cados aquae superfundere 3 *ἔπειτα*] d. XVII. m. Len. *Μητρόδωρος*] cf. ad p. 385, 23 4 *ὅσπερ* $S^{1}D$: *ὥσπερ* ATS^{2} 8 lacunam indicavi; cf. p. 430, 9 *λόγος — φρέατος*] cf. argumentum or. XXXIX et LIII 9 *μέν τι*] *μέντοι* T^{2} (U Junt.) 10 *αὐτὸν — ἰδεῖν*] cf. or. XXXIX § 13 *πιεῖν*] *ποιεῖν* T, cf. v. l. p. 378, 17 12 *ἐλπίδες*] sc. *τοῦ σωθήσεσθαι* 15 *Διὸς τοῦ Ὀλυμπίου*] patrii, cf. or. L § 21. LI 10 al. 16 *δὴ* sic O 17 *αὐτῷ* O 18 *ἐγκοιμίσαι ἐν* A: *ἐκκοιμίσαι εἰσ* SD, *ἐκκομίσαι εἰσ* T (U Junt.); dormienti sibi mandatum esse aiebat, ut pernam suillam sopiret in Aesculapii eamque eo apparatam more, quo Aristides comedere soleret (ita ut appareret rationem inter oratoris pedem torpentem et pernam hanc intercedere) 20 *οἷοί* Wil.: *οἵ* O 22 *Ἀγαθίωνα*] ceteroquin ignotus *ἐπαναφέρειν* A: *εἶτ' ἀναφέρειν* SDT 27 prius *καὶ* A: om. SDT; iunge *τινα ἀποκρίνασθαι . . . πρίν . . κατιδεῖν* (Aristides) *προάγουσαν* D; cf. ad p. 31, 3 28 *καλλιτύχην* A: *καλλιτέχνην* SDT; cf. or. LI § 25; *ἡ τροφός* est *Φιλουμένη* § 78; or. IL § 16

*πρῶτον εἴκασα ὡς μῆλα, ἔπειτα ἦν ᾠὰ ἑφθὰ τρία περιγεγλυμ-
μένα, ὥσπερ μέλλοντος ἤδη ἐσθίειν. κομίζουσα δὲ ἔφη οἷα δὴ τὰ
ἀπὸ ἀγροικίας, κἀγὼ ἐθαύμασά τε καὶ εἶπον ὅτι κατὰ θεὸν ἥκοι
τὰ ᾠά· ‘ἐκέλευσεν γάρ, ἔφην, ὁ θεὸς τήμερον ᾠῷ χρήσασθαι καὶ
φυλλίοις καὶ παραθέσθαι στέφανον παρὰ τοῦ θεοῦ’. ἐποίησα
ταῦτα. ὁ δὲ στέφανος ἦν ἐκ τοῦ ἱεροῦ τοῦ Διὸς Ἀσκληπιοῦ.
ἀλουσία δὲ καὶ διὰ πολλῶν ἐδηλοῦτο. Ἐνάτῃ ἐπὶ δέκα ἐδόκουν* 46
*ἐν τοῖς βασιλείοις διατρίβειν, τὴν δ' ἐπιμέλειαν καὶ τιμὴν τῶν
αὐτοκρατόρων εἰς ἐμὲ θαυμαστὴν καὶ ἀνυπέρβλητον εἶναι διὰ πάν-
των ἑξῆς ὧν ἔπραττον· μόνῳ γὰρ ἅπαντα γίγνεσθαι ὧν οὐδὲ μι-*
457 D *κρὸν ἄλλῳ τῳ. καὶ τοῦτο μὲν δὴ ἔνδον συνδιατρίβειν τε καὶ
συνοικεῖν, οὐδενὸς ἄλλου τῶν σοβαρῶν παρόντος, αὖθις δ' αὖ
περιῆγόν με ἅμα ἑαυτοῖς. ἀπιέναι δ' αὐτοὺς ὄρυγμά τι σκεψο-
μένους ὃ ἐτύγχανον περιβαλλόμενοι τῇ πόλει, τοῦ μὴ τὸ ὕδωρ
ἐμπῖπτον κακουργεῖν· οὗ δὴ καὶ τὸν χοῦν ὁρᾶν ἐκβαλλόμενον. θαυ-* 47
284 J *μαστὰ δὴ καὶ παρὰ τὴν πορείαν ἐνεδείκνυντό μοι. μέσος τε γὰρ
ἐγιγνόμην πολλάκις ἀμφοῖν καὶ ὁπότε βουληθείην περιελθεῖν, ὥστε
τὸν πρεσβύτερον μέσον καταστῆσαι, ὁ νεώτερος τοῦτ' ἐποίει αὐτός·
ἐμὲ δ' ἐν χώρᾳ ἀεὶ διαμένειν· ἐδόκει δέ μοι καὶ παιδὸς ἡλικίαν
ἔχειν. τοῦτο καὶ πολλάκις συνέβη, καὶ δὴ καὶ ὡς πρὸς ὑψηλόν τι* 48
*καὶ οἷον κλίμακα ἔδει προσβαλεῖν, τὸ μὲν πρῶτον ὁ νεώτερος
ἐβοήθησεν, καὶ ἐπεφθεγξάμην οἷα δὴ καὶ χάριν εἰδώς· ἔπειτ' ἄνω
ἐπὶ τέλει ὁ πρεσβύτερος, καὶ ἐρομένου αὐτοῦ πως, τὸ ὅλον τε
καὶ πᾶν αὐτὸν ἔφην βοηθῆσαι. καὶ ἐπὶ τούτοις ἤδη ἔλεγον ἀπαλ-* 49
*λαξείων, ‘χάριν ὑμῖν, ἔφην, ἔχω, αὐτοκράτορες, πάσης προνοίας
καὶ τιμῆς ἥν με τετιμήκατε’. οἱ δ' ὑπολαβόντες ‘ἡμεῖς μὲν οὖν,
ἔφασαν, τοῖς θεοῖς ἔχομεν χάριν πειραθέντες ἀνδρὸς τοιούτου·
ἡγούμεθα γὰρ καὶ περὶ τοὺς λόγους ὅμοιον εἶναι’. κἀκ τούτου
ἤρχετο ὁ πρεσβύτερος λέγειν ὅτι τοῦ αὐτοῦ εἴη καὶ ἄνδρα ἀγαθὸν
εἶναι καὶ περὶ λόγους ἀγαθόν. ἐπεξῄει δὲ ὁ νεώτερος ῥῆμά τινος
λέγων ὅτι ἀκολουθοίη τῷ τρόπῳ καὶ τὰ τῶν λόγων. κἀγὼ εἶπον*

1 *ἤκασα* T[1] a. corr. 5 *παραθέσθαι*] cf. p. 386, 23 6 *Διὸς Ἀσκληπιοῦ*] Pergami, cf. p. 335, 5 7 *ἐνατη* A[1] (*-ατηι* A[r], *ἐννάτηι* A[2] sic) 9 *αὐτοκρατόρων*] M. Antonini et L. Veri *εἰ ἐμὲ* A[1] a. corr., *εἴσ με* S[1] 10 *ἑξῆσ* sic O *γίγνεσθαι*] *αι* in ras. S[2] 14 *περιβαλλόμενοι* DTS[2]: *περιβαλόμενοι* AS[1] *πόλει*] Romae? 16 *καὶ* om. D *ἐνεδείκνυντό* DTS[2] (sc. imperatores): *ἐνεδείκνυτό* AS[1] 19 *αἰεὶ* A[r] 21 *καὶ* delet Kaibel *προσβαλεῖν* A: *προσβάλλειν* SDT 23 *πρεσβύτεροσ* A, *πρεσβυ*[τ] S: *πρεσβύτησ* DT *πῶς, τὸ ὅλον* Ddf. (*πως* legi): *πῶσ τί* (*τι* ST), *ὅλον* O 30 *τινος*] quem dicat nescio; pro rhet. II p. 133, 13 Ddf. *ἡ παροιμία ἡ λέγουσα οἷος ὁ τρόπος τοιοῦτον εἶναι καὶ τὸν λόγον*; cf. Norden, Antike Kunstprosa I 11, 2; inscita Kock CAF. III 624 n. 1298

*ὅτι ‛βουλοίμην ἂν ταῦτα οὕτως ἔχειν· λυσιτελεῖ γάρ μοι εἰς τοὺς
λόγους, εἴπερ γε τὰ ἄλλα τοιοῦτος ὑφ᾽ ὑμῶν ὑπείλημμαι, καὶ ἅμα
εἰ μέλλω δύ᾽ ἀνθ᾽ ἑνὸς ἕξειν τἀγαθά.᾽ τοιαῦτ᾽ ἄττα ἠμειψάμην
αὐτούς. ἦν δὲ μυρία ἄλλα καὶ γιγνόμενα καὶ λεγόμενα, κρείττω
λόγου τε καὶ ἐλπίδος. εἶτ᾽ ἐπὶ τούτοις ἐπικαταδαρθὼν ἐδόκουν
τινὰ τῶν γνωρίμων, Διοφάνη ὄνομα, λέγειν μοι ὡς συμπαρόντα* 458 D
*καὶ ὁρῶντα τὰς ὑπερβολὰς τῶν τιμῶν, παρεῖναι δὲ καὶ τῶν ἑταί-
ρων τινὰ τῶν νεωτέρων καὶ θαυμάζειν ἀκούοντα, ὡς παρὰ πᾶσιν*
50 *οὕτως εὐδοκιμοίην. ἐκ δὲ τούτου φαίνομαι ἐν βαλανείῳ τινί. καὶ
τὸ μὲν πρῶτον εἰσῆλθέ με οἷόν τι εἴην πεποιηκώς, πρὶν ἰδεῖν
τοὺς αὐτοκράτορας, ὅτι λουοίμην, δοκεῖν γὰρ δὴ χθὲς αὐτοῖς ἐντε-
τυχηκέναι· ἔπειτα ὡς ἀνετριβόμην τε ἤδη καὶ ἱδρώς τις προσήει,
‛πορευώμεθα, ἔφην, εἴσω᾽. οὕτω δὴ ἐλουσάμην τε καὶ ἤμεσα εἰς
ἑσπέραν, ἐνθύμιον ποιησάμενος τὸ τοῦ χοῦ τοῦ ἐκφορουμένου.*
51 *Ὅμως δὲ ἔτι διεσκοπούμην περὶ τῆς ὁδοῦ τῆς εἰς Πέργαμον
διὰ τὰ πρόσθεν ὀνείρατα· ἐνταῦθα δὴ σαφῶς ἐδηλοῦτο ἐπισχεῖν.* 285 J
*τοῦτο μὲν γὰρ περὶ ἑσπέραν ποι κεκινῆσθαι καὶ μεταγιγνώσκειν
καὶ φάσκειν ὅτι ἀδύνατον εἴη Ἀδριανοῦ θήρας κατατυχεῖν, τοῦτο
δὲ ἐδόκουν ἀπὸ Ἀδριανοῦ θήρας τινὰ ἐλθεῖν, βιβλίον τι κομίζοντα
τῶν Μενάνδρου, καὶ λέγειν ὅτι πηλός τε εἴη ἀμήχανος καὶ τέλμα*
52 *καὶ ἀνύσαι ἀδύνατον. πάλιν δὲ ὕειν τε ἔδοξα καὶ προσελθόντα
μοι τινὰ λέγειν ὡς ἄρα τῶν ἀντιδίκων τις εἴη ἐν Ἀνδριανοῦ θήρᾳ
καὶ δέοι κατιέναι ὥστε τι πρᾶξαι, καὶ ‛τί, φάναι, πλέον τοῦ θεοῦ
μένειν προειρηκότος;᾽ τοῦτο καὶ αὖθις ἔδοξα πρός τινας λέγειν
καὶ τὸ πᾶν οὕτω λαμβάνειν, ὅτι ἐπειδὴ δυσχερέστερον εἶχον πρὸς
τὴν μονήν, ἔξοδον προὔδειξεν ὁ θεός, βουλόμενος μεταβαλεῖν*

---

1 *λυσιτελεῖ* scripsi: *λυσιτελεῖν* O 6 *θειοφάνη* T[1]; vir ceteroquin ignotus fuit clarissimus (*γνώριμος*, ut or. L § 12, non amicus, cf. v. 7. 8) *λέγειν*] sc. *περὶ τῶν ὑπερβολῶν τῶν τιμῶν*, quae post *τὰς — τιμῶν* v. 7 non repetivit 7 *ἑταί-ρων*] *αἱ* in ras. S[2] 10 *οἷόν τι — λουοίμην*] vetitus erat lavari (p. 387, 7) 12 *προήει* ci. Wil., fort. recte 14 *ἐμφορουμένου* D, at cf. p. 387, 15 (Baumgart, Ael. Aristid. p. 123, 114) 15 *Ὅμως δὲ ἔτι κτἑ.*] sententia: ‛quod dixeram somnians ‛*πορευσώμεθα εἴσω*᾽, proficisci Pergamum iussus esse mihi videbar, quanquam non deerant, quae secus suadere viderentur, ut de consilio proficiscendi dubitarem; nihilo secius (*ὅμως δὲ*) etiam tum de itinere Pergameno cogitabam idque propter priora illa somnia (p. 386, 9. 19), quae recenti somnio confirmari videbantur; tunc aperte sum prohibitus᾽. somnium est d. XX. m. Lenaeonis, cf. p. 387, 7 17 *μεταγινώσκειν* O 20 *Μενάνδρου*] nomen omen *τοῦ μένειν* (v. 24. 26. 389, 1); cf. Artemid. III 38 *Μένων μὲν καὶ Μενεκράτης καὶ Κρατῖνος ἀποδημεῖν κωλύουσι .... Θράσων δὲ καὶ Θρασύλος καὶ Θρασύμαχος παρορμῶσι πράττειν καὶ μὴ ἀποκνεῖν κελεύουσιν*; huc facit *Ῥώσανδρος* or. L § 19; item *Εὔδοξος* or. LI § 66 21 *δὲ* sic O 23 *φάναι*] Aristides

μου τὴν γνώμην, ἵνα ἥδιον μένοιμι. ἐνῆν δὲ καὶ ἀλουσίας σύμ-
βολα. καὶ ἐπεγένετο ὑετὸς καὶ χειμὼν ἀμήχανος ἐξ ἑσπέρας. Τῇ 53
δ' ὑστεραίᾳ ἀλουσία καὶ ἔμετος τροφῆς ἦν. καὶ ἐπειδὴ ἤμεσα,
ἐγὼ μὲν οὕτως εἶχον ὥστε ἀγαπᾶν εἰ ἐξαρκέσαιμι εἰς τὴν ἐπιοῦ-
σαν. Τῇ δ' ἐπιούσῃ ἀσιτία ἐπετάχθη, ἐπετάχθη δὲ οὕτως· 54
ἐδόκουν εἶναι ἐν Σμύρνῃ, πᾶσαν ἀπιστίαν ἀπιστῶν τοῖς φανεροῖς
459 D καὶ δρωμένοις διὰ τὸ μὴ συνειδέναι ἐμαυτῷ ὁδοιπορήσαντι. παρα-
τίθεσθαι δέ μοι σῦκα· ἔπειτα παρόντα Κόρον τὸν μάντιν δεῖξαι
ὅτι ἐνείη φάρμακον τῶν ἐφημέρων· ἐκ δὲ τούτου ὑποψίας τε μεστὸς
γενέσθαι καὶ κατὰ σπουδὴν ἐμεῖν καὶ ἅμα ἐνθυμεῖσθαι, τί δὲ εἰ
μὴ ἀκριβῶς ἐξεμέσαιμι; ἔπειτα φάναι τινὰ ὅτι καὶ ἐν ἄλλῳ τῳ
τῶν σιτίων εἴη τοῦ φαρμάκου· ἔτι οὖν μειζόνως ἀπορεῖν καὶ
ἀσχάλλειν ὅτι οὐ θᾶττον ἤκουσα. τούτων ὀφθέντων ὑπενόησα 55
μὲν ἀσιτίαν δηλοῦσθαι, εἰ δὲ μή, ἀλλ' ἠρούμην γε. ἐδεόμην δὲ
τοῦ θεοῦ σημῆναι σαφέστερον ὁπότερα λέγοι, ἀσιτίαν ἢ ἔμετον.
ἐπικατέδαρθόν τε δὴ καὶ ἔδοξα εἶναι πρὸς τῷ ἱερῷ τῷ ἐν Περ-
γάμῳ, καὶ ἤδη τε μέσην ἡμέραν ἐξήκειν, ἀσιτίας οὔσης μοι, καὶ
Θεόδοτον ἐπελθεῖν μετὰ δή τινων φίλων, εἰσελθόντα δὲ παρακαθ-
286 J έζεσθαί μοι ἐπὶ τῆς κλίνης οὑτωσὶ κατακειμένῳ. φάναι οὖν 56
πρὸς αὐτὸν ὅτι ἀσιτοίην· τὸν δὲ ἐνδείξασθαι ὅτι εἰδείη καὶ εἰπεῖν
ὅτι 'ἐγώ τοι ἀνέμενον μετὰ πάντα ταῦτα ἃ οὗτοι ποιοῦσιν, φλε-
βοτομίᾳ χρήσασθαι· τὸ γὰρ ἄλγημα τοῦ νεφροῦ ἐστιν, καὶ ἡ
ἀσιτία δέ, ἔφη, νόθος τις ἔξοδός ἐστι τοῦ πυρὸς διὰ τοῦ στήθους
διεξιοῦσα'. καὶ ἅμα ταῦτα αὐτοῦ λέγοντος ἐκ τοῦ πρόσθεν δύο
σπινθῆρες ὤφθησαν. κἀγὼ ἔβλεψα πρὸς τὸν Θεόδοτον θαυμάσας
καὶ σύμβολον ἐποιησάμην τοῦ λόγου, καὶ ἠρόμην αὐτὸν ὅ τι εἴη
ταῦτα. ὁ δὲ ἔφη 'ἀπὸ τοῦ πυρὸς τούτου', δείξας τί μοι παρα-
κείμενον. ἀφυπνιζόμην τε δὴ καὶ εὗρον ἐκείνην τὴν ὥραν οὖσαν,
ᾗπερ ἔδοξα τὸν Θεόδοτόν μοι διαλέγεσθαι, καὶ φίλοι παρῆσαν
ἐντευξόμενοι. ταῦτα δὴ ἐφάνθη τὰ ὀνείρατα ἰατροῦ τε ἥκοντος 57
καὶ παρεσκευασμένου βοηθεῖν ὅσα ἐπενόει. ὡς δὲ ἤκουσε τῶν

1 ἥδιον sic O 2 ἐξ om. T a. corr. τῇ δ' ὑστεραίᾳ — 5 ἐπιούσῃ] d. XXI. XXII. m. Len., cf. ad p. 388, 15 3 ἤμεσα D: ἠμέλησα AST 6 πᾶσαν SDT: πᾶσιν A 8 Κόρον] ceteroquin ignotus 9 εἴη A: ἐνείη SDT ἐφημέρων] cf. Schmid p. 219 12 σιτίων scripsi: σύκων O; cf. ἀσιτίαν v. 14 14 ἠρούμην A[1] (ἠ- A[2]) 18 Θεόδοτον] cf. ad p. 379, 19 20 ἐνδείξασθαι] gestu 22 χρήσασθαι scripsi: χρῆσθαι O; quotquot novi exempla verbi ἀναμένειν c. inf. coniuncti, aoristi inf. in omnibus deprehendi, neque id casu; ratione requiritur aoristus; ἐγώ τοι ἂν ἔμελλον μετὰ . . . χρῆσθαι ci. Wil. (haereo in collocatione v. ἄν) 23 στήθους] πυρὸσ S[1] 26 ἠιρόμην A, cf. v. l. p. 381, 2 29 ἥπερ A[1] (corr. A[2]), ἧπερ ST 30 δὴ sic O (δὲ U Junt.)

*ὀνειράτων, αὐτός τε ὑπεχώρει νοῦν ἔχων τῷ θεῷ καὶ ἡμεῖς ἐγνω-
ρίζομεν τὸν ἀληθινὸν καὶ προσήκοντα ἡμῖν ἰατρὸν καὶ ἐποιοῦμεν
ἃ ἐπέταξεν. νὺξ εὔφορος ἤδη παντελῶς καὶ πάντα ἀνώδυνα.*
58 *Ὕστερον δὲ στέαρ τε χήνειον ἔδωκεν, ἐπὶ τῷ ⟨τοῦ⟩ νεωκόρου ⟨τοῦ⟩
Ἀσκληπιακοῦ σχήματι, καὶ ἐπερέσθαι τὸν θεόν, ᾧ τὴν ἀγορὰν ἐν
τῷ Μυσίῳ πεδίῳ ποιοῦσιν· εἴσεσθαι γὰρ παρ' ἐκείνου περὶ ὧν* 460 D
ἂν δέωμαι. καὶ ὁ θεὸς ἀνεῖλεν μηδὲν ἔσεσθαι δυσχερές.
59 *Τὸ μὲν οὖν τῶν ἀλουσιῶν τί τις ἂν λέγοι; ἤδη γὰρ καὶ πέντε
ἐτῶν συνεχῶς ἐγένοντό μοι καὶ προσέτι μηνῶν, ὅσα γε μὴ χειμῶνος
ὥρᾳ θαλάττῃ ἢ ποταμοῖς ἢ φρέασιν ἐκέλευσε χρήσασθαι. ὡς δ'
αὔτως καὶ τὸ τῆς καθάρσεως τῆς ἄνω σχεδὸν εἰς δύο ἔτη συνέβη
καὶ δύο μῆνας ἑξῆς, ὁμοῦ καὶ κλύσμασι καὶ φλεβοτομίαις, ὅσας
οὐδείς πω ἠρίθμησεν, καὶ ταῦτα ἐν ἀκαρεῖ τροφῆς καὶ ταύτης*
60 *ἀναγκαστῆς. ἀλλὰ ⟨παρὰ⟩ τάς γε ἀσιτίας αὐτὰς ἁπάσας, καὶ τὰς ἔτι
τούτων πρότερον καὶ ⟨τὰς⟩ μετὰ τοῦτο γενομένας ἡμῖν ἐν τῷ χειμῶνι
τούτῳ, σχεδὸν διημερεύσαμεν παραλόγως γράφοντές τε καὶ λέγοντες
καὶ τὰ γεγραμμένα ἐξετάζοντες· καὶ παρατείναντες οὐκ ἔλαττον
ἢ εἰς μέσας νύκτας τὰ πλείω, ἔπειτα ἐφ' ἑκάστῃ τῇ ἐπιούσῃ πρά-
ξαντες αὖ πάλιν τὰ εἰωθότα οὕτω τροφὴν ᾑρούμεθα ὅσην δή·* 287 J
*καὶ ὅτε γε ἡ ἐπὶ τῷ ἐμέτῳ ἀσιτία ἐγκατέλαβεν, τοῦτο ἦν τὸ παρα-
μυθησάμενον, ἡ περὶ ταῦτα ἀσχολία τε καὶ διατριβή· ὥσθ' ὅταν
ἐνθυμηθῶ τοῦ ἐκ τοῦ συμποσίου Σωκράτους ἐν Λυκείῳ διημερεύ-
οντος, μηδὲν ἐλάττω μοι προσήκειν οἴεσθαι τῆς περὶ ταῦτα καρ-
τερίας τε καὶ δυνάμεως χάριν εἰδέναι τῷ θεῷ.*
61 *Τοσαῦτα μὲν τὰ περὶ τοῦ ἦτρου. ὅμοιον δὲ τῷ περὶ τὸ ἦτρον
συνέβη καὶ τὸ τοῦ φύματος πολλοῖς ἔτεσιν πρότερον. ὁ μὲν γὰρ
θεὸς προὔλεγεν ἐκ πολλοῦ δεῖν ὕδερον φυλάττεσθαι, καὶ ἄλλα τε
ἔδωκεν ἀλεξιφάρμακα καὶ ὑποδήματα Αἰγύπτια, οἷσπερ οἱ ἱερεῖς
χρῆσθαι νομίζουσιν. καὶ δὴ καὶ ἔδοξεν αὐτῷ τὸ ῥεῦμα ἀπάγειν*

---

4 *τοῦ* utrumque addidi, cf. ad p. 402, 9   5 *ἐπαρέσθαι* A^1 (corr. A^r, *-έρεσθαι* SDT)   *τὴν ἀγορὰν*] i. q. *τὴν πανήγυριν*; deus Apollo is, cuius de sacro in planitie Mysia sito plura or. LI § 19 sq., ubi *μάντεις*   6 *μυσείωι* A   9 *μηνῶν*] nihil deest, cf. p. 410, 24   12 medium *καὶ* A: om. SDT   14 *παρὰ* addidi; *διημερεύειν* (et v. 22 et opposito *παρατείνειν . . εἰς νύκτας* v. 17 firmatum) c. acc. coniunctum apud Aristidem tolerare dubito, praesertim cum ex eodem participia *γράφοντες κτὲ.* pendeant   15 *τὰς* add. Kaibel   16 *παραλόγωσ* A: *περὶ λόγουσ* SDT; illi soli *σχεδόν* convenit   17 *παραντείνατες* scripsi: *παρετείναμεν* O   19 *αὖ* Canter: *ἂν* O   20 *ἡ* sic O   21 *περὶ* A^r (U^1 in ras., Oporinus): *παρὰ* O   22 *ἐνθυμηθῶ τοῦ — Σωκράτους*] cf. ad p. 88, 4   *συμποσίου*] Plat. symp. 223 D   25 *τὰ περὶ τοῦ* scripsi: *τὰ παρὰ τοῦ* O   *περὶ τὸ ἦτρον* A: *περὶ τοῦ ἦτρου* SDT; *τὰ περὶ τὸ ἦτρον. ὅμοιον δὲ* [*τῷ περὶ τὸ ἦτρον*] mavult Wil., posterius prioris correcturam esse iudicans   29 *καὶ* post *δὴ* om. D

461 D κάτω. καὶ γίγνεται φῦμα ἀπ᾽ ἀρχῆς οὐδεμιᾶς φανερᾶς τὸ μὲν 62
πρῶτον οἷον ἂν τῳ καὶ ἄλλῳ γένοιτο, ἔπειτα προῆλθεν εἰς ὄγκον
ἐξαίσιον, καὶ ὅ τε βουβὼν μεστὸς ἦν καὶ πάντα ἐξῴδει, καὶ ὀδύναι
παρηκολούθουν δειναὶ καὶ πυρετὸς ἔστιν ἃς ἡμέρας. ἐνταῦθα οἱ
μὲν ἰατροὶ πάσας φωνὰς ἠφίεσαν, οἱ μὲν τέμνειν, οἱ δὲ ἐπικάειν
φαρμάκοις, ἢ πάντως δεῖν ὑπόπυον γενόμενον διαφθαρῆναι. ὁ δὲ 63
θεὸς τὴν ἐναντίαν ἐτίθετο, ἀντέχειν καὶ τρέφειν τὸν ὄγκον· καὶ
δηλαδὴ οὐχ αἵρεσις ἦν ἢ τῶν ἰατρῶν ἀκούειν ἢ τοῦ θεοῦ. ὁ δὲ
ὄγκος ἔτι ἐπὶ μᾶλλον ἤρετο καὶ ἦν ἀπορία πολλή. τῶν δὲ φίλων
οἱ μὲν ἐθαύμαζον τὴν καρτερίαν, οἱ δὲ ἐνεκάλουν ὡς λίαν ἅπαντα
ἐπὶ τοῖς ὀνείρασιν ποιουμένῳ, τινὲς δὲ καὶ ὡς ἄτολμον ἐπῃτιῶντο,
ἐπειδὴ οὐ παρεῖχον τέμνειν οὐδ᾽ αὖ φαρμάκων ἠνειχόμην. ὁ δ᾽
αὖ θεὸς διὰ τέλους ἀντεῖχεν κελεύων φέρειν τὸ παρόν, πάντως
γὰρ αὐτὸ ὑπὲρ σωτηρίας εἶναι· εἶναι γὰρ τοῦ ῥεύματος τούτου τὰς
πηγὰς ἄνω, τοὺς δὲ κηπουροὺς τούτους οὐκ εἰδέναι τοὺς ὀχετοὺς
ᾗ χρὴ τρέπειν. συνέβαινεν δὴ θαυμαστά. ἐγένοντο γὰρ μῆνες 64
τέτταρες μάλιστα τῆς διατριβῆς ταύτης. ἐν δὲ τούτοις κεφαλὴ
μὲν οὕτω κούφη καὶ τὰ ἄνω τῆς κοιλίας, ὡς ἂν μάλιστά τις
εὔξαιτο, ἔτι δὲ οἷον πανήγυρις ἦν κατὰ τὴν οἰκίαν. οἱ γὰρ φίλοι
τὰ πρῶτα τῶν τότε Ἑλλήνων ὄντες ἀπήντων αἰεὶ καὶ συνῆσάν μοι
κατὰ τοὺς λόγους αὐτόθεν ἐκ κλίνης τοὺς ἀγῶνας ποιουμένῳ. Πολ- 65
288 J λὰ μὲν οὖν καὶ παράδοξα ἐπετάχθημεν· ὧν δὲ ἀπομνημονεύω,
δρόμος τέ ἐστιν ὃν ἔδει δραμεῖν ἀνυπόδητον χειμῶνος ὥρᾳ, καὶ
πάλιν ἱππασία, πραγμάτων ἀπορώτατον, καί τι καὶ τοιοῦτον μέ-
μνημαι. τοῦ γὰρ λιμένος κυμαίνοντος ἐξ ἀνέμου λιβὸς καὶ τῶν
πλοίων ταραττομένων ἔδει διαπλεύσαντα εἰς τὸ ἀντιπέρας μέλιτος
καὶ δρυὸς βαλάνων φαγόντα ἐμέσαι, καὶ γίγνεται δὴ κάθαρσις
462 D ἐντελής. πάντα δὲ ταῦτα ἐν ἀκμῇ τῆς φλεγμονῆς οὔσης ἐπράττετο
καὶ δὴ πρὸς αὐτὸν ἀναχωρούσης τὸν ὀμφαλόν. τέλος δὲ ὁ Σωτὴρ 66
σημαίνει τῆς αὐτῆς νυκτὸς ταὐτὸν ἐμοί τε καὶ τῷ τροφεῖ — περιῆν
γὰρ δὴ τότε ὁ Ζώσιμος —, ὥστε ἐγὼ μὲν ἔπεμπον ἐκείνῳ φράσων
ἃ εἰρηκὼς εἴη ὁ θεός, ὁ δ᾽ ἀπήντα φράσων αὐτός μοι ἃ ἠκηκόει

---

1 *γίγνεσθαι* D 2 *ὄγκον* omissum add. S² mg. 3 *μεστὸς*] i. e. *μεμεστωμενος* (sc. *αἵματος* vel *πύου*), ut ipse explicat additis eis quae secuntur 4 *ἔσ τινασ* A p. ras. D (*ἔστινὰσ* A a. ras., *ἐστινὰσ* S¹) 5. 6 *ἐπικάειν φαρμάκοις*] unguentis rodentibus vel adurentibus ulcus oblinere (Wil.); cf. v. 12 12 *ὁ δ᾽*] *οὐδ᾽* D 14 *αὐτῷ* D 16 *ἐγένοντο* A: *ἐγένετο* SDT *γὰρ* SDT: *μὲν γὰρ* A 20 *ἀεὶ* SDT 24 *καίτοι καὶ* D *τοιοῦτον* sic O 25 *ἐξ* SDT: *τοῦ ἐξ* A; an *κυμαίνοντός ποτ᾽ ἐξ*? 26 *ταρασσομένων* SDT 27 *γίνεται* D 32 *ἠκηκόει*] *ἠ* in ras. S², *ἀκηκόει* A

τοῦ θεοῦ. ἦν δέ τι φάρμακον, οὗ τὰ μὲν καθ᾽ ἕκαστα οὐ μέμνη-
μαι, ἁλῶν δὲ ὅτι μετεῖχεν· ὡς δὲ ἐπεπάσαμεν, ἔρρει δὴ ταχὺ τοῦ
ὄγκου τὸ πλεῖστον, καὶ ἅμα ἕῳ παρῆσαν οἱ ἐπιτήδειοι χαίροντες
67 *μετὰ ἀπιστίας. ἐντεῦθεν δὲ ἤδη τῶν μὲν ἐγκλημάτων ἐπαύσαντο*
οἱ ἰατροὶ καὶ ἐθαύμαζον ὑπερφυῶς ἐφ᾽ ἑκάστῳ τοῦ θεοῦ τὴν
πρόνοιαν, καὶ ὡς ἕτερόν τι ἄρα ἦν μεῖζον, ὃ λάθρᾳ ἰᾶτο, τὸ δὲ
τοῦ κόλπου τίνα ἂν τρόπον κατασταίη διεσκοποῦντο· καὶ ἐδόκει
αὐτοῖς νῦν γε δὴ πάντως δεῖν τομῆς, οὐ γὰρ εἶναι ἄλλως εἰς
τὸ ἀρχαῖον καταστῆναι· κἀμὲ τοῦτό γε ἠξίουν συγχωρῆσαι, πάν-
68 *τως δὲ ἤδη πεπρᾶχθαι τά γε τοῦ θεοῦ. ὁ δ᾽ ἄρα οὐδὲ τοῦτο*
ἐκείνοις παρῆκεν, ἀλλ᾽ οὔσης τῆς ἀποστάσεως θαυμαστῆς ὅσης
καὶ δοκοῦντος ἅπαντος ἀπηλλοτριῶσθαι τοῦ δέρματος, ᾠὸν κελεύ-
σας ἐπιχρίειν οὕτως ἰάσατο καὶ συνήγαγεν πάντα εἰς ταὐτόν, ὥστε
ὀλίγων ἡμερῶν παρελθουσῶν οὐδεὶς οἷός τ᾽ ἦν εὑρεῖν ἐν ὁποτέρῳ
μηρῷ τὸ φῦμα ἐκεῖνο ἐγένετο, ἀλλ᾽ ἤστην ἀμφοτέρω καθαρὼ τοῖς
ἅπασιν.

69 *Ζώσιμος δὲ ἦν οὗτος, ᾧ μεγάλη δωρεὰ γίγνεται παρὰ τοῦ*
θεοῦ χρόνῳ ὕστερον· ἔσχεν δὲ οὑτωσί. ἀπήειμεν διὰ Μυσίας εἰς
Πέργαμον, ἐπισχόντος δὲ ὀνείρατος καθ᾽ ὁδὸν ἔμεινα ἡμέρας πλεί-
ους, συνεχῶς τῆς αὐτῆς ὄψεως γιγνομένης. ὁ δ᾽ ἐν τούτῳ ἀναθεῖ 289 J
ὀπίσω εἴς τι χωρίον ἡμέτερον δεῆσάν τι, καὶ μετ᾽ οὐ πολὺ ἔκαμνεν.
συνέβαινεν δὲ κἀμοὶ τοῦ τε στομάχου καὶ τῆς ὑπερῴας καὶ κεφα-
λῆς ὅλης καὶ σύμπαντος τοῦ σώματος οὕτως ἔχειν ὥστε ἐπ᾽ ἔσχα-
τον ἐλθεῖν, καὶ τῆς τε τροφῆς ἀπεκεκλείμην καὶ ὅ τι προσείμην
παραχρῆμα ἐφθείρετο, καὶ ἀναπνεῖν οὐκ ἦν καὶ ἡ δύναμις καθ- 463 D
70 *ῄρητο. ἀπείχομεν δὲ ἀλλήλων σταδίους μάλιστα εἴκοσι καὶ ἑκατόν.*
συνέβαινεν οὖν ἡμῖν πυνθανομένοις ὡς ἔχοιμεν ἑκάτεροι πολὺ
μᾶλλον οἷς ἠκούομεν ἢ τοῖς αὐτῷ παροῦσιν ἑκάτερον βαρύνεσθαι.
71 *φανέντος δὲ τοῦ θεοῦ λαμβάνομαι τῆς κεφαλῆς ἐπαλλὰξ τοῖν χε-*

---

2 *ἐπεπάσαμεν* A[1] (*-άσσα-* A[2]): *ἐπεπλάσαμεν* SDT 5 *οἱ* AD: om. ST *ἐφ᾽*] *ἐν* D 6 *ἄρα ἦν* A: *ἦν ἄρα* SDT 7 *κόλπου*] pellis, quae ulcere increscente extensa erat, sublato ulcere dependebat vacui sinus instar 8 *δεῖν*] *εῖν* in ras. S[2], *δην* T[1] a. corr. 9 *κἀμὲ* scripsi (postquam Wil. *μετὰ* secl.): *καὶ μετὰ* O (ex Κ᾽ΜΕ corruptum) 10 *δὲ*] *γὰρ* ci. Kaibel 11 *ὅσης*] *οὔσησ* D 12 *παντὸσ* D 15. 16 *τοῖς ἅπασιν*] cf. ad p. 226, 7 18 *ἀπήειμεν* sic ASD: *ἀπήει μὲν* T; fort. *κατήειμεν*; ex montibus ad mare descendunt; *διὰ Μυσίας*, i. e. via quae ab Hadrianotheris ad Pergamum ducebat; altera erat via quae superiorem Tarsii fluvii vallem sequebatur 19 *ἡμέρασ πλείονσ* DT: *ἡμέρασ|||πλείονσ* A (sup. ras. acc.᾽ relliquiae pr. m.) S; fort. *μὲν* addendum 20 ante *ἀναθεῖ* eadem vox eras. A 27 *οὖν* A: *δὲ* SDT 28 *αὐτῷ* O 29 *ἐπαλλὰξ* om. D

ροῖν, καὶ λαβόμενος ἐδεόμην σῶσαί μοι τὸν Ζώσιμον· ἀνένευσεν
ὁ θεός. πάλιν αὖ τὴν αὐτὴν λαβὴν λαβόμενος ἐδεόμην ἐπινεῦσαι·
αὖθις ἀνένευσεν. τὸ τρίτον παραλαβὼν ἐπειρώμην πεῖσαι ἐπι-
νεῦσαι· ὁ δὲ οὔτε ἀνένευσεν οὔτε ἐπένευσεν, ἀλλ' εἶχεν δι' ἴσου
τὴν κεφαλὴν καί μοι λέγει ῥήματα ἄττα, ἃ χρὴ λέγειν ἐν τοῖς
τοιούτοις ὡς ἀνύσιμα· ἁγὼ μνημονεύων οὐκ οἶμαι δεῖν ἐκφέρειν
εἰκῇ. ἔφη δ' οὖν ὅτι ἐπαρκέσει τούτων λεχθέντων· ἓν δ' ἦν αὐ-
τῶν 'φύλαξον'. τί οὖν ἀπέβη αὐτῷ μετὰ ταῦτα; πρῶτον μὲν 72
ἀνίσταται παρ' ἐλπίδας ἐξ ἐκείνης τῆς νόσου ὁ Ζώσιμος, καθαρ-
θείς γε διὰ πτισάνης καὶ φακῆς, προειπόντος ἐμοὶ τοῦ θεοῦ ὑπὲρ
αὐτοῦ, ἔπειτα ἐπεβίω μῆνας τέτταρας· ὥστε ἐνετύχομέν τε ἀλλή-
λοις καὶ συνεωρτάσαμεν, γενομένης γε κἀμοὶ παρὰ τοῦ θεοῦ βο-
ηθείας πολλῆς καὶ συνεχοῦς καὶ παράδοξα ἐχούσης. ὧν ἓν ἦν 73
λιποψυχοῦντα καὶ παντελῶς ἀπορούμενον ποιῆσαι μέλη, γάμον
τε Κορωνίδος καὶ γένεσιν τοῦ θεοῦ, καὶ τὴν στροφὴν ὡς ἐπὶ μή-
κιστον ἀποτεῖναι· καὶ ἐποίησα τὰ ᾄσματα ἐφ' ἡσυχίας οὑτωσὶ
καὶ κατ' ἐμαυτὸν ἐνθυμηθείς, καὶ πάντων ἤδη λήθη ἦν τῶν δυσ-
χερῶν. καὶ δὴ καὶ κλύσματι χρήσασθαι ἐπετάχθην, ὥσθ' ὁ μὲν
ἰατρὸς οὐκ ἐθάρρει προσφέρειν, ὁρῶν τὴν λεπτότητα τοῦ σώματος
καὶ τὴν ἀδυναμίαν, ἀλλ' ἡγεῖτο ὥσπερ αὐτόχειρ ἔσεσθαί μου· ἐγὼ
δ' ἔπεισα μόλις καὶ παραχρῆμα ἀνήνεγκα. τροφὴν δὲ ἔδωκε λά-
464 D χανα ἄγρια, ἃ καὶ πέψιν καὶ δύναμιν παρέσχε μοί τινα. ταῦτα 74
290 J μὲν οὖν οὕτως ἐγένετο. ὁ δὲ Ζώσιμος ἐμακαρίζετο ὑπὸ πάντων
καὶ αὐτὸς οὐκ εἶχεν ὅστις γένηται, τῷ τε θεῷ χάριν ἔχων τῆς
προνοίας καὶ τῆς διακονίας ἐμοί. καί μοι δοκεῖ κἂν πλείω
βιῶναι χρόνον, εἰ μὴ δι' ἀρετήν τινα ἑαυτοῦ. πυθόμενος γὰρ τῶν 75
οἰκετῶν τινα τῶν ἐμῶν καὶ μάλα τῶν χρησίμων κάμνειν ᾤχετο
ἀπιὼν χειμῶνος ὥρᾳ σταδίους τετταράκοντα ὡς ἐπισκεψόμενός
τε καὶ βοηθήσων ὅ τι οἷός τε εἴη· ἦν γὰρ δὴ καὶ τὴν τέχνην ἀγα-
θὸς τὴν ἰατρικήν. ἐκπεσὼν δὲ τοῦ ὀχήματος ἐν χιόνι πολλῇ καὶ
κρυμῷ καὶ παθὼν πολλὰ καὶ δεινά, ἀπιών τε καὶ ἐπανιών, ἐμ-
πίπτει τὸ δεύτερον εἰς νόσον δεινὴν καὶ χαλεπήν· ὥστ' οὐδ' αὐ-
τὸς ἐτόλμα κατ' ἀρχὰς οὐδὲν τῶν συμβεβηκότων αὐτῷ δηλῶσαι

1 μοι AS: μου DT 2 αὖ A: οὖν SDT λαβὴν om. S[1] 3 αὖθις — ἐπινεῦσαι om. D(U) 10 γε AS a. ras.: om. DTS p. ras.; item v. 12 πτυσσάνησ A[2] 12 συνεορτάσαμεν A[1] (corr. A[r]) 13 ὧν ἐνῆν A[1] (corr. A[2]) S[1] 14 λειποψυχοῦντα SDT 17 ἤδη post δυσχερῶν D (om. U) 21. 22 ἄγρια λάχανα D 23 οὖν om. D οὕτω T 24 ὅστισ ST: ὅτι A, ὅτισ D γένηται] nota hunc coniunctivum τε SDT: om. A 25 κἂν Kaibel: καὶ O (ipse καὶ πλείω ἂν conieceram); κἂν μοι δοκεῖ καὶ Schmid l. c. (ad p. 381,5) 28 τεσσαράκοντα T 29. 30 ἀγαθὸσ|||τὴν S 33 αὐτῷ O

πρὸς ἐμέ, ἐγώ τε ὡς ᾐσθόμην, οὐχὶ προσῄειν, ὀργιζόμενος ὅτι
76 *οὐκ ἔπεισα. τῆς γὰρ νυκτὸς τῆς παρελθούσης ἐγεγόνει μοι ὄψις ὀνείρατος τοιαύτη· ἐδόκει μοι λέγειν ὁ νεωκόρος ὁ Ἀσκληπιακὸς 'Ζώσιμον δὲ ἔδει ἀναλαμβάνειν ἑαυτόν, ἕως ἔξεστιν'. ἐγὼ οὖν ἐπὶ τούτῳ τῷ ὀνείρατι οὐκ εἴων αὐτὸν κινεῖσθαι, ὅθ' ἡ περὶ τοῦ οἰκέτου ἦλθεν ἀγγελία. ὁ δ' ἀπειθήσας ᾤχετο, ἐκ δὲ τούτου ἡ τε-*
77 *λευτὴ ἐγένετο αὐτῷ. οὕτως ὅσον τε ἐπεβίω, χάρις ἦν τοῦ θεοῦ ὡς ἀληθῶς φυλάξαντος αὐτόν μοι, καὶ ἐτελεύτα παρὰ τὰ φανθέντα κινηθείς· καὶ τὰ κατ' ἀρχὰς ὑπὸ τοῦ θεοῦ δειχθέντα, ὅτε αὐτοῦ λαβόμενος τῆς κεφαλῆς ἱκέτευον, εἰς τοῦτο ἐτελεύτησεν.*
78 *Τὴν τοίνυν τροφὸν τὴν ἀρχαίαν, ἧς οὐδέν μοι φίλτερον — Φιλουμένη ἦν ὄνομα αὐτῇ — μυριάκις μὲν ἔσωσεν παρ' ἐλπίδας, κειμένην δέ ποτε ἀνέστησεν ἐκπέμψας ἐμὲ ἀπὸ Περγάμου, προειπὼν ὅτι καὶ τὴν τροφὸν ἐλαφροτέραν ποιήσοιμι. καὶ ἅμα λαμβάνω τινὰ ἐπιστολὴν πρὸ ποδῶν κειμένην τοῦ Διὸς Ἀσκληπιοῦ, σύμβολον ποιούμενος· εὗρον οὖν μόνον οὐ διαρρήδην ἕκαστα ἐγγεγραμμένα. ὥστε ἐξῄειν ὑπερχαίρων καὶ καταλαμβάνω τὴν τροφὸν τοσοῦτον ἀντέχουσαν ὅσον αἰσθέσθαι προσιόντος. ὡς δ' ᾔσθετο, ἀνέκραγέν τε καὶ ἀνειστήκει οὐκ εἰς μακράν.*

XLVIII.

(24) ΙΕΡΩΝ ΛΟΓΩΝ ΔΕΥΤΕΡΟΣ. I 465 D I 291 J

Φέρε δὴ καὶ τῶν ἀνωτέρω μνημονεύσωμεν, ἐάν τι δυνώμεθα· ὧν τὸ μὲν ἐξ ἀρχῆς οὐδὲν ἡμῖν ἐπῄει γράφειν ἀπιστίᾳ τοῦ μὴ περιέσεσθαι, ἔπειτα καὶ τὸ σῶμα οὕτως ἔχον οὐκ εἴα σχολάζειν

Oratio XLVIII: libri ASDT = O

---

2 *ἔπεισα* O, 'quod ei non persuasissem'; *ἔπεισε* ci. Ddf. male *παρελθούσης*] sc. *ἧ ἡ περὶ τοῦ οἰκέτου ἦλθεν ἀγγελία* (v. 5) 6 *ἀπιθήσασ* S[1] 10 *ἐτελεύτησε* O 11 *τροφὸν τὴν ἀρχαίαν*] cf. ad p. 386, 28. — Subscr. *ἱερῶν λόγων α* ST(*πρῶτοσ*), *λόγων ἱερῶν α* A

Tit. *ἱερῶν λόγων β* ST (*δεύτεροσ*): *λόγων ἱερων β* A; om. D; cf. ad tit. or. XLVII 20 *τι*] *τε* D

τούτοις. χρόνου δὲ αὖ προελθόντος ἕν τι τῶν ἀδυνάτων εἶναι
ἐδόκει καὶ μνημονεῦσαι ἕκαστα καὶ δι᾿ ἀκριβείας εἰπεῖν· κρεῖττον
οὖν εἶναι σιωπᾶν ὅλως ἢ λυμήνασθαι τοσούτοις ἔργοις. καὶ πολ-
λαί μοι παραιτήσεις ἐγίγνοντο ὑπὲρ τούτων καὶ πρὸς τὸν θεὸν
καὶ πρὸς τοὺς ἐπιτηδείους τοὺς ἀεὶ δεομένους εἰπεῖν καὶ ποιῆσαι
περὶ αὐτῶν. νυνὶ δὲ τοσούτοις ἔτεσι καὶ χρόνοις ὕστερον ὄψεις 2
ὀνειράτων ἀναγκάζουσιν ἡμᾶς ἄγειν αὐτά πως εἰς μέσον. καίτοι
τοσοῦτόν γε ἔχω λέγειν, ὅτι εὐθὺς ἐξ ἀρχῆς προεῖπεν ὁ θεὸς ἀπο-
γράφειν τὰ ὀνείρατα· καὶ τοῦτ᾿ ἦν τῶν ἐπιταγμάτων πρῶτον.
ἐγὼ δὲ τῶν μὲν ὀνειράτων τὴν ἀπογραφὴν ἐποιούμην, ὁπότε μὴ
δυναίμην αὐτοχειρίᾳ, ὑπαγορεύων ⟨γε⟩· οὐ μέντοι προσετίθην οὔτ᾿ ἐν
οἷς ὄντι προσεγίγνετο ἕκαστα οὔθ᾿ ὁποῖ᾿ ἄττ᾿ ἀπέβαινεν ἐξ αὐτῶν,
ἀλλ᾿ ἤρκει μοι ὥσπερ ἀφοσιοῦσθαι πρὸς τὸν θεόν, ἅμα μὲν
διὰ τὴν ἀδυναμίαν, ὥσπερ ἔφην, τοῦ σώματος, ἅμα δὲ οὐκ ἄν
ποτε ἤλπισα εἰς τοσοῦτον προβήσεσθαι προνοίας τὸν θεόν· ἡ δ᾿
Ἀδράστεια κεκλήσθω μοι σὺν αὐτῷ. ἔτι δὲ καὶ τῷ μὴ πάντα ἐξ 3
ἀρχῆς ἀρξάμενος γράφειν ὥσπερ δακνόμενος καὶ τὰ λοιπὰ προ-
466 D ιέμην, τὰ μὲν ὡς ἂν ἑκών τις, τὰ δὲ ὡς ἄκων· ἑτέρας δὲ ὁδοὺς
χαρίτων εὕρισκον πρὸς τὸν θεόν· . . . . . ἐπεὶ μυριάδας γε ἐπῶν
οὐκ ἔλαττον ἢ τριάκοντα ἡγοῦμαι τῆς ἀπογραφῆς εἶναι, ἀλλ᾿ οὔτ᾿
ἐπελθεῖν δήπου ῥᾴδιον αὐτὰς οὔτ᾿ ἐφαρμόττειν ἑκάστοις ὅπως
εἶχε τὰ τῶν χρόνων· πρὸς δὲ τούτοις ἔστιν ἃ καὶ διεφθάρη
ἐν τῇ παντοδαπῇ φθορᾷ καὶ ἀκρισίᾳ τῶν κατ᾿ οἶκον περὶ τοὺς
292 J χρόνους τούτους. ὑπόλοιπον οὖν ἐστι κεφάλαια λέγειν, ἄλλα ἄλλο- 4
θεν ἀναμιμνησκόμενον, ὅπως ἂν ὁ θεὸς ἄγῃ τε καὶ κινῇ. καλοῦ-
μεν δ᾿ αὐτὸν καὶ πρὸς αὐτὰ ταῦτα ὥσπερ πρὸς ἅπαντα· πάντως
δ᾿ ἐστὶν πρὸς ἅπαντα κλητός, εἰ δή τις θεῶν.

Ἐπειδὴ γὰρ ἐκομίσθην ἀπὸ τῆς Ἰταλίας, πολλὰ καὶ παντοῖα 5
συνειλοχὼς τῷ σώματι ἀπὸ τῶν συνεχῶν καμάτων τε καὶ χειμώνων,
οἷς ἐχρησάμην ἀπιὼν διὰ Θρᾴκης καὶ Μακεδονίας, ἔτι κάμνων
ἐξελθὼν οἴκοθεν, ἦν τοῖς ἰατροῖς ἀπορία πολλὴ μὴ ὅτι ὠφελεῖν

2 κρεῖττον sic O 5 αἰεὶ A[r] 11 γε addidi, cf. p. 384, 18 εἰ . . . τά γε προσετίθουν A[2] (ουν in ras.; item Junt.; A[1] incertum) 14 ἔφην] p. 394, 22 ἂν] non ad προβήσεσθαι trahendum, sed ad ἤλπισα (sc. εἴ τίς μοι ταῦτα προεῖπεν) 19 lacunam indicavi; videtur primum dixisse quae illae fuissent gratiae deo praebitae, tum perrexisse: attamen haud pauca sunt quae perscripsi, cum non minus trecentorum milium versuum ambitum expleant 23 ἀκρισίαι A: ἀκρασία SDT 26 πάντως] cf. or. XLII § 1 29 συνειληχὼσ D[1] a. corr. T καμάτων] κυμάτων ci. Haury, quibus fontibus Ael. Aristid. usus sit in componenda declamatione . . Παναθηναικός (Augustae Vindel. 1887) p. 34; at cf. § 60 sqq.

6 οὐκ ἔχουσιν, ἀλλ' οὐδὲ γνωρίσαι ὅ τι εἴη τὸ σύμπαν. χαλεπώ-
τατον δ' ἁπάντων καὶ ἀπορώτατον ὅτι τοῦ πνεύματος ἀπεκεκλεί-
μην καὶ μετὰ πολλῆς τῆς πραγματείας καὶ ἀπιστίας μόλις ἄν
ποτε ἀνέπνευσα βιαίως καὶ ἀγαπητῶς, πνιγμοί τε παρηκολούθουν
συνεχεῖς ἐν τῷ τραχήλῳ καὶ τὰ νεῦρα ἐπεφρίκει καὶ σκέπης ἔδει
πλείονος ἢ φέρειν δυνατὸς ἦν· χωρὶς δ' ἕτερα ἀμύθητα ἠνώχλει.
7 ἐδόκει δὴ χρῆναι τοῖς ὕδασι χρήσασθαι τοῖς θερμοῖς, εἴ τι δυναί-
μην γενέσθαι ῥᾴων ἢ τὸν ἀέρα μᾶλλόν πως ἀνασχέσθαι· καὶ γὰρ
ἦν ἤδη χειμῶνος ὥρα, ἀπέχει δὲ τῆς πόλεως οὐ πολύ. ἐνταῦθα
πρῶτον ὁ Σωτὴρ χρηματίζειν ἤρξατο. ἀνυπόδητόν τε γὰρ προελ- 467 D
θεῖν ἐπέταξεν καὶ ἐβόων δὴ ἐν τῷ ὀνείρατι ὡς ἂν ὕπαρ τε καὶ
ἐπ' ὀνείρατι τετελεσμένῳ· 'μέγας ὁ Ἀσκληπιός· τετέλεσται τὸ
πρόσταγμα'· ταῦθ' ἅμα προϊὼν ἐδόκουν βοᾶν. μετὰ ταῦτα κλῆσις
καὶ ἄφιξις ἀπὸ Σμύρνης εἰς Πέργαμον μετὰ τῆς ἀγαθῆς τύχης.
8 τὰ δ' ἐντεῦθεν ἔστι μὲν οὐ κατ' ἄνθρωπον διηγήσασθαι, ἐγχει-
ρητέον δέ, ὥσπερ ὑπεθέμην, ἐξ ἐπιδρομῆς ἔνια αὐτῶν διελθεῖν.
εἰ δέ τις τὰ ἀκριβέστατα γνῶναι βουλήσεται τῶν γεγενημένων
ἡμῖν παρὰ τοῦ θεοῦ, ὥρα τὰς διφθέρας αὐτῷ ζητεῖν καὶ τὰ ὀνεί-
ρατα αὐτά. καὶ γὰρ ἰάματα παντὸς εἴδους καὶ διαλόγους τινὰς
εὑρήσει καὶ λόγους ἐν μήκει καὶ φάσματα παντοῖα καὶ προρρήσεις
ἁπάσας καὶ χρησμῳδίας περὶ παντοδαπῶν πραγμάτων, τὰς μὲν
καταλογάδην, τὰς δὲ ἐν μέτροις γεγονυίας, καὶ χαρίτων πάντ' ἄξια
9 τῷ θεῷ μειζόνων ἢ τις ἂν εἰκάσαι. νῦν δὲ ἐνθένδε ποθὲν ἀρξώ-
μεθα, ὡς ἐπειδὴ ἐγενόμεθα ἐν τῷ ἱερῷ, τῇ πρώτῃ τῶν νυκτῶν
φανεὶς ὁ θεὸς τῷ τροφεῖ μου ἐν τῷ Σαλβίου τοῦ νῦν ὑπάτου
σχήματι. ὅστις δὲ ὁ Σάλβιος, οὔπω τότε γε ᾔδειμεν· ὁ δ' ἐτύγ- 298 J
χανε προσεδρεύων τῷ θεῷ κατ' ἐκεῖνον τὸν χρόνον. ἔφη δ' οὖν
ὁ τροφεὺς ὡς ἐν τούτῳ δὴ τῷ σχήματι διαλεχθείη πρὸς αὐτὸν
περὶ τῶν λόγων τῶν ἐμῶν ἄλλα τε δή, οἶμαι, καὶ ὅτι ἐπισημήναιτο
10 ὡδὶ λέγων· 'ἱεροὶ λόγοι.' ταῦτα μὲν εἰς τοσοῦτον. μετὰ δὲ ταῦτα
ἐδίδου τὰ ἰάματα αὐτῷ 'μοι, ὧν πρῶτον ἦν, ὥς γ' ἐγὼ μέμνημαι,

---

TESTIMONIVM 5 (cf. p. 409, 3) τὰ νεῦρα ἐπεφρίκει Philostr. v. s. II 9

1 οὐκ A²: om. O; ceterum cf. p. 410, 17 sq. 3 ἀπιστίας] sc. τοῦ μὴ περιέσεσθαι, cf. p. 394, 21 sq. 5 σκέπης] cf. p. 182, 13 6 δυνατὸς ἦν scripsi: δυναίμην O ἕτερα] praeter α in ras. A¹ 9 πόλεως] Smyrnae, cf. v. 14 16 ὑπεθέμην] p. 395, 24 ἔνια αὐτῶν] ἐνιαυτῶν S¹ 17 βουλήσεται A: βουληθήσεται SDT 20 λόγους ἐν μήκει] λόγους εὐμήκεις ci. Schmid p. 239, fallitur; 'oratio continua' (opp. διάλογος; cf. λόγον ἐκτείνειν) 25 τῳ τροφεῖ] Epagatho, cf. or. L § 54 Σαλβίου τοῦ νῦν ὑπάτου] P. Salvius Iulianus cos. a. 175 p. Chr. n. (cum L. Calpurnio Pisone) 27 προσεδρεύων τῷ θεῷ] degebat in templo Aesculapii Pergameni valetudinis recuperandae causa; cf. p. 405, 12 sq., ubi παρεδρεύοντι 31 μοι O ὥς γ' ἐγὼ scripsi: ὥσ ἔγωγε SDT, ὡσ ἐγὼ A

ὁ τοῦ βαλσάμου ὀπός, εἶναι δ᾽ αὐτὸν δωρεὰν τοῦ Τελεσφόρου τοῦ
Περγαμηνοῦ· ἔδει δ᾽ αὐτῷ χρίεσθαι λούμενον ἐξιόντα ἐκ τοῦ θερ-
μοῦ ὕδατος εἰς τὸ ψυχρόν· ἔπειτα ῥύμματα ἄττα δι᾽ ἀσταφίδων
τε καὶ ἑτέρων μικτά, ἔπειτα μυρία ἐπὶ μυρίοις, ἃ πάντα παρεὶς
ἀναγκαίως τῶν παραδόξων μνησθῆναι βούλομαι.
Πόθεν οὖν τις ἄρξηται, πολλῶν τε καὶ παντοίων ὄντων καὶ 11
468 D ἅμα οὐκ ἐν μνήμῃ πάντων πλήν γε δὴ τῆς χάριτος τῆς ὑπὲρ αὐτῶν;
ἔπεμψέ με εἰς Χίον φήσας πέμπειν καθάρσεως ἕνεκα. ἀπῄειμεν
οὖν τὴν ἐπὶ Σμύρνης, καὶ μάλα ἐν ἀηδίᾳ ποιούμενοι καὶ νομίζοντες
ἄνευ προστάτου γίγνεσθαι καὶ ὡς ἀληθῶς ἐφ᾽ ἡμῶν αὐτῶν πλεῖν,
ἐπειδὴ τοῦ ἱεροῦ ἐγιγνόμεθα ἔξω. ὃν μὲν οὖν τρόπον ἅπαντες 12
ἐξεπλάγησαν ἐν τῇ Σμύρνῃ, ὡς εἶδον φανέντα παρ᾽ ἐλπίδας αὐ-
τοῖς, τί τις ἂν λέγοι; ὡς δ᾽ ἐγενόμεθα ἐν Κλαζομεναῖς, ἐδόκει
χρῆναι περαιώσασθαι εὐθὺ Φωκαίας. καὶ ἐπειδὴ ἦμεν περὶ τὰς
νήσους Δρυμοῦσσαν καὶ Πήλην, αὔρα τις εὔρου ὑπήρχετο καὶ πε-
ραιτέρω προϊόντων εὖρος ἤδη λαμπρὸς καὶ τέλος ἐξερράγη πνεῦ-
μα ἐξαίσιον. καὶ τὸ πλοῖον ἐκ πρῴρας ἀρθὲν ἐπὶ πρύμναν ὤκλα-
σεν καὶ μικροῦ κατέδυ· ἔπειτα ἐπεκλύζετο ἔνθεν καὶ ἔνθεν· ἔπειτα
ἀπεστράφη ἔξω πρὸς τὸ πέλαγος. ἱδρὼς δὲ καὶ θόρυβος ναυτῶν
καὶ βοαὶ πᾶσαι τῶν ἐμπλεόντων — συνέπλεον γὰρ δὴ καὶ τῶν ἐπι-
τηδείων τινές —, ἐμοὶ δὲ τοσοῦτον ἤρκεσεν εἰπεῖν· ʽὦ Ἀσκληπιέ.᾽
πολλὰ δὲ καὶ παντοῖα κινδυνεύσαντες καὶ τέλος περὶ αὐτὴν τὴν
καταγωγὴν μυριάκις ἀνατραπέντες καὶ ἀπωσθέντες καὶ πολλὴν
ἀγωνίαν τοῖς ὁρῶσι παρασχόντες διεσώθημεν ἀγαπητῶς καὶ μόλις.
ἐπεὶ δὲ νὺξ ἧκεν, τήν τε κάθαρσιν ὁ θεὸς κελεύει ποιεῖσθαι, ση- 13
μήνας ἀφ᾽ ὧν — καὶ ἐγένετο μέντοι οὐδὲν ἔλαττων ἢ ὑπὸ ἐλλεβόρου,
294 J ὡς ἔφασκον οἱ τούτου ἔμπειροι, ἅτε καὶ ὑπὸ τοῦ κλυδωνίου πάν-
των κεκινημένων —, καὶ φράζει δὴ τὸ πᾶν, ὡς εἱμαρμένον τε εἴη
ναυαγῆσαί μοι, καὶ τούτου ἄρα εἵνεκα καὶ ταῦτα συμβαίη καὶ νῦν
ἔτι δέοι ὑπὲρ ἀσφαλείας καὶ τοῦ παντάπασιν ἐκπλῆσαι τὸ χρεὼν
ἐμβάντα εἰς λέμβον ἐν τῷ λιμένι οὕτω ποιῆσαι· ὡς τὸν μὲν λέμ-
βον ἀνατραπῆναι καὶ καταδῦναι, αὐτὸν δὲ ἐξάραντός τινος ἐξενε-

2 *χρίεσθαι* scripsi: *χρεῖσθαι* A¹ (S¹?), *χρῆσθαι* DTA² S² (*ῆ* in ras.) *λούμενον* S²T²: *λουμένον* O, unde *λελουμένον* A² 3 *δι᾽ ἀσταφίδων* Steph. Thes. Gr. s. v. *μικτός* (coll. Moer. s. v.; Eustath. ad Il. 799, 37): *διὰ σταφίδων* O; praepositio e medicorum dicendi usu, cf. p. 419, 20 10 *ὡς ἀληθῶς ἐφ᾽ ἡμῶν*] ludit, cf. p. 434, 11 14 *φωκέασ* A¹ (corr. A²) ST 15 *Δρυμοῦσσαν* scripsi: *δρυμοῦσαν* O *εὔρου* (ω s. l.) A, ω s. l. Aʳ (ni A pr. m. ipsa), *εὔρω* SDT 20 malim *τῶν συμπλεόντων* 26 *ἐλεβόρου* D (U Junt.) 29 *μοι*] *σοι* T a. corr. 30 *ἔτι* A (S¹?): *εἴ τι* DTS² (*ει* in ras.) *ἐκπλῆξαι* T 32 *δ᾽* D

χθῆναι πρὸς τὴν γῆν· ἐν γὰρ τούτῳ τελεῖσθαι τὰ ἀναγκαῖα. ἐποι-
14 *οῦμεν ταῦτα ἄσμενοι δηλονότι. καὶ πᾶσι δὴ θαυμαστὸν ἐδόκει*
τὸ σόφισμα τῆς ναυαγίας ἐπ' ἀληθινῷ τῷ κινδύνῳ γενόμενον. οὗ 469 D
δὴ καὶ ἔγνωμεν ὅτι κἀκ τοῦ πελάγους ἄρα αὐτὸς ὁ σεσωκὼς ἦν.
15 *ἐπιθήκη δὲ τῆς εὐεργεσίας ἡ κάθαρσις. μετὰ δὲ ταῦτα κατεῖχεν*
ἐν τῇ Φωκαίᾳ, θαυμαστὰ οἷα σημαίνων οὐ μόνον εἰς τὸ σῶμα
ἔχοντα, ἀλλὰ καὶ ἄλλα πολλὰ ἐπὶ πολλοῖς. καὶ δὴ καὶ τῶν ἀνέ-
μων ἐπιεικῶς τοὺς μέλλοντας ἔσεσθαι προηκούομεν, ὥστε ὁπότε
ἀκούοι τὰ ὀνείρατα ὁ ξένος ἡμῶν ὁ Ῥοῦφος — ἦν δὲ καὶ τἄλλα
πρῶτος Φωκαέων, καί πως οὐδ' αὐτὸς ἀνήκοος Ἀσκληπιοῦ —
πολλὴν εἶναι τὴν ἔκπληξιν αὐτῷ ταῦτα ἀκούοντι παρ' ἡμῶν ἔν-
16 *δον, ἃ ἔξω καταλελοιπὼς εἰσῄει. καὶ δὴ γάλακτός ποτε ἐδέησεν*
τοῦ θεοῦ κελεύσαντος, ἦν δὲ οὔπω· σχεδὸν γὰρ ἦν τετρὰς ἐπὶ
δέκα τοῦ Δύστρου μηνός, ὡς νομίζομεν οἱ ταύτῃ, ἐδόκει δὲ χρῆναι
ζητεῖν. καὶ πορευθεὶς ὁ Ῥοῦφος εἰς ἐσχατιάν τινα τῶν αὐτοῦ
17 *εὑρίσκει τετοκυῖαν οἶν αὐτονυχί, καὶ κομίσας δίδωσι τὸ γάλα. τέλος*
δὲ ἀφίησιν ἡμᾶς ὁ θεὸς τοῦ πλοῦ τοῦ εἰς τὴν Χίον, ἄλλα τε δὴ καὶ
δείξας καὶ προειπών, καὶ ἐφ' ἅπασιν ἔδοξα ὡς κατεσχισμένον τε
εἴη τὸ πλοῖον καὶ οὐδὲν ἔτι. ἔστι δὲ χωρίον Γενναΐς, ἀπέχον τῆς
Φωκαίας οὐ πολύ· ἐνταῦθα ἡμέρας τινὰς διαγαγὼν ἡμᾶς ἐν τοῖς
18 *ὕδασιν ἐπανῆγεν εἰς τὴν Σμύρναν. ὡς τοίνυν ἐγενόμεθα ἐν τῇ*
Σμύρνῃ, φαίνεταί μοι ἐν τοιῷδέ τινι σχήματι. ἦν ἅμα μὲν Ἀσκλη-
πιός, ἅμα δὲ Ἀπόλλων, ὅ τε δὴ Κλάριος καὶ ὁ Καλλίτεκνος καλού-
μενος ἐν Περγάμῳ, οὗ ὁ πρῶτος τῶν ναῶν τῶν τριῶν ἐστιν. ἐν
τούτῳ τῷ σχήματι στὰς ἔμπροσθεν τῆς εὐνῆς προβαλὼν τοὺς δακτύ- 295 J
λους καὶ χρόνους τινὰς συλλογισάμενος 'ἔχεις, ἔφη, δέκα ἔτη παρ' 470 D
ἐμοῦ καὶ τρία παρὰ τοῦ Σαράπιδος' — καὶ ἅμα τὰ τρία καὶ δέκα ὡς
ἑπτακαίδεκα ἐφάνη τῇ θέσει τῶν δακτύλων —, ταῦτα δὲ εἶναι οὐκ
ὄναρ, ἀλλ' ὕπαρ, εἴσεσθαι δὲ καὶ αὐτόν. καὶ ἅμα κελεύει κατα-
βάντα εἰς τὸν ποταμὸν τὸν πρὸ τῆς πόλεως ῥέοντα λούσασθαι,

---

3 *ἐπ'*] 'post' 5 *ταῦτα* Ddf.: *τα* A (versus initio), *τὰ* SDT 6 *φωκέᾳ* AST 9 *Ῥοῦφος*] ceteroquin ignotus 10 *αὐτὸς* om. D 12 *ἃ* DTS[2]: om. AS[1] 14 *Δύστρου* scripsi: *δευτέρου* O (ΔΥСΤΡ-: ΔЄΥΤЄΡ-); in Mysia (*ταύτῃ*), ubi 'sacros sermones' orator composuit, fasti Macedonici illo tempore in usu erant (cf. Usener ap. Fränkel, Inschr. v. Perg. p. 179); d. XIV. m. Dystri est d. V. m. Febr. anni Iuliani *νομιζόμενοι ταύτηι* A 15 *αὐτοῦ* O (*αὑτοῦ* U) 18 *προ/ειπὼν* S 20 *φωκέασ* AST 23 *ὁ Καλλίτεκνος — Περγάμῳ*] cf. or. LIII § 4 *καάριοσ* A, cf. v. l. p. 134, 8 30 *πόλεωσ* DTS p. ras. Thom. Mag. p. 66, 13: *πόλεωσ ὡσ* AS a. ras.; Meleta fluvium dicit

ἡγήσεσθαι δὲ τῆς ὁδοῦ παῖδα ἄνηβον, καὶ δείκνυσι τὸν παῖδα.
καὶ τὰ μὲν κεφάλαια τῆς ἐπιφανείας ταῦτά ἐστιν, ὡς ἀντὶ τοῦ
παντός γ' ἂν ἐποιησάμην καὶ ⟨τὰ⟩ καθ' ἕκαστα δύνασθαι δι'
ἀκριβείας διεξελθεῖν.
Ἦν δὲ καὶ δὴ μέσος χειμὼν καὶ βορέας μέλας καὶ κρυμός, καὶ 19
αἱ ψηφῖδες οὕτως ὑπὸ τοῦ πάγου πρὸς ἀλλήλας ἐδέδεντο ὥστε
ἐοικέναι κρυστάλλῳ συνεχεῖ, καὶ τὸ ὕδωρ οἷον εἰκὸς ἐν τοιούτῳ
ἀέρι. ἐπεὶ δ' ἐξηγγέλθη τὰ τῆς ἐπιφανείας, παρέπεμπον ἡμᾶς 20
οἵ φίλοι καὶ τῶν ἰατρῶν οἵ τε δὴ συνήθεις καὶ ἄλλοι οἱ μὲν ὡς
ἀγωνιῶντες, οἱ δὲ καὶ τῆς ἱστορίας εἵνεκα· ἐπεγένετο δὲ καὶ ἄλλος
ὄχλος συχνός — καὶ γάρ τις καὶ διάδοσις ἔτυχεν ἔξω πυλῶν οὖσα —,
καὶ πάντ' ἦν κάτοπτα ἀπὸ τῆς γεφύρας. ἦν δέ τις Ἡρακλέων
ἰατρός, ἑταῖρος ἡμέτερος, ὃς πρὸς ἐμὲ ὡμολόγησε τῇ ὑστεραίᾳ ἦ
μὴν πεπεικὼς αὑτὸν ἰέναι, ὡς εἰ τὰ κράτιστα πράξαιμι, ὀπισθο-
τόνῳ συνέξομαι ἤ τῳ ἄλλῳ τοιούτῳ. ὡς δὲ ἐγενόμεθα ἐπὶ τοῦ 21
ποταμοῦ, οὐδὲν ἔδει τοῦ παρακελευσομένου, ἀλλ' ἔτι τῆς θέρμης
τῆς ἐκ τῆς ὄψεως τοῦ θεοῦ μεστὸς ὢν ἀπορρίψας τὰ ἱμάτια οὐδ'
ἀνατρίψασθαι δεηθείς, ἵεμαι οὗ τοῦ ποταμοῦ τὸ βαθύτατον ἦν.
ἔπειθ' ὥσπερ ἐν κολυμβήθρᾳ καὶ μάλα ἠπίου καὶ κεκραμένου
ὕδατος ἐχρώμην διατριβῇ, ἐννέων τε καὶ ἀνακλύζων ἐμαυτὸν πάντη.
ὡς δ' ἐξέβην, ὅ τε δὴ χρὼς πᾶς ἤνθει καὶ τὸ σῶμα πάντη κοῦφον
471 D ἦν καὶ βοὴ πολλὴ τῶν τε παρόντων καὶ ἐπιόντων τὸ πολυύμνητον
δὴ τοῦτο βοώντων 'μέγας ὁ Ἀσκληπιός'. καὶ τὰ ἀπὸ τούτου τίς 22
ἂν ἐνδείξασθαι δυνηθείη; ἅπαν γὰρ τὸ λοιπὸν τῆς ἡμέρας καὶ
τῆς νυκτὸς τὸ εἰς εὐνὴν διεσωσάμην τὴν ἐπὶ τῷ λουτρῷ σχέσιν,
296 J καὶ οὔτε τι ξηροτέρου οὔτε ὑγροτέρου τοῦ σώματος ᾐσθόμην, οὐ
τῆς θέρμης ἀνῆκεν οὐδέν, οὐ προσεγένετο, οὐδ' αὖ τοιοῦτον ἡ
θέρμη ἦν, οἷον ἄν τῳ καὶ ἀπ' ἀνθρωπίνης μηχανῆς ὑπάρξειεν,
ἀλλά τις ἦν ἀλέα διηνεκής, δύναμιν φέρουσα ἴσην διὰ παντὸς τοῦ
σώματός τε καὶ τοῦ χρωτός. παραπλησίως δὲ καὶ τὰ τῆς γνώμης 23
εἶχεν. οὔτε γὰρ οἷον ἡδονὴ περιφανὴς ἦν οὔτε κατ' ἀνθρωπίνην
εὐφροσύνην ἔφησθα ἂν εἶναι αὐτό, ἀλλ' ἦν τις ἄρρητος εὐθυμία,

---

2 ὡς] aut ὧν aut ἧς scrib. 3 τὰ addidi; imitatur Demosth. XVIII 214 5 μέλασ A: μέγασ A^r SDT; cf. XLVIII § 74. LI § 27 7 κρυστάλω D, ut solet 11 διάδοσις] e largitione hominis cuiusdam divitis in plebem collata ex aetatis illius moribus 12 Ἡρακλέων] ceteroquin ignotus 14 αὐτὸν O (αὑτὸν U²) 15 ξυνέξομαι T a. corr. δὲ sic O 16 παρακελευσομένου] cf. p. 406, 10 sq. 19 κεκραμμένου T 23 μέγας ὁ Ἀσκληπιός] cf. p. 396, 12 24 ἂν om. Thom. Mag. p. 66, 14 30 χρωτός Haury l. c. (ad p. 395, 29) coll. v. 21 (cf. etiam p. 407, 6): χρόνου O 32 εὐφροσύνην T¹ (ci. Jacobs Lect. Stob. p. 85): σωφροσύνην ASDT²

πάντα δεύτερα τοῦ παρόντος καιροῦ τιθεμένη, ὥστε οὐδ' ὁρῶν
τὰ ἄλλα ἐδόκουν ὁρᾶν· οὕτω πᾶς ἦν πρὸς τῷ θεῷ.
24 Ἀλλὰ τὸ ἐντεῦθεν σὸν ἤδη, ὦ δέσποτα, γίγνεται δεῖξαι καὶ
παραστῆσαι ὅ τι ἑξῆς λέγοντες καὶ ὅποι τρεπόμενοί σοί τ' ἂν
κεχαρισμένα ποιοῖμεν καὶ τοῦ λόγου προΐοιμεν ὡς κάλλιστα. πό-
τερα ἐπειδὴ ποταμοῦ καὶ χειμῶνος τοιούτου καὶ λουτροῦ μνείαν
ἐποιησάμην, ἕτερα ἐφεξῆς τῆς αὐτῆς ἰδέας λέγω καὶ οἷον κατά-
λογόν τινα λουτρῶν ποιῶμαι χειμερίων τε καὶ θείων καὶ πάντως
παραδόξων, ἢ διαλαβὼν τὸν λόγον καί τινα τῶν ἐν μέσῳ διηγήσομαι
ἢ κράτιστον καὶ τἀν τῷ μέσῳ πάντα ὑπερβάντα ἀποδοῦναι τὸ τέ-
λος τῷ πρώτῳ λόγῳ, πῶς ἔσχε τὰ τῆς χρησμῳδίας τῆς περὶ τῶν ἐτῶν
25 καὶ πῶς ἅπαντα ἀπέβη; πολλὰ μὲν γὰρ καὶ ἄλλα ἐπεσήμηνεν ὁ
θεὸς ἐκ τῶν ἐφεστηκότων αἰεὶ κινδύνων ἐξαρπάζων, οἳ πυκνοὶ
νυκτὸς ἑκάστης καὶ ἡμέρας ἦσαν, ἄλλοτε ἄλλοι προσβάλλοντες,
τοτὲ δὲ ἐπανιόντες οἱ αὐτοί, καὶ ὁπότε ἀπαλλαγείη τις, ἀντιλαμ-
βάνοντες ἕτεροι· καὶ πρὸς ἕκαστα τούτων ἀλεξιφάρμακα ᾔει παρὰ 472 D
τοῦ θεοῦ καὶ παραμυθίαι παντοῖαι καὶ ἔργῳ καὶ λόγῳ· ἓν δὲ δὴ
26 καὶ τόδε μέμνημαι πραχθὲν αὐτῷ ποτε. ἔφη χρῆναι τελευτᾶν εἰς
τρίτην ἡμέραν καὶ ταῦτα ἀναγκαίως ἔχειν, καὶ ἅμα σύμβολα ἔδω-
κεν [καὶ] ὁποῖ' ἄττα ἔσται τὰ τῆς ἐπιούσης ἡμέρας· καὶ γὰρ τὸν
ἀέρα ὁποῖος καὶ τὸν ἡνίοχον ὅπου φανήσοιτο καὶ ἄλλα ἔδωκεν
27 σύμβολα τῆς ἀληθείας. ἀλλὰ δεῖν οὕτω ποιεῖν, πρῶτον μὲν ἀνα-
βάντα ἐπὶ τὸ ζεῦγος ἐλθεῖν ἐπὶ τὸν ποταμὸν τὸν διὰ τῆς πόλεως
ῥέοντα, γενόμενον δὲ οὗ ἐστιν ἤδη ἔξω τῆς πόλεως ἱερὰ δρᾶσαι
ἐπιβόθρια, οὕτω γὰρ αὐτὰ προσεῖπεν· ἔδει δὲ ἄρα βόθρους ὀρύ- 297 J
ξαντα ἐπ' αὐτῶν δρᾶσαι τὰ ἱερὰ οἷστισιν δὴ καὶ ἔδει θεῶν· ἔπειτα
ἀναστρέφοντα λαβόντα κέρματα διαβαίνειν τε τὸν ποταμὸν καὶ
ἀπορρίπτειν, καὶ ἕτερ' ἄττα, οἶμαι, πρὸς τούτοις ἐκέλευσεν· μετὰ
δὲ ταῦτα ἐλθόντα εἰς τὸ ἱερὸν θῦσαι τῷ Ἀσκληπιῷ τέλεια καὶ
στῆσαι κρατῆρας ἱεροὺς καὶ νεῖμαι μοίρας ἱερὰς ἅπασιν τοῖς συμ-
φοιτηταῖς· δεῖν δὲ καὶ τοῦ σώματος αὐτοῦ παρατέμνειν ὑπὲρ σωτη-
ρίας τοῦ παντός. ἀλλὰ γὰρ εἶναι τοῦτο ἐργῶδες· τοῦτο μὲν καὶ
δὴ παριέναι μοι, ἀντὶ δὲ τούτου τὸν δακτύλιον ὃν ἐφόρουν περι-
ελόμενον ἀναθεῖναι τῷ Τελεσφόρῳ. τὸ γὰρ αὐτὸ ποιεῖν ὥσπερ

---

3 γίγνεσθαι D; verbum deleverim 4 ὅπῃ D τρεπόμενοι scripsi: τραπόμενοι O 8 ποιῶμαι AS[1] a. corr.: ποιοῦμαι DTS[1] p. corr. 9 διηγήσωμαι ci. Ddf. 11 πρώτῳ λόγῳ] § 18 13 ἀεὶ A[1] (corr. A[r]) 15 τοτὲ sic O; ποτὲ Junt. (U) 16 εἴη (ηει superscr.) D pr. m., εἴει T[1] 20 prius καὶ secl. Wil. ἔσται Canter: ἐστιν AS(-ὶν), ἔστι DT(-ὶ) 27 διαβαίνειν τε SDT: διαβαίνοντα A

ἂν εἰ τὸν δάκτυλον αὐτὸν προείμην· ἐπιγράψαι δὲ εἰς τὴν σφεν-
δόνην τοῦ δακτυλίου 'Κρόνου παῖ'· ταῦτα ποιοῦντι σωτηρίαν εἶναι.
τὸ δὴ μετὰ τοῦτο ἔξεστιν εἰκάζειν ὅπως διεκείμεθα, καὶ ὁποίαν
τινὰ ἁρμονίαν πάλιν ἡμᾶς ἡρμόσατο ὁ θεός. σχεδὸν γὰρ ὥσπερ
ἐν τελετῇ περὶ πάντα ταῦτα διήγομεν, παρεστώσης ἅμα τῷ φόβῳ
τῆς ἀγαθῆς ἐλπίδος. ἀκόλουθα δὲ τούτοις καὶ εἰς ταὐτὸν φέροντα
473 D καὶ τὰ χρόνῳ ὕστερον γενόμενα, ἐξ ὧν τὸ ἀψίνθιον ἔπιον. Ὅτι 29
μὲν δὴ τῷ παντὶ φρικωδέστερον καὶ ἐναργέστερον αὐτὰς τὰς ὄψεις
καθαρὰς διηγεῖσθαι δῆλον, ἀνάγκη δὲ ἐπὶ τῶν πλείστων χρῆσθαι
τῇ ὑποθέσει ᾗπερ ἐνεστησάμην (p. 395, 24) καὶ κεφάλαια ἐπιτρέχειν,
ὅπως ἂν ἀπαντᾷ τῷ λόγῳ. ἦν Φιλάδελφος τῶν νεωκόρων ἅτερος· 30
τούτῳ γίγνεται τῆς αὐτῆς νυκτὸς ὄψις ὀνείρατος ἥπερ κἀμοί, μι-
κρὰ δέ πως παρήλλαττεν. ἐδόκει ὁ μὲν Φιλάδελφος — τοσαῦτα
γὰρ οὖν ἔχω διαμνημονεῦσαι — ἐν τῷ θεάτρῳ τῷ ἱερῷ πλῆθος ἀν-
θρώπων εἶναι λευχειμονούντων καὶ συνεληλυθότων κατὰ τὸν θεόν·
ἐν δ' αὐτοῖς ἑστῶτα ἐμὲ δημηγορεῖν τε καὶ ὑμνεῖν τὸν θεόν, ἄλλα
τε δὴ λέγοντα παντοῖα καὶ ὡς παρατρέψειέ μου τὰς μοίρας πολ-
λαχῇ μὲν καὶ ἄλλῃ, ἔναγχος δὲ ὅτε καὶ ἀψίνθιον προσευρὼν προσ-
τάξειεν πιεῖν ὄξει διειμένον, ὡς μὴ δυσχεράναιμι. καί τινα κλί-
μακα, οἶμαι, ἐξήγγελλεν ἱερὰν καὶ παρουσίαν καὶ δυνάμεις τινὰς
τοῦ θεοῦ θαυμαστάς. ταῦτα μὲν ὁ Φιλάδελφος ἐδόκει· ἐμοὶ δὲ 31
298 J αὐτῷ τοιάδε ἐγίγνετο. ἐδόκουν ἐν τοῖς προπυλαίοις ἑστάναι τοῦ
ἱεροῦ, συνειλέχθαι δὲ καὶ ἄλλους πολλούς τινας, ὥσπερ ἡνίκα ἂν
τὸ [ἱερὸν] καθάρσιον γίγνηται, εἶναι δὲ λευχείμονάς τε καὶ τἄλλα
πρέποντι τῷ σχήματι. ἐνταῦθα δὴ ἄλλας τε φωνὰς ἠφίειν εἰς
τὸν θεὸν καὶ δὴ καὶ 'μοιρονόμον' προσεῖπον αὐτόν, ὡς τὰς μοίρας
τοῖς ἀνθρώποις διανέμοντα· ὡρμᾶτο δέ μοι τὸ ῥῆμα ἀπὸ τῶν
εἰς ἐμαυτόν. κἀπὶ τούτοις ἦν τὸ ἀψίνθιον ὅντινα δὴ τρόπον δη-
λωθέν· ἐδηλώθη δὲ ὡς ἐναργέστατα, ὥσπερ οὖν καὶ μυρία ἕτερα
ἐναργῆ τὴν παρουσίαν εἶχε τοῦ θεοῦ. καὶ γὰρ οἷον ἅπτεσθαι 32
δοκεῖν ἦν καὶ διαισθάνεσθαι ὅτι αὐτὸς ἥκοι, καὶ μέσως ἔχειν
ὕπνου καὶ ἐγρηγόρσεως καὶ βούλεσθαι ἐκβλέπειν καὶ ἀγωνιᾶν μὴ
προαπαλλαγείη, καὶ ὦτα παραβεβληκέναι καὶ ἀκούειν, τὰ μὲν ὡς

---

5 πάντα ταῦτα A: ταῦτα πάντα SDT 10 καὶ SDT: om. A cum signo, cui tamen in mg. nihil respondet 12 ἥπερ A[1] (corr. A[2]) 15 κατὰ τῶν θεῶν D 17 μου sic O 18 ὅτε Canter: ὅτι O προσευρὼν] προσεσυρὼν D 19 προστάξειέ μοι πιεῖν T[1] a. corr. 23 ἡνίκα] ἡ in ras. III litt. D[2] 24 ἱερὸν secludere malui quam traicere post καθάρσιον 25 πρέποντι scripsi: πρέποντα A[1]ST, πρέποντασ DA[2] (σ inter litteras add.), ad dativum cf. p. 424, 23 26 μοίρας — 27 διανέμοντα] cf. p. 346, 9

ὄναρ, τὰ δὲ ὡς ὕπαρ, καὶ τρίχες ὀρθαὶ καὶ δάκρυα σὺν χαρᾷ καὶ 474 D
γνώμης ὄγκος ἀνεπαχθής, καὶ τίς ἀνθρώπων ταῦτά γ' ἐνδείξασθαι
λόγῳ δυνατός; εἰ δέ τις τῶν τετελεσμένων ἐστίν, σύνοιδέν τε καὶ
34 *γνωρίζει. ὀφθέντων δὲ τούτων, ἐπειδὴ ἕως ἐγένετο, καλῶ τὸν*
ἰατρὸν Θεόδοτον· καὶ ὡς ἧκε, διηγοῦμαι τὰ ὀνείρατα. ὁ δ' ἐθαύ-
μαζε μὲν ὡς εἶχε δαιμονίως, ἠπόρει δὲ ὅ τι χρήσοιτο, χειμῶνός
τε ὥρᾳ καὶ ἅμα τὴν ἄγαν ἀσθένειαν τοῦ σώματος δεδιώς· μηνῶν
35 *γὰρ ἤδη συχνῶν ἐκείμην ἔνδον. ἔδοξεν οὖν ἡμῖν οὐ χεῖρον εἶναι*
μεταπέμψασθαι καὶ τὸν νεωκόρον τὸν Ἀσκληπιακόν· ᾤκουν δ' ἐν
αὐτοῦ κατ' ἐκεῖνον τὸν χρόνον καὶ ἅμα εἰώθειν κοινοῦσθαι τὰ
πολλὰ τῶν ἐνυπνίων αὐτῷ. ἧκεν ὁ νεωκόρος, καὶ οὐκ ἔφθημεν
ἡμεῖς ἀρξάμενοι πρὸς αὐτὸν λόγου καὶ ὃς ἄρχεται διηγεῖσθαι ἡμῖν·
'ἄρτι, ἔφη, ἥκω παρὰ τοῦ συννόμου' — τὸν Φιλάδελφον λέγων —
'αὐτὸς δέ με καὶ ἐκάλεσεν· εἶδε γὰρ νυκτὸς ὄψιν θαυμαστὴν σοὶ
διαφέρουσαν'. καὶ οὕτω διηγεῖτο μὲν ὁ Ἀσκληπιακὸς ἃ εἶδεν ὁ
Φιλάδελφος, ἐπιδιηγεῖται δὲ αὐτὸς ὁ Φιλάδελφος ὑφ' ἡμῶν κληθείς.
ὡς δὲ συνέβαινεν τὰ ὀνείρατα, ἐχρώμεθα ἤδη ⟨τῷ⟩ ἰάματι, καὶ
ἔπιον δὴ ὅσον οὐδείς πω πρόσθεν, καὶ τῆς ὑστεραίας κατὰ τὰ
αὐτὰ ἐπισημήναντος τοῦ θεοῦ. καὶ τὴν μὲν ῥαστώνην τὴν περὶ
36 *τὴν πόσιν ἢ ὅσον ὤνησεν τί τις ἂν λέγοι; ὅθεν δ' οὖν ὁ λόγος*
οὗτος ὡρμήθη, τὰ γὰρ τῶν μοιρῶν ὡς κατεστήσατό μοι, πρὸς . . . . .
πολλὰ ἄλλα λόγια καὶ πρότερον καὶ ὕστερον γενομένοις κατὰ ταὐ- 299 J
τὸν ἀμφοτέροις ἐδηλώθη μετὰ τοιαύτης τῆς βοηθείας.
37 *Φέρε δὴ τὸν ἐξ ἀρχῆς ἀποδῶμεν λόγον καὶ συνάψωμεν ὡς*
ἔσχεν τὰ τῆς χρησμῳδίας τῆς περὶ τῶν ἐτῶν. ὅτι μὲν γὰρ ἅπαντα
τοῦτον τὸν χρόνον αὐτὸς ἦν ὁ σῴζων καὶ ἡμέραν ἐφ' ἡμέρᾳ δωρού-
μενος, μᾶλλον δὲ καὶ νῦν αὐτός ἐστιν ὁ σῴζων, συνίσασιν ὅσοι καὶ
μικρόν τι τῶν ἡμετέρων ἴσασιν. ἀλλ' ἐπειδὴ διεγένετο ⟨ὁ⟩ χρόνος 475 D
38 *ὁ τῆς προρρήσεως, συνέβη τοιάδε. μικρὸν δὲ ἀναλήψομαι. ἔτυχον*

---

9 posterius *τὸν* D: om. AST; cf. p. 394, 3. 405, 1. 18 sq. 418, 27. 14 *θαυμαστὸν* S¹ 15 *ἀμπιακὸσ* S¹ (corr. S² mg.) 16 *ἐπιδιηγεῖται — Φιλάδελφος* om. D 17 *τῷ* addidi 20 *τὴν* om. S¹ 21 *τῶν μοιρῶν*] p. 400, 30; 401, 17. 26 lacunam indicavi: *πρὸσ πολλὰ ἄλλα λόγια — γενομένοισ* AS¹T¹, *πρὸσ πολλοῖσ ἄλλοισ λογίοισ — γιγνομένοισ* DS²(*γεν-*), *πρὸσ πολλαῖσ ἄλλαισ λογίαισ — γενομένοισ* T² (ex *πολλὰ ἄλλα λόγια* compilatum; superscr. *οισ οισ οισ*); deest narratio, quem ad finem deus *τὰ τῶν μοιρῶν* duxerit, neque construuntur tradita; eorum quae in fine extant, haec sententia: nobis (mihi et Philadelpho), cum eodem loco versaremur, et ante et post (haec quae modo rettuli) multa alia oracula et dicta dei fiebant per gemina somnia (i. e. *μετὰ — βοηθείας*) 28 ⟨*ὁ*⟩ addidi

μὲν ὢν ἐν τῷ προαστίῳ κατὰ θέρους ἀκμήν, νόσος δὲ κατέσχε
λοιμώδης πάντας σχεδὸν τοὺς προσχώρους. τῶν δὲ οἰκετῶν τὸ
μὲν πρῶτον δύο καὶ τρεῖς ἔκαμνον, ἔπειτα ἄλλος καὶ ἄλλος, ἔπειτ'
ἔκειντο ἅπαντες καὶ νεώτεροι καὶ πρεσβύτεροι, τελευταῖος δὲ ἐλή-
φθην ἐγώ. ἰατροὶ δὲ ἐφοίτων ἐξ ἄστεος καὶ τοῖς ἀκολούθοις αὐ-
τῶν ἐχρώμεθα διακόνοις, οἱ δέ τινες καὶ αὐτοὶ προσεδρεύοντες
ἀντὶ διακόνων ἦσαν. ἔκαμνε δὲ καὶ ⟨τὰ⟩ ὑποζύγια, καὶ εἴ που κινη-
θείη τις, εὐθὺς πρὸ θυρῶν ἔκειτο· ὥστε οὐδ' ἂν πλῷ χρήσασθαι ἐπὶ
τῶν συμβαινόντων ἐξῆν ἔτι ῥᾳδίως. πάντα δ' ἦν μεστὰ ἀθυμίας
οἰμωγῆς στόνου δυσκολίας ἁπάσης· ἦσαν δὲ κἀν τῇ πόλει νόσοι
δειναί. τέως μὲν οὖν ἀντεῖχον οὐδὲν ἧττον τῆς τῶν ἄλλων σωτη- 39
ρίας ἢ τῆς ἐμαυτοῦ προνοούμενος, ἔπειτα ἐπέτεινέν τε ἡ νόσος
καὶ κατελήφθην ὑπὸ δεινοῦ πυρὸς χολῆς παντοίας, ἣ συνεχῶς
νύκτα καὶ ἡμέραν ἠνώχλει, καὶ τῆς τροφῆς ἀπεκεκλείμην καὶ ἡ
δύναμις κατελέλυτο. καὶ οἱ ἰατροὶ ἀφίσταντο καὶ τελευτῶντες
ἀπέγνωσαν παντάπασιν, καὶ διηγγέλθη ὡς οἰχησομένου αὐτίκα.
τὸ μέντοι τοῦ Ὁμήρου κἂν τούτοις εἶπες ἂν τὸ ‛νόος γε μὲν ἔμ-
πεδος ἦεν' (Λ 813)· οὕτω παρηκολούθουν ἐμαυτῷ, ὥσπερ ἂν ἄλλῳ
τινί, καὶ ᾐσθανόμην ὑπολείποντος αἰεὶ τοῦ σώματος, ἕως εἰς τοὔ-
σχατον ἦλθον. τοιούτων δὲ ὄντων ἔτυχον μὲν εἰς τὸ εἴσω τετραμ- 40
μένος τῆς κλίνης, ἔδοξα δὲ ὡς ὄναρ· αὐτὸ δὲ ἦν ἄρα ἡ λύσις·
300 J ἔδοξα δὲ καὶ δὴ ἐπὶ τέλει τοῦ δράματος εἶναι καὶ τοὺς ἐμβάτας
ἀποτίθεσθαι καὶ τὰς κρηπῖδας μεταλήψεσθαι τοῦ πατρός. κἀν
τούτοις ὄντα στρέφει με ὁ Σωτὴρ Ἀσκληπιὸς τὴν εἰς τὸ ἔξω στρο-
φὴν ἐξαίφνης. ἔπειτα οὐ πολὺ ὕστερον ἡ Ἀθηνᾶ φαίνεται τήν 41
476 D τε αἰγίδα ἔχουσα καὶ τὸ κάλλος καὶ τὸ μέγεθος καὶ σύμπαν δὴ
σχῆμα οἷαπερ ἡ Ἀθήνησιν ἡ Φειδίου. ἀπῶζεν δὲ καὶ τῆς αἰγί-
δος ὅτι ἥδιστον καὶ ἦν κηρῷ τινι προσφερής, θαυμαστὴ καὶ αὕτη
τὸ κάλλος καὶ τὸ μέγεθος. ἐφαίνετο μὲν δὴ μόνῳ στᾶσα καταν-
τικρὺ καὶ ὅθεν αὐτὴν ὡς κάλλιστα ἔμελλον ὄψεσθαι. ἐγὼ δὲ
ἐπεδείκνυν καὶ τοῖς παροῦσιν — δύο δ' ἤστην τῶν φίλων καὶ

---

1 προαστείῳ O; cf. § 7. 50. 69. IL § 43. 45 (aliter Buresch, Klaros p. 28) 7 τὰ add. Buresch l. c. 8 ἐπὶ scripsi (‛in hac condicione', cf. p. 414,5; 407, 28): περὶ O 13 κατελείφθην D 15 ἀφίσταντο] ‛abstiterunt (curatione)', non ‛discesserunt' 17 μὲν] μὴν S²(U), μιν Homeri D 18 ἦεν] εἶεν D 19 ἀεὶ A¹ (corr. Aʳ); item p. 405, 6 20 εἰς τὸ om. Thom. Mag. p. 111, 17 (e lemmatis sententia patet) τετραμένοσ T 21 ἡ λύσις] ludit; λύσις est et febris et vitae et tragoediae (δράματος, ἐμβάτας v. 22), cuius sub finem di ἐκ μηχανῆς, ut hic Minerva 22 ἐμβάντασ S a. ras. 26 δὴ sic O 28 κηρῷ] de colore (ἀπῶζεν odor, θαυμαστὴ κτέ. forma) dictum κηρίῳ ci. Wil. malim θαυμαστὴ ⟨δὲ⟩ καὶ 30 ἔμελλον sic O; ἔμελλεν Junt. (edd.) 31 ἐπεδείκνυον A²

*τροφός — βοῶν καὶ ὀνομάζων τὴν Ἀθηνᾶν ὅτι ἑστήκοι τε αὐτὴ
ἀπαντικρὺ καὶ διαλέγοιτο, καὶ τὴν αἰγίδα ἀπεδείκνυν· οἱ δ' οὐκ
εἶχον ὅ τι χρήσοιντο, ἀλλ' ἠπόρουν τε καὶ ἐδεδοίκεσαν μὴ παρα-
ληρῶν ἄρα τυγχάνω, πρίν γε δὴ τήν τε δύναμιν συνεώρων ἀνα-
φερομένην καὶ τῶν λόγων ἤκουσαν ὧν ἤκουσα παρὰ τῆς θεοῦ.*
42 *καὶ ἔστιν ἃ μέμνημαι τοιάδε. ἀνεμίμνησκέ με τῆς Ὀδυσσείας καὶ
ἔφασκεν οὐ μύθους εἶναι ταῦτα, τεκμαίρεσθαι δὲ χρῆναι καὶ τοῖς
παροῦσιν. δεῖν οὖν καρτερεῖν, εἶναι δ' αὐτὸν πάντως καὶ τὸν
Ὀδυσσέα καὶ τὸν Τηλέμαχον καὶ δεῖν αὐτῷ βοηθεῖν· καὶ ἄλλα
τοιουτότροπα ἤκουσα. οὕτως ἐφάνη τε ἡ θεὸς καὶ παρεμυθήσατο
καὶ ἀνέσωσεν καὶ δὴ κείμενον καὶ τῶν εἰς τὴν τελευτὴν οὐδενὸς*
43 *ἔτι ἐλλείποντα. καὶ δῆτα εὐθύς με εἰσῆλθεν κλύσματι χρήσασθαι
μέλιτος Ἀττικοῦ, καὶ ἐγένετο κάθαρσις χολῆς. καὶ μετὰ ταῦτα
ἧκεν ἰάματα καὶ τροφαί· πρῶτον μὲν ἧπαρ, οἶμαι, χηνὸς μετὰ
τὴν πολλὴν ἀπόρρησιν πρὸς ἅπαντα τὰ σιτία, ἔπειτα ὑείου
τι ὑπογαστρίου. ἔπειτ' ἐκομίσθην εἰς τὴν πόλιν ἐπ' ὀχήματος
καταστέγου καὶ μακροῦ, καὶ κατὰ μικρὸν οὕτω συνηγειρόμην μόλις*
44 *τε καὶ χαλεπῶς. οὐ μέντοι πρότερόν γε ὁ πυρετὸς παντελῶς
ἐξέλιπεν, πρὶν ἐτελεύτησέ μοι τῶν τροφίμων ὁ πλείστου ἄξιος.
τῇ δ' αὐτῇ ἡμέρᾳ, ὡς ὕστερον ἔγνων, ἐκεῖνός τε ἐτεθνήκει καὶ ἡ
νόσος ᾤχετο ἀπιοῦσα. οὕτω τόν τε ἄχρι τούτου χρόνον δωρεὰν* 301 J
*ἔσχον παρὰ τῶν θεῶν καὶ μετὰ τοῦτο ἀνεβίων ὑπὸ τοῖς θεοῖς,
καί τις οἷον ἀντίδοσις αὕτη συνέβη.*

45 *Καὶ τὰ μὲν τῆς προρρήσεως τῆς περὶ τῶν ἐτῶν καὶ τῆς* 477 D
*ὕστερον ἀσθενείας ⟨τῆς⟩ εἰς τοῦτο συμβάσης καὶ τῶν περὶ ταῦτα
ἐπιφανειῶν οὕτως ἔσχεν. ἁρμόττοι δ' ἂν ἴσως περὶ τῶν λουτρῶν
ἤδη λέγειν, οἷς διήγαγεν ἡμᾶς, ἐπειδὴ καὶ τὸ ἐξ ἀρχῆς ἅμα τῇ*
46 *προρρήσει τὸ λουτρὸν ἐπέταξεν τὸ ἐν τῷ ποταμῷ. ἦσαν οἱ κα-
τάρροι καὶ ἡ περὶ τὴν ὑπερῴαν ἀπορία καὶ πάντα πάχνης ἦν
πλέα καὶ πυρός, καὶ ἡ τοῦ στομάχου κάκωσις ἤκμαζεν καὶ ἄλλα
πολλὰ καὶ παντοῖα, καὶ κατεκεκλείμην θέρους ὥρᾳ. καὶ ἐγίγνετο*

---

1 *τροφός*] non *ὁ τροφεύς*, ergo non 'curator', sed servus qui Aristidi aegro ministravit *αὐτὴ* legi: *αὕτη* O 9 *αὐτῷ* (i. e. *ἐμαυτῷ*) legi: *αὐτῷ* O; 'necesse esse se (deam Ulixis et Telemachi tutricem) mihi auxilium ferre, cum ipse essem et Ulixes et Telemachus' 12 *ἐλλείποντα* Kaibel: *ἐλλείποντοσ* O *ἐλλεί-ποντοσ ἔτι* D 13 *μέλιτος Ἀττικοῦ*] cf. *κηρῷ* et *Ἀθηνᾶ* p. 403, 28. 25 14 *καὶ στροφαί* D 15 *ἀπόρρησιν*] 'fastidium' 17 *καὶ μακροῦ*] addidit, ut significaret se tunc sedere nondum potuisse, sed iacere debuisse 19 *τῶν τροφίμων κτἑ.*] Hermias, cf. p. 457, 28 sq. 25 ⟨*τῆς*⟩ addidi 26 *ἁρμόττει* D 27 *τὸ ἐξ ἀρχῆς κτἑ.*] p. 398, 29 sqq. 29 *ἡ*] *οἱ* D *πάντα — πυρός*] 'omnia intumuerant et inflammata erant' 31 *κατακεκλείμην* O (corr. Ddf.)

ταῦτα ἐν Περγάμῳ ἐν τῷ τοῦ νεωκόρου ⟨τοῦ⟩ Ἀσκληπιακοῦ. πρῶ- 47
τον μὲν οὖν ἐπέταξεν αἷμα ἀφελεῖν ἀπ' ἀγκῶνος καὶ προσέθηκεν,
ὅσα ἐγὼ μέμνημαι, λίτρας εἴκοσι καὶ ἑκατόν· τὸ δ' ἦν ἄρα δηλοῦν
ὡς οὐκ ὀλίγων δεήσοι τῶν φλεβοτομιῶν· ἐφάνη δ' ἐκ τῶν ὕστερον.
οἵ τε γὰρ νεωκόροι ἐν τούτῳ ὄντες ἡλικίας καὶ πάντες οἱ περὶ
τὸν θεὸν θεραπευταὶ καὶ τάξεις ἔχοντες ὡμολόγουν αἰεὶ δήποτε
μηδένα πω τῶν πάντων συνειδέναι τοσαῦτα τμηθέντα, πλήν γε
Ἰσχύρωνος, εἶναι δ' ἐν τοῖς παραδοξότατον τό γ' ἐκείνου, ἀλλὰ
καὶ ὡς ὑπερβάλλειν τὸ καθ' ἡμᾶς ἄνευ τῶν ἄλλων παραδόξων, ἃ
προσῆν ταῖς φλεβοτομίαις, οἱόνπερ οὖν καὶ τότε εὐθέως συνέβη.
μιᾷ μὲν γάρ, οἶμαι, ὕστερον ἡμέρᾳ ἢ δυοῖν γε ἐκέλευσεν πάλιν ἐκ 48
τοῦ μετώπου ἀφελεῖν, καί τινι τῶν ἐκ τῆς Ῥωμαίων βουλῆς παρ-
εδρεύοντι καὶ αὐτῷ ταὐτὸν τοῦτο ἐκέλευσεν, ἐπισημηνάμενος ὅτι καὶ
Ἀριστείδῃ προστέτακται· Σηδᾶτος ὄνομα αὐτῷ, βέλτιστος ἀν-
δρῶν, ὅς ἐμοὶ ταῦτα αὐτὸς διηγεῖτο. ἐν μέσῳ δὲ τούτων τῶν
φλεβοτομιῶν προστάττει μοι τὸ λουτρὸν τὸ ἐν τῷ Καΐκῳ, καὶ
ἔδει τὰ ἔρια ἀπορρίψαντα ὁδοιπορεῖν καὶ λοῦσθαι· ὄψεσθαι δὲ
478 D *καὶ ἵππον λούμενον καὶ τὸν νεωκόρον ἑστῶτα ἐπὶ τῆς ὄχθης τὸν*
Ἀσκληπιακόν. ταῦτα προείρητο καὶ ταῦτα ἐγίγνετο. ἔτι μὲν προσ- 49
ιὼν τῷ ποταμῷ τὸν ἵππον ὁρῶ λούμενον, λουμένου δέ μου παρῆν
ὁ νεωκόρος καὶ ἑστὼς ἐπὶ τῆς ὄχθης ἑώρα. ἡ δὲ ἐπὶ τούτῳ κου-
φότης καὶ ἀναψυχὴ θεῷ μὲν καὶ μάλα ῥᾳδία γνῶναι, ἀνθρώπῳ
302 J *δὲ ἢ νῷ λαβεῖν ἢ ἐνδείξασθαι λόγῳ οὐ πάνυ ῥᾴδιον. Ἕτερον* 50
τοίνυν λουτρὸν ἐν Σμύρνῃ προσετάχθη χειμῶνος ἱσταμένου, ἔδει
δὲ πορευθέντα πρὸς τὰς πηγὰς τὰς θερμὰς τῷ μὲν θερμῷ ὕδατι
μὴ χρῆσθαι, τῷ δὲ παραρρέοντι ποταμῷ. καὶ ἦν ἡμέρα πᾶσα
ἔφυδρός τε καὶ ψυχρὰ καὶ τὸ ὕδωρ τοσοῦτον διέλιπεν ὅσον ἀρ-
κέσαι τῇ πορείᾳ· καὶ πρῶτον ἦν τῶν θαυμάτων τοῦτο. δείλη τε
ἦν ὀψία καὶ τὸ λουτρὸν ἐγίγνετο καὶ ἐπέπνει βορέας ἀκραής .....
Τοιαυτὶ δὲ ἐν Περγάμῳ πάλιν χειμῶνός τε καὶ ἐν λεπτότητι θαυ- 51

---

1 ⟨*τοῦ*⟩ add. Ddf., cf. ad p. 402, 9 *ἀσκληπιοῦ* T 2 *οὖν* om. D(U) 6 *τάξεις*] aut 'victus praecepta', (cf. p. 464, 9. 10) aut 'munera' 7 *μηδὲν ἀπατῶν πάντων* A¹ a. corr. 8 *Ἰσχύρωνος*] *εἰσ χείρωνοσ* D; fort. *Ἰσχυρίωνος* *παραδοξότατον* scripsi: *παράδοξον* O *γ'*] *τ'* A 11 *μία* et *ἡμέρα* A¹ (corr. Aʳ) 14 *σιδάτοσ* DS p. ras.; cf. ad p. 429, 15 16 *προστάττει*] *σ* postea add. A m. inc. 17 aut *ἔρρια* (U) aut *εἴρια* T *λελοῦσθαι* A² 18 *λονόμενον* A², item bis corr. eadem m. v. 20 24 *προσετάχθην* T, eleganter 29 lacunam indicavi; rettulit de lavatione tertia (prima § 19—23, altera § 45—49) deque miraculis ceteris (cf. *πρῶτον ἦν τῶν θαυμάτων τοῦτο* v. 28) lavationi huic a deo additis; sequitur lavatio quarta (§ 51—53) 30 *Τοιαυτὶ* scripsi: *ταυτὶ* O (erat punctum post *κατεκείμην* p. 406, 2), cf. p. 417, 14

μαστῇ τοῦ σώματος, ὥστε πολὺν χρόνον πάνυ τοῦ οἰκήματος οὐκ
ἐξέβην οὗ κατεκείμην, ἐκέλευσε λούσασθαι τῷ ποταμῷ τῷ διὰ τῆς
πόλεως ῥέοντι — ὁ δ᾿ ἔρρει πολὺς ἐξ ὄμβρων — καὶ προεῖπεν
ὡς τριῶν τῶν λουτρῶν ἐσομένων. γενομένου δὲ τοῦ προστάγματος
ὡς ἐπύθοντο συνῆλθον οἱ σπουδαιότατοι τῶν φίλων παραπέμ-
ποντες καὶ φροντίζοντες ὅ τι ἀποβήσοιτο, καὶ ἅμα ἀντ᾿ ἄλλης
ἱστορίας ποιούμενοι ἰδεῖν τὰ γιγνόμενα· καὶ γὰρ δὴ καὶ ἡ ἡμέρα
52 *χειμέριος ἦν. πρῶτον μὲν οὖν ὕσθημεν παρὰ τὴν ὁδὸν καὶ τὸ*
πρῶτον ἦν τῶν λουτρῶν τοῦτο· καὶ γὰρ ἀνῆμεν ἀνωτέρω τὴν ἐφ᾿
Ἵππωνος, βουλόμενοι καθαρῷ τῷ ὕδατι ἐντυχεῖν καὶ ὃ μήπω
ὡμίληκε τῇ πόλει. ὡς δὲ ἐγενόμεθα ἐπὶ τῆς ὄχθης, οὐδεὶς τῶν
φίλων ἐθάρρει παρακελεύσασθαι, καίτοι παρῆν μὲν ὁ νεωκόρος
αὐτός, παρῆσαν δὲ καὶ τῶν φιλοσόφων τινές, ἄνδρες καλοὶ κἀγα-
θοί, ἀλλ᾿ ὅμως ἀγωνιῶντες καὶ ἀπορούμενοι φανεροὶ πάντες ἦσαν. 479 D
κἀγὼ τά τε ἱμάτια ἀπερρίπτουν καὶ καλέσας τὸν θεὸν ἵεμαι εἰς
53 *μέσον τὸν πόρον. ὁ δὲ ἐκυλίνδει μὲν πέτρας, ἔφερεν δὲ ὕλην,*
ἐκύμαινεν δὲ ὥσπερ ἐξ ἀνέμου, καὶ τῶν κάτω φανερὸν ἦν οὐδέν,
ἠχὴ δὲ καὶ θόρυβος πολύς. ἐνταῦθα δὴ αἱ μὲν πέτραι ἀντὶ φύλ-
λων περιέρρεον, τὸ δὲ ὕδωρ οὕτω κοῦφον ἦν ὡς οὐδὲν τῶν καθα-
ρῶς διαφανῶν, καὶ διέτριψα δὴ εἰς ὅσον πλεῖστον ἐξῆν. ὡς δ᾿
ἐξέβην ἐπὶ τὴν ὄχθην, θέρμη διὰ παντὸς ἐχώρει τοῦ σώματος καὶ
ἀτμὸς ἄνω πολὺς καὶ πάντα ἐπεφοίνικτο, καὶ τὸν παιᾶνα ᾔδομεν.
καὶ ὡς ἐπανήειμεν, αὖθις αὖ ὕδωρ ἐπιγίγνεται ἐκ Διός, καὶ τὸ
54 *τρίτον τῶν λουτρῶν εἰς τοῦτο ἐτελεύτησεν. Ἕτερον τοίνυν ἐν*
Ἐλαίᾳ ταύτῃ γενόμενον. ἔπεμψέ με λουσόμενον θαλάττῃ, πλοῖόν
τε δὴ προειπὼν Ἀσκληπιὸν ὁρμοῦν ἐπὶ τῷ στόματι τοῦ λιμένος, 303 J
καθ᾿ οὗ ῥῖψαι δεῖν ἑαυτόν, καὶ φωνάς τινας τῶν ναυτῶν καὶ ἕτερα
ἃ οὐ μέμνημαι πάνθ᾿ ἑξῆς, τοῖς μεθ᾿ ἡμέραν ἀποβᾶσιν ὁμολογή-
σαντα. ὡς οὖν κατήλθομεν εἰς τὴν Ἐλαίαν, παρῆμεν ἔξω πρὸς
τὸν λιμένα, καὶ εὐθὺς μὲν τὸ πλοῖον εὑρίσκετο, Ἀσκληπιὸς ὄνομα,
εὐθὺς δ᾿ ἐβόων οἱ ναῦται τὸν θεόν, ὡς εἶδον τὰ γιγνόμενα. ἦν
55 *δὲ ἀπαρκτίας λαμπρός, ὥστ᾿ ἐκβὰς ἐδεήθην σκέπης. πάλιν οὖν*
τῆς ἐπιούσης νυκτὸς κελεύει τῇ μὲν θαλάττῃ κατὰ ταὐτὰ χρῆσθαι,
ἐκβάντα δὲ τοῦ ὕδατος στάντα ἐναντίον τοῦ ἀνέμου οὕτω θερα-

---

2 *τῷ ποταμῷ — ῥέοντι*] est *Σελινοῦς* Plin. n. h. V 126 (Palmerius Exercit. p. 470) 7 *ἡ* om. D (Junt.) 9 *ἀνήϊμεν* A[1]: *ἀνήειμεν* SDTA[2], cf. v. l. p. 378, 25 10 *Ἵππωνος*] *ἵππων* D; si Hippo loci, non hominis est nomen, *Ἱππῶνος* scrib. 12 *παρῆν*] *παρ᾿ ἡμῖν* D 24 *τρίτον*] cf. v. 4 25 *ταύτῃ*] Pergami portus Elaea; fort. *ταυτῃί*, cf. p. 234, 10 27 *καθ᾿ οὗ* scripsi: *καθ᾿ ὃ* O (-*θὸ* A) 32 *ἀπαρκτίασ* DTA[2]S[2]: *ἀπαρκίασ* A[1]S[1]

πεῦσαι τὸ σῶμα. καὶ ὅτι μὲν πολλοῖς ἤδη τοιαῦτα ἐπιτέτακται
σύνοιδα· ἀλλὰ πρῶτον μὲν κατ᾽ αὐτὸ τοῦτο θαυμαστότερον τὸ
τοῦ θεοῦ ἐπὶ πολλῶν καὶ συνεχῶς τὴν αὐτοῦ δύναμιν καὶ πρό-
νοιαν ἐμφανίζοντος, ἔπειτα εἴ τις ἅπαν τὸ ἡμέτερον ἐνθυμηθείη.
καίτοι τίς οἷός τ᾽ ἂν εἴη λογισμῷ λαβεῖν ἐν οἷς ἡμεῖς ἦμεν τότε; 56
ἴσασιν δὲ οἱ ἐφ᾽ ἑκάστων παρόντες, τοῦτο μὲν ὡς τὰ τοῦ χρωτὸς
εἶχεν, τοῦτο δὲ ὡς τἄνδοθεν· ἔτι δὲ ῥεῦμα ἐκ τῆς κεφαλῆς ὅσαι
480 D καὶ ἡμέραι καὶ νύκτες φερόμενον καὶ κλυδώνιον ἐν τῷ στήθει καὶ
πνεῦμα ἀντανιὸν πρὸς τὸ ῥεῦμα ἄνω καὶ συνισχόμενον ἐν τῷ
τραχήλῳ καὶ πιμπράν, καὶ τοσαύτην αἰεὶ τοῦ θανάτου τὴν προσ-
δοκίαν ὥστε μηδ᾽ οἰκέτην καλέσαι θαρρεῖν, ἀλλὰ νομίζειν μάτην
ἂν καλεῖν· φθῆναι γὰρ ἂν τὸ χρῆμα περανθέν. πρὸς δὲ τούτοις 57
ὤτων καὶ ὀδόντων παντοῖα συμπτώματα καὶ τάσιν ἐν κύκλῳ τῶν
φλεβῶν καὶ τροφὴν ἄπορον μὲν κατέχειν, ἄπορον δὲ ἐμεῖν· ὅ τι
γὰρ καὶ μικρὸν ψαύσειε τῆς φάρυγγος ἢ τῆς ὑπερῴας, ἔκλειεν τὸν
πόρον, κᾆτα ἀναλαβεῖν οὐκ ἦν. ὀδύνη δὲ εἰς ἐγκέφαλον διάπυρος
καὶ προσβολαὶ πᾶσαι, κἀν ταῖς νυξὶν ἀμηχανία κατακλίσεως, ἀλλ᾽
ἔδει μετεωρίσαντα αὑτὸν καρτερεῖν προκεκυφότα, τὴν κεφαλὴν
ἔχοντα πρὸς τοῖς γόνασι. τούτοις δ᾽, οἶμαι, τοιούτοις οὖσιν καὶ 58
ἑτέροις μυρίοις ἀναγκαίως εἵπετο ἐρίοις τε κατειλίχθαι καὶ ἑτέροις
σκεπάσμασιν καὶ κάθειρξις ἀκριβὴς συγκεκλειμένων πάντων, ὥστε
304 J ἡμέρα μὲν νύκτα ἐδύνατο, αἱ δὲ νύκτες ἀνθ᾽ ἡμερῶν ἦσαν ἄγρυ-
πνοι.

τίς κεν ἐκεῖνα
πάντα γε μυθήσαιτο καταθνητῶν ἀνθρώπων; (Hom. γ 113 sq.)

οὐ γὰρ πεντάετες οὐδ᾽ ἑξάετες οὐκ ἀρκεῖ, ἀλλ᾽ οὐκ ἐλαττόνων
ἴσως ἐστὶ χρόνων ἡ διήγησις ἢ ἐν ὅσοις τὰ πράγματα ἐγίγνετο. εἰ 59
δὴ ταῦτά τις προσλογίσαιτο καὶ σκέψαιτο ἐφ᾽ ὅσων καὶ οἵων τῶν
παθημάτων καὶ ὁποίας τῆς περὶ ταῦτα ἀνάγκης εἰς θάλατταν καὶ
ποταμοὺς καὶ φρέατα ἐκόμιζεν καὶ τῷ χειμῶνι μάχεσθαι προσ-

1 πολλοῖς ἤδη κτἑ.] eadem argumentandi ratio or. XLII § 6 sqq. 3 τὴν — πρόνοιαν] cf. p. 408, 2 αὑτοῦ SDT 4 ἅπαν τὸ ἡμετέρον] 'nostram imbecillitatem' (Canter) 5 καίτοι] καὶ τι D τίσ ἂν οἷοσ τ᾽ ἂν εἴη T 7 ῥεῦμα — 14 τροφὴν] accusativi tanquam ex ἴσασιν v. 6 apti 10 ἀεὶ A^{1} (corr. A^{r}) 12 γὰρ ἂν O sic 13 τάσιν ἐγκύκλω T 18 μετεωρήσαντα D αὑτὸν A^{1} p. corr.: αὐτὸν O προσκεκυφότα D (U) 21 κάθειρξισ AS^{1}: κάθειρξισ ἦν DTS^{2} συγκεκλεισμένων DA^{2} 22 νύκτα] τὰ νυκτὸσ A^{2} αἱ δὲ] αἱ δ᾽ αἱ D 25 πάντα γε Ddf. ex Hom.: γε πάντα O 26 οὐδ᾽ ἑξάετεσ A: οὐκ ἑξάετεσ T, οὐκ ἑξάετεσ S, οὐχ ἑξάετεσ D Thom. Mag. p. 87, 2; Hom. γ 115 οὐδ᾽ εἰ πεντάετές γε καὶ ἑξάετες οὐκ ante ἀρκεῖ om. Thom. Mag. l. c.; 'neque enim ita res se habet, ut quinquenium .. non satis sit, sed ...' 27 ἐν ὅσοισ A^{2}, ἑνὸσ οἷσ $A^{1}S^{1}$: ἐν οἷσ DTS^{2} 28 προλογίσαιτο D

ἔταττεν, φήσει πᾶν ὡς ἀληθῶς περαιτέρω θαυμάτων εἶναι καὶ
τοῦ τε θεοῦ τὴν δύναμιν καὶ τὴν πρόνοιαν μειζόνως ὄψεται, κἀμοὶ
συνησθήσεται τῆς τιμῆς ἣν ἐτιμώμην, καὶ οὐκ ἂν τῆς ἀσθενείας 481 D
μᾶλλον συνάχθοιτο.
60 *Πόθεν οὖν συνεσκευάσθη τοσοῦτον πρᾶγμα ἴσως ἄν τις ἀκοῦ-*
σαι δεηθείη. τὸ δ᾽ ἐστὶ μὲν πέρα ἢ κατ᾽ Ἀλκίνου ἀπόλογον·
πειράσομαι δέ πως ἐξ ἐπιδρομῆς εἰπεῖν. ἐξῆλθον εἰς Ῥώμην
χειμῶνος μεσοῦντος, κάμνων οἴκοθεν εὐθέως ἐξ ὑδάτων καὶ ψύ-
ξεως οὐδεμίαν τῶν παρόντων ὤραν ποιησάμενος, τῇ δ᾽ ἀσκήσει
τοῦ σώματος πιστεύων καὶ τῇ περὶ πάντα ἀγαθῇ τύχῃ. καὶ προ-
ελθὼν ἄχρι Ἑλλησπόντου τό τε οὖς ἔκαμνον καθ᾽ ὑπερβολὴν καὶ
τἄλλα οὐχ ὡς ἔτυχεν διεκείμην, καὶ μικρόν τι ῥαΐσας τὸ πέρα
61 *προήειν. μετὰ ταῦτα ὑετοὶ πάγοι κρύσταλλοι ἄνεμοι πάντες·*
Ἕβρος μὲν ἄρτι κεκομμένος, ὥστ᾽ εἶναι πλοίοις διαβατός, εἰ δὲ
μή, πᾶς ἠπείρωτο ὑπὸ κρυστάλλου, πεδία δὲ λιμνάζοντα ὅσον
ὀφθαλμὸς ἐπεῖχεν· καταγωγίων δὲ ἀπορία, καὶ πλέον ἐκ τῶν ὀρο-
φῶν τὸ ὕδωρ ἢ ἐκ Διὸς ἔξω ῥέον· κἀν τούτοις ἅπασιν ἔπειξις
καὶ δρόμος παρὰ τὴν καθεστηκυῖαν ὥραν τε καὶ δύναμιν τοῦ σώ-
ματος. οὔτε γὰρ οἱ τὰς ἀγγελίας κομίζοντες τῶν στρατιωτῶν
ἡμᾶς γε παρῆλθον, ἵνα μηδὲν εἴπω πλέον, τῶν τε οἰκετῶν ἐπὶ
σχολῆς ὡδοιπόρουν οἱ πλείους. ἐγὼ δὲ καὶ τοὺς ἀγωγοὺς αὐτὸς
ἀνεζήτουν, εἴ που δεήσειεν, καὶ ἦν οὐδὲ τοῦτο ἀπὸ τοῦ ῥᾴστου
γιγνόμενον. ἔδει γὰρ ὑποφεύγοντας οἷα βαρβάρους ἀνθρώπους
62 *ἕλκειν, τὰ μὲν πείθοντα, ἔστιν δ᾽ ᾗ καὶ χειρούμενον. ἐκ δὴ τού-*
των ἁπάντων ἡ νόσος ἤρετο. καὶ τοῦτο μὲν περὶ τῶν ὀδόντων
ἐν παντὶ κατέστην, ὥσθ᾽ ὑπεῖχον τὰς χεῖρας, ὡς αἰεὶ δεξόμενος,
τροφῆς δὲ καὶ παντάπασιν ἀπεκεκλείμην, ὅτι μὴ γάλακτος μόνου· 305 J
τοῦ τε ἄσθματος περὶ τὸ στῆθος ᾐσθόμην τότε πρῶτον καὶ πυ-
ρετοὶ κατέλαβον ἰσχυροὶ καὶ ἄλλα ἀμύθητα· καὶ ἐκείμην ἐν Ἐδέσσῃ

---

1 *φήσει* DTA^{2}S^2 (*ει* in ras.): *φησι* A(S^1 sine dubio) an *πάνθ᾽ ὡς*? 2 *μειζόνως*] 'evidentius' Canter; an *μείζονας*? 3 *συνησθήσεται τῆς τιμῆς*] cf. ad p. 434, 28 6 *Ἀλκίνου ἀπόλογον*] cf. p. 291, 20; Paroemiogr. Gr. I 210 7 *ἐξῆλθον — κάμνων οἴκοθεν*] cf. p. 395, 30 sq. 9 *ὤραν* Palmerius l. c.: *ὥραν* O 10. 11 *προ/ελθὼν* S 11 *ἄχρι* A 12 *οὐχ ὡς ἔτυχεν*] valetudine, qua non facile quis aegriore utatur *τὸ*] mirum, sed comparia fere p. 450, 5 *τὸ ἀνωτέρω προϊόντες* et 463, 31 *τὸ εἰς τοὐπίσω* 14 *ἕβροσ* A^{r}SDT (corr. Ddf.), *εὗροσ* A^1 17 *κἀν* scripsi: *καὶ* O 20 *γε* om. D 21 *αὐτὸς*] *αὐτοὺς* Thom. Mag. p. 6, 3 (U^1 a. corr. et U^2) 22 *ἐξεζήτουν* T^1 a. corr. *ἀπὸ τοῦ ῥᾴστου*] cf. p. 437, 2 24 *ἐκ δ᾽ ἢ* A^1 (corr. A^r) 26 *δεξόμενος*] nempe ratus fore, ut statim dentes exciderent 29 *Ἐδέσσῃ* scripsi: *δέσσῃ* O; Aristides sequitur iter, quod Dyrrachium ferebat; cataractae sunt Axii fluminis, quae nunc ab oppido Vodina nomen ducunt, haud procul ab Edessa sitae

482 D πρὸς τῷ καταρράκτῃ· καὶ μόλις ἡμέρᾳ ἑκατοστῇ ὕστερον ἢ ἐκινή-
θην οἴκοθεν ἐν Ῥώμῃ γίγνομαι· καὶ μετ' οὐ πολὺ τὰ σπλάγχνα
ᾠδήκει καὶ τὰ νεῦρα κατέψυκτο καὶ φρίκη διέθει διὰ παντὸς τοῦ
σώματος καὶ τὸ πνεῦμα ἀπεκέκλειτο. καὶ οἱ ἰατροὶ καθάρσεις 63
προσῆγον καὶ πιὼν ἐλατήριον εἰς δύο ἡμέρας ἐκαθαιρόμην, ἕως
εἰς αἷμα ἀπέσκηψεν. καὶ πυρετοὶ κατέλαβον καὶ πάντ' ἦν ἄπορα
ἤδη καὶ σωτηρίας οὐδ' ἡτισοῦν ἐλπίς. καὶ τέλος οἱ ἰατροὶ κατ-
έτεμνον ἐκ τοῦ στήθους ἀρξάμενοι πάντα ἑξῆς ἄχρι πρὸς τὴν κύστιν
κάτω· καὶ ὡς ἀνθήψαντο αἱ σικύαι, παντάπασι τὸ πνεῦμα ἀπ-
ελήφθη, καὶ διῆλθεν ὀδύνη ναρκώδης καὶ ἄπορος φέρειν, καὶ πάντα
αἵματι ἐπέφυρτο καὶ γίγνομαι ὑπέρινος, καὶ τῶν σπλάγχνων
ᾐσθανόμην οἷον ψυχρῶν τε καὶ ἐκκρεμαμένων, καὶ τὸ τῆς ἀμη-
χανίας τῆς περὶ τὴν ἀναπνοὴν ἐπετάθη. καὶ τί χρὴ ποιεῖν οὐκ 64
ἦν· καὶ γὰρ σῖτον αἱρουμένῳ καὶ διαλεγομένῳ μεταξὺ προσίστατο
καὶ ἔδει πεπνῖχθαι δοκεῖν. καὶ ἡ ἄλλη τοῦ σώματος ἀσθένεια
κατὰ λόγον τούτων ἦν. φάρμακα δὲ θήρειά τε καὶ ἄλλα παντοῖα
τηνάλλως ἐδίδοτο. ἐδόκει δὴ χρῆναι κομίζεσθαι οἴκαδε, εἴ πως
εἴη διαρκέσαι. κατὰ γῆν μὲν οὖν ἄπορον ἦν — οὐ γὰρ ἔφερεν
τὸ σῶμα τὸν σεισμόν —, πλῷ δὲ ἐπεχειροῦμεν· τῶν δ' ὑποζυγίων
ἃ ἤγομεν τὰ μὲν ὑπὸ τῶν χειμώνων ἐτεθνήκει, τὰ δὲ περιόντα
ἀπεδιδόμεθα. καὶ συμβαίνει τις Ὀδύσσεια. εὐθὺς μὲν ἐν τῷ 65
Τυρρηνικῷ πελάγει ζάλη καὶ ζόφος καὶ λὶψ καὶ ταραχὴ τῆς θα-
λάττης ἀκατάσχετος, καὶ ὁ κυβερνήτης μεθῆκε τοὺς οἴακας καὶ ὁ
ναύκληρος καὶ οἱ ναῦται σποδὸν καταχεάμενοι σφᾶς τε αὐτοὺς
ἀπῴμωζον καὶ τὸ πλοῖον. ἡ δὲ ἐπεισέρρει πολλὴ κατὰ πρῷραν
καὶ κατὰ πρύμναν ἡ θάλαττα, καὶ κατεκλυζόμην τῷ τε ἀνέμῳ καὶ
483 D τοῖς κύμασιν, καὶ ταῦτα ἐγίγνετο ἡμέραν καὶ νύκτα. μέσαι νύκτες 66
306 J σχεδὸν ἦσαν, ἡνίκα πρὸς τὴν Πελωρίδα ἄκραν τῆς Σικελίας προσ-
ηνέχθημεν. ἔπειτα ἐν πορθμῷ πλάναι καὶ δρόμοι, τὰ μὲν εἰς τὸ
πρόσθεν, τὰ δὲ εἰς τοὐπίσω. τοῦ δὲ Ἀδρίου τὸ μὲν πέλαγος
δυοῖν νυξὶ καὶ ἡμέρᾳ διήλθομεν, ἀψοφητὶ παραπέμποντος τοῦ

---

1 καταράκιῃ SDT   ἢ] elliptice pro ἢ ᾗ, cf. Hug ad Plat. symp. 173 A, Classen ad Thuc. I 60, 3   ἐκινήθην] cf. p. 434, 18 (394, 5. 9) et or. (II) Sicil. I p. 588, 17 ἀπὸ τῆς οἰκείας — κινεῖσθαι   3 φρίκει D   4 ἀπεκέκλειστο TA²   οἱ AD: om. ST   7 οὐδήτισ οὖν AS¹ (οὐδητι/οὖν S²), οὐ δή τισ ἦν D   11 γίνομαι O   ὑπέρινος voluit Canter in schedis, ubi ὑπαρινος, et denuo ci. Wil: ὑπέργεινοσ A¹, ὑπεργεινὸσ SDTA²; ὑπεραλγεινός finxit Canterus in mg. versionis (prob. edd.)   12 ἐκκρεμμαμένων T, cf. v. l. p. 399, 19   16 φάρμακα — θήρειά] atticista pro θηριακά   20 ἃ ἤγομεν sic O   22. 23 θαλάσσησ T   25 ἡ δὲ — ἡ θάλαττα] cf. p. 422, 7 ὁ δ' — ὁ Ζώσιμος   κατὰ πρῷραν omissum add. S² mg.

*ῥεύματος. ὡς δ' ἔδει πρὸς τὴν Κεφαλληνίαν προσσχεῖν, αὖθις
αὖ κῦμα ὑψηλὸν καὶ τὸ πνεῦμα οὐκ ἔφερεν, ἀλλ' ἐπλανώμεθα ἄνω*
67 *καὶ κάτω. κάματος παντοδαπὸς τοῦ σώματος καὶ λύσις. τὰ
δ' ἐν τῷ πορθμῷ τῷ Ἀχαϊκῷ πάλιν συμβάντα, ὑπ' αὐτὴν ἰση-
μερίαν ἀράντων τῶν χρηστῶν ναυτῶν ἐκ Πατρῶν ἄκοντος ἐμοῦ
καὶ ἀντιλέγοντος ἐξ ἀρχῆς, οὐδ' ἂν λέγων εἴποις, ἐν οἷς ἅπασι*
68 *τό τε στῆθος καὶ τἄλλα ἔτι μειζόνως ἐκακοῦτο. παραπλήσια δὲ
καὶ τὰ ἐν τῷ Αἰγαίῳ μοχθηρίᾳ κυβερνήτου καὶ ναυτῶν γενόμενα
ἐναντία τοῖς πνεύμασι πλεῖν ἀξιούντων καὶ μηδὲν ἀκούειν ἐθελόν-
των ἐμοῦ. τέτταρες πάλιν αὗται πρὸς ταῖς δέκα ἡμέραι καὶ
νύκτες χειμῶνος, κύκλῳ διὰ παντὸς τοῦ πελάγους φερομένων,
κἀν ταύταις ἀσιτίαι οὐκ ὀλίγαι, καὶ μόλις Μιλήτῳ προσηνέχθημεν· καὶ οὔτε ἵστασθαι δυνατὸς ἦν τά τε ὦτα ἐξεκεκώ-
φητο, ἠνώχλει τε οὐδὲν ὅ τι οὔ. καὶ κατὰ μικρὸν προϊόντες
οὕτω γιγνόμεθα ἐν τῇ Σμύρνῃ πέρα πάσης ἐλπίδος· καὶ*
69 *χειμὼν ἤδη ἦν. καὶ τὰ τῆς ὑπερῴας παντάπασι δυσχερῶς εἶχεν
καὶ τἄλλα ὡσαύτως, καὶ συνῆλθον οἵ τε ἰατροὶ καὶ γυμνασταὶ
καὶ οὔτε βοηθεῖν εἶχον οὔτε ἐγνώριζον τὴν ποικιλίαν τῆς νόσου.
τοσοῦτον δ' οὖν συνέδοξεν, εἰς τὰς πηγὰς τὰς θερμὰς κομίσαι,
ἐπειδὴ καὶ τὸν ἐν τῇ πόλει ἀέρα φέρειν οὐχ οἷός τε ἦν. καὶ τὰ*
70 *ἐπὶ τούτοις δὴ μικρῷ πρόσθεν* (§ 5 sqq.) *διηγούμην. ἐκ τοιούτων
καὶ τοσούτων ὡς βραχέως τε καὶ ἀμυδρῶς εἰπεῖν ἡ νόσος ἠσκήθη
καὶ συνεσκευάσθη, κατὰ προσθήκην χρόνου προϊοῦσα αἰεί· καὶ
παρελθόντος ἐνιαυτοῦ καὶ μηνῶν ἐπὶ τὴν ἐν Περγάμῳ καθέδραν
ἤλθομεν.*
71 *Νῦν δὲ ὅθεν ἐξέβημεν τρεπώμεθα πρὸς τὰ λουτρὰ τὰ θεῖα·* 307 J
ὀδύναι δὲ καὶ νόσοι καὶ κίνδυνοι πάντες ἐρρόντων. ἐγκατεκεκλίμην 484 D
*μεταξὺ τῶν τε θυρῶν καὶ τῶν κιγκλίδων τοῦ νεὼ κατὰ δή τινα
ὀνείρατος ὄψιν· καί μοι χρῄζει ὁ θεὸς τὸ ἔπος τόδε·*

Ἑσπέριοι δ' ἤκμαζον ἐπὶ κρήναις χλοερῇσιν.

*ἔπειτα ἐχριόμην τε ἐν τῷ ὑπαίθρῳ ἐν τῷ περιβόλῳ τοῦ ἱεροῦ καὶ
ἐλούμην τῷ φρέατι τῷ ἱερῷ, καὶ οὐδεὶς ἦν ὅστις οὐχ ὁρῶν ἠπίστει.*

---

1 *προσσχεῖν* S^2 (prius *σ* iterum eras.): *προσχεῖν* O 4 *ἀχα|ικῶι* A, *ι* erasum 7 *παραπλήσια κτἑ.*] accuratiora or. L § 32—36 8 *μοχθηρίαι* AS, *μοχθηρία* DT (quod falso pro nominativo habuerunt edd.) 11 an *χειμῶνι κύκλῳ*? 14 *τε*] repetit A^r mg.: *ὡρ(αῖον) ἠνώχλει δὲ* (item Junt.) *οὐδὲν ὅτι οὔ* *προϊόντες* scripsi: *προσιόντεσ* O 23 *ἀεὶ* A^1 (corr. A^r) 24 *καθέδραν*] 'commoratio' (non suggestum oratoris), cf. p. 423, 25; 428, 30 (*καθημένῳ*) 26 *τρεπώμεθα* A (si recte enotavi): *τρεπόμεθα* SDT 27 *ἐγκατεκεκλίμην* TA^2S m. recentiss.: *ἐγκατεκλείμην* A^1S^1, *ἐγκατεκεκλείμην* DS^2 28 *νεω|* S nunc 29 *χρῄζει*] *χρῇ* D 32 *ἐλονόμην* A^2

καὶ μικροῦ πᾶσαν ἐξέβαλον τὴν νόσον, εἰ μὴ τοῦ θεοῦ σημεῖα 72
φαίνοντος καὶ μεταβάλλοντος ἤδη τὴν δίαιταν αὐτὸς μὲν οὕτως
εἶχον ὡς ταύτῃ ποιήσων, 'βουλὴ δὲ κακὴ νίκησεν ἑταίρων', οἳ σο-
φίας τε ἀντιποιούμενοι καί τινα ἔχειν περὶ ταῦτα δοκοῦντες δεινό-
τητα ἀτοπώτερον τὰ ἐνύπνια ἐξηγοῦντο, φάσκοντες δι' ὑπερβολῆς
ἐνδείκνυσθαι τὸν θεὸν ὅτι χρὴ μένειν ἐπὶ τῶν αὐτῶν. κἀγὼ συν-
εχώρησα ἄκων μὲν καὶ ὑφορώμενος καὶ νομίζων αὐτὸς ἄμεινον
γιγνώσκειν, ὡς δ' ἂν μὴ δοκοίην ἐμαυτῷ τις εἶναι μόνῳ πειθό-
μενος· παθὼν δ' ἔγνων καλῶς ὡς ὀρθῶς ἐγίγνωσκον. ἀλλ' ὅσα 73
μὲν σύμβουλοι διήμαρτον χωρὶς ἔστω· καίτοι καὶ ταῦτα ἔοικε τῶν
σφόδρα πρὸς τὸν θεὸν εἶναι. τὸ γὰρ τὴν αὐτὴν δίαιταν καὶ τὰ
αὐτὰ πράγματα, ὁπότε μὲν ὁ θεὸς ἡγοῖτό τε καὶ διαρρήδην εἴποι,
σωτηρίαν ἰσχὺν κουφότητα ῥᾳστώνην εὐθυμίαν πάντα τὰ κάλλιστα
καὶ τῷ σώματι καὶ τῇ ψυχῇ φέρειν, ἄλλου δέ του συμβουλεύσαν-
τος καὶ μὴ στοχασαμένου τῆς γνώμης τοῦ θεοῦ πάντα τἀναντία
τούτοις ἐπιφέρειν, πῶς οὐ μέγιστον σημεῖον τοῦ θεοῦ τῆς δυνά-
μεως; φέρε δὴ πάλιν τῶν παρ' αὐτοῦ μνημονεύσωμεν. Ἦν 74
ἰσημερία ἡ μετὰ χειμῶνα ὅτε πηλοῦνται τῷ θεῷ, ἐμοὶ δὲ οὐχ
οἷόν τ' ἦν, εἰ μή τι σημήνειεν, παρακινεῖν. ἀπώκνησα οὖν· ἡ δὲ
ἡμέρα κατὰ μνήμην ἐμὴν καὶ πάνυ ἀλεεινὴ ἐγένετο. οὐ πολλαῖς
485 D δὲ ὕστερον ἡμέραις χειμὼν ἐπιγίγνεται καὶ βορέας ἐώθει πάντα
τὸν οὐρανὸν καὶ νεφέλαι μέλαιναι ἠγείροντο συνεχεῖς, καὶ πάλιν
ἐκ νέας χειμών. τοιούτων δ' ὄντων προσέταξεν χρίσασθαι τῷ
πηλῷ πρὸς τῷ φρέατι τῷ ἱερῷ καὶ λούσασθαι αὐτόθεν. παρέσχον
308 J οὖν θέαν καὶ τότε· τοσαύτη δ' ἦν τοῦ τε πηλοῦ καὶ τοῦ ἀέρος ἡ
ψυχρότης ὥστε ἕρμαιον ἐποιησάμην προσδραμεῖν τῷ φρέατι, καί
μοι τὸ ὕδωρ ἀντ' ἄλλης ἀλέας ἤρκεσεν. καὶ ταῦτ' ἐστὶ τὰ πρῶτα
τοῦ θαύματος. τῇ δ' ἐπιούσῃ νυκτὶ προστάττει τῷ τε πηλῷ πάλιν 75
κατὰ τὰ αὐτὰ χρίσασθαι καὶ δραμεῖν κύκλῳ περὶ τοὺς νεὼς εἰς
τρίς· καὶ τοῦ βορέου τὸ χρῆμα ἀμύθητον ἦν καὶ ὁ κρυμὸς ἐπηύξητο·
οὐχ οὕτω πυκνὴν εὗρες ἂν ἐσθῆτα ὥστε ἱκανὴν εἶναι στέγειν, ἀλλὰ
διεξῄει καὶ προσέπιπτε ταῖς πλευραῖς ὥσπερ βέλος. τῶν οὖν 76

3 *βουλὴ — ἑταίρων*] Hom. *κ* 46 (Ddf.) 9 *παθὼν κτἑ.*] Hesiod. OD. 218 *παθὼν δέ τε νήπιος ἔγνω* 14 *ἀλλ' οὐδὲ τοῦ* AS^1 a. corr. 15 *τοῦ θεοῦ*] *τοῦθ' ου* A^1 (*-θ' οὐ* A^2) 18 *πηλοῦνται*] i. e. *χρίονται πηλῷ*; de re cf. Plut. mor. 166 A. 168 D; Kavvadias, Fouilles d'Epidaure n. 5, 11; v. Wilamowitz, Isyll. p. 119, 7 *δ' οὐχ* D 19 *τι σημήνειεν* S^1 p. corr. D(*-ειε*)T: *τισ ἡμῖν εἶεν* AS^1 a. corr. *ἀπέκνησα* D 21 *ἐώθει*] *ει* in ras. S^2 23 *χρίσασθαι* scripsi: *χρήσασθαι* O, item v. 29; cf. p. 412, 3. 4 *χρισάμενος* (sc. *τῷ πηλῷ*) et *ἀπελουσάμην* 24 *παρέσχεν* D 25 *καὶ τότε*] cf. § 20. 51 *τοσαύτην* T 27 *ἀλέας*] *λ* in ras. A^r 30 *τρίσ* $TS^2(U^2)$: *τρεῖσ* AS^1D, cf. p. 417, 13 31 *οὕτωσ* SDT

ἑταίρων τινὲς ὡσπερεὶ παραμυθεῖσθαί με βουλόμενοι καὶ ταῦτα οὐδὲν δεόμενον ἔγνωσαν παρακινδυνεῦσαί τε καὶ μιμήσασθαι. ἐγὼ μὲν δὴ χρισάμενος περιέθεον παρέχων τῷ βορέᾳ ξαίνειν εὖ καὶ καλῶς, καὶ τελευτῶν προσελθὼν πρὸς τὸ φρέαρ ἀπελουσάμην· τῶν δὲ ὁ μέν τις εὐθὺς ἀπεστράφη, ὁ δὲ σπασμῷ τε εἴχετο καὶ κομισθεὶς ὑπὸ σπουδῆς εἰς βαλανεῖον μετὰ πολλῶν πραγμάτων ἐξεθερμαίνετο. ἡμεῖς δὲ ἤδη τὸ μετὰ τοῦτο ἠρινὴν ἤγομεν ἡμέραν.

77 Αὖθις δὲ χειμῶνος ὥρᾳ καὶ πάγου καὶ πνεύματος οἵου ψυχροτάτου κελεύει λαβόντα τοῦ πηλοῦ καὶ περιχεάμενον καθέζεσθαι εἰς τὴν αὐλὴν τοῦ γυμνασίου τοῦ ἱεροῦ, καλοῦντα Δία θεῶν ὕπατον καὶ ἄριστον.

78 ἐγίγνετο καὶ ταῦτα ἐν πολλοῖς τοῖς θεαταῖς. Ὃ τοίνυν οὐδενὸς ἧττον ἐθαυμάσθη τῶν εἰρημένων· ὅτε γὰρ ἡ συνέχεια τῶν παγετῶν ἦν ἡμέρας τετταράκοντα καὶ ἔτι πλείους καί τινες καὶ τῶν λιμένων ἐπάγησαν καὶ τῆς πρὸς Ἐλαίᾳ θαλάττης ὅσον ἐκ Περγάμου κατιόντι ὁ αἰγιαλὸς ἐπέχει, τότε μοι προστάττει χιτωνίσκον ἐνδῦναι λινοῦν καὶ μηδ᾽ ὁτιοῦν ἄλλο, ἀλλ᾽ ἐν τούτῳ διακαρτερεῖν, καὶ 486 D

79 προελθόντα ἐξ εὐνῆς ἀπονίψασθαι ἐπὶ τῆς κρήνης ἔξω. ἦν δ᾽ ἔργον τυχεῖν ὕδατος, ἀλλὰ πάντα ἐπεπήγει, καὶ ὁ κρουνὸς εὐθὺς ἀπεψύχετο ἐν αὐτῷ καὶ οἷον κρυστάλλου τις αὐλὸς ἦν, καὶ ὅ τι δὲ ἐγχέαις θερμόν, παραχρῆμα ἐπήγνυτο. ὅμως δὲ τῇ τε κρήνῃ ὡμιλήσαμεν καὶ ὁ λινοῦς ἤρκεσεν, καὶ πάντες μᾶλλον ἐρρίγων, καὶ ἡ δίαιτα σχεδὸν ἡ πλείστη περὶ τὸ ἱερὸν ἠνύσθη μοι.

80 Ἀδελφὰ δὲ τούτων καὶ αἱ τῶν χειμώνων ἀνυποδησίαι αἱ συνεχεῖς καὶ διὰ παντὸς τοῦ ἱεροῦ κατακλίσεις ἐν ὑπαίθρῳ τε καὶ 309 J
ὅπου τύχοι, καὶ οὐχ ἥκιστα δὴ ἡ ἐν τῇ ὁδῷ τοῦ νεὼ ὑπ᾽ αὐτὴν τὴν ἱερὰν λαμπάδα τῆς θεοῦ γενομένη. ἐφόρεσα δὲ καὶ ἱμάτιον χιτωνίσκου χωρὶς οὐκ οἶδ᾽ ὁπόσας τινὰς ἡμέρας. καὶ μὴν ὅσα αὖ ποταμοῖς ⟨ἢ⟩ πηγαῖς ἢ καὶ θαλάττῃ προσέταξεν χρήσασθαι, ἢ πρότερον τούτων ἢ ὕστερον, τὰ μὲν πρὸς Ἐλαίᾳ, τὰ δὲ Σμύρνῃ καὶ ἐν οἷστισι τοῖς καιροῖς ἕκαστα αὐτῶν, ἀμύθητα ἂν εἴη λέγειν.

81 ἀλλ᾽ ὅτ᾽ ἔναγχος εἰς τὴν Ἔφεσον ἀπέστειλεν κατὰ τοὺς λόγους, ὕσθημεν καὶ παρὰ τὴν ὁδὸν πολλῷ τῇ τρίτῃ τῶν ἡμερῶν· τὴν γὰρ

---

1 ἑτέρων D 2 οὐδὲν] οὐδενὸσ D 3 χρισάμενοσ ADS p. corr.: χρησάμενοσ S a. corr. T 7 ἠρινὴν A, at ἠ et ι A^r in ras. 10 τοῦ γυμνασίου sic O θεῶν sic O; cf. Hom. Τ 258, τ 303 ἴστω νῦν Ζεὺς πρῶτα, θεῶν ὕπατος καὶ ἄριστος 11 καὶ ταῦτα] cf. ad p. 411, 24 sq. 12 παγετῶν Wil.: πυρετῶν O 13 τεσσαράκοντα T 15 κατιόντοσ D χειτωνίσκον T 18 ἀλλὰ] quia ἔργον i. q. οὐ ῥᾴδιον 19 αυτῷ ADT 21 ἐρίγων AS¹ 23 χειμώνων ἀνυποδησίαι] e Plat. legg. I 633 B 25 τύχῃ D ὑπ᾽ αὐτὴν Canter (ex ὑφαντὴν Junt.): ὑφ᾽ αὐτὴν O 26 τῆς θεοῦ] Ὑγιείας, cf. ad p. 419, 1; p. 437, 24 γενομένη DTS p. ras.: γενομένην AS a. ras. 28 ⟨ἢ⟩ add. Kaibel

*δευτέραν αὐτὸς ἐπέσχεν, καὶ συνέβη τὸ ὕδωρ εὐθὺς τότε γίγνεσθαι.
σχεδὸν δὲ οὐκ εἰς ἐκείνην ἔφερε μόνον τὰ φανθέντα, ἀλλὰ καὶ εἰς
τὴν ἐπιοῦσαν, κἀγὼ προὔλεγον ταῦτα τοῖς σὺν ἐμαυτῷ. οἱ δὲ τὴν
ἑτέραν ἔφερον τὴν τοῦ προϊέναι, ἄλλως τε καὶ τὴν σπουδὴν ὁρῶν-*
487 D *τες τῶν ἀνθρώπων ὡς εἶχον πρὸς ἡμᾶς· ἦσαν γὰρ οἳ βαδίζοντες
εἰς Πέργαμον τῶν θεωριῶν εἵνεκα, ὡς καὶ εἶδον ἡμᾶς, ἀνέστρεψαν
εἰς τὴν Ἔφεσον δρόμῳ. καὶ ταῦτα μὲν οὕτως εἶχεν· ὑσθέντος δέ* 82
*μου καὶ ἀγωνιῶντος οὐ πολλαῖς ὕστερον ἡμέραις, ἐπειδὴ ἐν τῇ
Ἐφέσῳ ἐγενόμην, ἐπιτάττει ψυχρὸν λουτρόν, καὶ ἐλουσάμην ἐν τῷ
γυμνασίῳ τῷ πρὸς τῷ Κορησσῷ. οἱ δ' ὁρῶντες οὐχ ἧττον τὸ
λουτρὸν ἢ τοὺς λόγους ἐθαύμαζον· τὰ δ' ἀμφότερ' ἦν παρὰ τοῦ
θεοῦ.*

IL.

I 488 D
I 309 J

(25) ΙΕΡΩΝ ΛΟΓΩΝ ΤΡΙΤΟΣ.

*Ἔτυχον μὲν διατρίβων ἐν Ἀλλιανοῖς τοῦ θεοῦ πέμψαντος.
ἦσαν δὲ αἱ πολλαὶ τότε καὶ συνεχεῖς ἀπορίαι· οὔτε γὰρ τρέφεσθαι
δυνατὸν ἦν μοι οὐδ' ὅ τι γευσαίμην κατέχειν τοῦτο, ἀλλ' εὐθὺς
προσίστατο σὺν πυρὶ πολλῷ καὶ τὴν φάρυγγα ἔκειρε καὶ τὸ πνεῦμα
ἀπελάμβανεν, καὶ σφάκελοι πυρώδεις ἐχώρουν εἰς ⟨τὴν⟩ κεφαλὴν ἄνω.*
310 J *καὶ πειρωμένῳ ἐμεῖν οὐκ ἀπήντα, ἀλλ' ἦν καὶ ῥανὶς ἀντὶ τρικυμίας*

Or. IL: libri ASDT = O

---

2 *σχεδὸν δὲ κτἑ.*] visa non solum ad alterum itineris diem (*ἐκείνην*), sed etiam ad tertium spectasse inde collegit orator, quod ut altero die (mane, *εὐθύς*), ita tertio (interdiu) imber coortus est *φαθέντα* D, cf. v. l. p. 379, 21 5 *ἦσαν γὰρ οἳ* scripsi: *εἰσὶ γὰρ οἱ* O 6 *ὡς καὶ* scripsi: *καὶ ὡσ* O 9 *ἐγινόμην* T 10 *κορησσῷ* sic O. — Subscr. *ἱερῶν λόγων δεύτεροσ* T, *λόγων ἱερῶν β̄* AS
Tit. *ἱερῶν λόγων τρίτοσ* T: *λόγων ἱερῶν γ̄* AS; om. D; cf. ad tit. or. XLVII 13 *Ἀλλιανοῖς*] *Ἀδριανοῖς* ci. Canter, item p. 414, 11 sq., falso; est nomen aquarum non plus centum viginti stadiis a Pergamo distantium (p. 414, 10 sq., 415, 1. 5 sq.) 14 *αἱ* om. D 16 *προσίστατο* scripsi: *συνίστατο* O; cf. p. 409, 14 17 *τὴν* addidi, cf. p. 407, 7; 417, 27 sq. al. 18 *ἦν καὶ ῥανὶς*] *ἦν φασι ῥανὶς* ci. Schmid, Philol. 1889 (I), 377, falso (Krüger, Gr. Gr. § 69, 32, 19)

διὰ τὸ ἐνίσχεσθαί τε καὶ πνιγμὸν φέρειν· μόλις δ᾽ ἂν καὶ μετὰ πολλοῦ θορύβου καὶ πολλῆς ἀπογνώσεως ἀπηλλάγην οὐκ ἀναιμωτί, ἀλλ᾽ ἀνεξαίνετο ἅπας ὁ πόρος καὶ καθίστατο ἀντ᾽ ἄλλου τραύματος. καὶ ὁ κάματος δὴ καὶ ἡ πᾶσα τοῦ σώματος ἀσθένεια καὶ
2 *καθαίρεσις κατὰ λόγον τῶν συμβαινόντων ἦν. καὶ τῶν φίλων καὶ τῶν εἰωθότων παρῆν οὐδείς, ἀλλ᾽ ἀπεδήμουν ἄλλος ἄλλοσε, ὅτι μὴ εἷς τις ἔτυχεν διαιτώμενος ἐν τοῖς ὕδασι τότε, ὃν ἐγὼ ἔτι πρόσθεν ἐδόκουν ὄναρ κειμένῳ μοι καθ᾽ ὁδὸν μόνῳ, τοῦ ἵππου* 489 D
ἐφ᾽ οὗ καθήμην πεπτωκότος, εἰπεῖν ὅτι καὶ τοῦτο παρὰ τῆς εἱμαρ-
3 *μένης συμβαίη μόνον με ἀπολειφθῆναι. τοῦτο μὲν δὴ ἐν Περγάμῳ προὐγεγόνει πρὸ τῆς ἐξόδου μικρόν· τότε δὲ ἐν τοῖς Ἀλλιανοῖς ἀπορουμένῳ μέμνημαι τοιοῦτον ὄναρ γενόμενον· ἐδόκουν ἐπὶ σχεδίας φέρεσθαι ἐν τῷ Αἰγυπτίῳ πελάγει μόνος, εἶναι δὲ τῆς σχεδίας ἐπ᾽ ἄκρῳ τε καὶ τῷ πρὸς τὴν γῆν. ἀποροῦντι δέ μοι προφανῆναι τὸν τροφέα ⟨τὸν⟩ Ζώσιμον ἵππον ἔχοντα ἐν τῇ γῇ, καὶ πως ἐκβῆναί τε καὶ λαβέσθαι ἀσμένως τοῦ ἵππου. καὶ τοῦτο*
4 *μὲν οὕτως. ἐδόκουν δὲ καὶ διὰ τῆς Ἀλεξανδρείας διεξιὼν διδασκαλεῖα παίδων ὁρᾶν· οἱ δ᾽ ἀνεγίγνωσκόν τε καὶ ᾖδον τὰ ἔπη τάδε ὑπηχοῦντες ὡς ἥδιστον·*

πολλοὺς δ᾽ ἐκ θανάτοιο ἐρύσατο δερκομένοιο,
ἀστραφέεσσι πύλῃσιν ἐπ᾽ αὐτῇσιν βεβαῶτας
Ἀΐδεω.

ταῦτα δ᾽ ἐστὶ τῶν ἡμετέρων ἐπῶν, ἃ πρῶτα σχεδὸν ἐποιήσαμεν τῷ θεῷ. θαυμάζειν οὖν ὅπως ἤδη διαπεφοιτηκότα εἰς τὴν Αἴγυπτον εἴη καὶ χαίρειν ὑπερφυῶς, ὅτι δὴ τυγχάνοιμι κατειληφὼς
5 *ᾀδόμενα τἀμαυτοῦ. καὶ τὰ μὲν κεφάλαια τῶν ἐνυπνίων τοιαῦτά ἐστιν. ἡμέρας δὲ γενομένης — ἔτυχε γάρ μοι παρὼν ἵππος — ἀναβαίνω τε εὐθὺς καὶ ὃν οὐδ᾽ ἂν εἷς ᾠήθη διαρκέσαι μέχρι τῆς πρώτης ἐξόδου, δρόμους τε ἀπελαύνω τὸν ἵππον καὶ γίγνομαι ῥάων θέοντος ἔτι, καὶ ἀπῄει τῶν ἄνω πολὺ τοῦ βάρους καί τις δύναμις ὡς ἐν τοιούτοις συνελέγη, καὶ ἦσαν πάλιν ἐλπίδες. ἐγένετο δέ μοι καὶ νύκτωρ φωνὴ λέγοντός του ʻτεθεράπευσαιʼ, καὶ ταῦτα*
6 *ἐν αὐτοῖς τοῖς ἀπορωτάτοις.* Ὃν μὲν οὖν τρόπον εἴς τε τὴν

5 *καθαίρεσισ* DTS²: *κάθαρσισ* AS¹ (et post S² iterum m. recentiss.); illud medicorum e more dicendi 11 *προγεγόνει* O (correxi) *Ἀλλιανοῖς*] cf. ad p. 413, 13 14 *τε καὶ*] corrupta; *ἀκροτάτῳ τῷ καὶ πρὸς* conieci; *τε καὶ* abesse vult Wil. 15 ⟨*τὸν*⟩ addidi, cf. p. 450, 30 18 *ἀνεγίνωσκόν* T 20 *ἐ/ρύσατο* S, *ἐρύσσατο* D 21 *ἀστραφέεσσι* AST: *ἀστρεφέεσσι* D; utrumque Hesych. s. vv. (cf. Soph. frg. 385 N².) *αὐτῇσι* O (corr. P. Stephanus) 25 *ὅτι* DTS²: *ὅτε* AS¹ 29 *δρόμους*] vel currente equo vectus sum, quem nemo putaret omnino equum conscendere posse (i. e. *τῆς πρώτης ἐξόδου*)

Πέργαμον πάλιν ἀπεσώθην καὶ τίν' ἐφεξῆς δίαιταν διῃτώμην,
311 J ἀνάγκη παραλιπεῖν διὰ πλῆθος τῶν τε λόγων καὶ τῶν πραγμάτων. ἑτέραν δὲ ἔξοδον ἐξῆλθον εἰς τὰ ὕδατα ἐν ἀκμῇ θέρους, καὶ προ-
490 D είρητο ἐπανήκειν εὐθέως λουσάμενον, κιννάμωμον κόψαντα καὶ πάσαντα τὸν τράχηλον κύκλῳ. τούτους αὖ σταδίους τετταράκοντα καὶ διακοσίους τὸ συναμφότερον ἤνυσα πνίγους ὄντος θαυμαστοῦ, καὶ ῥᾷον ἤνεγκα τὸ δίψος ἤ τις ἂν ἐκ βαλανείου βαδίζων οἴκαδε. αὖθις αὖ πέμπει με προστάξας πιεῖν ψυχρόν, καὶ ἔπιον τὸ σύμ-
παν .... Καὶ ταῦτα μὲν εἰς τοσοῦτον τὸ νῦν εἶναι, τὰ δ' ἐν 7
Λεβέδῳ συμβάντα· ἐπέμφθην μὲν ἀπὸ κατακλίσεως, ἣν ἐν Σωτῆρος ἐγκατεκεκλίμην, αὐτοῦ καὶ τοῦτο ἐπιτάξαντος, οὕτως ἀπει-
ρηκὼς ὥστ' οὐδ' ἐπὶ τῆς κλίνης οἴκοι εἶχον αὐταρκεῖν. καὶ ἦν 8
δὴ ὁ ἰατρὸς Σάτυρος ἐν Περγάμῳ κατὰ τοῦτον τὸν χρόνον, σοφιστής, ὡς ἐλέγετο, οὐ τῶν ἀγεννῶν. οὗτος ἐμοὶ προσελθὼν κατακειμένῳ καὶ τοῦ τε θώρακος καὶ τῶν ὑποχονδρίων ἁψάμενος, ἐπειδὴ προϊόντος τοῦ λόγου τὰς καθάρσεις τοῦ αἵματος ἤκουσεν ὅσαι γεγόνασί μοι, τὸ μὲν αἷμα ἐπισχεῖν ἐκέλευεν καὶ μὴ καταλύειν τὸ σῶμα· ʻἐγὼ δέ σοι, ἔφη, δώσω τι κατάπλασμα πάνυ κοῦφον καὶ ἁπλοῦν· ὃ σὺ θεῖναι ἐπὶ τοῦ στομάχου καὶ τῶν ὑποχονδρίων, καὶ
εἴσῃ δὴ ὁπόσον τι ὀνήσει.' ταῦτα συνεβούλευε, κἀγὼ τὸ μὲν τοῦ 9
αἵματος οὐκ ἔφην εἶναι κύριος οὔτε οὕτως οὔτ' ἐκείνως ποιεῖν, ἀλλ' ἕως ἂν ὁ θεὸς προστάττῃ ἀφαιρεῖν, ὑπακούσεσθαι καὶ ἑκὼν καὶ ἄκων, μᾶλλον δὲ οὐδέποτε ἄκων· τὴν δόσιν δὲ οὐκ ἔφυγον τοῦ Σατύρου, ἀλλ' ἐφύλαττον λαβών· τὸ δ' ἦν ἄρα οὐκ Ἀμαλθείας
κέρας. ὡς δ' εἰς τὴν Λέβεδον κομίζομαι, καὶ μάλ' ἀπροσδοκήτως 10
καὶ ἀγαπητῶς διαγενόμενος, τοῦτο μὲν ἤδη πᾶν ἐδόκει κέρδος εἶναι· ἐδεόμην δὲ συχνῆς τῆς βοηθείας καὶ τοῖς ὕδασι μόλις τε καὶ πεφεισμένως ὡμίλουν. ἔδοξεν οὖν μοι τὸ τοῦ Σατύρου φάρ-

1 τίν' TS²: τὴν AS¹D 3. 4 προήρητο D 4 κινάμωμον DS p. ras. κόψαντα] κάψαντα ci. Schmid l. c., falsum; cf. p. 421, 28 6 ὄντοσ DTS²: om. AS¹ 9 lacunam indicavi; tradidit et quantum bibisset et fort. quid potus effecisset 10 κατακλίσεως] ι in ras. S pr. m., κατακλείσεωσ D 10. 11 Σωτῆρος scripsi: σωτήρων O; cf. αὐτοῦ .. ἐπιτάξαντος 11 ἐγκατεκεκλίμην TS²: ἐγκατεκλίμην A, ἐγκατεκλείμην S, ἐγκατακεκλείμην D; cf. v. l. p. 410, 27 13 Σάτυρος] patet Galeni praeceptorem intellegendum esse (Gal. II 217 K. διατρίβων γὰρ ἔτι κατὰ Σμύρνην ἕνεκα Πέλοπος, ὃς δεύτερός μοι διδάσκαλος ἐγένετο μετὰ Σάτυρον τὸν Κοΐντου μαθητήν) 14 οὕτωσ S¹ 17 ἐκέλευσε T 19 ὃ σὺ θεῖναι scripsi: ὃ συνθεῖναι O, cf. ad p. 236, 18; ὅσον θεῖναι ci. Jacobs Lect. Stob. p. 85; cf. p. 416, 1 22 προστάττει D; προστά|||ττῃ nunc S (medium τ in rasura extrema S²) 24 ἀμαλθίασ A¹ (corr. A²); i. e. ʻinde autem non bona provenere'; Paroemiogr. Gr. II 54 25 λέβε/δον S 27 τοῖς ὕδασι] aquis quae Lebedi erant celeberrimis

μακον θεῖναι κατὰ τοῦ στομάχου τε καὶ τοῦ στήθους, ὥσπερ ὁ
Σάτυρος παρηγγέλκει· πάντως δὲ οὐδὲν μέγα ἐκβαίνειν τῆς θερα-
11 *πείας τῆς παρὰ τοῦ θεοῦ. εὐθὺς μὲν οὖν οὐ προσεῖτό με ἡ πρώτη* 491 D
προσβολή, ἀλλ᾽ ἐδόκει ψυχρότερον εἶναι· ὅμως δὲ ἔδοξέ μοι δια-
καρτερεῖν καὶ παρέχειν τῷ φαρμάκῳ εἰ ἄρα ἀλλὰ τῷ χρόνῳ τι ἀνύσειεν. 312 J
καὶ οὕτω δὴ τό τε στῆθος ψύχεται ψύξιν δεινὴν καὶ βὴξ ἐπιγίγνεται
πυκνή τε καὶ ἰσχυρὰ καὶ ἀπορίᾳ εἰχόμην, καὶ ὁ θεὸς σημαίνει φθόην
εἶναι. καὶ τῆς ἐπιούσης οἱ κρόταφοι καὶ ὁ κύκλος τοῦ προσώπου ἅπας
κατετείνετο καὶ ⟨αἱ⟩ σιαγόνες συνεκέκλειντο, καὶ θόρυβος ἦν εἴπερ
12 *ποτέ. ὡς δὲ ἐχάλασε μικρόν τι, ἐνθύμιον γίγνεταί μοι χρήσασθαι*
τῷ θεῷ τῷ ἐν Κολοφῶνι καὶ περὶ τῶν παρόντων καὶ περὶ πάσης
τῆς ἀσθενείας. ἀπέχει δὲ ἡ Κολοφὼν τῆς Λεβέδου οὐ πολύ, καὶ
ἡ νὺξ ἐτύγχανεν ἡ ἱερὰ ἐπικειμένη. δόξαν ταῦτα πέμπω τὸν
Ζώσιμον. ἐπελθούσης δὴ τῆς νυκτὸς τῷ μὲν Ζωσίμῳ γίγνεται
τόδε τὸ μαντεῖον φέρον εἰς ἐμέ·

Ἰήσεταί σε νοῦσον ἠδ᾽ ἀκέσσεται
Ἀσκληπιός, πόλισμα Τηλέφου κλυτὸν
τιμῶν, Καΐκου ναμάτων οὐ τηλόθεν.

13 *ἐμοὶ δὲ τῆς αὐτῆς νυκτὸς τάδε ἐγίγνετο, ὡς κεφαλαίων ἀπομνη-*
μονεῦσαι. ἐδόκουν ἐπὶ τῆς πατρῴας ἑστίας εἶναι, ἐν δὲ τῷ τοίχῳ
οὗ τὰ ἕδη τῶν θεῶν ἐπιγράμματα εἶναι τοιάδε· ʻοἱ δεῖνες σωθέν-
τες ἐκ τῶν ἐσχάτων θεοῖς πᾶσι χαριστήρια᾽· καὶ ἐφαίνετο δὴ τῶν
θυσιῶν ἴχνη. καὶ ἐμοὶ μέν γε ἡ ὄψις αὕτη τῆς συνεχείας τῶν
θυσιῶν ἦρξεν, οὐ μᾶλλόν τι πρὸς τὸ ὄναρ ἀφορῶντι, ἀλλ᾽ ἅμα
μὲν τοιαῦτ᾽ ἦν τὰ γιγνόμενα ἐκ τῶν θεῶν, ἅμα δ᾽ ἡ γνώμη οὕτω
κατεσκευάσθη. ἐκ δ᾽ οὖν τῆς Λεβέδου μετ᾽ εὐθυμίας ἀνεχω-
ρήσαμεν, ἡνίκα ἐδόκει τῷ θεῷ, καὶ ῥαστώνης ἀπέλαυσα λόγου ἀξίας.
14 *ὃ δ᾽ εἶπεν περὶ τῆς φθόης, ἐπεσημήνατο ὕστερον πρὸς τὸν νεω-*
κόρον ὁ θεός, ὡς αὐτὸς ἐμοὶ διηγεῖτο ⟨ὁ⟩ Ἀσκληπιακός, οὐδὲν

---

1 *τοῦ στήθους — παρηγγέλκει*] non conveniunt cum p. 415, 19 sq. 3 *με* ASD: *μοι* T; cf. p. 145, 21. 22 5 *χρόνῳ ⟨γέ⟩ τι* Schmid l. c., inutiliter; cf. Kaibel ad Soph. El. p. 135 6 *βὴξ — ἰσχυρὰ*] huc rettulit Ritschl Thom. Mag. p. 53, 14 *Ἀριστείδης* [*ἐν τρίτῳ τῶν ἱερῶν*] *βὴξ βαρεῖα* certa non usus ratione 7 *καὶ ἀπορίαι* AD[1] p. corr. (*-ρίᾳ*): *καιρίᾳ* S (*-ίαι*) D[1] a. corr. T; cf. p. 417, 18 9 *αἱ* addidi 10 *ἐχάλασε* scripsi: *ἐχάλασα* O; subiectum *ἡ κατάτασις* (e *κατετείνετο* mente suppl.), cf. *ἀπέσκηψεν* p. 409, 6 et *ἀφεῖλεν* p. 418, 2 12 *οὐ πολύ*] *Λέβεδος διέχουσα Κολοφῶνος ἑκατὸν καὶ εἴκοσι* (*σταδίους*) Strab. XIV 643 14 *δὴ* A[1]ST: *δὲ* DA[2] 16 *σε*] ε in ras. A[r] *ἀκέσσεται* D: *ἀκέσεται* AST 25 *τοιαῦτ᾽ ἦν κτὲ.*] i. e. *τοιαῦται ἦσαν αἱ ἐκ τῶν θεῶν εἰς ἐμὲ εὐεργεσίαι, ὥστε συνεχέσι ταῖς θυσίαις χρῆσθαι ἔδει* 28 *εἶπεν* scripsi: *εἶπον* O; *ἐπεσημήνατο* respondet ad *σημαίνει* v. 7 29 *ὁ* add. Ddf.

παρ᾽ ἐμοῦ προακηκοώς· ἔφη γὰρ ἀκοῦσαι τοῦ θεοῦ λέγοντος ὡς
492 D ἄρα φθόην μὲν καὶ κατάρρουν περιηρηκὼς εἴη μου, τὸν δὲ στό-
μαχον ἰῷτο. Ἐν δὲ δὴ καὶ Νηρίτῳ τῶν τροφέων ἑνὶ τῶν ἐμῶν 15
περὶ τὸν αὐτὸν μάλιστα χρόνον θαυμαστὰ οἷα ἐνεδείξατο. οἶμαι
γὰρ δόξαι τὸν θεὸν αὐτῷ λέγειν ἅμα τῷ Τελεσφόρῳ γενόμενον,
βλέποντα εἰς ἐμέ, ὡς ἄρα τούτου τά τε ὀστᾶ δέοι ἐξελεῖν καὶ νεῦρα
ἐνθεῖναι, τὰ γὰρ ὄντα ἀπειρηκέναι· ἑαυτὸν μὲν δὴ ἐν παντὶ
313 J εἶναι καὶ ἀγωνιᾶν, ταῦτα ἀκούοντα περὶ ἐμοῦ, τὸν δὲ θεὸν φάναι
παραμυθούμενον καὶ διδάσκοντα ὡς ἄρα οὐκ ἄντικρυς ἐκκόψαι τὰ
ὀστᾶ οὐδὲ τὰ νεῦρα τὰ ὄντα ἐκτεμεῖν, ἀλλὰ δεῖν οἷον ἀλλοίωσίν
τινα τῶν ὄντων γίγνεσθαι· οὕτω πολλῆς καὶ ἀτόπου δεῖν τῆς
ἐπανορθώσεως. καὶ δίδωσιν ἴαμα τῷ Νηρίτῳ φράζειν ἐμοί, τῆς
ἡμέρας εἰς τρὶς ἐλαίῳ ἁλῶν οὐκ ἔχοντι . . . ., καὶ ἐποίουν ἐξ ἐκεί-
νου οὕτως, καὶ πειρωμένῳ συνέφερεν ἐπὶ τὸ βέλτιον. Τοιαυτὶ δὲ 16
ἕτερα ἐπὶ τῆς πατρῴας ἑστίας συνέβη μοι κατ᾽ αὐτὴν ἀκμὴν χει-
μῶνός τε καὶ ἅμα τῆς νόσου. κατεκείμην ἐπ᾽ ἀρίστῳ, καὶ ἐπῆλθε
τῆς κεφαλῆς ἀλγήματα ἰσχυρὰ καὶ δεινά, καὶ τὸ πρόσωπον κατ-
ετείνετο καὶ τὰ χείλη συνεκέκλειτο καὶ ἦν ἀπορία πολλή. συσπει-
ραθεὶς δὲ ὡς εἶχον εἰσῇξα εἰς τὸ δωμάτιον οὗ καθεῦδον, καὶ
κατακλίνομαι ὅντινα δὴ τρόπον, καὶ πῦρ ἐπιγίγνεται πολὺ καὶ
σφοδρόν. καὶ ὅπως ἀναπνεύσαιμι οὐκ εἶχον, ἀλλ᾽ ἦν οἰμωγὴ τῆς
τε μητρὸς καὶ τροφοῦ καὶ τῶν ἄλλων οἰκετῶν, καὶ ὅ τε δὴ Ζώ-
σιμος συνετετάρακτο καί πως ἔνευσα τοῖς πλείοσιν ἔξοδον καὶ
παρετετάγμην πρὸς τὸ συμβησόμενον. καὶ δὴ μετὰ τοῦτο ἡλίου 17
349 D τε ἦν δύσις ἢ καὶ ἔτι πορρωτέρω, καὶ ἐπιγίγνεται σπασμὸς ἐπὶ
τῷ πυρετῷ οὔτε τις ῥητὸς οὔθ᾽ οἷον ἄν τις καὶ διανοηθείη, ἀλλ᾽
εἵλκετο πάσας ἕλξεις τὸ σῶμα, καὶ τὰ μὲν γόνατα ἄνω πρὸς τὴν
κεφαλὴν ἐφέρετο καὶ προσερρήγνυτο, τὰς δὲ χεῖρας οὐχ οἷόν τ᾽ ἦν
κατέχειν, ἀλλ᾽ εἰς τὸν τράχηλον καὶ τὸ πρόσωπον ἐνέπιπτον· τὸ
δὲ στῆθος ἔξω προεωθεῖτο καὶ τὸ νῶτον εἰς τοὔπισθεν ἀντεσπᾶτο
ὥσπερ ἱστίον ἐξ ἀνέμου κεκυρτωκός. ἠρέμει δὲ οὐδὲν τοῦ σώματος
οὐδὲ μικρόν τι παρήλλαττεν τοῦ κατὰ φύσιν, ἀλλ᾽ ἦν ἐπὶ πλεῖστον
ἡ κίνησις καὶ ἡ τῶν ὀδυνῶν κατάτασις ἄρρητος, οὔτε σιωπᾶν ἐῶσα
καὶ πρὸς τὴν φωνὴν ἔτι μεῖζον ἀπαντῶσα. ταῦτα δ᾽ ἐγίγνετο καὶ 18

3 Ἐν] 'in' Nerito miracula ostendit; ἔτι δὲ ci. Wil. 5 αὐτῷ O 7 νεῦρα ἐνθεῖναι ⟨ἕτερα⟩ Kaibel ἑαυτὸν O sic; καὶ αὐτὸν A² ἐν φόβῳ παντὶ A² 13 τρὶσ S² (ci. Canter): τρεῖσ O, cf. p. 411, 30 ἐλαίων D lacunam indicavi; desunt aut χρίεσθαι aut plura; cf. etiam p. 392, 2 14 τοιαυτὶ scripsi: ταυτὶ O, cf. p. 405, 30 (425, 21. 22) 18 συνεκέκλειστο A² 18. 19 συμπειρασθεὶσ D 23 συντετάρακτο D 28 an οἷός τ᾽? 30 ἀνεσπᾶτο D (sec. Ddf.) 31 κεκυρτωκώσ S¹; cf. p. 271, 6

εἰς μέσας νύκτας καὶ πρόσω μηδὲ μικρὸν ἀνιέντα· ἔπειτα τῆς μὲν
ἀκμῆς ἀφεῖλέν τι, οὐ μὴν παντάπασίν γε ἐπαύσατο. ἐρίων δ' ἦν
θερμῶν ὑποβολή τε καὶ περιβολὴ συνεχὴς καὶ πυρίας πᾶσα ἰδέα,
καὶ μόλις οὕτω διαγίγνομαι. καὶ πρὶν ἡμέραν εἶναι, ἔθει τις
ἰατρὸν καλῶν· ἧκεν εἴτε δὴ τῆς ἐπιούσης εἴτε καὶ ἡμέρᾳ ὕστερον.
19 καὶ μεσημβρίας μοι δοκεῖν πάλιν προσβολή τις προσῄει, καὶ μετ' 314 J
οὐ πολὺ διεχώρει κάτω μέλαινα. καὶ καθημένῳ ἐπὶ τοῦ δίφρου
ἐπιγίγνεται ἔκλυσις δεινὴ καὶ ἱδρὼς καὶ λιποθυμία. καὶ ὁ ἰατρὸς
ἐτεθορύβητό τε καὶ τροφὴν ἠξίου προσφέρειν· τὸ δ' οὐ τοιοῦτον
20 ἄρα ἦν. νύξ τ' ἐπιγίγνεται, οἵα δὴ ἐν κλυδωνίῳ καὶ σάλῳ, καὶ
κατέδαρθον σχεδὸν ὅσον εἰς ὄναρ. καί μοι γίγνεται πρόσταγμα
πορευθῆναι πρὸς τὴν τῶν τροφέων ἑστίαν καὶ προσκυνῆσαι τὸ
ἕδος τοῦ Διὸς πρὸς ᾧ ἐτρεφόμην· καὶ φωναί τινες, οἶμαι, καὶ
ὁ τρόπος τῆς ἱκετείας διῄρητο. χιὼν δ' ἦν οὐκ ὀλίγη καὶ δυσ-
έξοδα ⟨πάντα⟩ παντελῶς, καὶ ἀπεῖχεν τὸ οἰκίδιον τῆς οἰκίας πλέον
ἢ στάδιον. ἀνέβην ἵππον καὶ ᾠχόμην καὶ προσεκύνησα, καὶ οὐκ
21 ἔφθην ἐπανελθὼν καὶ πάντα ἐκεῖνα καθειστήκει. Τὰ δὲ περὶ
τὸν τράχηλον καὶ τὰς ἀπὸ τῶν ὤτων κατατάσεις καὶ τὸν ἀκρι- 494 D
βούμενον ὀπισθότονον ἤδη τόνδε τρόπον ἰάσατο εὐθύς, ἐπειδὴ
τὴν δύσπνοιαν ἐξιάσατο. χρῖμα ἔφη βασιλικὸν εἶναι· χρῆναι δ'
αὐτὸ λαβεῖν παρὰ τῆς γυναικός. καί πως ἐκ τούτων ἐφάνη διά-
κονος τῶν βασιλείων πρὸς τῷ τοῦ Τελεσφόρου νεῴ τε καὶ ἕδει,
λευχείμων τε καὶ ἐζωσμένος, καὶ κατὰ τὰς θύρας, οὗ ἡ Ἄρτεμις,
ᾔει ἔξω ὑπὸ κήρυκος φέρων τῷ βασιλεῖ τὸ λοιπὸν τοῦ χρίματος.
τὸ μὲν δὴ ὄναρ ὡς ἀμυδρῶς ἀπομνημονεῦσαι τοιοῦτον μάλιστα
22 ἐγένετο. ἐπεὶ δ' ἐλθὼν εἰς τὸ ἱερὸν γίγνομαι περιὼν κατὰ τὸν
Τελεσφόρον, ἐπέρχεται ὁ νεωκόρος ⟨ὁ⟩ Ἀσκληπιακός, καὶ ὡς
ἔτυχεν ἑστὼς πρὸς τῷ ἕδει, φράζω πρὸς αὐτὸν τὴν ὄψιν τὴν γενο-
μένην μοι καὶ ἠρώτων, τί ἂν εἴη τὸ χρῖμα ἢ τίς ἂν χρίσαιτο.
καὶ ὃς ἀκούσας καὶ θαυμάσας, ὥσπερ εἰώθει, 'οὐ μακρά, ἔφη, ἡ

---

3 εἰδέα A[1] (corr. A[r]) 7 μέλαινα] sc. χολή, e medicorum dictione 8 λειποθυμία DTS[2] 14 διῄρητο] 'distinctius explicatus erat,' quaesite dictum, quod moneo ne quis διείρητο rescribat; cf. p. 354, 9 14. 15 δυσέξοδα AST: δυσέξοδοσ D πάντα addidi 17 καθειστήκει Ddf: καθεστήκει O; cf. p. 423, 3 ἔστη κτἑ. δὲ περὶ scripsi: δ' ὑπὲρ O, cf. p. 419, 11 18 τῶν ὤτων AS: τῶν νώτων DT; cf. p. 407, 13. 408, 11. 410, 13; νῶτα poetice (cf. Schmid p. 221 et IV p. 317) κατατάσεισ ADS p. ras.: καταστάσεισ S a. ras. T 20 post ἐξιάσατο fort. lacuna; haec Pergami fiebant (§ 22), neque omittere solet mutati loci mentionem χρῖμα scripsi: χρῆμα O, cf. p. 419, 4. 8 χρίομαι; idem correxi v. 29. p. 419, 4. 5, χρίματος v. 24, χρίματι p. 419, 16 22 τῷ] τὸ S[1], om. D 25 τοιοῦτον] τὸ τοιοῦτον T 26 περιιὼν O 27 ⟨ὁ⟩ add. Ddf. 29 χρίσαιτο scripsi: χρήσαιτο O, cf. ad v. 20

ζήτησις οὐδ' ὁδοῦ πολλῆς, ἀλλ' ἐνθενδί σοι φέρω· κεῖται γὰρ
παρὰ τοῖς ποσὶ τῆς Ὑγιείας, ἀρτίως γε θείσης Τύχης ταύτης,
ἐπειδὴ τάχιστα ἀνεῴχθη τὸ ἱερόν.' ἦν δὲ ἡ Τύχη γυνὴ τῶν ἐπι-
φανῶν. καὶ παρελθὼν εἰς Ὑγιείας κομίζει τὸ χρῖμα· καὶ χρίομαι
ὡς ἔτυχον προσεστώς. ἦν δὲ καὶ τὸ χρῖμα τῆς εὐωδίας θαυμαστὸν
οἷον καὶ ἡ δύναμις εὐθὺς ἐπίδηλος. θᾶττον γὰρ ἢ εἴρηκα ἀνείθη
ἡ τάσις. ἐρωτήσας δ' ὕστερον τὸν νεωκόρον ἔγνων ὅτι εἴη κρᾶσις 23
315 J τριῶν, ὁποῦ τε ᾧ χριόμεθα καὶ μύρου ναρδίνου καὶ ἑτέρου μύρου
τῶν πολυτελῶν, ἔστιν δ', οἶμαι, τοῦ φύλλου ἐπώνυμον. σκευάσας
δὲ ἐχρώμην οὕτως τὸ λοιπὸν καὶ πάντα ἐκεῖνα ἐκεχάλαστο. ἐφάνη
δὲ καὶ ὁ Τελεσφόρος νύκτωρ, χορεύων περὶ τὸν τράχηλόν μου, καὶ
ἀπέλαμπεν ἐν τῷ καταντικρὺ τοίχῳ σέλας ὥσπερ ἐξ ἡλίου.
495 D Περὶ δὲ τὸν χρόνον τοῦτον ἅμα τοιόνδε ἦν μοι, εἴτε ἐμοῦντι 24
τὰς ἑσπέρας ἤδη εἴτε καὶ οὔπω ἦσαν οἱ ἔμετοι· κάρυον καὶ ἰσχάδα
καὶ φοίνικος βάλανον καὶ ἅμα ἄρτον τι πρὸς αὐτοῖς ἐσθίειν ἐδεῖτο
ἐξ εὐνῆς. τούτοις δὲ ἐχρώμην τε ἐκ τοῦδε ἐπὶ τῷ χρίματι ....
στομάχου δὲ καὶ ὑποχονδρίων καὶ τοῦ περὶ ταῦτα τόπου φάρμα- 25
κον δίδωσι καταπλαστὸν ἀνωτέρω μοι δοκεῖν τούτων. δίδωσι δὲ
τοιαύτην δόξαν παραστήσας· Ἀσκληπιακὸν τὸν ἰατρὸν ἐδόκουν
εἰσελθόντα ὡς ἐμὲ καὶ ἐπισκοποῦντα καταπλάττειν ⟨τῷ⟩ διὰ δικτά-
μνου καλουμένῳ φαρμάκῳ καὶ ἅμα προλέγειν τριάκονθ' ἡμέρας
χρήσασθαι. ἐχρώμην, καὶ ἥ τε δὴ τριακοστὴ νὺξ ἧκεν καὶ τὸν
Ἀσκληπιακὸν αὖθις ἐδόκουν ἐλθόντα ἀφαιρεῖν τὸ κατάπλασμα.
χρόνῳ δὲ ὕστερον ἐκ τεττάρων τι συνθεὶς ἐπέθηκεν, ὧν τὰ μὲν 26
δύο μέμνημαι, πίτταν ἐξ οἴνου καὶ οἴσυπον, τὼ δύο δέ, εἰ φανείη
τὰ ὀνείρατα, ἀναπληρώσομεν. καὶ μὴν περί γε τοῦ πόματος τοῦ 27

---

1 ἐνθενδί scripsi, ἐνθένδει A, ε s. l. add A^{r} (aut A^{1} ipsa), ἐνθένδει D^{1} a. corr. (-θένδεν D^{1} p. corr.): ἐνθένδε ST; Telesphorus et Hygiea σύνναοι Pergami, cf. p. 429, 15 sq. 2 γε θείσης] τεθείσησ D ταύτης] aut αὐτῆς aut αὐτὸ scrib. 4 vv. τὸ χρῖμα (χρῆμα A) — 5 δὲ καὶ A: om. SDT
6 ἀνείθη] ει et η in ras. S^{2} 7 κρᾶσις scripsi: κάθαρσισ O, cf. p. 420, 8
9 φύλλου] φίλου D; φύλλον nomen κατ' ἐξοχὴν herbae malobathri, ex quo unguentum preciosum eiusdem nominis (e. g. Horat. carm. II 7, 8) 13 ἦν dubito an non sanum 14 τὰσ $AS^{1}D$: τῆσ TS^{2} 16 lacunam indicavi; e more suo addiderat quo effectu medicamentum fuisset; insuper τε post ἐχρώμην structurae quae nunc est non conveniens lacunae indicio est; ἐκ τοῦδε 'inde ex hoc tempore', cf. p. 417, 13 17 δὲ sic O 20 τῷ addidi 20. 21 δικτάμου D; Galen. XIII p. 778 K. τὴν διὰ δικτάμνου σκευαζομένην ἔμπλαστρον ἱερὰν ὀνομάζουσιν κτἑ. 22 νὺξ ἧκεν] ἐξῆκε D 24 τι om. D 25 οἴσυπον S, οισυποσ A (at ο et υ s. l. A^{r}, ni fallor): οἴσοποσ DT 26 ὀνείρατα] somniorum commentarii, cf. p. 432, 5. 6 (395, 19 sqq.) πόματος scripsi (cf. p. 177,21): ὀνόματοσ O

φαρμάκου τοῦ θηρείου τοιόνδε μέμνημαι. ἔτυχον μὲν ἄπασ⟨τος⟩
ἐσθίων ⟨ἢ⟩ καὶ πολὺ τῆς ἡμέρας ἀπολιπών, ὁ δὲ δειπνεῖν τε ἐπέταξε
καὶ ἀναστάντα πιεῖν τοῦ φαρμάκου τούτου· καὶ εἰς πέντε ἑξῆς
ἡμέρας ἐγένετο, οὗ τοὺς ἰατροὺς τἀναντία ᾔδειν κελεύοντας, ὁπότε
28 τις μέλλοι πίεσθαι, μὴ δειπνεῖν, καὶ τέως εἰώθειν. αὖθις δὲ
ἐκέλευσεν πρὸς ἄρτῳ φαγεῖν τοῦ αὐτοῦ τούτου φαρμάκου, καὶ ἔφα-
γον πρὸς τῷ τρίποδι τῷ ἱερῷ, ἀφορμήν τινα ταύτην ἀσφαλείας
29 ποιούμενος. Φίλωνος δέ τίς ἐστιν, οἶμαι, κρᾶσις [φάρμακον
ἕτερον]. ταύτης ἐγὼ μὲν οὐδ' ὀσφρᾶσθαι οἷός τ' ἦν πρὸ τοῦ, τοῦ
δὲ θεοῦ σημήναντος χρῆσθαί τε καὶ ἅμα τὴν ὥραν ἣν ἔδει, οὐ
μόνον εὐχερῶς ἔπιον, ἀλλὰ καὶ πιὼν ἡδίων καὶ ῥάων εὐθὺς ἦν.
30 ἄλλα τοίνυν μυρία ἂν εἴη λέγειν φαρμάκων ἐχόμενα, ὧν τὰ μὲν 316 J
αὐτὸς συντιθείς, τὰ δὲ τῶν ἐν μέσῳ καὶ κοινῶν ἐδίδου θε-
ραπείαν τοῦ σώματος, ὡς ἑκάστοτε συμβαίνοι. ὅτε δὲ ἡ συνέχεια 496 D
τῶν κατάρρων ἦν καὶ ἡ ὑπερῴα πυρίκαυτος καὶ σταφυλὴ ἐφειστή-
κει καὶ φλέβες οὐκ ἐπεῖχον τεινόμεναι, βιβλίον τι τῶν σπουδαίων
ἔδοξα ἀναγιγνώσκειν, οὗ τὰ μὲν καθ' ἕκαστον — πάλιν γὰρ τὸν αὐτὸν
ἐρῶ λόγον — οὐκ ἂν ἔχοιμι εἰπεῖν· πῶς γὰρ τοσοῦτόν γε ὕστερον,
ἄλλως τε καὶ τῆς ἀπογραφῆς τὸ τῇ μνήμῃ προσέχειν ἀφελομένης;
31 ἀλλὰ πρὸς τῷ τέλει τοῦ βιβλίου τοιάδε μάλιστα ἐνῆν — ἦν δὲ ὡς
ἐπί τινος τῶν ἀγωνιστῶν λεγόμενα —· 'ταῦτα δὴ πάντα ὁ θεὸς
συλλογισάμενος καὶ ὁρῶν τὸ ῥεῦμα ἄρδην φερόμενον προσέταξεν
ὕδωρ πίνειν, οἴνου δὲ ἀπέχεσθαι, εἴ τι δεῖται νικῆσαι· ἃ δὴ καὶ
σοί, ἔφη, ἔξεστι μιμησαμένῳ στεφανοῦσθαι ἢ συστεφανοῦσθαι.'
ἐνταῦθα ἔληγεν. εἶθ' ὑπεγέγραπτο τοῦ λόγου δὴ τοὐπίγραμμα
32 'Φιλοστέφανος', ἢ 'Φιλησιστέφανος'. ὅσον μὲν οὖν τινα χρόνον

---

1 θηρείου Ddf. (coll. p. 409, 16): θηρίου O 1. 2 ἄπαστος ἐσθίων ἢ scripsi: ἄπασ ἐσθίων AST, ἄπαξ ἐσθίων D; duplex peccatum Aristidis, et edit medicamentum (siccum, non bibit solutum; monuit Kaibel, quare cum vi repeti πιεῖν, πίεσθαι v. 3. 5) et ieiunus edit aut tempore longo post caenam (cuius notio ex ἄπαστος mente suppl.) intermisso (non statim post caenam); ἄπαστος non poeticum: Aristot. h. an. 563 a 23 (ὁ ἀετὸς) λέγεται ἐν τούτῳ τῷ χρόνῳ ἄπαστος γίνεσθαι; vv. τοῦ φαρμάκου τούτου etiam ad ἐσθίων referenda 4 ᾐδεῖν A[1] (corr. A[r]) 5 εἰώθειν scripsi: εἰώθει O 8 Φίλωνος — κρᾶσις] cf. Galen. XVII 2 p. 332 K. (εὑρέθη τῷ Φίλωνι), XIV p. 6 (τὸ Φιλώνειον φάρμακον) φάρμακον ἕτερον seclusi 13 αὐτὸς] εὐθὺσ D 13. 14 θεραπείαν] potest praedicative explicari, malim tamen ⟨πρὸς⟩ θεραπείαν 15 σταφυλὴ — τεινόμεναι] et uvae inflammatio (σταφυλή ut uvae ita uvae morbi appellatio) accesserat et venae assiduo sanguinis impetu intendebantur 16 βιβλίων S[1] 17 ἀναγινώσκειν SD πάλιν] cf. p. 419, 24 sq. 18 ἂν ἔχοιμι TS[2]: ἀνέχομαι AS[1]D τοσούτων A[1] (corr. A[r]) 25 εἶθ' ἐπεγέγραπτο sic T addito ἐ sup. π, εἶθ' ἐπεγέγραπτο S[2] (Junt.)

διήνεγκα τὴν ὑδροποσίαν, οὐδὲ τοῦτο ἔχω λέγειν, ὅτι δ' εὐκόλως
τε καὶ ῥᾳδίως, αἰεί πως πρότερον δυσχεραίνων τὸ ὕδωρ καὶ ναυ-
τιῶν. ὡς δὲ καὶ τοῦτο ἐλελειτούργητο, τοῦ μὲν ὕδατος ἀφίησί με,
οἴνου δὲ ἔταξεν μέτρον, καὶ ἦν γε τὸ ῥῆμα ʻἡμίνα βασιλική'· γνώ-
ριμον δήπου ὅτι ἔφραζεν ἡμικοτύλιον. ἐχρώμην τούτῳ καὶ οὕτως
ἤρκει ὡς οὐκ ἤρκει πρότερον τὸ διπλάσιον, ἔστιν δ' ὅτε καὶ φει-
δομένῳ ὑπὸ τοῦ δεδιέναι μή μέ τι λυπῇ περιῆν. οὐ μὴν τοῦτό γε
ἐποιούμην ἐξαίρετον εἰς τὴν ὑστεραίαν, ἀλλ' ἐξ ἀρχῆς ἔδει τῷ μέ-
τρῳ στέργειν. ἐπεὶ δὲ καὶ ταύτην εἶχε τὴν πεῖραν, ἀφίησιν ἤδη
πίνειν πρὸς ἐξουσίαν, οὑτωσί πως χαριεντισάμενος, ὅτι μάταιοι
τῶν ἀνθρώπων εἶεν ὅσοι τῶν ἱκανῶν εὐποροῦντες μὴ τολμῶσιν
ἐλευθέρως χρῆσθαι. καὶ τὸ βιβλίον αὐτὸ τοῦτο ἐδόκει εἶναι Ἀν- 33
τισθένους περὶ χρήσεως· ἔφερεν δὲ εἰς οἶνον, καὶ Διονύσου προσῆν
τινα σύμβολα. οὕτω δ' οὖν ὑπὸ τῆς συνηθείας διεκείμην, ὥστε
317 J καὶ ἐφέντος τοῦ θεοῦ μικρόν τι παρήλλατον πίνων τοῦ μέτρου
497 D καί τινα ἐπόθουν τρόπον τὴν ταμιείαν τὴν τότε. Ἦν δέ τις χρόνος 34
οὗτος, ὅτ' ἐμψύχων τε ἀπειχόμην πλὴν ἀλεκτρυόνος, καὶ λαχάνων
ἁπάντων πλὴν ἀγρίων καὶ θριδακίνης, καὶ τραγημάτων δ' ἀπειχό-
μην πάντων. ἤδη δέ ποτε καὶ ὅλως ἑνὶ χρῆσθαι προσέταξε, καὶ
ἐχρώμην ἀλεκτρυόνι, ᾧ καὶ μόλις καὶ τοῦτο ἐπετάττετο. καὶ τού-
των τὰ μὲν σὺν ἀλουσίαις καὶ φλεβοτομίαις καὶ κλύσμασι διηνέγ-
καμεν, τὰ δ' ὡς ἕκαστον τύχοι. Ἰχθύων δὲ καὶ ἓξ ἔτη πάντων 35
ἀπεσχόμην· ὑείων δὲ οὐκ οἶδα ὁπόσον τι. πάλιν δὲ συγχωρήσαντος
ἐχρώμην ἀμφοτέροις· εἶτ' ἐν μέρει τὰ μὲν εἰργόμην [ἄν], τὰ δ'
ἐχρώμην, ὡς ἑκάτερον ἐφ' ἑκατέρου συμβαίνοι. καὶ μὴν γάρου γε
εἶρξεν καθάπαξ· οὐ γὰρ εἶναι τῇ κεφαλῇ σωτήριον, ἥκιστα δὲ
ὀδοῦσιν. Ἰάματα δὲ ὀδόντων ἔδωκε. πρῶτον μὲν ἦν λέοντος ὀδόντα 36
καῦσαι καὶ κόψαντα χρῆσθαι σμήματι, δεύτερον δὲ ὀπῷ διακλύζεσθαι,

2 ἀεί A^1 (corr. A^r) 4 ἡμίνα βασιλική — ἡμικοτύλιον] et Attica et Romana (i. e. βασιλική?) hemina eiusdem ambitus atque κοτύλη; ergo somnium interpretatus est, acsi esset solum ἡμίνα (dimidium) non adiecta v. βασιλική, qua addita necessario metrum heminae intellegitur 7 μή μέ τι λυπῇ scripsi: μὴ ἔτι λείπῃ O; ἐπιλείπῃ ci. Canter; neque enim inopiae metu vino pepercit (cf. τοῦτο — ἐξαίρετον — εἰς τὴν ὑστεραίαν); is potius erat metus, ne vinum ipsi molestias pararet 13 Ἀντισθένους περὶ χρήσεως] Diog. L. VI 18 in Antisthenicorum indice περὶ οἴνου χρήσεως ἢ περὶ μέθης ἢ περὶ τοῦ Κύκλωπος (frg. ed. Winckelmann p. 28) 19 δέ ποτε sic O ἔνι A^1 (corr. A^2) ST 20 ᾧ — ἐπετάττετο] adeo cibo peperci, ʻut vel hoc mihi imperari aegre passus sim' 24 ἄν seclusi 26 εἶρξεν A^1 (corr. A^2)S 28 σμήματι A^1S, σ^{γ}ήματι sic D pr. m.: σμήγματι TA^2; Phryn. p. 253 L. Ἀττικὸν σμῆμα καὶ σμῆσαι διακλύζεσθαι scripsi: διακλύζειν O; cf. Galen. XII p. 855 sqq. K. passim

*τούτῳ δὴ τῷ χρίματι· μετὰ ταῦτα πέπερι, καὶ προσέθηκεν ʽθέρ-
μης οὕνεκαʼ· ἐφʼ ἅπασι δὲ στάχυς Ἰνδικός, σμῆμα καὶ οὗτος. καὶ
37 ταῦτα μὲν τῶν νεωστὶ φανθέντων ἐστίν. Βοείων δὲ εἴρχθην τοῦ-
τον τὸν τρόπον. χρησμὸν ἐδόκουν ἐκπεπτωκέναι Ζωσίμῳ, μέχρι
τούτου βιώσεσθαι μέχρι ἂν ʽἡ βοῦς ἡ κατʼ ἀγρὸν ζῇʼ. καὶ δῆτα
φάναι πρὸς αὐτόν· ʽοἶσθʼ οὖν τὸν χρησμὸν ὅ τι νοεῖ; βοείων
κρεῶν ἀπέχεσθαί σοι κελεύειʼ. ὁ δʼ ἐλέγετο ὁ Ζώσιμος πρὸς τῇ
ψύξει, ἐξ ἧς ἀπέθανεν, καὶ βοείου τινὸς ἐκ θυσίας ἁψάμενος βλα-
βῆναι. ἦν οὖν οἷα εἰκὸς ἀκρίβεια πολλὴ καὶ πρόνοια μηδʼ ἄκρῳ
38 τῷ δακτύλῳ προσαψάμενον λαθεῖν. καὶ χρόνῳ ὕστερον οἱ πολλοὶ
καὶ πυκνοὶ σεισμοὶ γίγνονται ἐπὶ Ἄλβου ἄρχοντος τῆς Ἀσίας, καὶ
τοῦτο μὲν δὴ Μυτιλήνη κατηνέχθη μικροῦ πᾶσα, τοῦτο δὲ ἐν πολ-
λαῖς τῶν ἄλλων πόλεων πολλὰ ἐκινήθη, κῶμαι δὲ ἄρδην ἀπώλοντο,
Ἐφέσιοι δὲ καὶ Σμυρναῖοι παρʼ ἀλλήλους ἔθεον θορυβούμενοι, ἡ
δὲ συνέχεια θαυμαστὴ καὶ τῶν σεισμῶν καὶ τῶν φόβων, καὶ τοῦτο
μὲν εἰς Κλάρον θεωροὺς ἔστελλον καὶ περιμάχητον ἦν τὸ μαντεῖον,* 498 D
*τοῦτο δὲ ἱκετηρίας ἔχοντες περὶ τοὺς βωμοὺς καὶ τὰς ἀγορὰς καὶ
τὰ κύκλῳ τῶν πόλεων περιῄεσαν, οὐδεὶς οἴκοι μένειν θαρρῶν· καὶ* 318 J
39 *τελευτῶντες ἱκετεύοντες ἀπεῖπον. τοιούτων δὲ ὄντων ὁ θεὸς κελεύει
μοι διατρίβοντι τότε ἐν Σμύρνῃ, μᾶλλον δὲ ἐν τῷ πρὸ τῆς πόλεως
χωρίῳ, θῦσαι βοῦν δημοσίᾳ τῷ Διὶ τῷ Σωτῆρι. ἀναχωροῦντος δέ
μου καὶ ὑποπτεύοντος καὶ δεδιότος τὴν προτέραν ἐκείνην πρόρρη-
σιν, ἐγένετο μέν τι καὶ τοιοῦτον ἐννοίας, ὡς οὐ θήλειάν γε μέλ-
λοιμι θύσειν καὶ ὡς οὐδʼ ἀνάγκη γενέσθαι. σαφέστατον δὲ καὶ ᾧ
θαρρήσας ἔθυσα τόδε γίγνεται. ἔδοξα γὰρ ἑστῶτί μοι παρʼ αὐτὸν
τὸν βωμὸν τοῦ Διὸς ἐν τῇ ἀγορᾷ καὶ δεομένῳ φῆναι σημεῖον εἰ*

---

1 *τούτῳ δὴ*] noto illo (laseris suco) *χρίματι* scripsi: *χρήματι* O, cf. ad p. 418, 20 2 *οὕνεκα*] cf. p. 428, 13 *στάχυς Ἰνδικός*] i. e. *ναρδόσταχυς*; cf. Galen. X p. 791 K. . . *πάντων γὰρ τούτων τὸ νάρδιον μύρον μᾶλλον θερμαίνει* (cf. *θέρμης οὕνεκα*); id. XII p. 85 *ἰσχυροτέρα . . ἡ Ἰνδικὴ προσαγορευομένη, μελαντέρα τῆς Συριακῆς καλουμένης ὑπάρχουσα*; ibid. 889 sqq.) *σμῆμα* A^{1}S: *σμῆγμα* DTA^{2} 3 *φανέντων* D *εἵρχθην* A^{1} (corr. A^{2})T^{1} 5 *τούτου* AD: *τοῦ* ST *μέχρισ* D *ἡ—ζῇ*] clausula hexametri? 7 *ὁ δʼ*] *ὅδʼ ὁ δʼ* S, *ὅδʼ ὅδʼ* T (*ὅδʼ* A^{2} Junt.), cf. p. 409, 25 sq. 434, 14. 441, 35; de re or. XLVII § 69 sqq. 11 *Ἄλβου ἄρχοντος*] L. Antonius Albus, ut vid., cf. Prosopogr. Imp. Rom. I p. 94; nec de consulatu nec de proconsulatu constat 12 *μυτιλίνη* S^{1}, *μιτυλίνη* TS^{2} 12. 13 *ἐν πολλῇ* D 14 fort. *θορυβούμενοι. ⟨ἦν⟩ δὲ ἡ συνέχεια* 17 *περὶ* suspectum 18 *μένει* D 20 *ἐν τῷ — χωρίῳ*] cf. p. 423, 16 21 *Διὶ τῷ Σωτῆρι*] Smyrnaeorum, cf. CIG. 3159 (Kaibel E. G. n. 805) 22 *πρόρρησιν* Ddf.: *πρόσρησιν* O; cf. v. 4 sq. 23 *μέν τι*] *μέντο* sic D^{1} a. corr. (*μέντοι* Junt.) *θήλειάν γε*] erat *ἡ βοῦς* in somnii oraculo, non *ὁ βοῦς*

λῷον θῦσαι, ἀστέρα λαμπρὸν διᾷξαι δι' ἀγορᾶς κυροῦντα τὴν θυ-
499 D σίαν· οὕτω θαρρήσας ἔθυσα. τὸ δὴ μετὰ τοῦτο ὅτῳ μὲν φίλον 40
πιστεύειν, πιστευέτω, ὅτῳ δὲ μή, χαιρέτω. ἔστη γὰρ ἅπαντα
ἐκεῖνα καὶ οὐδὲν ἔτι ἠνώχλησε μετ' ἐκείνην τὴν ἡμέραν, προνοίᾳ
μὲν καὶ δυνάμει τῶν θεῶν, διακονίᾳ δ' ἡμῶν ἀναγκαίᾳ. † οὐχ ἧττον
τούτου θαυμαστόν, εἰ μὴ καὶ μᾶλλον. ἕκτη γὰρ σχεδὸν ἢ ἑβδόμῃ 41
ἡμέρᾳ πρότερον ἢ σεῖσαι τὸ ἐξ ἀρχῆς ἐκέλευσε πέμψαντα εἰς τὴν
ἀρχαίαν ἑστίαν, ἥ ἐστι πρὸς τῷ ἱερῷ τοῦ Διὸς τοῦ Ὀλυμπίου,
ἱερά τε δὴ δρᾶσαι καὶ βωμοὺς ἱδρύσασθαι ἐν κορυφῇ τοῦ λόφου
τοῦ Ἄτυος. καὶ ταῦτά τε ἀρτίως ἐπετετέλεστο καὶ ὁ σεισμὸς 42
ἐπελθὼν τῆς μὲν ἄλλης τῆς ἐν μέσῳ ἁπάσης χώρας οὕτως ἥψατο
ὥστε μηδὲν τῶν καταγωγίων λιπεῖν, εἰ μή τί που μικρὸν ἐρεί-
πιον· ἄνω δὲ Ἄτυος οὐ προὔβη οὐδὲ τοῦ πρὸς μεσημβρίαν Ἄτυος
ἡμετέρου χωρίου Λανείου, πλὴν ὅσον αἰσθέσθαι, πέρα δ' οὐχ
ἥψατο οὐδενός. καὶ γάρ τοι πρὸς τοσοῦτον ἧκον τοῦ θαρρεῖν ὥστε 43
καὶ μεσούντων μάλιστα τῶν σεισμῶν ἐκ τῶν ὑδάτων τῶν θερμῶν
ἐπανιὼν εἰς τὴν πόλιν ἐξ ἐνυπνίων, ἰδὼν ἱκετεύοντας καὶ τετα-
ραγμένους τοὺς ἀνθρώπους, ἐμέλλησα μὲν εἰπεῖν ὡς οὐδὲν δέοι
δεδιέναι, οὐδὲν γὰρ ἔσεσθαι δυσχερές, οὐ γὰρ ἂν αὐτὸς ἐπὶ τούτοις
319 J εἰς τὴν πόλιν κληθῆναι· ἔπειθ' ὅπως μὴ δοκοίην δημοκοπικός τις
εἶναι, ἐπέσχον, πρὸς δὲ τοὺς συνόντας διεμαρτυράμην, ὅπως ἀδείας
τύχοιμι, αὐτοὺς δὴ τούτους τοὺς λόγους εἰπών.

Τὰ μὲν δὴ περὶ τῶν σεισμῶν καὶ ὡς βοῦν θύειν ⟨ἐν⟩ αὐτοῖς 44
ἠρξάμεθα εἴρηται. ᾠὸν δέ ποτε χήνειον ἐζητοῦμεν, τοῦ θεοῦ
σημήναντος ἐπὶ τῆς ἐν Περγάμῳ καθέδρας, καὶ εὑρίσκετο οὐδαμοῦ
τῆς ἀγορᾶς, ἀλλ' ἦν Μειλάτης ⟨τις⟩ ἐξ ἀκροπόλεως, παρὰ τοῦτον

---

1 διᾷξαι Ddf.: διάξαι O 4 ἐκεῖνα] 'terrae motum innuit' Canter 5 ⟨ὃ δ'⟩ οὐχ Canter; fort. recte 7 ἢ σεῖσαι] ἤσισαι A^1 (corr. A^2) 9 ἱερά] ά in ras. II vel III litt. A^r (ἱερειά, ut vid., A^1) δρᾶσαι] cf. Athenae. XIV 660 A 10 ἄτεοσ A^1 (corr. A^r), item prius v. 13; Ἄτυος λόφος prope Hadrianotheras, ubi ἡ ἀρχαία ἑστία (v. 8; cf. ad p. 443, 18) et Λανεῖον (v. 14, cf. p. 451, 10. 456, 6), non prope Smyrnam, quod statuit F. Cumont, Pauly-Wissowa R.-E. II 2248 16 ἐκ τῶν — θερμῶν] prope Smyrnam (πόλιν), cf. § 45 et ad p. 403, 1 17. 18 καὶ τεταραγμένους] καὶ κατερραγμένουσ D 18 ἐμέλησα D. (Junt.) 19 οὐδὲν — δυσχερές] eadem p. 390, 7 ἂν αὐτὸσ ST: αὐτὸσ ἂν AD 20 δημοκοπικός] e Plat. Phaedr. 248 E 22 τύχοιμι scripsi: ἔχοιμι O 23 ἐν addidi; αὖθις pro αὐτοῖς ci. Büchner, Philolog. 1890, 183 24 δέ sic O 25 καθέδρας] cf. ad p. 410, 24 26 ἦν sic O μειλάτισ D τις addidi; Μίλατος (vel Μείλατος cf. CIG. 4175. 4380 p) nomen Pergamenum, Inschr. v. Perg. n. 523; ad duplicem nominis formam cf. Θεόφιλος Θεοφίλης, Καλλίκριτος Καλλικρίτας (CIGIns. I 107, 12); iniuria Μειλάτης pro populi appellatione habet Ramsay, Histor. Geogr. of Asia Minor p. 156 ἐξ ἀκροπόλεως] vici urbis Pergami significatio:

*ἔρχονται τελευτῶντες οἱ πρὸς τῇ ζητήσει κατὰ δὴ τύχην ἅμα καὶ
μήνυσιν. καὶ λέγει πρὸς αὐτοὺς ὁ Μειλάτης ἔχειν ᾠόν, φυλάττειν
δὲ ἰάματος εἵνεκα· οὕτω γὰρ αὐτῷ προειρηκέναι τὸν θεόν. ʿοὐκοῦν* 500 D
*ἡμεῖς γε ἐκεῖθεν', ἔφασαν οἱ ζητοῦντες, καὶ ὃς προσκυνήσας δίδω-
σιν. ὅ τι δ' ἐχρησάμην λαβών, οὐκ οἶδα ὑπό γε πλήθους ἐτῶν.*
45 *παραπλήσιον δὲ τούτῳ τὸ ἐκ τῆς Ἴσιδος, κατ' ἀρχὰς ἔτι τῆς ἀσθε-
νείας περὶ χηνῶν αὐτῶν γενόμενον. διέτριβον ἐν τοῖς ὕδασι τοῖς
θερμοῖς καὶ ἡ θεὸς κελεύει θῦσαι ἑαυτῇ χῆνας δύο. ᾔειν εἰς τὴν
πόλιν προπέμψας τοὺς σκεψομένους καὶ προειπὼν ἀπαντᾶν εἰς τὸ
ἱερὸν τῆς Ἴσιδος τοὺς χῆνας ἔχοντας. ἄλλοι μὲν οὖν χῆνες οὐκ
ἦσαν ἐκείνην τὴν ἡμέραν, δύο δ' ἤστην μόνω. προσελθοῦσι δ'
αὐτοῖς καὶ ὠνουμένοις ἔφη ὁ τρέφων τοὺς χῆνας ὡς οὐχ οἷός τ'
εἴη πωλῆσαι· προειρῆσθαι γὰρ αὐτῷ ὑπὸ τῆς Ἴσιδος φυλάττειν
Ἀριστείδῃ· πάντως δ' ἥξειν καὶ θύσειν. ὡς δ' ἔγνω τὸ πᾶν, ἐξ-
επλάγη τε καὶ προσκυνήσας δίδωσιν· καὶ ταῦτα ἐπ' αὐτῆς τῆς*
46 *θυσίας ἔγνων ἐγώ. ἐγένετο δὲ καὶ φῶς παρὰ τῆς Ἴσιδος καὶ ἕτερα
ἀμύθητα φέροντα εἰς σωτηρίαν. ἐφάνη δὲ καὶ ὁ Σάραπις τῆς
αὐτῆς νυκτός, ἅμα αὐτός τε καὶ ὁ Ἀσκληπιός, θαυμαστοὶ τὸ κάλλος*
47 *καὶ τὸ μέγεθος καί τινα τρόπον ἀλλήλοις ἐμφερεῖς. γενομένης δὲ
τῆς περὶ Ζώσιμον συμφορᾶς — ἃ γὰρ μελλούσης προεῖπεν καὶ
παρεμυθήσατο ὁ θεὸς παρίημι —, ἀλλ' ἐπειδὴ ἐγένετο καὶ χαλεπῶς
εἶχον ἀπὸ τῆς λύπης, ἐδόκει μοι σμίλην τιν' ἔχων ὁ Σάραπις,
ὥσπερ κάθηται τῷ σχήματι, περιτέμνειν μου τὰ κύκλῳ τοῦ προ-
σώπου ὑπ' αὐτό πως τὸ † ὀρίζηλον, οἷον λύματ' ἀφαιρῶν καὶ
καθαίρων καὶ μεταβάλλων εἰς τὸ προσῆκον. ὥστε καὶ ὕστερον* 820 J
*ὄψις μοι γίγνεται παρὰ τῶν χθονίων θεῶν, εἰ τὸ σφόδρα οὕτω
λυπεῖσθαι ἐπὶ τοῖς τελευτῶσιν ἀνείην, συνοίσειν μοι ἐπὶ τὸ βέλ-*
48 *τιον. πολὺ δέ τι τούτων φρικωδέστερον εἶχεν τὰ χρόνῳ ὕστερον
φανθέντα, ἐν οἷς αἵ τε δὴ κλίμακες ἦσαν αἱ τὸ ὑπὸ γῆς τε καὶ
ὑπὲρ γῆς ἀφορίζουσαι καὶ τὸ ἑκατέρωθι κράτος τοῦ θεοῦ, καὶ* 501 D

οἱ τὴν ἀκρόπολιν κατοικοῦντες statuas dedicaverunt, Inschr. v. Perg. n. 394. 434, quae recte Fränkel commentatus est

8 *ἑαυτῷ* D 9 *σκεψαμένους* T a. ras. 13 *αὐτῷ* O 18 *θαυμαστοὶ κτἑ.*] cf. p. 403, 28 sq. 20 *τῆς — συμφορᾶς*] cf. ad p. 422, 7 22 *ἐδόκει* — 24 *ὀρίζηλον* omissa ad S[1] mg. 23 *ὥσπερ κάθηται κτἑ.*] p. 438, 29

24 *ὀρίζηλον* ASD, *ὀρίζηλ*ο/ T, corruptum; sententia ʿin circuitu faciei sub ipsis crinium radicibus' 26 *παρὰ* Canter: *περὶ* O *οὕτω* scripsi: *τοῦτο* O; cf. p. 241, 28, de collocatione ibid. adn.; sophistis inter exempla fuit Plat. Alc. 112 A 27 *ἀνείην* scripsi (*ἀνίην* ci. Canter): *ἂν ἦν* O 29 *φαθέντα* D, cf. v. l. p. 379, 21 29 *ὑπὸ* — 30 *ὑπὲρ* AST: *ὑπὲρ — ὑπὸ* D; cf. p. 31, 20

ἕτερα ἔκπληξιν θαυμαστὴν φέροντα, καὶ οὐδὲ ῥητὰ ἴσως εἰς ἅπαν-
τας, ὥστε ἀσμένῳ μοι φανῆναι ⟨τὰ⟩ σύμβολα [τοῦ Ἀσκληπιοῦ]. κεφά-
λαιον δ' ἦν περὶ τῆς τοῦ θεοῦ δυνάμεως, ὅτι καὶ χωρὶς ὀχημάτων
καὶ χωρὶς σωμάτων ὁ Σάραπις οἷός τ' εἴη κομίζειν ἀνθρώπους
ὅπῃ βούλοιτο. τοιαῦτα ἦν τὰ τῆς τελετῆς, καὶ ἀνέστην οὐ ῥᾴδιος
γνωρίσαι. καὶ πρὸς τούτοις θυσία τις ἐδηλοῦτο, ὀφειλομένη μὲν
Διὶ καὶ πρόρρησιν μένουσα, ἀποδοθεῖσα δὲ ὡς τοῦ Σαράπιδος
οὖσα, ἀπεδόθη δὲ καὶ ὡς τῷ Διί, ἔχω δὲ λέγειν κἀν ταῖς ἱεραῖς
ἡμέραις, ἃς ἡ πόλις ἡ τῶν Ἀλεξανδρέων ποιεῖ τῷ θεῷ, πολλὰ δὴ
πολλάκις αὐτὸν ἐπισημήναντα, καὶ κατ' αὐτὴν ἑκάστην καὶ προσ-
αγούσης ἔτι. εἰ δὲ δεῖ τι καὶ φοβερώτερον διηγήσασθαι, ἐτεθύ- 49
κειν τῇ Ἴσιδι καὶ τῷ Σαράπιδι ἐν τῷ τῆς Ἴσιδος ἱερῷ, λέγω τοῦτο
ἐν Σμύρνῃ γενόμενον. ἐξιόντι δέ μοι τὰ προπύλαια προσερρύησαν
χῆνες δύο τῶν ἱερῶν καὶ παρελθόντες εἰς τὸ πρόσθεν ἡγοῦντο
οὕτως ἀκριβῶς κατ' αὐτὸ ὃ βαίνειν ἔμελλον ὥστε ἐπίδηλον εἶναί
μοι. κἀγὼ νῷ τε ἔλαβον τὸ πρᾶγμα καὶ πρὸς τοὺς φίλους καὶ
τοὺς παραπέμποντας 'ἰδού, καὶ οἵδε, ἔφην, παραπέμπουσιν ἐν τῷ
τῶν φίλων δὴ χορῷ', καὶ ἅμα ἔλεγον περὶ τῆς τοῦ θεοῦ γοργότητος
καὶ δυνάμεως πόση τις εἴη καὶ κατὰ φήμας καὶ κατὰ συμβόλους,
καὶ ὅτι πολλάκις ἤδη μοι ἐπὶ τῆς εὐχῆς ἦλθεν ἡ ἀπόκρισις· 'καὶ
νῦν, ἔφην, ἡγεμόνας τινὰς ἡμῖν τῆς ὁδοῦ τούσδε ἀπέσταλκεν'. τοι- 50
αυτὶ διελεγόμεθα καὶ ἅμα ἐτηροῦμεν τί ἄρα δράσουσιν· ἄπιμέν
τε δὴ τοῦ ἱεροῦ, οὐκ οἶδ' ὁπόσον τι, κἀγὼ τοῖς φίλοις ἐνδεικνύ-
μενος προσπαίζω τοὺς χῆνας καὶ λέγω· 'ἱκανῶς ὑμῖν, ὦ οὗτοι,
λελειτούργηται, πορεύεσθε'. οὐκ ἔφθην εἰπὼν καὶ οἱ μεταστρα-
φέντες ἀπῄεσαν.

---

1 ἕτερα Canter: ἑτέραν O 2 ὥστε] quia visis dignatus est volgi ratione sublimioribus, dicit se gavisum esse ⟨his⟩ signis (benevolentiae Serapidis) τα addidi τοῦ Ἀσκληπιοῦ seclusi; de Serapide solo agitur 3 χωρὶσ ὀχη|μάτων ὁ σάραπις T[1], omissa -μάτων καὶ χωρὶσ σω- add. T[2] mg. 7 πρόρρησιν] publicam sacrificii renuntiationem; v. 7. 8 Ζεὺς Σάραπις intellegendus (cf. ad p. 358, 23) 8 κἀν AD: καὶ ST ταῖς ἱεραῖς ἡμέραις κτἑ.] cf. p. 362, 5; de Serapiorum Alexandrinorum tempore nihil constare videtur 10. 11 προσαγούσησ DT: προσαγαγούσησ AS 18 γοργότητος] nota hunc vocis usum apud hunc 19 συμβόλους] σύμβολα Aristideum; imitatur ergo veterum quendam scriptorum, cf. Xenoph. apol. 13 φήμας καὶ συμβόλους (memorab. I 1, 3) 22 διελεγόμεθα sic O ἄπιμέν] ι A[2] in ras., ἄπειμεν S[1] (certo A[1]) 23 ὁπόσον τι — ἐνδεικνύμενοσ bis D[1], iterata verba erasa praeter duo prima, ut ὁπόσον τι bis legatur 24 ἡμῖν T 25 πορεύεσθε sic O εἰπὼν scripsi: εἰπεῖν O. — Subscr. ἱερῶν λόγων τρίτοσ T, λόγων ἱερῶν γ̅ AS

L.

(26) ΙΕΡΩΝ ΛΟΓΩΝ ΤΕΤΑΡΤΟΣ. I 502 D I 321 J

Ἔτει δεκάτῳ περιήκοντι τῆς ἀσθενείας ἐπελθὸν φάσμα ἔλεγεν
τοιάδε· ‛ἐγὼ τὴν αὐτὴν νόσον νοσήσας περιόντι τῷ δεκάτῳ ἔτει
βουλομένου τοῦ Ἀσκληπιοῦ πορευθεὶς ἐπὶ τοὺς τόπους, ἐν οἷς ἡ
νόσος ἤρξατο συλλέγεσθαι, ἀπηλλάγην’. τοιαῦτ’ ἦν τὰ λεχθέντα
καὶ ἐδόκει γεγράφθαι. διήγομεν δὲ καὶ τότε περὶ τὸ ἱερὸν τοῦ Διὸς
τοῦ Ὀλυμπίου· χειμὼν δ’ ἦν ὀλίγον μετὰ τροπάς, ὁ δ’ ἀὴρ ἤπιος.
χρησθέντων δὲ τούτων ἦν οἷον εἰκὸς χαρά τε καὶ ὁρμὴ θαυμαστὴ
2 πρὸς τὴν ἔξοδον. ἀπέχει δὲ ὁ Αἴσηπός τε καὶ τὰ ἐπ’ αὐτῷ θερμὰ
ὕδατα δυοῖν ἡμερῶν ὁδὸν τοῦ περὶ τὸ ἱερὸν τόπου τούτου. καί
μοι τὸ σῶμα ἐκεῖ πρῶτον ὑπώλισθεν χειμῶνος ὥρᾳ ψυχέν, ὑσθέντι
λαμπρῶς ἐπὶ λουτροῖς πολλοῖς ἑσπέρας ἤδη πρὸς τὸ χωρίον καὶ
τὴν ἔπαυλιν ἀπελαύνοντι τὴν ἐμαυτοῦ πλησίον οὖσαν, ὥς γ’ οὑ-
τωσὶ φάναι, πρὸς μέντοι τὸν παρόντα καιρὸν καὶ ἀφ’ ὧν ἐπανῄειν
καὶ πλείω ἦν τοῦ δέοντος· καὶ τούτοις δὴ ἐπιγίγνεται ἡ εἰς Ἰτα-
λίαν δυσχερὴς ἔξοδος ὀλίγαις ὕστερον ἡμέραις. ταῦτα μὲν δὴ προεγε-
γόνει πρότερον ἔτει δεκάτῳ· τότε δ’ ὡς εἰς θεωρίαν ἐστελλόμεθα
ὑπ’ εὐθυμίας, αἰθρίας τε οὔσης θαυμαστῆς καὶ τῆς ὁδοῦ δεχομένης.
3 ἔστι δὲ Ποιμανηνὸς χωρίον τῆς Μυσίας καὶ ἐν αὐτῷ ἱερὸν Ἀσκλη-
πιοῦ ἅγιόν τε καὶ ὀνομαστόν· ἐνταῦθα ἐτελέσαμεν σταδίους ἑξή- 503 D
κοντα μάλιστα καὶ ἑκατόν, καὶ τούτων τοὺς ἑξήκοντα σχεδὸν νυκτός,
ἅτε καὶ προηκούσης τῆς ἡμέρας κινηθέντες· καί τινι καὶ πηλῷ
περὶ τοῦτον ἤδη τὸν τόπον ἐνετύχομεν ἐξ ὄμβρων προτέρων οὐ
4 ῥᾳδίῳ διεξελθεῖν· ἡ δὲ πορεία ἐγίγνετο ὑπὸ λαμπάδων. ἐνταῦθα
δὴ παντελῶς οἱονεὶ καθιερώμην τε καὶ εἰχόμην, καί μοι πολλὰ

Libri ASDT = O

Tit. *ἱερῶν λόγων τέταρτοσ* T: *λόγων ἱερῶν δ̄* AS, om. D; cf. ad tit. or. XLVII 2 *περιόντι* O 5 *δὲ* scripsi: *δὴ* O 10 *ἐκεῖ πρῶτον κτἑ.*] cf. or. XLVIII § 60 *ψυχὲν* AS^{1}D: *ψυχθὲν* TS^2 13 *ἀφ’*] *ἐφ’* Büchner, Philolog. 1890, 183, falsus; locum distinxi 15. 16 *προεγεγόνει* DA^2: *προσγεγόνει* A^1 *πρὸσ γεγόνει* S a. ras., *προγεγόνει* TS p. ras. 18 *πημανηνὸσ* DT^1; *Ποιμανηνὸν* ci. Masson, Aristid. vita p. XII adn. 1 (Ddf. vol. III), cf. Ramsay, Histor. Geogr. of Asia Minor p. 158; Athen. Mitth. IX 29, 1 19 *ἅγιόν*] nullo adiecto signo, quo referendum sit, add. mg. *ἐναγὲσ* D pr. m. 21 *προσηκούσησ* A a. ras. S a. ras. 24 *εἰχόμην*] sc. *ὑπὸ τοῦ Σωτῆρος*, ‛totus eram dei’; cf. p. 400, 2

322 J μὲν εἰς αὐτὸν τὸν Σωτῆρα ἐποιήθη μέλη, ὡς ἔτυχον καθήμενος
ἐπὶ τοῦ ζεύγους, πολλὰ δὲ εἴς τε τὸν Αἴσηπον καὶ Νύμφας καὶ
τὴν Θερμαίαν Ἄρτεμιν, ἣ τὰς πηγὰς τὰς θερμὰς ἔχει, δοῦναι λύσιν
ἁπάντων ἤδη τῶν δυσχερῶν καὶ καταστῆσαι πάλιν εἰς τὸ ἐξ ἀρχῆς.
ὡς δὲ ἐγενόμην ἐν τῷ Ποιμανηνῷ, χρηματίζει τε ὁ θεὸς καὶ ἐπ- 5
ίσχει τινὰς ἡμέρας καὶ καθαίρει τὴν ἄνω, καὶ † σχεδὸν οὐκ εἰσάπαξ.
καὶ γίγνεται ὄναρ ἀνθρώπῳ γεωργῷ, ὃς ἐμὲ οὐκ ᾔδει πω, πλὴν
ὅσον ἤκουεν· ἐδόκει τινὰ αὐτῷ λέγειν ὅτι Ἀριστείδης ἐχίδνης κεφα-
λὴν ἐξεμημεκὼς εἴη· ταύτην δὲ ἰδὼν τὴν ὄψιν φράζει τῶν ἐμῶν
τινι, ὁ δ' ἐμοί. καὶ τοῦτο μὲν δὴ τοιοῦτον. ὡς δ' ἀπέπεμπεν ἐπὶ 6
τὸν Αἴσηπον, λουτρῶν μὲν ἐκείνων αὐτόθεν προσέταξεν ἀπέχεσθαι,
τὴν δ' ἄλλην δίαιταν ἔφραζεν ἐφ' ἡμέραν. κἀνταῦθα δὴ καθαρμοί
τε ἐγίγνοντο ἐπὶ τοῦ ποταμοῦ ὑπὸ σπονδῶν καὶ καθάρσεις οἴκοι
δι' ἐμέτου. καὶ τριῶν ἢ τεττάρων ἡμερῶν διαγενομένων γίγνεται
φωνὴ δι' ὀνείρατος, ὅτι πέρας τε ἔχοι καὶ ἐπανήκειν δέοι. ἦν οὖν 7
οὐ μόνον τελετῇ τινι ἐοικός, οὕτω θείων τε καὶ παραδόξων τῶν
504 D δρωμένων ὄντων, ἀλλὰ καὶ συνέπιπτέ τι θαυμαστὸν ἀηθείᾳ· ἅμα
μὲν γὰρ ἦν εὐθυμεῖσθαι, χαίρειν, ἐν εὐκόλοις εἶναι καὶ τῆς ψυχῆς
καὶ τοῦ σώματος, ἅμα δ' οἷον ἀπιστεῖν εἴ ποτε ταύτην ἰδεῖν
ἐξέσται τὴν ἡμέραν, ἐν ᾗ τις ἐλεύθερον αὑτὸν τῶν τοσούτων
πραγμάτων ὄψεται, πρὸς δὲ καὶ δεδιέναι, μή πού τι τῶν εἰωθότων
αὖθις συμβὰν λυμήνηται ταῖς περὶ τῶν ὅλων ἐλπίσιν. κατεσκεύ-
αστο μὲν οὕτω τὰ τῆς γνώμης καὶ μετὰ τοιαύτης ἡδονῆς ἅμα καὶ
ἀγωνίας ἡ ἀναχώρησις ἐγίγνετο. θεῶν δὲ οὕτω διδόντων ἐγένετο 8
ἀπὸ τούτων ἤδη τῶν χρόνων μεταβολὴ περὶ πᾶν τὸ σῶμα καὶ τὴν
δίαιταν σαφής, καὶ τόν τε ἀέρα ὑπῆρξε μᾶλλον φέρειν καὶ ὁδοιπο-
ρεῖν ἐπιεικῶς οὐδὲν ἔλαττον τῶν πρὸς ὑπερβολὴν ἐρρωμένων, καὶ
τῶν σκεπασμάτων τὰ περιττὰ ἀφῃρέθη οἵ τε ἀνώνυμοι κατάρροι
καὶ σφάκελοι περὶ τὰς φλέβας καὶ τὰ νεῦρα ἀπεπαύσαντο. τροφὴ
δέ πως ἤδη διῳκεῖτο καὶ ἀγῶνας ἐντελεῖς ἠγωνιζόμεθα οἴκοι τε
κἀν τοῖς δημοσίοις, καὶ δὴ καὶ πόλεις εἰσήλθομεν ἡγουμένου τοῦ

---

6 *σχεδὸν οὐκ* corrupta; somnio agricolae v. 7 sqq. significatur Aristidem summam morbi (i. e. viperae caput) abiecisse, quod ipse orator § 1 et 7 sqq. probat; ergo sententia *καὶ σχεδὸν τὸ πᾶν* (non solum *τὴν ἄνω*) *εἰς ἅπαξ* (sc. *καθαίρει*) 7 *γίνεται* O *γεωργῷ* TS^2(-*ῶι*): *γεωργίωι* AS^{1}D(-*ῷ*) 8 *αὑτῷ* O 9 *ἐξημεκὼσ* A^1 (corr. A^r); utrum Atticum sit constare non videtur 12 *ἡμέραν* scripsi: *ἡμέρᾳ* O; cf. p. 319, 1; 334, 9 15 *ἔχει* T^1 a. corr. *ἐπανήκειν δέοι. ἦν* Ddf.: *ἐπανήκειν δεῖ· ἦν* TS^2, *ἐπανήκειν· δοίην* A(S^1?)D 16 *τελευτῇ* S^1 16. 17 *ὄντων τῶν δρωμένων* D 18 *εὐθυμεῖσθαι* DS p. ras.: *ἐνθυμεῖσθαι* AS a. ras. T 19 *δ' οἷον* dedi: *τοῖον* A^1, *τ' οἷον* ST, *θ' οἷον* DA^2; cf. p. 401, 5. 6 20 *αὑτὸν* A^{2}S^{2}T^2: *αὐτὸν* O 28 *τῶν σκεπασμάτων κτἑ.*] cf. p. 396, 5 sq.

9 θεοῦ μετὰ τῆς ἀγαθῆς φήμης καὶ τύχης. καὶ χρόνοις δὴ ὕστερον 323 J
ἡ λοιμώδης ἐκείνη συνέβη νόσος, ἧς ὅ τε Σωτὴρ καὶ ἡ δέσποινα
Ἀθηνᾶ περιφανῶς ἐρρύσαντό με. καὶ ἓξ μῆνας μέν τινας θαυ-
μαστῶς ὡς τὸ μετὰ τοῦτο διήγαγον, ἔπειτα ἡ ξηρότης πολλὴ ξυν-
έβη καὶ ἕτερα ἠνώχλησεν· ἃ πάντα ὁ θεὸς καθίστη τε καὶ σὺν
αὐτῷ γε εἰρῆσθαι, καθίστησι ταῖς ἐφημέροις διαίταις καὶ προρ-
10 ρήσεσιν. τότε δ' οὖν ὡς ἐπανῆλθον ἀπὸ τοῦ Αἰσήπου, εὐθὺς μὲν
προσιόντος ἐγίγνοντο φῆμαι καὶ παιδίων καὶ ἄλλων ἀγαθαί, καὶ
παίζοντα ἐν αὐτοῖς ἐβόα 'καλῶς κυρίῳ'. καὶ ἡ τροφὸς εὐθὺς
ἀνειστήκει καὶ ἀπήντα καὶ ἔρρωτο καὶ ἦν ἅπερ εἰκὸς ἐπὶ τοι-
11 ούτοις. ἔπειτα κελεύει ὁ θεὸς ὡς δεῖ ἀντὶ τοῦ κατορυχθῆναι ἐπ-
αμήσασθαι τῆς λευκῆς γῆς, τὸν ἐν παλαίστρᾳ δὴ τρόπον, βεβαιότη-
τος οὕνεκα, καὶ ὡς εἴη τρόπον τινὰ καὶ τοῦτο ἐκπεπληρωμένον·
ἔτι δὲ λούσασθαι ψυχρῷ, τὸ δ' ἦν ἄρα χιόνι λούσασθαι· οὕτω 505 D
πάντα κατεῖχεν ἡ χιών, καὶ ἔδαφος καὶ δένδρα καὶ κρήνας. καὶ
δῆλον δὴ ὅτι καὶ ταῦτα ὑπηκούομεν ἀσμένως.

12 Τοιαῦτα μὲν κατὰ τὴν πορείαν τὴν ἐπ' Αἴσηπον καὶ τὴν ἐκεῖ-
θεν αὖθις ἀναστροφήν. ἦν δὲ ἡγεμὼν τῆς Ἀσίας τότε ἀνὴρ καὶ
μάλα τῶν γνωρίμων Σεβῆρος τῶν ἀπὸ τῆς ἄνωθεν Φρυγίας· περὶ
ὃν θαυμαστὰ ἐπράχθη τῷ θεῷ, διαφέροντα ἐμοί, περὶ ὧν ἴσως
13 ἐφεξῆς ἂν εἴη λέγειν. τὸ μὲν οὖν πρῶτον, ὥσπερ ἔφην, οὕτω παρ-
έστη μοι διελθεῖν εὐθὺς τὰς περὶ τοῦτο εὐεργεσίας· ἔπειτ' ἔδοξεν
ἀνελθεῖν ἐπὶ τοὺς ἄνω χρόνους καὶ τὰς ἄλλας προδιηγήσασθαι
παρὰ τοῦ θεοῦ τιμὰς εἰς τὸ δυνατόν, πρῶτον μὲν τὰς εἰς τοὺς
λόγους γενομένας καὶ ὅσαι τοιαῦται, ἔπειτα τὰς ἐπὶ τῶν πράξεων
τῶν κατὰ τὰς ἡγεμονίας· ἐπειθ' ὅταν συμβαίνῃ τὰκ τῶν χρόνων,
ὅρος τις κείσεται τοῦ προτέρου λόγου, πρὸς ὃν τὰ λοιπὰ συνάπτειν
14 δεήσει. ἐνιαυτὸν μὲν γὰρ μάλιστα τὸν πρῶτον τῆς ἀσθενείας
ἐξέλιπον τὴν περὶ τοὺς λόγους διατριβήν, οἷα ἐν τοσούτοις τε καὶ
τοιούτοις πράγμασι τοῦ σώματος, καὶ ἅμα ἀπηλγήκειν. καθημένῳ
δέ μοι ἤδη ἐν Περγάμῳ κατὰ τὴν κλῆσίν τε καὶ ἱκετείαν γίγνεται

---

1 *καὶ χρόνοις κτἑ.*] cf. or. XLVIII § 18 et 37 sqq. 3 *ἓξ μῆν μέν τινα* A[1] (corr. A[2]) 6 *καθίστησι*] *καθίστη* TS p. ras. 9 *παίζοντα*] *παιανίζοντα* ci. Büchner l. c. *αὐτοῖσ* O 10 *ἐπὶ*] *ἐν τοῖσ* D 12 *τρόπον*] *τόπον* DA p. ras. *βεβαιότητος οὕνεκα*] ad corroborandum corpus; cf. p. 248, 22; 422, 2 19 *Σεβῆρος*] fort. Cn. Claudius Severus Arabianus cos. a. 146 p. Chr. n., de quo Prosopogr. Imp. Rom. I p. 399 n. 813; de proconsulatu non constat 21 *ὥσπερ ἔφην*] verbis quae proxime antecedunt *περὶ ὧν — λέγειν* 22 *τὰσ* sic O *τοῦτο*] an *τοῦτον*, cf. v. 19. 20 *περὶ ὃν* 26 *τάκ* sic O

824 J παρὰ τοῦ θεοῦ πρόσταγμα καὶ παράκλησις μὴ προλιπεῖν τοὺς
λόγους. ὅ τι μὲν δὴ πρῶτον τῶν ὀνειράτων ἀφίκετο ἢ πῶς ἕκα- 15
στον ἔχον τοῖς ἅπασιν, ἀμήχανον εἰπεῖν ὑπὸ πλήθους ἐτῶν. ἦν
δ' οὖν ἐκεῖνά τε τῶν παρακλητικῶν ‘σοὶ πρέπουσιν λόγοι σὺν Σω-
κράτει καὶ Δημοσθένει καὶ Θουκυδίδῃ’, κατὰ πρώτας εὐθὺς γενό-
μενα, καὶ δὴ καὶ τῶν ὑπὲρ ἡμᾶς τοῖς χρόνοις ἐνδόξων ἐδείχθη τις,
506 D ὡς ἂν μάλιστα ἐκινήθην εἰπεῖν. καὶ τό γε σφόδρα πρῶτον ἀπάρ-
ξασθαί με ἐκέλευεν ἑαυτῷ προσελθόντα εἰς τὴν στοὰν τοῦ ἱεροῦ
τὴν πρὸς τῷ θεάτρῳ τῶν αὐτοσχεδίων δὴ τούτων λόγων καὶ ἀγω-
νιστικῶν· καὶ συνέβη οὑτωσί. θεωρία τις ἦν ἐν τῇ πόλει πάνυ 16
λαμπρὰ ἢ ταύρων θήρα μοι δοκεῖν ἤ τι τοιοῦτον. οἵ τε οὖν ἐκ
τοῦ ἱεροῦ κατεδεδραμήκεσαν πάντες ἥ τε πόλις περὶ ταῦτα εἶχεν.
κατελελείμμεθα δὲ ἐν τῷ ἱερῷ τῶν γνωριμωτέρων θεραπευτῶν
δύο, ἐγώ τε καὶ Νικαεὺς ἀνήρ, τῶν ἐστρατηγηκότων Ῥωμαίοις,
Σηδᾶτος ὄνομα, τὸ δ' ἀρχαῖον Θεόφιλος. καθήμεθα οὖν ἐν Ὑγι-
είας, οὗ ὁ Τελεσφόρος, καὶ διεπυνθανόμεθα ἀλλήλων, ὥσπερ
εἰώθειμεν, εἴ τι καινότερον εἴη παρηγγελκὼς ὁ θεός· καὶ γάρ πως
ἔστιν ἃ καὶ παραπλήσια ἐκάμνομεν. ἔφην οὖν ἐγὼ μὴ ἔχειν ὅ τι 17
χρήσωμαι, προστετάχθαι γάρ μοι ἴσα καὶ πέτεσθαι, μελέτην λόγων,
ἀναπνεῖν οὐ δυναμένῳ, καὶ ταύτην ἐνταυθοῖ, λέγων [αὐτῷ] τὴν
στοάν, καὶ τὸ ὄναρ διηγοῦμαι. καὶ ὃς ἀκούσας ‘τί οὖν, ἔφη, ποι-
ήσεις, καὶ πῶς ἔχεις;’ ‘τί δ' ἄλλο γε, ἔφην, ἢ ἅπερ δυνατόν, ταῦτα
ποιήσω. περιβαλλόμενος θοἰμάτιον, στὰς οὑτωσί, τὸ πρόβλημα
ἀποσημήνας αὐτὸς πρὸς ἐμαυτὸν καὶ μίκρ' ἄττα ὑπαρξάμενος εἶτ'
ἀπαλλάξομαι, καὶ οὕτως ἀφωσίωταί μοι.’ ‘μηδαμῶς, ἔφη, μὴ
οὕτως. ἀλλ' ἐμέ τ' ἀκροατὴν ἔχεις τουτονί, καὶ ἀγώνισαι πάσῃ
προθυμίᾳ· δυνάμεως δὲ μελήσει τῷ θεῷ. τί οἶσθα εἰ καὶ εἰς
πλέον φέρει τὸ ὄναρ;’ καὶ ἅμα διηγεῖταί μοι ἔργον τοῦ θεοῦ θαυ-
507 D μαστόν, ὥς τινι κάμνοντι προστάξας οὕτω διαγωνίσασθαι συμ-

---

4. 5 *Σωκράτει*] *Ἰσοκράτει* ci. Canter, falsus: Aristides somnio hortatus est, ut Platonem Demosthenem Thucydidem exempla sibi proponeret eorumque scriptis vacans quasi colloqueretur (*λόγοι σὺν*) cum illis et viveret 6 *καὶ εἰ δὴ καὶ* A[2] *τῶν — ἐνδόξων*] oratoris aequalis maior natu 7 *ἐκινήθη* D 8 *ἐκέλευεν* A: *ἐκέλευσεν* SDT 9 *δὴ τούτων*] *διὰ τούτων δὴ* D 11 *ταύρων θήρα*] i. e. *ταυροκαθάψια*, Fränkel ad Inschr. v. Perg. n. 523 12 *καταδεδραμήκεσαν* et 13 *καταλελείμμεθα* O (correxi) 15 *Σηδᾶτος*] idem p. 405, 14; 436, 27; vir senatorius et praetorius erat, ceteroquin ignotus; cf. Prosopogr. Imp. Rom. III p. 190 17 *εἰώθειμεν*] *ει* posterius in ras. A[2], *εἰώθαμεν* S[1] (sine dubio A[1]) 19 *χρήσωμαι* AS: *χρήσομαι* DT 20 *οὐ* AD: *μὴ* ST *ἐνταυθοῖ*] cf. p. 469, 19; Meisterhans Gr. d. att. Inschr.[2] p. 116; Demosth. XXIII 66 *αὐτῷ* seclusi, glossema ad *διηγοῦμαι* 25 *ἀφωσιώσεται* ci. Ddf., non necessarium 28 *φέροι* D (Junt.)

βάντος ἱδρῶτος δι᾽ ἀγωνίαν λύσειεν τὸ νόσημα πᾶν. ἐδόκει χρῆναι 325 J

18 *οὕτω ποιεῖν. καὶ λαλούντων ἡμῶν καὶ βουλευομένων ἐπεισέρχεται Βύβλος ἐκ τρίτων, θεραπευτὴς τῶν παλαιῶν καί τινα τρόπον πρόθυμος περὶ λόγους· οὗτος καὶ τὸ πρόβλημα ἦν ὁ προβαλών. καὶ ἦν γε τὸ πρόβλημα τοιόνδε — μέμνημαι γάρ, ἅτε καὶ πρῶτον λαβών· ‘Ἀλεξάνδρου, φησίν, ἐν Ἰνδοῖς ὄντος συμβουλεύει Δημοσθένης ἐπιθέσθαι τοῖς πράγμασιν’. εὐθὺς μὲν οὖν ἐδεξάμην τὴν φήμην, τὸν Δημοσθένη τε αὖθις λέγοντα καὶ τοὺς λόγους ὄντας περὶ τῆς ἡγεμονίας. καὶ μικρὸν ἐπισχὼν ἠγωνιζόμην, καὶ τά τε δὴ τῆς ἄλλης δυνάμεως ἦν οἷα θεοῦ παρασκευάζοντος, καὶ ἔδοξεν ὁ τοῦ ἐνιαυτοῦ χρόνος οὐ σιωπῆς, ἀλλ᾽ ἀσκήσεως εἶναι.*

19 *Ἀρχὴ μὲν οὖν αὕτη τῆς μελέτης τῶν λόγων ἡμῖν ἐγένετο, καὶ οὕτως ἐπανήλθομεν. ἐγίγνετο δὲ καὶ ἄλλα πολλὰ εἰς ταὐτὸν φέροντα, καὶ τὸ δὴ μάλιστα ἐπιρρῶσαν τοιόνδε ἦν. Ῥώσανδρος ἦν τῶν φιλοσοφούντων καὶ ἄλλως περὶ τὴν τοῦ θεοῦ θεραπείαν ἐπιμελής· οὗτος ἐδόκει μοι παρ᾽ ἀνδρὸς φιλοσόφου τῶν ἐπιφανῶν ἀρτίως διειλεγμένου παρὼν ἑστάναι πρόσθεν τῆς κλίνης, οἷον ἔνθεός τε καὶ σφόδρα ἐσπουδακώς· ἔπειτα λέγειν περὶ τῶν λόγων τῶν ἐμῶν εἰς ὅσον προβεβηκότες εἶεν, μνησθῆναι μὲν δὴ Πλάτωνος καὶ Δημοσθένους, ἐφ᾽ οἷσπερ ἐμνήσθη ἑκατέρου, ἀκροτελεύτιον δ᾽ ἐπιθεῖναι ‘παρῆλθες ἡμῖν τῷ ἀξιώματι τὸν Δημοσθένη, ὡς μηδ᾽ αὐτοῖς ἄρα τοῖς φιλοσόφοις εἶναι ὑπερφρονῆσαι’. τοῦτο τὸ ῥῆμα πᾶσαν ἐμοὶ τὴν ὕστερον φιλοτιμίαν ἐξῆψεν, τοῦτ᾽ ἐποίησε πᾶν ὅ τι ποιοίην περὶ λόγους ἔλαττον εἶναι τοῦ δέοντος νομίζειν.*

20 *καὶ μέντοι καὶ ὕπαρ αὐτὸς ἐπεσφραγίσατο ὁ θεός. μετὰ γὰρ τὴν νύκτα ἐκείνην, ἢ .... τὸν ὄρθρον ἦγεν, εὐθὺς μελέτην ἐποιούμην, κατ᾽ ἀρχὰς ἔτι τῶν χρόνων ὥσπερ λέγω· καὶ οἱ παρόντες οὐδέν πω τοῦ ὀνείρατος προπεπυσμένοι, τῶν δὲ λόγων ἀκροώμενοι τότε πρῶτον, μάλιστα δὴ τοῦτο ἐπεσημήναντο τὸ ἀξίωμα, καὶ τοῦτο*

21 *πλεῖστον ἦν αὐτοῖς τοῦ θορύβου. χρόνῳ δ᾽ ὕστερον εἰς τὸν Ῥώ-* 508 D
σανδρον φέρον τοιόνδε μοι γίγνεται. ἐδόκουν ἐν Διὸς Ὀλυμπίου χωρίῳ κατὰ δή τινα διατριβὴν ἤτοι πρὸς ἐμαυτὸν διανοηθῆναι ἢ

---

3 *βύβλοσ* ASD (i. e. Bibulus): *βίβλοσ* T; ceteroquin ignotus 8 *αὖθις*] respicit ad *Δημοσθένει* p. 429, 5 14 *Ῥώσανδρος*] cf. v. 30 sq. et ad p. 388, 20; ceteroquin ignotus 17 *διειλεγμένου* A: *διειγγελμένου* S[1], *διηγγελμένου* DTS[2] 18 *λέγειν*] ad hoc appositive *μνησθῆναι* et *ἐπιθεῖναι* v. 19. 21 20 an *οἷσπερ ⟨καὶ⟩*? 22 *τοῦτο τὸ ῥῆμα*] cf. p. 438, 33 26 lacunam indicavi; fort *ἢ ⟨τὸ ὄναρ περὶ αὐτὸν⟩ τὸν ὄρθρον ἦγεν*; temporis notio necessaria: *πρὸς αὐτῇ τῇ ἕῳ* potissimum licet *ἰδεῖν τὸ ἀληθές* (Artemid. I 7, p. 13, 23 sq. H.), quare tempus p. 437, 12. 447, 34 indicavit 27 *ὥσπερ λέγω*] p. 429, 5 31 *τοιόνδε* Ddf.: *τοιοῦτον δέ* O(-*ῦτόνδέ* T, -*υτόνδέ* S[2])

326 J τινα δεικνύναι μοι καὶ φράζειν ὡς ὁ Ῥώσανδρος δύναται δηλοῦν
τὸν θεὸν καὶ τὴν ἀπόδειξιν αὐτοῦ ποιεῖσθαι διὰ γραμμῆς τινος
ὥσπερ οἱ γεωμέτραι, γράψαντα δύ' ἑξῆς ὀνόματα ἐπὶ τῆς γῆς ἐξ ἴσου,
τὸ μὲν Ῥώσανδρος, τὸ δὲ ἕτερον Θεόδοτος — καί πως τοῦτο Θεο-
δώτης ἦν ἐν τῇ γραφῇ —· σαφὲς δ' εἶναι τοῦτό γε, ὡς ἄρα ὁ
Θεόδοτος ὁ ἰατρὸς τὸν θεὸν δηλοῖ, ταὐτὸν οὖν δύνασθαι καὶ τὸν
Ῥώσανδρον, ἐπείπερ ἴσον γε Ῥώσανδρος καὶ Θεόδοτος. τοσαῦτα
μὲν περὶ τοῦ ὀνόματος ἐδήλωσε τοῦ Ῥωσάνδρου. συνέβαινε δέ μοι 22
λαμβάνοντι μὲν τὰ προβλήματα καὶ καθισταμένῳ πρὸς τὸν ἀγῶνα
ἀπορεῖσθαι καὶ μόλις ἀναφέρειν ἐπιλείποντος τοῦ πνεύματος,
προϊόντι δὲ τῶν προοιμίων ῥᾷον ἴσχειν ἤδη καὶ ἀναπνεῖν οἵῳ τε
εἶναι, καὶ προϊόντος αἰεὶ τοῦ λόγου δυνάμεως ἐμπίπλασθαι μετὰ
κουφότητος καὶ συνείρειν οὕτως ὥσθ' ἕπεσθαι μόλις τοὺς ἀκρο-
ωμένους. καὶ ἦν δὴ τὸ θέαμα κρεῖττον ἢ τὸ ἀκρόαμα γνώμην γ'
ἐμήν. ἐγένετο δὲ καὶ ἄλλοις ὀνείρατα ὑπὲρ ἐμοῦ φέροντα εἰς ταὐ- 23
τόν. τοῦτο μὲν Εὐάρεστος Κρής, τῶν ἐν φιλοσοφίᾳ διατριβόντων
ἐλθὼν ἀπὸ Αἰγύπτου καθ' ἱστορίαν τῶν περὶ τὸν θεόν, γνώριμος
καὶ συνήθης ἐμοὶ γεγονὼς ἐπὶ τῆς ἐν Αἰγύπτῳ διατριβῆς, ἔφη
προστάξαι τὸν θεὸν αὐτῷ προτρέπειν ἐμὲ πρὸς τοὺς λόγους, ὡς
παντὸς μᾶλλον ἐμοὶ προσήκοντας· τοῦτο δὲ Ἑρμοκράτει Ῥοδίῳ
509 D ποιητῇ μελῶν ὄναρ γίγνεται — ὡς αὐτὸς ἔφη πρὸς ἐμὲ ὁ Ἑρμοκρά-
της· ἐξελελοίπειν δ', οἶμαι, μίαν ἢ δευτέραν τινὰ ἡμέραν —·
'ἔπειτ' Ἀριστείδης ἀγανακτήσει καὶ φήσει τὸν στόμαχον
ἀλγεῖν, οὐκ ἐθέλων λέγειν'. οὕτω μὲν ἀπανταχόθεν εἰς συνέχειαν 24
κατέστη τὸ πρᾶγμα, συνεκρότει δὲ καὶ προὐβίβαζεν πολλαχῇ τὴν
δύναμιν. τῶν τε γὰρ παλαιῶν ἀνδρῶν ἐν οἷς χρὴ διατρίβειν
ἔφρασε, καὶ ποιητῶν λέγω καὶ τῶν ἄλλων, καί τινων καὶ καιρὸν
ἔταξε τῆς χρήσεως· καί μοι πάντες οὗτοι μετ' ἐκείνην τὴν
ἡμέραν ἑταῖροι σχεδὸν ἐφάνησαν, τοῦ θεοῦ προξενήσαντος.

2 γραμῆσ ST[1] 3 δύ'] δὴ T[1] a. corr. 4. 5 θεοδώτησ A, θεοδότησ ST: θεόδοτοσ D; CIG. 2355 Θεοδώτα (genet.) 5 σαφὲς κτἑ.] Theodotus (cf. ad p. 379, 19) idem qui Aesculapius (quia medicus uterque); atqui Rhosander Theodotus (ἐξ ἴσου v. 3), ergo Rhosander Aesculapius, ita ut ipse deus oratorem firmet (ἐπιρρῶσαν p. 430, 14 — Ῥώσανδρος) 10 ἀναφέρειν] sc. φωνήν, λόγον 11 τῶν προοιμίων AS a. ras.: τῷ προοιμίῳ DTS p. ras. 12 ἀεὶ A[1] (corr. A[r]) 16 Εὐάρεστος Κρής] ceteroquin ignotus, item Hermocrates Rhodius v. 20 19 αὐτῷ O 20 προσήκοντας scripsi: προσήκοντοσ O 23 ἔπειτ' Ἀριστείδης κτἑ.] verbis v. 21 ὡς αὐτὸς — ἡμέραν parenthetice interiectis, ex somnio illo ea tantum orator refert verba, quae ad rem faciant; item p. 439, 19 24 ἐθέλων DTS[2]: ἐθέλω AS[1] 28 ἐκείνην τὴν ἡμέραν] qua somnium § 19 vidit

25 καὶ μὴν τό γε πλεῖστον καὶ πλείστου ἄξιον τῆς ἀσκήσεως ἡ 327 J
τῶν ἐνυπνίων ἦν ἔφοδος καὶ ὁμιλία. πολλὰ μὲν γὰρ ἤκουσα νι-
κῶντα καθαρότητι καὶ λαμπρῶς ἐπέκεινα τῶν παραδειγμάτων,
πολλὰ δ' αὐτὸς λέγειν ἐδόκουν κρείττω τῆς συνηθείας καὶ ἃ οὐδε-
πώποτε ἐνεθυμήθην· ὧν ὅσα γε ἐμνήσθην ἐν ταῖς ἀπογραφαῖς
τῶν ὀνειράτων ἔστησα, ἐν οἷς ὅ τε ὑπὲρ τοῦ δρόμου λόγος λεχθείς
ἐστιν, ὅτε ἐκέλευεν χρῆσθαι δρόμῳ, καὶ πολλὰ ἕτερά ἐστιν. καὶ
ἐν τοῖς βιβλίοις ἐνέσπαρται τοῖς ἡμετέροις Ἀθηνᾶς τε ἐγκώμιον
26 καὶ Διονύσου καὶ ἑτέρων ὡς ἕκαστόν που συμβαίνοι. πολλὰ δὲ
καὶ προβλήματα ἀφίκετο καὶ ὅπως χρὴ τὸ σύμπαν μεταχειρίσασθαι
παρεδείχθη, χωρὶς τῶν εἰς μνήμην δι' ἀκριβείας ἐλθόντων ῥημά-
των. ἦν δέ τις καὶ οὗτος τρόπος φέρων εἰς ἐπίδοσιν, ὁ τῆς
ἀδήλου παρασκευῆς· ἔδει γὰρ ἀναστῆναι κεκεντρωμένον εἰς λόγους
καὶ παρεσκευασμένον ἐκ νυκτός, ὥσπερ ὅταν ἀθλητὴς προγυμνά-
σηται τὰ ἑωθινά. ἧκεν δέ ποτε καὶ τοιοῦτον ἐπίταγμα, πλέξαι
λόγον διὰ ψιλοῦ τοῦ νοῦ καθάπερ διὰ ῥημάτων, καί μοι δῆλον
ἦν ὅτι πολύνοιαν εἰσηγοῖτο ὁ θεός. ὅτι δ' οὖν ἡ τῶν λόγων ἕξις
ἡμῖν, σὺν αὐτῷ γ' εἰρῆσθαι, εἰ τὰ μάλιστα καὶ πρόσθεν μὴ σφό-
δρα εὐκαταφρόνητος ἦν, ἑτέρα τις ἐξ ἑτέρας ἐγένετο αὐτοί τε σύν- 510 D
27 ισμεν καὶ ὑπὸ τῶν εἰδότων γνωρίζεται. καὶ δὴ Παρδαλᾶς ποτε
ἐκεῖνος, ὃν ἐγὼ φαίην ἂν ἄκρον τῶν ἐφ' ἡμῶν Ἑλλήνων γενέσθαι
γνῶναι λόγους, ἐτόλμησεν εἰπεῖν πρὸς ἐμὲ καὶ διισχυρίσασθαι, ἦ
μὴν νομίζειν τύχῃ τινὶ θείᾳ συμβῆναί μοι τὴν νόσον, ὅπως τῷ
θεῷ συγγενόμενος ἐπιδοίην ταύτην τὴν ἐπίδοσιν. ὅσα δὲ ἄλλα ἢ
'κεῖνος εἰώθει φθέγγεσθαι κοσμῶν τοὺς ἡμετέρους λόγους ἢ τῶν
ἄλλων πρεσβυτῶν οἱ βέλτιστοι καὶ γνωριμώτατοι κατ' ἐκείνους
τοὺς χρόνους, ἔξω τῆς τε ὑποθέσεως καὶ ἅμα τῆς γνώμης τῆς
28 ἐμῆς λέγειν ἐστίν. ἀλλ' ὄναρ εἰπεῖν βούλομαι. ἐν ⟨τῷ⟩ χωρίῳ
μὲν ἐδόκουν εἶναι οὗπερ ἐτράφην, παρεῖναι δὲ Ῥουφῖνον, οὗ τὰ
μεγάλα ἀναθήματα καὶ ⟨ὁ⟩ νεὼς ὁ πολυειδής· καὶ δῆτα τά τε

3 *παραδειγμάτων*] cf. ad p. 429, 4. 5 6 *οἷς*] an *αἷς*? 7 prius *ἐστιν* deleverim 8 *Ἀθηνᾶς τε ἐγκώμιον καὶ Διονύσου*] or. XXXVII et XLI 9 *ἑτέρων* Canter: *ἑτέροισ* O; *ἕτερ'* ci. Wil. dubitanter *συμβαίνει* T (Junt.) 11 *χωρὶς — ῥημάτων*] ipsa verba deus dedit quae orator memoria teneret, cf. or. XXVIII § 21 13 *ἀναστῆσαι* A, at *ν* sup. *σ* posterius add. A[r] 17 *πολὺν. οἷ εἰσηγεῖτο* D 20 *Παρδαλᾶς* scripsi: *πάρδαλόσ* O; est nobilissimae gentis Sardianae, cf. p. 447, 12 (428, 19) 21 *ἡμῖν* D 23 *μὴν* A[r]DTS[2]: *μὴ* A[1]S[1] *τύχῃ τινὶ θείᾳ* Canter: *τύχησ συνηθεία(ι)* O; cf. p. 434, 2 24 *θεῷ συγγενόμενος*] cf. § 52 28 *τῷ* addidi; cf. p. 418, 13 29 *δὲ*] *δὲ καὶ* D *Ῥουφῖνον*] cf. p. 436, 19; 446, 8. 16; 451, 29 sqq.; est L. Cuspius Pactumeius Rufinus (Prosopogr. Imp. Rom. I p. 488 n. 1337), de quo alias 30 ⟨*ὁ*⟩ addidi

ἄλλα χαίρειν αὐτόν μοι διαφερόντως καὶ φάναι εἰς τὸ μέσον· ‘ποῦ
νῦν ἂν ἦν, εἰ περιῆν ὁ δεῖνα ὁ μελετητής;’ οὕτω γὰρ εἰπεῖν τῷ
328 J ῥήματι, τὸν κορυφαῖον δὴ λέγοντα τῶν ἐφ᾽ ἡμῶν. καὶ αὐτὸς συνεὶς
εἰπεῖν πρὸς τουτονί· ‘Βάσσε, ὁρᾷς οἷα ὁ θεὸς περὶ ἐμοῦ λέγει,
οὗτος ὁ Ῥουφῖνος δή;’ Ἐκέλευε δὲ καὶ συντιθέναι λόγους, οὐ μόνον 29
ἐκ τοῦ παραχρῆμα ἀγωνίζεσθαι, καὶ προσέτι γε ἐκμανθάνειν ἔστιν
ὅτε κατὰ ῥῆμα. καί μοι τὸ πρᾶγμα πολλὴν παρεῖχε τὴν ἀπορίαν
οὐδὲν τῶν ὕστερον οὔτ᾽ ἐνθυμηθῆναι δήπου δυναμένῳ οὔτε πι-
στεῦσαι τί ποτ᾽ αὐτῷ βούλεται ταῦτα. πάνυ γοῦν ἐν τούτοις ἐμοὶ
. . . . † ποῦ δὲ ἔξεστι σχολάσαι τοσοῦτον, σωθῆναι πρότερον ἦν·
τῷ δέ, ὡς ἔοικεν, ἅμα μὲν σοφίσματα ταῦτ᾽ ἦν εἰς τὰ παρόντα,
ἅμα δ᾽ ἐδόκει τι κρεῖττον αὐτῷ ἢ σῶσαι μόνον. ἔσῳζεν οὖν διὰ
πλείονος ἀξίων ἢ ὅσουπερ ἦν τὸ σωθῆναι. καὶ δὴ καὶ ὀδόντας 30
ἀλγῶν ποτε ἔτυχον καὶ οὔτε διᾶραι τὸ στόμα οἷός τ᾽ ἦν ἀπορίᾳ
τε εἰχόμην δεινῇ· ὁ δὲ προστάττει τῶν λόγων τινὰ ἀναγνῶναι
511 D τῶν πεποιημένων μοι τοῖς φίλοις ἐπαγγείλαντα συνουσίαν. εἶχον
δὲ τότ᾽ ἐν χερσὶ τὸν τρίτον τῶν εἰς αὐτὸν λόγων· τοῦτον ἀνέγνων
διὰ τέλους, καὶ πρὶν ἅπαντα διελθεῖν, τῆς ὀδύνης ἀπηλλάγμην.
Ἐνῆγεν δέ με καὶ πρὸς τὴν τῶν μελῶν ποίησιν. ἀρχὴ μὲν οὖν 31
τις ἐγένετο ἐν Ῥώμῃ ἐξ Ἀπόλλωνος. ἦλθε γάρ μοι ἐνύπνιον φράζον
τόν τε παιᾶνα ὡς δέον ποιῆσαι τῷ θεῷ καὶ ἅμα τὴν ἀρχὴν αὐτοῦ,
καὶ εἶχεν οὕτω πως·

Φορμίγγων ἄνακτα Παιᾶνα κληίσω.

ἠπόρησα μὲν δὴ ὅ τι χρήσωμαι διὰ τὸ μήπω πρόσθεν ἐμαυτοῦ πεῖραν ἐσχηκέναι περὶ ταῦτα, ἀλλ᾽ ἐδόκουν παντελῶς ἔχειν ἀδυνάτως· ὅμως δ᾽ ἐνεχείρησα καὶ τῆς ἀρχῆς οἷον ἐπιβάθρας ἐχόμενος ἐπέρανα τὸ ᾆσμα ἐν δυοῖν στροφαῖν, καὶ τρίτην, οἶμαι, τινὰ ἐπήγαγον, ἣν καλοῦσιν οἱ γραμματικοί μοι δοκεῖν ἐπῳδόν. καὶ ἄρτι τε ἀπείργαστο τὸ ᾆσμα καὶ προσαγγέλλει μοί τις ἑορτὴν Ἀπόλ-

2 ὁ δεῖνα] Bassus v. 4; cf. or. XLVII § 21 οὕτω γὰρ κτἑ.] e Demosth. prooem. 50, 3 οὕτω γὰρ εἶπε τῷ ῥήματι 4 τουτονί· Βάσσε scripsi: τουτονὶ βάσσον· O 8 ⟨ὡς⟩ οὐδὲν Canter τῶν ὕστερον] quae inde fierent 10 lacunam ind. Ddf.; sententia vv. πάνυ — ἦν fuisse videtur: mihi haec acceptissima fuerunt; etenim ut tam strenue dicendi studio incumberem, quod iussus fui, id ita tantum fieri potuit, ut viverem prius; ἐμοὶ ⟨τὸ πρᾶγμα ἦν⟩, ποῦ . . . σχολάσαι; τοσοῦτον κτἑ. ci. Büchner l. c., quae non intellego 13 ἀξίων legi: ἀξιῶν O (edd.) 14 διᾶραι τὸ στόμα] alio significatu Demosth. XIX 112. 207; XXI 67 15 ἀναγνῶσαι S^1 22 οὕτωσ D 23 Φορμίγγων ἄνακτα] cf. Pind. O. II 1 Ἀναξιφόρμιγγες ὕμνοι κληίζω ci. Wil. 24 ὅ τι] ὅτω D χρήσομαι DA^2S^2 26 ἐπιβάθρας legit Schmid p. 216: ἐπὶ βάθρασ O; cf. p. 450, 5 27 τρίτον D 29 ἑορτὴν Ἀπόλλωνος] ludi Apollinares, circenses a. d. III Id. Iul.; Ἀπολλώνια p. 434, 1 suspectum

λωνος εἶναι, Ἀπολλώνια, ἐν ᾗ τὴν ἱπποδρομίαν Ῥωμαῖοι ποιοῦσιν
32 τῷ θεῷ. Τοῦτο μὲν δὴ τοιοῦτον ἐγένετο. καὶ τύχῃ δή τινι θείᾳ,
ὡς ἀνεκομιζόμεθα ἐκ τῆς Ἑλλάδος, συμβάντος χειμῶνος πρῶτον
μὲν εἰς Δῆλον, ἔπειτα εἰς Μίλητον ἀπεσώθημεν, ἀμφοτέρας ἱερὰς
Ἀπόλλωνος. ἄξιον δὲ καὶ τοῦτο ἀποδοῦναι τῷ Ἀπόλλωνι τῷ
33 Δηλίῳ τε καὶ Σωτῆρι, ἐπειδήπερ ἐνταῦθ᾽ ἥκομεν τοῦ λόγου. ὡς 329 J
γὰρ ἐξέβην εἰς τὴν Δῆλον, ἀχθεσθεὶς τῷ κυβερνήτῃ, ταραχώδει τε
ὄντι καὶ ὑπεναντία τοῖς ἀνέμοις πλέοντι καὶ οἷον ἀροῦντι τὸ πέ-
λαγος, εὐθὺς ὅρκῳ καταλαμβάνω, ἦ μὴν μήτε ἐκπλεύσεσθαι δυοῖν
34 ἡμερῶν, ʽἀλλ᾽ εἰ φίλον αὐτῷ, πλείτω, ἔφην, ἐφ᾽ ἑαυτοῦ.᾽ κἀγὼ
μὲν τῷ θεῷ θύσας καὶ διατρίψας ὅσον οἷός τ᾽ ἦν περὶ τὸ ἱερόν,
εἰσελθὼν εἰς τὸ δωμάτιον καὶ προειπὼν τοῖς οἰκέταις, ἂν ἀφί-
κηταί τις ἐκ ⟨τοῦ⟩ πλοίου, χαίρειν κελεύειν, ἀνεπαυόμην ἐν τῷ λιμένι
τῶν Δηλίων. οἱ δ᾽ ἧκον οἴνῳ βεβαρηότες οἱ ναῦται περὶ πρῶτον
ὕπνον σχεδόν, καὶ προσστάντες ἔκοπτον τὴν θύραν καὶ ἐκέλευον 512 D
ἐξιέναι καὶ χρῆσθαι πλῷ· καὶ γὰρ εἶναι θαυμαστὸν οἷον. ἀπο-
κριναμένων δὲ τῶν παίδων ὅτι ληροῖεν καὶ οὐδ᾽ ἂν εἴ τι γίγνοιτο
κινοίμην, ἀπιόντες ᾤχοντο πρὸς ὀργήν, ὡς δὴ μεγάλων στερό-
35 μενοι. ἀλεκτρυόνων τε ᾠδαὶ πλησίον ἦσαν, καὶ καταρρήγνυται
σκηπτὸς ἐξαίσιος καὶ ἡ θάλαττα ἠλαύνετο λαίλαπι ἀγρίᾳ καὶ
πάντα ἐπεκλύζετο, καὶ τὰ πλοιάρια τὰ ἐν τῷ λιμένι τὰ μὲν εἰς
τὴν γῆν ἐξέπιπτεν, τὰ δ᾽ ἀλλήλοις ἐνέπιπτε καὶ συνετρίβετο· ἡ δ᾽
ὁλκὰς ἡ κομίζουσα ἡμᾶς ἀπορραγέντων τῶν καλῳδίων ἐκυλινδεῖτο
ἄνω καὶ κάτω καὶ μόλις σὺν βοῇ πολλῇ καὶ ταραχῇ τῶν ναυτῶν
διασῴζεται· καὶ ἐπιγίγνεται ὕδωρ ἐξ οὐρανοῦ πολὺ καὶ λάβρον,
36 καὶ ἐν τῇ νήσῳ θόρυβος ἦν ὥσπερ ἐν νηί. ἅμα δὲ τῇ ἕῳ παρ-
ῆσαν μὲν οἱ φίλοι σπουδῇ, οὓς ἔτυχον ἀνειληφὼς ἰδίοις τέλεσιν
πλέων, εὐεργέτην, σωτῆρα ὀνομάζοντες, συγχαίροντες τῆς παρὰ
τῶν θεῶν προνοίας· παρῆσαν δὲ καὶ οἱ ναῦται χάριν ἤδη εἰ-
δότες καὶ θαυμάζοντες ἐξ οἵων κακῶν ἐπικειμένων ἐσώθησαν.
τὸ μὲν κέρδος τοσοῦτον καὶ ὁ μισθὸς τοῦ ᾄσματος, ὥσπερ Σι-

3 *ἐκ τῆς Ἑλλάδος*] sc. cum ex Italia in Asiam rediret, cf. XLVIII § 68 8 *οἷον ἀροῦντι*] tam securus, acsi agrum arato subigeret; aliter Eurip. frg. 670, 4 N.² 10 *ἐφ᾽ ἑαυτοῦ* sic O 12 *προειπὼν κτἑ.*] imitatur Demosth. XX 73 *εἰπὼν τοῖς πολίταις, κἂν ἀφίκηταί τις ἐκ Λακεδαίμονος, κατέχειν κελεύσας* 13 *τοῦ* addidi 14 *οἱ δ᾽ ἧκον κτἑ.*] Hom. γ 139 *οἱ δ᾽ ἦλθον οἴνῳ βεβαρηότες υἷες Ἀχαιῶν* *βεβαρηκίτεσ* D Thom. Mag. p. 63, 3 15 *προσστάντες* scripsi: *προστάντεσ* O 16 *θαυμαστὸν*] sc. *τὸν πλοῦν* 18 *κινοίμην* scripsi: *κινησοίμην* O, quod propter *ἂν* falsum, in aoristo foret *κινηθείην* (p. 409, 1); cf. p. 444, 31 28 *συγχαίροντες τῆς — προνοίας*] cf. p. 469, 2. 3; 408, 3; Demosth. XV 15 *συγχαίρω τῶν γεγενημένων*, Suid v. *συγχαίρω* 31 *τοῦ ᾄσματος*] § 31

μωνίδῃ παρὰ τῶν Διοσκούρων φασὶ γενέσθαι τὸ σωθῆναι μόνον
ἀνθ᾽ ὧν εἰς αὐτοὺς ἐποίησε, πλὴν ὅσον ἡμεῖς γε οὐ μόνοι τότε,
ἀλλὰ καὶ οἱ φίλοι μεθ᾽ ἡμῶν ἐσώθησαν. ἐχέτω δὲ ὁποτέρως τις 37
βούλεται, εἴτε τοῦ παιᾶνος ταύτην γενέσθαι τὴν ἐπικαρπίαν καὶ
513 D χάριν καὶ διὰ τοῦτο ὑπάρξαι σωθῆναι, εἴτε τοῦτο μὲν πάντως ἂν
οὕτω γενέσθαι, τὸν δὲ θεὸν προειδότα ἐφ᾽ ἅπασι τοῖς μέλλουσι
330 J σημῆναι τοῦτο μὲν ὡς ἐν θαλάττῃ κίνδυνοί τε συμβήσονται καὶ
ἐξ αὐτῶν σωτηρίαι, τοῦτο δὲ ὡς τῶν περὶ τὸ σῶμα ἀποριῶν
ἔσται παιὼν αὐτός τε καὶ τῶν αὐτοῦ παίδων ὁ πρῶτός τε καὶ
πάντα παύειν εἰδώς, ὁπόσοις κάμνουσιν ἄνθρωποι.

Λόγος δὲ ἥκει λόγῳ συνεχὴς καὶ λέγωμεν πάλιν ὡς μετὰ τῶν 38
ἄλλων ὁ Σωτὴρ Ἀσκληπιὸς καὶ τοῦτ᾽ ἐπέταξεν ἡμῖν διατρίβειν
ἐν ᾄσμασι καὶ μέλεσι, καὶ δὴ καὶ παίζειν τε καὶ τρέφειν παῖδας.
ὅσα μὲν δὴ καὶ ἄλλα τῆς συμβουλῆς ταύτης ἀπελαύσαμεν εἰς εὐ-
θυμίαν καὶ τὸ αὐταρκεῖν ἀπέραντον ἂν εἴη λέγειν, τὰ δ᾽ ᾄσματα
ᾖδον οἱ παῖδες, καὶ ὁπότε ἢ πνίγεσθαι συμβαίνοι, τοῦ τραχήλου
ταθέντος ἐξαίφνης ἢ τοῦ στομάχου καταστάντος εἰς ἀπορίας, ἤ
τις ἄλλη γένοιτο ἄπορος προσβολή, παρὼν ἂν Θεόδοτος ὁ ἰατρὸς
καὶ μεμνημένος τῶν ἐνυπνίων ἐκέλευε τοὺς παῖδας ᾄδειν τῶν
μελῶν, καὶ μεταξὺ ᾀδόντων λάθρᾳ τις ἐγίγνετο ῥᾳστώνη, ἔστιν
δ᾽ ὅτε καὶ παντελῶς ἀπῄει πᾶν τὸ λυποῦν. καὶ τοῦτο δὴ τοσοῦ- 39
τον κέρδος ἦν καὶ τὸ τῆς τιμῆς ἔτι τούτου μεῖζον· εὐδοκίμει γὰρ
καὶ τὰ μέλη παρὰ τῷ θεῷ. ἐκέλευε δ᾽ οὐ μόνον εἰς ἑαυτὸν ποιεῖν,
ἀλλὰ καὶ ἑτέρους ἐσήμαινεν, οἷον δὴ Πᾶνα καὶ Ἑκάτην καὶ Ἀχελῷον
καὶ εἰ δή τι ἕτερον. ἧκεν δὲ καὶ παρ᾽ Ἀθηνᾶς ὄναρ ὕμνον ἔχον
τῆς θεοῦ καὶ ἀρχὴν τοιάνδε·

Ἵκεσθε Περγάμῳ νέοι,

καὶ ἕτερον ἐκ Διονύσου, οὗ τὸ ἐπᾳδόμενον ἦν·

Χαῖρ᾽ ὦ ἄνα κισσεῦ
[Διόνυσε].

ᾀδομένου δ᾽ αὐτοῦ καθ᾽ ὕπνον περιέρρει τὰ ὦτα καὶ ἠχὴ θαυ-
μαστή. καὶ ἔδει τὸ γόνυ τὸ δεξιὸν κλίναντα ἱκετεύειν τε καὶ καλεῖν
514 D Λύσιον τὸν θεόν· καὶ ἔνεστι ταῦτα ἐν τοῖς ᾄσμασιν. καὶ ἕτερον 40

---

3 ὁποτέρως scripsi: ὁπότερά O 5 πάντωσ — 7 τοῦτο μὲν in O 9 τῶν αὐτοῦ O 11 Λόγος — συνεχὴς] imitatur [Plat.] ep. III 318 E εἰς λόγον ὁ λόγος ἥκει μοι συνεχὴς τῷ νῦν δὴ γενομένῳ 15 ᾄσματα — οἱ παῖδες] cf. p. 383, 21 20. 21 ἔστιν δ᾽] δ᾽ om. T[1], ἔστι δ᾽ T[2] 25 τι] τινα ci. Canter 26 καὶ τὴν ἀρχὴν D; cf. PLG III[4] 685, ubi Bergk errore, ut vid., ἕπεσθε pro ἵκεσθε 28 οὗ — ἦν] cf. p. 330, 1. 2 29 χαῖρε T 30 Διόνυσε secl. Wil. 33 Λύσιον] cf. p. 331, 26 sq.

ἧκεν ἐξ αὐτοῦ Διός — ὅ τι δὲ ἦν τούτων ἢ πρῶτον ἢ ὕστερον οὐχὶ
μέμνημαι — καὶ ἕτερον ἐκ Διονύσου πάλιν ‘οὐλοκόμην’ φράζον προσ-
ειπεῖν τὸν θεόν. ὤφθη δὲ καὶ ὁ Ἑρμῆς τήν τε κυνῆν ἔχων καὶ
τὸ κάλλος θαυμαστὸς καὶ τὴν κίνησιν ὑπερφυής· καὶ ᾄδων αὐτὸν
καὶ γανύμενος ὡς ῥᾳδίως τε καὶ τὰ προσήκοντα εἰρηκὼς ἀφ-
41 *υπνιζόμην. ἔδοξα δὲ καὶ περὶ τῶν ἐν Σμύρνῃ θεῶν ἀκοῦσαι τοῦ*
τροφέως, οἶμαι, ὡς οὐκ ὀρθῶς αὐτῶν ἐπιλελησμένος τυγχάνοιμι·
εἰκὸς γὰρ εἶναι καὶ ταύταις ὕμνου ἐπιμεληθῆναι. πλεῖστα δὲ εἰς
Ἀπόλλω τε καὶ Ἀσκληπιὸν ἐποιήθη κατὰ τὰς τῶν ὀνειράτων 331 J
ἐπιπνοίας, καὶ τούτων τὰ πολλὰ σχεδὸν ἀπὸ μνήμης οὑτωσί,
42 *ὁπότε αἰωροίμην ἐπὶ τοῦ ζεύγους ἢ καὶ βαδίζοιμι. καὶ δὴ καὶ Μα-*
κεδόνι ἀνδρί, ἑνὶ τῶν συμφοιτητῶν, ὄναρ γίγνεται, ὡς ἀπήγγελλεν
ἐμοὶ ⟨ὁ⟩ Θεόδοτος — οὐ γὰρ αὐτὸς εἶχεν συνήθως ἐμοί — ἄντι-
κρυς φέρον εἰς ἐμέ. ἐδόκει γὰρ ᾄδειν ἐμὸν παιᾶνα, ἐν ᾧ ταύτην
τὴν πρόσρησιν εἶναι· ‘Ἰὴ Παιὰν Ἡρακλες Ἀσκληπιέ.’ καὶ οὕτω
δὴ τὸν παιᾶνα ἀπέδωκα ἀμφοτέροις τοῖς θεοῖς κοινόν.

43 *Καὶ τοίνυν καὶ χοροὺς ἔστησα δημοσίᾳ, δέκα τοὺς σύμπαντας,*
παίδων, τοὺς δὲ ἀνδρῶν. καὶ συνέβη τι τοιοῦτον, ἡνίκα τὸν πρῶ-
τον ἤμελλον ἀνάξειν χορόν. ἦν ἐν τῷ νεῴ Ῥουφῖνος, οὗ μικρῷ
πρόσθεν (p. 433, 5) *ἐμνήσθην· ἰδὼν οὖν αὐτὸν ‘εἰς καλὸν ἥκεις,*
ἔφην, εἰ ἄρα καὶ σχολή σοι· μέλλω γὰρ στήσειν χορὸν τῷ θεῷ·
καὶ δῆλον δὴ ὅτι ἀκροάσῃ ἡμετέραν χάριν’. ‘ἀλλ’ οὐδέν, ἔφη, δεῖ
καλεῖσθαί με ὑπὸ σοῦ, ἀλλὰ προκέκλημαι ὑπὸ τοῦ θεοῦ. τεκμαίρου
δέ, ἔφη, καὶ τῇ ὥρᾳ· οὐ γάρ πω πρότερον τηνικάδε ἀπήντησα, 515 D
ἀλλὰ πολὺ ὕστερον εἰώθειν φοιτᾶν. ἀλλὰ κέκλημαί γε, ἔφη, καὶ
τούτων εἵνεκα καὶ εἰς τὴν ἀγαθὴν τύχην, καί σοι συμπαρεστήξομεν
ἡμεῖς’, αὐτὸν δὴ λέγων καὶ τὸν Σηδᾶτον, ὃς ἦν ἡμῖν συμφοιτητὴς
44 *ἐν τῷ τότε. καὶ τοῦτο μὲν περὶ τὴν πρώτην προσαγωγὴν τοῦ*
χοροῦ συνέβη. πάλιν δὲ ἐπὶ τῷ δεκάτῳ τελεσθέντι ἐγὼ μὲν ἐν

---

2 *οὐλοκόμην*] alterum vocis exemplum Plut. Arat. 20 2. 3 *προσειπεῖν* T: *προειπεῖν* AD *πρὸ εἰπεῖν* S a. corr. (correctura non perfecta) 5 *γαννύμενοσ* O *ῥᾳδίως*] cf. p. 437, 2 6 *τῶν — θεῶν*] cf. ad p. 22, 7 8 *ὕμνου* D: *ὕπνου* AST; ‘par enim esse me etiam his (patriis deabus) hymnum dedicare’ (Wil.) 11 *αἰωροίμην* A¹DTS²: *ἑωρούμην* A^r S¹ *καὶ δὴ καὶ κτἑ.*] eadem refert or. XL § 21 13 *ὁ* addidi; cf. p. 435, 18 14 *ᾄδειν* AD: om. ST 16 *ἀπέδωκα — κοινόν*] cf. p. 385, 13 18 ⟨*τοὺς μὲν*⟩ *παίδων* Canter, at cf. p. 29, 9, 10; 437, 24 *Ἀσκληπιοῦ* (Krüger, Gr. Gr. § 50, 1, 12), quanquam non plane eadem locorum condicio et ratio 19 *ναῷ* T 22 *ἀκροάσει* AS¹ *ἡμετέραν χάριν*] cf. ad Capit. II p. 429, 4. 5 Ddf. *σὴν χάριν* 23 *ἀλλὰ*] *ἀλλὰ καὶ* Junt. (edd.) 24 *τῇ ὥρᾳ* scripsi: *τὴν ὥραν* O *πω* D: *που* AST 27 *αὐτὸν* A¹ (corr. A^r aut A²) *Σηδᾶτον*] cf. ad p. 429, 15

τι τῶν ᾀσμάτων ἔτυχον παρεικὼς διὰ τὸ παντελῶς αὐτοσχεδίως
τε καὶ ἐκ τοῦ ῥᾴστου πεποιῆσθαι καὶ ὅσον αὐτῷ φασιν, ἐπειθ᾽
ἧκεν ὄναρ ἀπαιτοῦν καὶ τοῦτο, καὶ ἀπέδομεν. περανθέντων δὲ 45
τούτων ἐδόκει χρῆναι ἀναθεῖναι τρίποδα ἀργυροῦν, ἅμα μὲν τῷ
θεῷ χαριστήριον, ἅμα δὲ μνημεῖον τῶν χορῶν οὓς ἐστήσαμεν. καὶ
ἐμοὶ μὲν παρεσκεύαστο ἐλεγεῖον τοιονδί·

Ποιητὴς ἀέθλων τε βραβεὺς αὐτός τε χορηγός,
σοὶ τόδ᾽ ἔθηκεν, ἄναξ, μνῆμα χοροστασίης.

ἔπειτα δύο τινὰ ἐπὶ τούτοις ἕτερ᾽ ἦν ἔπη, ὧν τὸ μὲν τοὔνομα
516 D *εἶχε τοὐμόν, τὸ δ᾽ ὅτι προστασίᾳ τοῦ θεοῦ ταῦτα ἐγίγνετο. ἐνί-*
κησεν δὲ ὁ θεός. ᾗ γὰρ ἡμέρᾳ ἔδει γίγνεσθαι τὴν ἀνάθεσιν, ταύτῃ
332 J *μοι δοκεῖν ἢ μικρόν τι πρὸ αὐτῆς περὶ τὴν ἕω ἢ καὶ ἔτι θᾶττον*
ἀφικνεῖται θεῖον ἐπίγραμμα ἔχον οὑτωσί·

Οὐκ ἀφανὴς Ἕλλησιν Ἀριστείδης ἀνέθηκεν
μύθων ἀενάων κύδιμος ἡνίοχος.

τοῦτό τε ἐπιγράφειν ἐδόκουν καὶ τὸ ἀνάθημα ἀναθήσειν ὡς δὴ
Διί. εὐθὺς οὖν εἰχόμην ἀπρὶξ τοῦ ἐπιγράμματος ἔν τε τῷ ὕπνῳ
γανύμενος καὶ ἔτι ἀφυπνιζόμενος, ἐκμελετῶν καὶ στρέφων μὴ λάθῃ
με διαφυγόν· καὶ οὕτω δὴ κατεδησάμην. μετὰ δὲ ταῦτα βουλευο- 46
μένοις ἡμῖν κοινῇ περὶ τοῦ ἀναθήματος συνεδόκει καὶ τῷ ἱερεῖ
καὶ τοῖς νεωκόροις ἀναθεῖναι ἐν Διὸς Ἀσκληπιοῦ, ταύτης γὰρ οὐκ
εἶναι χώραν καλλίω· καὶ οὕτω δὴ τοῦ ὀνείρατος ἡ φήμη ἐξέβη.
καὶ ἔστιν ὁ τρίπους ὑπὸ τῇ δεξιᾷ τοῦ θεοῦ, εἰκόνας χρυσᾶς ἔχων
τρεῖς, μίαν καθ᾽ ἕκαστον τὸν πόδα, Ἀσκληπιοῦ, τὴν δὲ Ὑγιείας,
τὴν δὲ Τελεσφόρου. καὶ τὸ ἐπίγραμμα ἐπιγέγραπται καὶ ὅτι ἐξ
ὀνείρατος προσπαραγέγραπται. ἀνέθηκα δὲ καὶ τῷ Διὶ τῷ Ὀλυμ-
πίῳ τὸ ἐπίγραμμα καὶ ἀνάθημα ἕτερον, ὡς πανταχῇ τελέως ἔχειν
τὰ χρησθέντα. γενομένου δὲ τοῦ ἐπιγράμματος πολὺ δὴ μείζων 47
προθυμία μοι ἐγγίγνεται καὶ ἐδόκει παντὶ τρόπῳ χρῆναι ἀντ-
έχεσθαι τῶν λόγων, ὡς κἂν τοῖς ὕστερον ἀνθρώποις ὄνομα ἡμῶν
ἐσόμενον, ἐπειδή γε ἀενάους τοὺς λόγους ὁ θεὸς ἔτυχεν προσειρηκώς.

---

2 *αὐτῷ* AST, *αὐτὸ* D; correxi; *ὅσον αὐτῷ* (sc. *ἀρκεῖ*): 'quantum ipsi auctori sufficiat (quod sibi soli auctor componat)'; pro *αὐτό φασιν* ci. *ἀφοσιώσασθαι* Canter   5 *δὲ*] *δὲ καὶ* D   12 *ἕω*/ S   13 *ἀφικνεῖται* sic O   *ἐπίγραμμα* Junt.: *ἔτι γράμμα* O   15 *ἀεννάων* O (corr. Ddf.); 'immortalium' (v. 31; cf. etiam Schmid IV 268), falso Preger, Inscr. Gr. metr. n. 137 (ubi v. *ἡνίοχος* exemplis illustrata)   18 *γαννύμενοσ* A a. ras. DT; ceterum cf. p. 436, 5. 6   19 *κατεδησάμην*] tanquam magica defixione devinxi ita, ut de memoria non decideret epigramma   24 *τὸν* AS a. ras.: om. DTS p. ras.   *Ἀσκληπιοῦ*] cf. ad p. 436, 18   *ὑγείασ* O (corr. Junt.)   26 *προσπαραγέγραπται* sic O   *ἀνέθηκα*] *οὐκ ἔθηκα* D   31 *ἀεννάουσ* DTA^{2}S^2

48 *Καὶ τὰ μὲν περὶ τοὺς χοροὺς οὕτως εἶχεν. χρόνῳ δ' ὕστερον οὐκ οἶδ' ὁπόσῳ τινὶ φαντάζομαι τοιάδε. ἐδόκουν εἶναι περὶ τὴν ἑστίαν τοῦ Διὸς τοῦ Ὀλυμπίου καὶ πατρῴου. συλλόγου δὲ γιγνο-* 517 D *μένου δημοτελοῦς περὶ πλήθουσαν ἀγορὰν ἑστῶτα τὸν κήρυκα τὸν ἱερὸν παρ' αὐτὴν τοῦ θεοῦ τὴν κρηπῖδα ἀνειπεῖν τοὐμὸν ὄνομα σὺν ἅπασι τοῖς περὶ αὐτό, ὡς δὴ δημοσίᾳ στεφανουμένου, ὥσπερ ὅταν ἐν ταῖς ἐκκλησίαις χρυσῷ στεφάνῳ στεφανώμεθα, προσθεῖναι δὲ ὅτι ʽλόγων ἕνεκαʼ· βεβαιώσασθαι δ' αὐτὸ ἑτέρᾳ προσθήκῃ ἐπει-*
49 *πόντα ʽκαὶ γάρ ἐστιν ἀήττητος περὶ λόγουςʼ. κεκηρυγμένου δὲ τούτου διαβῆναι εἰς Ἀσκληπιοῦ κῆπον, ὅς ἐστί μοι πρόσθεν τῆς οἰκίας τῆς πατρῴας, κἀνταῦθα εὑρεῖν ἐκ δεξιᾶς τοῦ νεὼ μνῆμα* 333 J *κοινὸν ἐμοῦ τε καὶ Ἀλεξάνδρου τοῦ Φιλίππου, διαφράγματι μέσῳ διειργόμενον· καὶ τὸν μὲν ἐν τῷ ἑτέρῳ κεῖσθαι, ἐν τῷ ἑτέρῳ δὲ αὐτὸς κείσεσθαι. ἐπιστὰς δὲ καὶ προκύψας ἀπολαύειν εὐωδίας θαυμαστῆς θυωμάτων, καὶ τούτων τὰ μὲν τῆς ἐκείνου θήκης εἶναι, τὰ δὲ ἐμοὶ προσαποκεῖσθαι. χαίρειν τε οὖν καὶ συμβάλλεσθαι ὡς ἄρα ἀμφότεροι τὸ ἄκρον λάχοιμεν, ὁ μὲν τῆς ἐν τοῖς ὅπλοις δυνάμεως, ἐγὼ δὲ τῆς ἐπὶ τοῖς λόγοις· καὶ προσέτι γε κἀκεῖνο εἰσελθεῖν με, ὅτι οὗτος μὲν ἐν Πέλλῃ γένοιτο πρᾶγμα τοσοῦτον, ἐπ' ἐμοί τε οἱ τῇδε φιλοτιμήσοιντο. τοιαῦτα καὶ ἀκοῦσαι καὶ ἰδεῖν ἔδοξα καὶ πρὸς ἐμαυτὸν εἰπεῖν τε καὶ συλλογίσασθαι, τὰ μὲν ὡς*
50 *παρὰ τῷ Διί, τὰ δ' ὡς ἐν Ἀσκληπιοῦ πρὸ τῆς οἰκίας. τὰ δ' ἐντεῦθεν ἤδη, εἰ μὲν θέμις, εἰρήσθω καὶ γεγράφθω, εἰ δὲ μή, τοσοῦτον σοὶ μελήσειεν, δέσποτα Ἀσκληπιέ, ἐπὶ νοῦν ἀγαγεῖν μοι διαγράψαι παντὸς δυσκόλου χωρίς. πρῶτον μὲν ὤφθη τὸ ἕδος τρεῖς κεφαλὰς ἔχον καὶ πυρὶ λαμπόμενον κύκλῳ πλὴν τῶν κεφαλῶν. ἔπειθ' οἱ θεραπευταὶ προσειστήκειμεν, ὥσπερ ὅταν ὁ παιὰν ᾄδηται· σχεδὸν δὲ ἐν πρώτοις ἐγώ. κἀν τούτῳ νεύει ἔξοδον ὁ θεός, ἔχων ἤδη τὸ ἑαυτοῦ σχῆμα ἐν ᾧπερ ἕστηκεν. οἵ τε δὴ οὖν ἄλλοι πάντες ἐξῄεσαν κἀγὼ μετεστρεφόμην ὡς ἐξιών, καὶ ὁ θεός μοι τῇ χειρὶ προδείκνυσι μένειν. κἀγὼ περιχαρὴς τῇ τιμῇ γενόμενος καὶ ὅσον τῶν ἄλλων προὐκρίθην, ἐξεβόησα· ʽεἷςʼ, λέγων δὴ* 518 D
51 *τὸν θεόν. καὶ ὃς ἔφη· ʽσὺ εἶʼ. τοῦτο τὸ ῥῆμα ἐμοί, δέσποτ' Ἀσκληπιέ, παντὸς ἀνθρωπίνου βίου κρεῖττον, τούτου πᾶσα ἐλάττων*

---

10 *Ἀσκληπιοῦ κῆπον*] nomen a templo, quod ibi erat (v. 11. 22), duxit
16 *προσαποκεῖσθαι*] vox desideratur in Steph. Thes. Gr. ceterisque indicibus
19 *οὗτοσ μὲν* TS², *οὗτόσ με* S¹: *οὗτόσ τε* AD 25 ⟨*ὅσον*⟩ *διαγράψαι* Canter, at cf. ad p. 148, 4 sq. 25. 26 *τὸ ἕδος τοῦ Ἀσκληπιοῦ τρεῖς* Thom. Mag. p. 139, 17
29 *ᾧπερ ἕστηκεν* AD(ὧ-): *ᾧ παρέστηκεν* ST 33 *τοῦτο τὸ ῥῆμα κτἑ.*] cf. p. 430, 22 sq. *δέσποτα* D

νόσος, τούτου πᾶσα ἐλάττων χάρις, τοῦτ᾽ ἐμὲ καὶ δύνασθαι καὶ
βούλεσθαι ζῆν ἐποίησεν. καὶ ταῦτα μὲν ἡμῖν εἰρηκόσι μηδὲν ἔλατ-
τον εἴη τῆς πρόσθεν τιμῆς παρὰ τοῦ θεοῦ. Λόγον δέ ποτε 52
ἤκουσα τοιόνδε φέροντα εἰς λόγους καὶ ὁμιλίαν θείαν. ἔφη
χρῆναι κινηθῆναι τὸν νοῦν ἀπὸ τοῦ καθεστηκότος, κινηθέντα
δὲ συγγενέσθαι θεῷ, συγγενόμενον δὲ ὑπερέχειν ἤδη τῆς ἀνθρω-
πίνης ἕξεως· καὶ οὐδέτερόν γε εἶναι θαυμαστὸν οὔτε ὑπερ-
έχειν θεῷ συγγενόμενον οὔθ᾽ ὑπερσχόντα συνεῖναι θεῷ. καὶ 53
334 J *μὴν τοὔνομά γε ὁ Θεόδωρος οὕτως ἐπωνομάσθη μοι. προσρη-*
θῆναι μὲν ἔδοξα ὡς ἐν Σμύρνῃ ὑπό τινος καὶ μάλα συγχαίροντος·
'Θεόδωρε χαῖρε' — καὶ 'Ἀσιάρχης', οἶμαι, προσῆν —, δέξασθαι δὲ
οὕτω τὴν πρόσρησιν, ὡς ἄρα πᾶν τοὐμὸν εἴη τοῦ θεοῦ δωρεά.
μετὰ δὲ ταῦτα ἕτερον τοιόνδε ἐπιγίγνεται. ἦν Ἐπάγαθος τῶν 54
τροφέων τῶν ἐμῶν, ὅς πρῶτος ἔθρεψέν με, καὶ μάλα ἀνὴρ ἀγαθὸς
καὶ σαφέστατα ὁμιλῶν θεοῖς καὶ χρησμοὺς ἀπομνημονεύων ὅλους
ἐξ ἐνυπνίων· οἱ δ᾽ ἀπέβαινον σχεδὸν ὡς εἰπεῖν αὐθημερόν. ἐγένετο
μὲν τοιοῦτός τις ὁ Ἐπάγαθος, τὸ δὲ ὄναρ οὕτως εἶχεν. ἐδόκει μοι
οὗτος ἤτοι ἐμοῦ πυθομένου ἢ καὶ αὐτὸς ἐφ᾽ ἑαυτοῦ κινηθεὶς εἰπεῖν
πρὸς ἐμὲ ὅτι αὐτῷ γένοιτο ἐνύπνιον τοιόνδε· 'περὶ δὲ Θεοδώρου
μελήσει τῇ Μητρὶ τῶν θεῶν'. κἀγὼ γνωρίσας 'ἔοικεν, φάναι, καὶ
τῇ Μητρὶ τῶν θεῶν κατὰ ταὐτὰ δοκεῖν περὶ ἐμοῦ καθάπερ τῷ
Ἀσκληπιῷ· ὁ γὰρ Θεόδωρος ἐκεῖθέν μοι τὴν ἀρχὴν ἐγένετο'. 55
Ἐπέδειξεν δέ μοι καὶ περὶ τῆς φύσεως τῆς αὐτοῦ τὰ μὲν ὄψει,
τὰ δὲ καὶ λόγῳ. ἔσχεν δὲ οὑτωσί. ἀνεῖχεν μὲν ἑωσφόρος, ἡνίκ᾽ ἦν τὸ
519 D *ἐνύπνιον, ἐδόκουν δὲ βαδίζειν ὁδόν τινα δι᾽ ἐμαυτοῦ χωρίου προσ-*
ορῶν τῷ ἀστέρι ἄρτι ἥκοντι, καὶ γὰρ εἶναι τὴν πορείαν πρὸς
ἀνατολάς· παρεῖναι δὲ Πυραλλιανὸν τὸν ἐκ τοῦ ἱεροῦ, ἄνδρα ἡμῖν
τε ἑταῖρον καὶ περὶ τοὺς Πλάτωνος λόγους εὖ γεγυμνασμένον. οἷα 56
δ᾽ ἐν ὁδῷ καὶ ἡσυχίας οὔσης προσπαίζων αὐτὸν καὶ ἅμα ἐρεσχη-
λῶν εἰπεῖν· 'ἔχεις μοι πρὸς θεῶν εἰπεῖν — πάντως δ᾽ ἐσμὲν

---

2. 3 *ἔλαττον εἴη τῆσ* sic O 4 *ἔφη χρῆναι κτἑ.*] eadem or. XXVIII § 116 6 *θεῶι* ASD(-*ῶ*) et item p. 178, 16: *τῶ θεῶ* T (Junt.) 9 *τοὔνομά — Θεόδωρος*] CIG. 4679 *Πόπλιον Αἴλιον Ἀριστείδην Θεόδωρον* 13 *τοιόνδ᾽* SDT *Ἐπά-γαθος*] cf. ad p. 396, 25 18 *οὗτος*] *οὕτωσ* A^1 (corr. A^r) *ἐφ᾽* A^1: *ἀφ᾽* A^rSDT; cf. p. 434, 10. 441, 4. 448, 25 20 *κἀγὼ — τῶν θεῶν* AD: om. ST 21 *κατὰ ταὐτὰ* Ddf., *κατὰ ταῦτα* AD: *κατ᾽ αὐτὰ* ST 23 *αὐτοῦ* D 26 *τῷ — ἥκοντι*] dativus ad exemplum *προσβλέπειν τινί* (cf. p. 440, 14) *τὴν* sic O 27 *Πυραλλιανὸν*] rhetor et philosophus ceteroquin ignotus; de nomine Bechtel, die einstämmigen männl. Personennamen d. Griech. (Abh. Goett. Ges. d. W. 1898) p. 42; terminatio Romana ut in *Βασιλιανός, Εὐτυχιανός* al. 29 *ἐρεσχελῶν* DA^2; cf. Schanz, prol. ad Plat. Phaedr. p. VI

μόνοι — τί ταῦτα ὑμεῖς οἱ περὶ τὸν Πλάτωνα ἀλαζονεύεσθε καὶ ἐκπλήττετε τοὺς ἀνθρώπους;' ἔφερεν δέ μοι τοῦτο εἰς τοὺς περὶ φύσεως αὐτοῦ καὶ τῶν ὄντων λόγους. καὶ ὅς ἀκολουθεῖν με ἐκέλευε προσέχοντα τὸν νοῦν. ἐκ τούτου δὲ ὁ μὲν ἡγεῖτο, ἐγὼ δ' εἰπόμην. καὶ προελθὼν μικρὸν ἀνασχὼν τὴν χεῖρα δείκνυσί μοι τόπον τινὰ τοῦ οὐρανοῦ, καὶ ἅμα δεικνὺς ἔφη· ʽοὗτος δή σοί ἐστιν ὃν καλεῖ Πλάτων τοῦ παντὸς ψυχήν'. ἀναβλέπω τε δὴ καὶ ὁρῶ Ἀσκληπιὸν τὸν ἐν Περγάμῳ ἐνιδρυμένον ἐν τῷ οὐρανῷ, καὶ ἅμα τε ἀφυπνιζόμην ἐπὶ τούτοις καὶ τὴν ὥραν αἰσθάνομαι ταύ-
57 *την ἐκείνην οὖσαν, ἐν ᾗ ἐδόκουν ταῦτα ὁρᾶν. ἔτι τοίνυν ἑτέρων τοιῶνδε μέμνημαι. τοῦτο μὲν αὐτὸν Πλάτωνα ὁρᾶν ἐδόκουν ἑστῶτα ἐν τῷ δωματίῳ τῷ ἐμῷ ἀπαντικρὺ τῆς τε κλίνης κἀμοῦ· ὁ δ'* 335 J
ἔτυχεν μεταχειριζόμενος τὴν ἐπιστολὴν τὴν πρὸς Διονύσιον καὶ μάλα μεστὸς ὢν θυμοῦ· προσβλέψας δέ μοι ʽποῖός τις, ἔφη, σοὶ φαίνομαι εἰς ἐπιστολάς; μὴ φαυλότερος τοῦ Κέλερος;' τὸν γραμματέα δὴ λέγων τὸν βασιλικόν. κἀγώ ʽεὐφήμει, ἔφην, τὸ καὶ μεμνῆσθαί σε τοιοῦτον ὄντα ὅστις εἶ'. καὶ οὐ πολὺ ὕστερον ὁ μὲν ἠφάνιστο, ἐγὼ δὲ συννοίᾳ εἰχόμην. παρὼν δέ τις εἶπεν· ʽοὗτος μέντοι ὁ διαλεγόμενός σοι ὡς Πλάτων ἀρτίως ὁ σὸς Ἑρμῆς ἐστιν' — λέγων δὴ τὸν εἰληχότα τὴν γένεσιν τὴν ἐμήν — ʽΠλάτωνι
58 *δ', ἔφη, εἴκαστο'. τοῦτο μὲν δὴ ἐν Σμύρνῃ γίγνεταί μοι τὸ ὄναρ, ἕτερον δὲ ἐν Περγάμῳ σχεδὸν πρότερον τούτου. ᾐτιᾶτο τῶν ὀνειράτων τούτων καὶ τῆς ἐναργοῦς τῶν θεῶν ἐπιμελείας τὸν τοῦ Διὸς ἀστέρα, ὅστις δὴ καὶ ὁ αἰτιώμενος ἦν· σχίζειν γὰρ αὐτὸν* 520 D
μέσον τοῦ οὐρανοῦ μέσην τὴν μοῖραν, ἡνίκα ἐγιγνόμην, καὶ λέγουσι μέντοι οἱ ἀστρονόμοι Λέοντα μὲν εἶναι τηνικαῦτα ἐπὶ μέσου τοῦ οὐρανοῦ, τὸν δὲ τοῦ Διὸς ἀστέρα ὑπὸ τῷ Λέοντι, ἐκ τετραγώνου
59 *πλευρᾶς Ἑρμῇ δεξιόν, ἀμφοτέρους ἑῴους. Σχεδὸν δὲ καὶ τῶν ἄλλων παλαιῶν τοὺς ἐνδοξοτάτους ἐπὶ λόγοις ὑπῆρξέ μοι θεάσασθαι, ὁμοίως λογοποιούς τε καὶ ποιητάς· τὸ δὲ τοῦ Λυσίου καὶ διηγήσεως ἄξιον. ἔκαμνον γὰρ τριταίῳ οἵῳ βαρυτάτῳ καὶ ὁρῶ*

---

5 *προελθὼν* scripsi: *προσελθὼν* O   7 *πλάτων* sic O; innuit Tim. 34 B   9 *ἀφυπνιζόμην* — 10 *ὁρᾶν*] cf. p. 389, 28 sq.   13 *τὴν ἐπιστολὴν* — *Διονύσιον*] unam igitur Aristides agnovisse videtur epistolam Platonis ad Dionysium datam ex quattuor illis, quae libris traditae sunt, eamque tertiam, cf. ad p. 435, 11   15 *Κέλερος*] *κέλωροσ* D; fuit ʽab epistolis Graecis', cf. Friedländer, Sittengesch. I⁶ 187; Prosopogr. Imp. Rom. I p. 332 n. 520   16 *λέγω* D   21 *δὴ γίγνεταί μοι ἐν σμύρνῃ τὸ* D   27 *ἐκ τετραγώνου πλευρᾶς*] ʽde quadrato', ita ut Mercurius in quarto signo inde a Leone fuerit; atque cum Iuppiter a dextra Mercurii esset, sequitur Mercurium ipsum in Scorpionis signo fuisse   30 *λογοποιούσ τινάσ τε καὶ* D

*Λυσίαν τὸν ῥήτορα, νεανίσκον οὐκ ἄχαριν. ἐπήει δὲ ἡ τῆς κατα-
βολῆς ἡμέρα καὶ ὁ πυρετὸς οὐκ ἐπεγένετο, ἀλλ' ἐλύθη τὸ νόσημα
ἐν τούτῳ. καὶ δὴ καὶ Σοφοκλέα ποτὲ ἔδοξα τὸν ποιητὴν παρ-* 60
*ελθεῖν εἰς τὴν οἰκίαν τὴν ἐμαυτοῦ, παρελθόντα δὲ στῆναι πρό-
σθεν τοῦ οἰκήματος οὗ διατρίβων τυγχάνω, ἑστῶτος δὲ αὐτοῦ καὶ
σιωπῶντος αὐτὰ ἐφ' αὑτῶν τὰ χείλη βομβεῖν οἷον ἥδιστον· ἦν δὲ
καὶ ἡ πᾶσα πρόσοψις γεραροῦ τε καὶ εὐσχήμονος. ἰδὼν οὖν αὐτὸν* 61
*ἥσθην τε καὶ ἀναστὰς ἠσπαζόμην καὶ ἠρώτων, 'ποῦ δέ σοι, ἔφην,
ἀδελφός'; καὶ ὃς 'ἔστι γάρ τις, ἔφη, ἀδελφὸς ἐμοί;' 'Αἰσχύλος γε
οὗτος', ἔφην ἐγώ. καὶ ἅμα συμπαρήειν ἔξω, καὶ ὡς ἐν τῷ προ-
θύρῳ ἐφάνημεν, σοφιστής ⟨τις⟩ τῶν ἐφ' ἡμῶν καὶ μάλα τῶν ἐπι-
φανῶν μικρὸν ἀπωτέρω τῶν θυρῶν ἐξ ἀριστερᾶς ἀνατραπεὶς ἔκειτο.*
336 J *ἄλλους δὲ ἐν ἄλλῳ σχήματι καὶ τύπῳ μάλα σεμνῶς τε καὶ οἰκείως* 62
*ἐφ' ὧν ἑκάστους συνέβη χρόνων εἴδομεν. ὑπῆρξεν δὲ καὶ τόδε εἰς
εὐθυμίαν. ἐπιδεικνυμένου γάρ μου λόγους τινάς, ὡς τὸ ὄναρ, καὶ
σφόδρα εὐδοκιμοῦντος, εἰπόντος τινὸς τῶν ἀκροωμένων κατὰ εὐφη-
μίαν ὅτι 'ὡς ὁ δεῖνα', ὃν δὴ μάλιστα ἐθαύμαζε τῶν παλαιῶν, παρ-
όντα ἐδόκουν τὸν διδάσκαλον εἰπεῖν ὑποδυσχεράναντα 'οὐ προσθή-
σεις καὶ τὸν καὶ τόν'; καὶ ἄλλους ἔμελλεν ἐρεῖν ἑξῆς, ὡς ἕνα γε*
521 D *οὐδένα ἀντεξετάσαι δέον.* 63

*Καὶ ταῦτ' ἐγνώκειν εἰπὼν καταλῦσαι τὸν περὶ τούτων λόγον,
καὶ ὑπῆλθέ με θαυμαστὸν ἕτερον χάριτος, εἰ δή τι καὶ ἄλλο, οὐκ
ὀλίγης ἄξιον τῷ θεῷ. ἀφικομένου γὰρ Κοδράτου τοῦ ῥήτορος ἐπὶ
τὴν τῆς Ἀσίας ἀρχὴν ᾠήθην καιρὸν ἔχειν μοι τὴν πρὸς αὐτὸν πρόσ-
ρησιν, ἄλλως τε καὶ πραγμάτων ὄντων μοί τινων ἐκ τῶν ἄνωθεν χρό-
νων, περὶ ὧν αὐτίκα εἰρήσεται. καὶ γράφω δὴ πρὸς αὐτόν, ὅστις τε
εἴην δηλῶν καὶ πᾶσαν τὴν ἐμαυτοῦ διατριβήν. ᾗ δὲ ἡμέρᾳ δέξεσθαι τὰ* 64
*γράμματα ἔμελλεν — τουτὶ γὰρ ὕστερον ἔγνωμεν ἐκ τῶν ἀπαγγελθέν-
των, ἦν δὲ καὶ εὐθὺς ἐκ λογισμοῦ τῶν ἡμερῶν τεκμαίρεσθαι —,
ταύτῃ μοι ἐδόκει ὁ ἱερεὺς ὁ τοῦ Ἀσκληπιοῦ οὗτος, ὁ ἔτι νῦν ὤν,
καὶ ὁ τούτου πάππος, ἐφ' οὗ τὰ πολλὰ καὶ μεγάλα, ὡς ἐπυνθα-
νόμεθα, ἐχειρούργησεν ὁ θεός, καὶ ἔστιν δὴ ἐνδοξότατος τῶν
μέχρι τούτου — οὗτοί μοι ἐδόκουν παρελθεῖν εἰς τὴν τοῦ Κοδράτου
καταγωγὴν καὶ συνεῖναι μάλα ἐγγύθεν, ὁ μὲν οὑτωσὶ παρακαθ-
ήμενος, ὁ δὲ ἐπ' αὐτῆς καθεζόμενος ἄνω τῆς κλίνης ὁ πρεσβύτερος.*

---

6 *ἐφ' αὑτῶν* Ddf.: *ἐπ' αὐτῶν* O 9 *ἀδελφός* Ddf.: *ἀδελφόσ* O 11 *τις* addidi 13 *σεμνῶσ* AD: *σεμνῶ* ST 14 *τόδε*] *τότε* T 19 *καὶ τόν; καὶ τὸν;* ST: *τὸν καὶ τὸν·* A, *καὶ τὸν;* D 23 *Κοδράτου*] cf. p. 382, 8; nec de consulatu nec de proconsulatu (*Ἀσίας ἀρχήν*) constat; cf. Prosopogr. Imp. Rom. III p. 112 n. 1 26 *αὐτίκα*] p. 447, 26 sqq. 27 *δέξασθαι* D 29 *ἐκ — τεκμαίρεσθαι*] cf. Thuc. IV 122, 3 *αἰσθόμενος ἐκ λογισμοῦ τῶν ἡμερῶν*

65 *συνίστασαν οὖν με τῷ Κοδράτῳ πάνυ σπουδῇ, ἄλλους τε λόγους
φιλανθρώπους λέγοντες καί, ὡς ἐπὶ τοῖς λόγοις ὁ πρεσβύτερος
γίγνεται τοῖς ἐμοῖς δὴ καὶ οὓς ἔδει καὶ αὐτοὺς πρὸς τὸν Κοδρᾶτον
ἐπαινεθῆναι, ʽπερὶ δὲ λόγων —ʼ ἔφη ἐνσημηνάμενός τέ πως τῇ
φωνῇ καὶ διαλιπὼν ἐξεπίτηδες, ὡς μάλιστα ἔμελλεν ἐκεῖνον προσ-
άξειν τῷ μέλλοντι λεχθήσεσθαι· ἔτι δʼ αὐτοῦ μέλλοντος ἐρεῖν
τὴν ὑπερβολήν, ὑπολαβὼν ὁ Κοδρᾶτος ʽἀλλʼ ἢ τὸ τῆς παροιμίας,
ἔφη, ἐρεῖς, ἢ τοιαύτην χρὴ γαμεῖν ἢ μὴ γαμεῖν;ʼ τοιαῦτʼ ἄττα* 337 J
66 *ἑκατέρωθεν ἐλέγετο. μετὰ δὲ ταῦτα ἐδόκουν τοὺς μὲν πορεύεσθαι,
αὐτὸς δὲ συνεξιέναι μετʼ αὐτῶν, καὶ ἐπειδὴ γιγνόμεθα πρὸς τῇ
πυλίδι, οὗ ἡ ἐκτροπὴ πρὸς τὸ ἱερόν ἐστι, τοὺς μὲν βαδίζειν εὐθὺ
τοῦ ἱεροῦ, αὐτὸς δὲ ἀπαλλαττόμενος δεξιοῦσθαί τε αὐτοὺς καὶ
χάριν ἔχειν, ὅτι πανταχοῦ κοσμοῖεν καὶ μέλοι πάντως αὐτοῖς τῶν* 522 D
67 *ἐμῶν. ὃν μὲν οὖν τρόπον εὐθὺς εὐδοκίμησε τὰ γράμματα ἀνα-
γιγνωσκόμενά τε εἰς πάντας ὑπʼ αὐτοῦ τοῦ ἡγεμόνος καὶ περι-
μάχητα πᾶσιν ὄντα λαβεῖν, καὶ ἃ πρὸς ταῦτα ἀντεπέστειλεν καὶ
οἷα τελευτῶν, ἐπειδὴ τῆς ἀρχῆς ἐξῄει, τῇ μὲν ἴσως ἀλαζονείαν
ἔχειν ἂν δόξειε διηγουμένῳ διὰ τὰς ὑπερβολὰς τῶν ἐν αὐτοῖς
ἐνόντων, τῇ δʼ ὥσπερ μικρότης τις ἂν εἴη διατρίβειν ἐπὶ τούτοις,
μετὰ τὰς παρὰ τῶν θεῶν τιμάς. ἀλλʼ ἅ γʼ εἰς τὸν παρόντα*
68 *ἔφερεν λόγον, τοιαῦτα μάλιστα ἐγένετο. Καὶ ταῦτα μὲν τῶν
ἄνω χρόνων ἐστίν. ἐπεὶ δʼ ἐνταῦθα ἐγεγόνειν τοῦ λόγου καὶ πρὸς
τὰς ἄλλας ἔμελλον εὐεργεσίας τοῦ θεοῦ τρέψεσθαι καὶ γράψειν
ἐφεξῆς τὰς ἐπὶ τῶν ἄλλων ἡγεμόνων καὶ πραγμάτων γενομένας,
ὄναρ μοι γίγνεται μεταξὺ τῆς γραφῆς εἰς ταῦτα φέρον πως πάλιν.*
69 *εἶχεν δὲ οὑτωσί. ἔδοξα λέγειν ἔν τισιν ἐπιδεικνύμενος αὐτοῖς,
μεταξὺ δὲ τῶν λόγων ὧν ἠγωνιζόμην καλέσαι τὸν θεὸν ὡδὶ λέγων·
ʽδέσποτα Ἀσκληπιέ, εἰ μὲν καὶ ὑπερέχω τε λόγοις καὶ πολὺ ὑπε-
ρέχω, ἐμοὶ μὲν ὑγίειαν, τοῖς βασκάνοις δʼ εἶναι ῥήγνυσθαι.ʼ καὶ
ταῦτά τε ὡς ὄναρ τυγχάνειν ἑωρακὼς καὶ γενομένης ἡμέρας βιβλίον
τι λαβὼν ἀναγιγνώσκειν· εὑρεῖν οὖν ἐνόντα ἅπερ ἐφθεγξάμην.
θαυμάσας δὲ πρὸς Ζώσιμον εἰπεῖν· ʽθέασαι, ἃ λέγειν ἐδόκουν
ὄναρ, εὑρίσκω γεγραμμένα ἐν τῷ βιβλίῳ.ʼ οὕτω δὴ καὶ ταῦτα καινὰ
παλαιοῖς προσετέθη· εἰ δὲ τῆς γνώμης τοῦ θεοῦ τετυχήκαμεν*

---

6 *ἔτι δʼ*] leve quoddam anacoluthon 8 *ἢ τοιαύτην — μὴ γαμεῖν*] quae comico Ddf. vindicavit (CAF. III 452 frg. 235 K.), ea revera etiam proverbialiter (*τὸ τῆς παροιμίας*) dicta esse, monuit Wil. coll. Athenae. VIII 337 B *τοιαῦθʼ ἅττα* ASD 13 *μέλει* D 14. 15 *ἀναγινωσκόμενα* O 17 *ἀλαζονίαν* AS^{1} 20 *τῶν* om. D 26 *ἐπιδεικνύμενος* scripsi: *ἐνδεικνύμενοσ* O *αὐτοῖς* suspectum Kaibelio 27 *δὲ* TS^{2} (Junt.): om. AS^{1}D 28 prius *καὶ*] 'revera', cf. p. 436, 21. Maetzner, ad Antiph. p. 266; *καὶ* delet Ddf.. 31 *ἀναγινώσκειν* O

αὐτὸς ἂν εἰδείη καλῶς. τὰ μὲν περὶ τοὺς λόγους καὶ ὡς κατέστη- 70
σεν ἡμᾶς ἐξ ἀρχῆς εἰς αὐτοὺς καὶ ψῆφον ὁποίαν τινὰ ἤνεγκε
περὶ αὐτῶν καὶ ὅσα εἰς τοῦτο φέροντα ἐχρημάτιζεν καὶ τοὔνομα
ὡς πρὸς τῷ ἀρχαίῳ τὸν Θεόδωρον προσέθετο καὶ περὶ τῆς αὐτοῦ
338 J φύσεως ὁποῖ᾽ ἄττα ἔδειξεν καὶ ὅσα τοῦ τύπου τούτου, πάντα μὲν
οὐδ᾽ ἐγγὺς εἴρηται, ὅσα δὲ ἦν ἔναυλα καὶ ἀφ᾽ ὧν ἔξεστι περὶ τῶν
ἄλλων τεκμαίρεσθαι.

523 D Ἐπάνειμι δ᾽ οὗ μικρῷ πρόσθεν ἔφην στήσας καταλείψειν τὸν 71
λόγον, ὡς καὶ τὰ ἄλλα σημαίνων καὶ πράττων καὶ προσεστὼς
πανταχῇ φανερὸς ἦν. ὁ Σεβῆρος ὁ τῆς Ἀσίας ἡγεμὼν ἦρξεν,
οἶμαι, ἐνιαυτῷ πρότερον τοῦ ἡμετέρου ἑταίρου. ἦν δὲ ἀνὴρ ὑψη-
λὸς τοὺς τρόπους καὶ ὅ τι γνοίη καὶ προέλοιτο οὐκ ἂν ὑφεῖτο
οὐδενί. διατρίβοντος δέ μου περὶ τὸν Αἴσηπον τότε καὶ αὖ περὶ
τὸ ἱερὸν τοῦ Διὸς ἐποίησε τοιόνδε. ἐπέμπετο τοῖς ἡγεμόσιν κατ᾽ 72
ἐκείνους τοὺς χρόνους ἀφ᾽ ἑκάστης πόλεως ἑκάστου ἔτους ὀνόματα
δέκα ἀνδρῶν τῶν πρώτων. ταῦτα ἔδει σκεψάμενον τὸν ἡγεμόνα
ἕνα ὃν προκρίνειεν ἐξ ἁπάντων καθιστάναι φύλακα τῆς εἰρήνης.
ἐκ δὴ πολίσματος τῆς Μυσίας, οὗ τοὔνομα οὐδὲν δέομαι λέγειν,
ἀφικνεῖται παρ᾽ αὐτὸν τὰ προχειρισθέντα ὀνόματα. ὁ δ᾽ οὐδέν 73
πω τῶν ἐμῶν σαφῶς εἰδὼς ἀλλ᾽ ἢ τοσοῦτον ἀκηκοώς, ὅτι κτήματα
εἴη μοι περὶ τὸν τόπον τοῦτον, καὶ τὴν ἄλλην μοι δοκεῖν τάξιν, ὅτι οὐ
τῶν ἀφανῶν, παριδὼν καὶ ἀτιμάσας ἅπαντα τὰ πεμφθέντα ὀ-
νόματα προὔκρινεν ἄρχειν ἐμέ, οὐκ ἐνθυμηθεὶς οὔθ᾽ ὅτι τῇ Σμύρ-
νῃ προσήκει πολλοῖς πρότερον χρόνοις, πρὶν ἐκείνοις γενέσθαι
πόλεως ἐλπίδας, οὔθ᾽ ὅτι πᾶν ἀλλοῖον τὸ ἡμέτερον. καὶ πέμπει
δὴ τοῖς ἄρχουσιν ἐπιστολήν, οὐκ αὐτοῖς ἐπιστείλας, ἀλλ᾽ ἐμοί·
οἱ δ᾽ ἐλθόντες ἀπεδίδοσαν. τὰ δὲ γράμματα ἐκέλευε προστῆναι

---

4 αὐτοῦ O 6 ἔναυλα] item p. 462, 23; cf. v. Wilamowitz, Eur. Herakl. II² p. 197 8 οὗ sic O καταλείψειν] καταλύσειν ci. Canter coll. p. 441, 21, quem ad locum orator revocat, at cf. Isocr. VIII 17. IX 33; ἐπάνειμι — ὡς dictum, acsi esset ἐπάνειμι — (λέξων) ὡς vel (εἰς τὸ) ὡς (Wil.) 10 prius ὁ AS a. ras. D: om. TS p. ras.; de Severo cf. ad p. 428, 19 11 ἡμετέρου ἑταίρου] p. 441, 23 Κοδράτου τοῦ ῥήτορος 13 διατρίβοντος κτἑ.] cf. § 2 sq. 12 14 Διὸς] Olympii patrii 17 φύλακα τῆς εἰρήνης] i. e. εἰρηνάρχην, cf. O. Hirschfeld, Sitzungsb. Berl. Akad. 1891 (XXXIX) p. 868 sqq. 18 Μυσίας, οὗ] ἀσίασ καὶ οὗ D; Hadrianotheras dicit; cf. Ramsay, Histor. Geogr. of Asia Minor p. 157. 437 23. 24 τῇ Σμύρνῃ Canter: τῆσ σμύρνησ O 24 προσήκει] subiectum v. 25 τὸ ἡμέτερον (cf. p. 444, 22 τοὐμὸν πρᾶγμα) 'res nostra' (cf. p. 407, 4); gravissima haec verba, de quibus non recte iudicavi ap. Hirschfeld l. c. adn. 126, alio loco accuratius tractabo ἐκείνοισ sic O; ἐκείνης Junt.; Hadrianotherarum cives dicit 25 οὔθ᾽ Ddf.: οὐδ᾽ O 27 ἐπεδίδοσαν D

74 τῆς εἰρήνης. ἦν οὖν ἀπορία πολλή· οὔτε γὰρ ἔκκλητον ἦν ποι-
ῆσαι τὴν δίκην, οὐδενὸς ὄντος ἀντιδίκου ἐν μέσῳ, ἀλλ᾽ αὐτὸς ἦν
ὅ τε δοὺς τοὔνομα καὶ ὁ ἐπικυρῶν, οὐθ᾽ εὑρεῖν ὅτῳ τις μάχοιτο
ἢ πρὸς ὅντινα καὶ ὅπως τὸ πρᾶγμα καταστήσαιτο, ἀλλ᾽ ᾗ τοσοῦ-
τον συνέδοξε κοινῇ βουλευομένοις ἡμῖν τε καὶ τοῖς ἄρχουσιν ποι-
ήσασθαι τὴν ἔκκλητον ὡς δὴ πρὸς αὐτοὺς τοὺς ἄρχοντας τοὺς ἀπο-
75 διδόντας τὰ γράμματα. ἑσπέρα τε ἐπέρχεται καὶ ἠρώτων τὸν θεόν, τί 524 D
τε εἴη ταῦτα καὶ τί χρὴ ποιεῖν. καί μοι γίγνεται τὸ ἔπος τὸ ἐκ Δελφῶν·
Ἐμοὶ μελήσει ταῦτα καὶ λευκαῖς κόραις. 339 J
ποῖ οὖν τοῦτο ἐτελεύτησεν; ἡμέραις οὐ πολλαῖς ὕστερον ἐξ Ἰτα-
λίας ἀφικνοῦνται ἐπιστολαί μοι παρὰ τῶν βασιλέων, τοῦ τε αὐτο-
κράτορος αὐτοῦ καὶ τοῦ παιδός, ἄλλας τε εὐφημίας ἔχουσαι καὶ
τὴν ἀτέλειαν ἐπισφραγιζόμεναι τὴν ἐπὶ τοῖς λόγοις, εἰ τυγχάνοιμι
χρώμενος αὐτοῖς. ἥκει δέ μοι καὶ παρὰ Ἡλιοδώρου τοῦ τῆς Αἰ-
γύπτου ὑπάρχου γενομένου γράμματα ἅμα τοῖς βασιλικοῖς, ἐμοί
τε αὐτῷ καὶ ἕτερα ὑπὲρ ἐμοῦ τῷ ἡγεμόνι, καὶ μάλ᾽ ἔντιμα καὶ
λαμπρά, γραφέντα μὲν πολλῷ πρότερον τῆς χρείας ταύτης, ἀπαν-
76 τήσαντα δὲ εἰς τὸν καιρὸν τότε. τὰς μὲν οὖν κόρας τὰς λευκὰς
εἰς τὰς ἐπιστολὰς εὐθὺς ἔλαβον. θαρρήσας δὲ τῷ τε χρησμῷ
καὶ τῷ παρὰ τῆς τύχης συμβάντι κινεῖσθαι μὲν οὐχ οἷός τ᾽ ἦν
τοῦ θεοῦ κατέχοντος, πέμπω δὲ γράμματα πρὸς τὸν ἡγεμόνα, τό
τε σύμπαν δηλῶν ὁποῖον εἴη τοὐμὸν πρᾶγμα καὶ ὅτι παντάπασιν
ἐοίκασιν οἱ πρὸς αὐτὸν εἰπόντες τοὐμὸν ὄνομα οὐδὲν πλέον εἰπεῖν
ἢ τοὔνομα· τούς τε ἀφιέντας ἐδήλουν οἵτινες εἶεν καὶ τὰ γράμ-
ματα τὰ νεωστὶ ἥκοντα· ἅμα δὲ καὶ αὐτὰ ἔπεμπον μετὰ τῶν ἐμῶν,
77 τά τε τῆς συστάσεως καὶ τὰ τῆς ἀφέσεως. ἔτι δὲ ὄντος μετεώρου
τοῦ πράγματος ἐντολαὶ παντοῖαι παρὰ τῶν ἀγοραίων ἐφοίτων,
ὅσοι φιλικῶς ἐδόκουν ἔχειν πρός με καὶ ἅμα τὰς ἀνάγκας ὁρᾶν
ὀρθῶς· τήν τε γὰρ δύναμιν τοῦ ἀνδρὸς ἔφραζον ὅση καὶ ὅτι τῶν
βασιλικῶν εἴη δικαστῶν εἷς, καὶ μάλιστα δὴ τὸν τόνον τῆς γνώμης
καὶ τὴν ῥώμην, καὶ ὡς οὐδ᾽ ἂν εἴ τι γένοιτο, μεταθεῖτο τῶν δε-

---

7 ἠρώτων sic O 8 τὸ ἐκ Δελφῶν — κόραις] Paroemiogr. Gr. I 403; cf. Roscher, Lex. d. gr. u. r. Mythol. I 2810 11 τῶν βασιλέων — παιδός] Pii Augusti et Marci Caesaris; cf. p. 448, 16 13 τὴν ἀτέλειαν — λόγοις] cf. Digg. XXVII 1, 6 § 2. 8 14 ἥκει Canter: ἥκειν O Ἡλιοδώρου] C. Avidius Heliodorus praefectus Aegypti c. a. 142—145 et a. 155, cf. P. Meyer, Herm. 1897 (XXXII), 220 sqq.; Prosopogr. Imp. Rom. I p. 187 20 τῷ — συμβάντι] redditis in tempore epistolis; ceterum cf. Demosth. XXI 14 26 ἀφέσεωσ AD: φύσεωσ ST 28 ὅσοι καὶ φιλικῶσ D 29. 30 τῶν βασιλικῶν — δικαστῶν] ex iurisconsultis in consilium Caesaris adsumptis

δογμένων οὐδέν· ἐδέοντό τε μὴ προσκρούειν διὰ κενῆς. γράφω
δὴ καὶ πρὸς τούτους μακρότερα καὶ νεανικώτερα ἐξεπίτηδες, εὖ
εἰδὼς εἰς τὰς Σεβήρου χεῖρας ἥξοντα τὰ γράμματα· καὶ γὰρ ἤκουον
αὐτοὺς ἐπιεικῶς συνήθως ἔχειν αὐτῷ. κεφάλαιον δ' ἦν, ὅπερ καὶ
πρὸς αὐτὸν ἐπέστειλα, ὅτι ἀδύνατα ἀξιοῖεν. μετὰ ταῦτα Σεβῆρος 78
525 D μὲν ἐκ τῶν ἄνωθεν χωρίων εἰς τὴν Ἔφεσον κατῄει δικῶν ἀγορὰν
840 J ἄξων καὶ τὰ γράμματα ἀναγνοὺς ἐκέλευεν ἀπαντᾶν ἐκεῖσε· ἐγὼ δ'
ἔπεμπον. ὡς δ' ἧκεν ἡ κυρία καὶ τοὔνομα ἐκλήθη, παρῆσαν οἱ
σύνδικοι. καὶ πρὶν φθέγξασθαι μόνον αὐτούς, ὁ Σεβῆρος ʽἄνωθεν
Ἀριστείδην, ἔφη, γιγνώσκω καὶ τῆς δόξης ἄγαμαι καὶ σύμφημι
πρωτεύειν περὶ λόγους, καὶ ταῦτά μοι καὶ παρὰ τῶν ἐν Ῥώμῃ
φίλων ἐπέσταλται. αἰτοῦμαι δ' αὐτόν, ἔφη, συνάρξαι μοι· τὰ δὲ
δίκαια τῆς ἀτελείας αὐτῷ καὶ βεβαιῶ καὶ μένει.' ταῦτ' εἶπε δη-
μοσίᾳ, ταῦτ' ἐνέγραψε τοῖς ὑπομνήμασιν. γενομένης δὲ τῆς γνώ- 79
σεως τοιαύτης οἱ πεμφθέντες παρ' ἐμοῦ τῆς δίκης ἕνεκα ἅμα μὲν
τῶν τε συνδίκων συγχαιρόντων τῇ τιμῇ καὶ τῶν ἄλλων μέγα ποι-
ουμένων ὅτι ἐν παρακλήσεως μέρει ταῦτ' ἔφη ποιεῖν ὁ Σεβῆρος,
καὶ ὅτι τὴν ἀτέλειαν ἐκύρου πρὸς ἅπαντα τὸν λοιπὸν χρόνον καὶ
ταῦτα ἀπόντι, καί τι καὶ αὐτοῖς εἰς τὸ πρόσω πεπεράνθαι νομί-
ζοντες, καὶ οὐ παντάπασιν ἄπρακτοι δοκεῖν ἐπανήκειν, ἅμα δὲ
οὐκ ἔχοντες ὅπως χρὴ ποιήσασθαι τὴν ἔφεσιν, ἀνθρώπου μὴ
κρίσεως νόμῳ τὴν ἀρχὴν ἀνατιθέντος, ἀλλ' ὡσπερεὶ χάριν αἰτοῦν-
τος καὶ φιλίας ἀρχήν τινα ταύτην καθισταμένου, στέρξαντες τοῖς
παροῦσιν, ἐπανελθόντες ὡς ἐμέ, διηγοῦνται τὸ πᾶν. ἐν δὲ τούτῳ
καὶ ἡ προθεσμία παρεληλύθει ἡ τῆς ἐφέσεως. ἔτι οὖν ἀπορώτερον 80
ἢ πρότερον διεκείμεθα, οὐ γάρ ἔμοιγε ἤρκει τετιμῆσθαι διὰ κενῆς.
πάλιν δὴ προσεκείμην τῷ θεῷ δεόμενός τε καὶ πυνθανόμενος τί
τις ἂν χρήσαιτο τῷ πράγματι τούτῳ. καί μοι δίδωσιν ὄναρ θαυ-
526 D μαστὸν οἷον, οὗ τὰ μὲν καθ' ἕκαστα οὐκ ἂν οἷός τ' εἴην εἰπεῖν,
τὸ δ' ὡσπερεὶ κεφάλαιον οὕτως εἶχεν. ἐδόκουν τῷ γραμματεῖ τοῦ 81
ἡγεμόνος διαλέγεσθαι περὶ τούτων, ἥκειν δ' αὐτὸν ὡς ἐμέ. ὡς δ'
ἀκοῦσαι πάντων, ὑπισχνεῖσθαι λύσειν καὶ μεταθήσειν τὰ γεγραμ-
μένα, προέσθαι δὲ κελεύειν ὅσον δραχμὰς πεντακοσίας. γενομένου 82
δὲ τοῦ ὀνείρατος τῇ μὲν ἡδίων γίγνομαι, ὅτι ἐπαγγελία τις ἐφαί-

1 γράφω DTA p. ras. S²: γράφων A a. ras. S¹ 9 ἄνωθεν] ʽdudum' (e superioribus temporibus, cf. Schmid p. 79); distinguunt post ἄνωθεν (ʽSeverus mox e loco superiore . . inquit' vert. Canter) 10 γινώσκω O 11 posterius καὶ om. D 12 συνάρξασθαι D 16. 17 μέγα ποιουμένων Canter: μεταποιουμένων O 19 ἀπόντα καίτοι καὶ D αὐτοῖσ O 20 ἀπράκτωσ D 22 ἐπιτιθέντος pars librorum Thom. Mag. p. 19, 5 32 ὑπισχνεῖται D

νετο ἐνεῖναι καὶ οὐκ ἄντικρυς ἄρνησις ἦν, τῇ δ' ὥσπερ εἰς ταὐτὸν
φέρειν ἐδόκει μοι· ποῦ γὰρ ἄν τις πεντακοσίων δραχμῶν πρίαιτο
πρᾶγμα τοσοῦτον, καὶ ταῦτα παρ' ἀνδρὸς οὕτω μὲν ἀδωροδοκήτου,
ὡς πρότερον τὰ ῥεῖθρα τῶν ποταμῶν ἄν τινα στῆσαι ἢ 'κεῖνον 341
πρίασθαι, οὕτω δ' αὖ δεινοῦ περὶ πράγματα καὶ πάντων ἥκιστα
ἂν ἐξαπατηθέντος; ἔοικεν ἡ ὑπόσχεσις ἄρνησις εἶναι, ἀπεῖναι γὰρ
83 τὸ δυνατόν. ταῦτα ἠπόρουν· κἂν τούτῳ ἐκάλει ὁ θεὸς πάλιν εἰς
Πέργαμον, καὶ ἐτύγχανε Ῥουφῖνος ἐπιδημῶν· ἔμελεν δ' αὐτῷ τοῦ
τιμᾶν ἡμᾶς εἰς ὅσον οἷός τ' ἦν. συντυχὼν δ' αὐτῷ διηγοῦμαι
τὰ πεπραγμένα καὶ βοηθεῖν ἠξίουν· πάντως δὲ καὶ αὐτὸν Σεβῆ-
ρον ὡμολογηκέναι κυρίαν εἶναί μοι τὴν ἀτέλειαν, τοῦτο δ' οὐκ
ἐξαρκεῖν γεγράφθαι· καὶ γὰρ ἄλλῳ παντὶ τῶν ἡγεμόνων ὑπάρξειν
ἄλλο τι προστάττειν ἐμοὶ μετὰ τοῦ αὐτοῦ τούτου παραγράμματος,
καὶ οὕτω λυθήσεσθαι τὴν ἀτέλειαν διὰ προσθήκης τοῦ μένειν.
δεῖσθαι δὲ οὐ τῆς τοῦ ῥήματος εὐπρεπείας, ἀλλὰ τοῦ πράγματος.
84 τὸ γὰρ σῶμα οὕτως ἔχειν μοι. ἔδοξα δίκαια λέγειν τῷ Ῥουφίνῳ
καί μοι δίδωσιν πρὸς αὐτὸν ἐπιστολὴν τῇ αὑτοῦ φωνῇ γράψας
ὡς δυνατὸν προθυμότατα, ἐν ᾗ τά τε ἄλλα ἐπεξῄει, τὰ μὲν ὡς
συνιστάς, τὰ δ' ὡς συμβουλεύων, καὶ περὶ μὲν τοῦ μέλλοντος
85 ᾐνίττετο, ὁποῖόν τι ἔσοιτο, εἰ μή με ἑκὼν ἀφίοι. Ἵνα
δ' ἐκπεράνω, γιγνόμεθα ἐν τῇ Σμύρνῃ Διονυσίοις, καὶ παρῆν 527
ὁ Σεβῆρος κατὰ τὴν ἑορτήν. ἦν οὖν τις τῶν καλουμένων πρε-
σβευτῶν τά τε ἄλλα θαυμαστὸς ὡς ἐπιτηδείως ἔχων αὐτῷ
καὶ σχεδὸν ὡσπερεὶ γραμματεὺς αὐτοῦ· πάντων γὰρ ὅσα ἐν γράμ-
μασι κύριος αὐτὸς ἦν. καὶ δὴ καὶ τότε τὴν ἐπιστολὴν τούτῳ δεί-
κνυμεν, ἐντυχόντες πρώτῳ· καὶ γὰρ ἦν ἐπὶ τῆς διοικήσεως τῆς

---

1 ταὐτὸν] τοὐναντίον ci. Jacobs, Lect. Stob. p. 159, frustra; εἰς ταὐτὸν φέρειν i. q. nihil proficere 2 ἐδόκει μοι] ἐδόκουν D 6 ἐξαπατηθέντεσ S^1 ἀπεῖναι] ἄπει A^1, supplevit A^r 7 δυνατόν Ddf.: ἀδύνατον O; ἐπεῖναι ... ἀδυνατόν ci. Canter 8 Ῥουφῖνος] cf. ad p. 432, 29 ἔμελ/εν A (λ eras. A^r), ἔμελλε D 10 πάντωσ ADT^2: πάντα ST^1 14 fort διὰ ⟨τῆς⟩ προσθήκης μένειν] cf. p. 445, 13 'καὶ μένει', sicut sub eo proconsule erat, qui Severo in magistratu praecessit, ita ut immunitatem Aristidi quasi prorogatam, non in omne tempus confirmatam esse pateret, id quod simplex βεβαιῶ valuisset 15 ἀπρεπείασ D; cf. Thuc. III 82, 8 εὐπρεπείᾳ .. λόγου 17 τῇ αὑτοῦ (αὐτοῦ O) φωνῇ] schol. A^r: Ῥωμαϊστὶ δηλονότι 20 post ἔσοιτο vv. ἐν τῆ σμύρνη addita punctis del. T^1, cf. v. 21 ἀφίοι] cf. προοῖντο p. 240, 2 (v. l. U); θοῖντο p. 198, 7 in T; τιθοῖτο Panath. I p. 276, 19 Ddf. item v. l.; συνίοι pro Quattuorv. II p. 278, 19 Ddf. in libris eadem v. l. quae ap. Phot. 21 Διονυσίοις] cf. or. XVII § 6. XXI § 4 22 τῶν καλουμένων πρεσβευτῶν] legatorum iuridicorum, qui in provinciis senatoriis simpliciter (καλουμένων) 'legati' audiebant; Mommsen, Röm. Staatsr. I^3 231 26 διοικήσεως — Σμύρναν] cf. Marquardt, Roem. Staatsverw. I^2 339 sqq. (341, 2); 501 sq.

περὶ Σμύρναν. καὶ μὴν ὅσα γε ἀπὸ στόματος εἰπεῖν ἔδει, πάντα 86
διῆλθον πρὸς αὐτόν, ἵνα εἰδὼς ἀκριβῶς φράζοι πρὸς τὸν ἡγεμόνα.
καὶ ὡς ἑώρων τούς τε λόγους δεχόμενον καὶ πρὸς τὰ δίκαια καμ-
πτόμενον, ἐνθύμιον ποιοῦμαι τὴν τοῦ ἐνυπνίου φωνήν, ὡς ὁ γραμ-
ματεὺς ὑπισχνεῖτό μοι συμπράξειν, καὶ τό τε ὄναρ αὐτὸ διηγοῦμαι
πρὸς αὐτὸν καὶ ἠξίουν ὑπακοῦσαι τῷ θεῷ, φάσκων τοῦτον ἐκεῖνον
εἶναι τὸν ὑπισχνούμενον, αὐτὸν δὴ λέγων. ἥσθη τοῖς λόγοις,
προσῆγεν ἡμᾶς τῷ ἡγεμόνι, ἀπεδίδου τὰ γράμματα κοινῇ μεθ'
342 J ἡμῶν. καὶ ὃς ἔτι μὲν ἀναγιγνώσκων δῆλος ἦν παντοῖος γιγνό- 87
μενος, ἱστάμενός τε πολλαχοῦ τῶν γραμμάτων καὶ στρεφόμενος·
πλεῖστα δὲ καὶ μέγιστα ἐπιστείλαντος αὐτῷ περὶ τῶν λόγων τῶν
ἐμῶν Παρδαλᾶ τοῦ ἡμετέρου μὲν ἑταίρου, ἐκείνῳ δ' οἰκείου καὶ
συνήθους ἐκ παίδων, ἐπειδὴ καὶ ταύτην ἔλαβε τὴν ἐπιστολὴν καὶ
διῆλθεν ἀμφοτέρας, 'οὐδεὶς, ἔφη, ζητεῖ περὶ τῶν λόγων· ἀλλ'
ἕτερόν ἐστι πρῶτον Ἑλλήνων εἶναι καὶ ἄκρον ἐν λόγοις — οὕτω
γὰρ ὠνόμασεν — καὶ ἕτερον διατρίβειν ἐπὶ τούτῳ καὶ μαθητὰς
528 D ἔχειν.' καὶ μικρὸν διαλιπὼν 'πορεύθητι, ἔφη, πρὸς τὴν βουλήν,
πεῖσον τοὺς πολίτας.' καὶ ἅμα προὔτρεπε καὶ παρῄνει προσ-
ίεσθαι τοὺς νέους ὅτε δή· κἀγὼ τοσοῦτον ἀπεκρινάμην, ὅτι οὐδὲν
δεοίμην παρακλήσεως, ἀλλ' ὁ θεὸς αὐτῶν τούτων ἕνεκα ἀποστεί-
λειεν, ὡς ἀνάγκη πείθεσθαι.

Ἀρχὴ μὲν δὴ καὶ κατάστασις αὕτη τοῦ πράγματος γίγνεται 88
καὶ πάροδος πρώτη μετὰ τὴν ἐν τῇ Ἐφέσῳ γνῶσιν γενομένην.
ἔτι δ' ὄντος μετεώρου συμβαίνει δεύτερον τοιόνδε. πρὶν εἰσελ-
θεῖν εἰς τὴν βουλὴν ἐμὲ καὶ γενέσθαι λόγον ὁντινοῦν περὶ τούτων —
ἦσαν δ' ἀρχαιρεσίαι κατ' ἐκεῖνον τὸν χρόνον πρυτανεῖαι —, προὐ-
βάλετό με ἡ βουλὴ δυοῖν καὶ τριῶν ὑπειπόντων, καὶ περιειστήκει
τὸ πρᾶγμα εἰς ἄτοπον. ἀντὶ γὰρ τοῦ πείθειν ἐκείνους περὶ ὧν
ὁ ἡγεμὼν ἀπέστειλεν, ἠναγκαζόμην αὖθις ἐφιέναι παρ' ἐκείνων
εἰς τὸ τοῦ ἡγεμόνος δικαστήριον, καὶ δύο γε ἀντὶ μιᾶς αἱ δίκαι
γίγνονται, καὶ δικαστὴς πάλιν αὐτὸς ὅσπερ ἐξ ἀρχῆς. καὶ ἀπην- 89
τῶμεν εἰς Πέργαμον. μελλούσης δὲ καλεῖσθαι τῆς δίκης, ἵνα συν-
τέμω, ᾔδει μὲν οὐδεὶς ἡμῶν — οὐ γὰρ προείρητο ⟨ἡ⟩ ἡμέρα —,
ὄναρ δ' ἐπιστὰν περὶ τὴν ἕω τοσοῦτον ἔφραζεν·

---

5 αὐτὸ sic O 9 ἀναγινώσκων O γινόμενοσ O 12 Παρδαλᾶ scripsi: παρδάλου O, cf. ad p. 432, 20 18 καὶ παρῄνει — κἀγὼ AD: om. ST; distinxi post δή 21 ὡσ] an ᾧ? 26 πρυτανεῖαι] ad prytanes eligendos (cf. Boeckh ad CIG. 3148) 31 αὐτὸς legi (ὁ αὐτὸς Ddf.): αὐτὸσ O 33 ᾔδει] ἤδη D post ἡμῶν desidero ἀκριβὲς οὐδέν vel simile quid ἡ addidi 34 περὶ τὴν ἕω] cf. ad p. 430, 26

Κάδμου πολῖται, χρὴ λέγειν τὰ καίρια (Aesch. Sept. 1).
εὐθὺς οὖν δῆλον ἦν ὅτι ἀγωνίζεσθαι δεήσοι, καὶ παρεσκευαζόμην
οὕτω. καὶ οὐ πολὺ ὕστερον ἧκεν ἀγγέλλων τις ὅτι καὶ δὴ καλεῖταί μου
90 *τὸ ὄνομα. ἐν ὅσῳ δὲ ἐκ τοῦ ἱεροῦ κατῄειν εἰς τὴν πόλιν, διατρι-*
βῆς ἐγγιγνομένης καὶ καλουμένου πάλιν αὖ τοῦ ὀνόματος ἔφασαν
τὸν Σεβῆρον μάλα δεξιῶς εἰπεῖν ὅτι ἀφιξοίμην τε καὶ οὐδὲν δέοι
κατεπείγειν. καὶ μετὰ τοῦτο ὡς εἶδεν προσιόντα, ῥαβδούχους τε
εὐθὺς ἐκπέμπει μοι ῥαστώνης ἕνεκα τῆς προσόδου· τουτὶ γὰρ 343 J
91 *πρόσθεν ᾐτηκὼς ἔτυχον αὐτόν. καὶ ἐπειδὴ παρῆλθον, ἅπασαν* 529 D
αἰδῶ καὶ παρ᾽ αὐτοῦ καὶ παρὰ τῆς τῶν συνέδρων . . . . ., ὡσαύ-
τως δὲ ῥητόρων τῶν προσεστηκότων καὶ τῶν ἄλλων ὁπόσοι παρ-
ῆσαν, καὶ σχῆμα ἐπιδείξεως μᾶλλον ἦν ἢ δίκης· ἥ τε γὰρ εὔνοια
θαυμαστὴ καὶ τὸ πρὸς τοὺς λόγους ὡρμηκὸς ἐπεσήμαινον τότε
καὶ χειρὶ καὶ φωνῇ, καὶ πάντ᾽ ἦν ὥσπερ ἐπὶ σχολῆς ἀκροωμένων.
92 *πέντε δὲ μέτρων ἐκπερανθέντων καὶ παρρησίᾳ μου χρησαμένου*
πλείονι καὶ παραδηλώσαντος, ὁποῖός τις ἂν ἦν, παρὰ τῷ βασιλεῖ
τούτους ποιούμενος τοὺς λόγους, τελευτῶν ὁ Σεβῆρος, ἑνὸς τῶν
ἀπὸ τῆς πόλεως συνδίκων μικρὰ καὶ μετ᾽ εὐφημίας ἀπαντήσαντος
ἡμῖν, ἅμα καὶ τὴν βουλὴν τιμῶν κἀμοὶ ταὐτὸν ἔσεσθαι νομίζων,
καὶ ταύτην ἀρίστην εἶναι γνῶσιν, πέμπει με αὖθις εἰς τὴν βου-
93 *λὴν μετὰ γραμμάτων ἐντίμων. καὶ συνέβη δή μοι οὐ μόνον τὴν*
ἀτέλειαν βεβαιώσασθαι, ἀλλὰ καὶ μετὰ τιμῆς τοσαύτης καὶ σχή-
ματος ὥστε μηδενὶ τῶν ἄλλων δοκεῖν περὶ ταῦτα κοινωνεῖν. τῆς
δ᾽ ἑτέρας ἀρχῆς, ἐφ᾽ ἣν αὐτὸς ᾗγέν με, οὐδ᾽ ἐμνήσθη πρὸς ἐμὲ
οὐδ᾽ οὖν ἡμεῖς πρὸς ἐκεῖνον· ἀλλ᾽ ἐπέστειλεν ἐφ᾽ αὑτοῦ τοῖς
ἄρχουσιν, κελεύων ἕτερον ἀντ᾽ ἐμοῦ καταστῆσαι.

94 *Εἰς τοῦτο ἐτελεύτησεν ἡ πρόρρησις τοῦ θεοῦ. καί μοι λογι-*
ζομένῳ τὰ ἀνηλωμένα μισθόν τ᾽ ἀγοραίοις καὶ οἰκέταις ἐφόδια,
εἴ τινάς ποι τούτων ἕνεκα ἀπέστειλα, αἱ πεντακόσιαι μάλιστά
πως συνέβαινον δραχμαί. οἷον δ᾽ αὖ καὶ τὸ πρόσθεν τούτων
ἐνιαυτῷ σχεδὸν γενόμενον ἐπὶ Πωλλίωνος ἄρχοντος τῆς Ἀσίας.

---

5 *ἐγγινομένησ* T *αὖ τοῦ* Canter: *αὐτοῦ* O 6 *οὐδὲν* Ddf.: *οὐδὲ* O 9 *ἔτυχον*] *ἔχων* S[1] 10 *τῆσ* A a. ras. ST: om. DA p. ras. lacunam indicavi; desunt *τάξεως* (*μερίδος* vel simile) *εὗρον* 13 *τὸ — ὡρμηκὸς*] cf. Plat. Parm. 135 D *ἡ ὁρμὴ ἣν ὁρμᾷς ἐπὶ τοὺς λόγους* 16 *ἦν* scripsi: *εἴην* O; distinxi ante *παρὰ βασιλεῖ*] Pio 23 *περὶ ταύτην* D 29 *αἱ*] p. 445, 33 30 *οἷον δ᾽*] aut *δ᾽* del. aut ⟨*ὅμ*⟩*οιον δ᾽* scrib., cf. p. 390, 25. 451, 9 *τὸ* A[1]S[2], *τὸ* (ῶ superscr.) T pr. m.: *τῶ(ι)* A[r]S[1]D 31 *πωλλίωνοσ* ADS[1] (ut tituli): *πολλίωνοσ* TS[2]; eadem v. l. p. 449, 9. 20; T. Pomponius Proculus Vitrasius Pollio, cf. Prosopogr. Imp. Rom. III p. 78; nec de proconsulatu nec de consulatu priore (posterior a. 172) constat

ἄρτι μὲν εἰς τὸ βουλευτήριον παρεληλύθειν ἐκ τῆς πολλῆς ἡσυ- 95
χίας, ὥσπερ ἔφην, τοῦ θεοῦ προαγαγόντος κατὰ τοὺς λόγους·
ἅπαντες δ᾽ ἦσαν ἐπ᾽ ἐλπίδων ὡς καὶ δὴ συνεσοίμην τοῖς νέοις·
ἀπωλώλεσαν δὲ οἱ δείλαιοι σοφισταὶ τῷ δέει, οὐχ ἅπαντες, ἀλλ᾽
530 D οἷς ἀνιᾶσθαι ἐπιμελὲς ἦν. ᾑρέθην ἐκλογεύς, ἧκεν τὸ πρᾶγμα ἐπὶ 96
τὸν πρεσβευτήν, κυροῖ τὴν χειροτονίαν ἐν Φιλαδελφίᾳ δικαστηρίοις
ἀπόντος ἐμοῦ. μετὰ ταῦτα ἀνεγιγνώσκετο ἐν τῇ βουλῇ ἡ γνῶσις
ἡ τοῦ πρεσβευτοῦ. καὶ παρ᾽ ἡμῶν ἔφεσις μὲν εἰς Ῥώμην ἐδίδοτο,
344 J ἐπιστολαὶ δὲ ἐπέμποντο παρά τε αὐτὸν Πωλλίωνα καὶ τὸν πρεσβευτὴν
οἷα εἰκὸς λέγουσαι. ὁ δὲ θεὸς τάδ᾽ ἐσήμαινεν· ἐδόκουν τὸν Ἄλκιμον 97
τὸν διοικητήν, ὃν ἔπεμψα τούτων ἕνεκα, ἐπανήκειν κομίζοντά μοι
λόγον Δημοσθένους τὸν ὑπὲρ τοῦ στεφάνου, ἔχοντα οὐχ ὡς νῦν,
ἀλλ᾽ ἑτέρως γε καὶ καθ᾽ ἑτέραν σύνθεσιν. καὶ πάλιν ἦσαν ὑπο-
σχέσεις, ὡς Γλαβρίωνος τοῦ πάνυ συγκαταστήσαντος τὸ πᾶν. ὁ
δ᾽ ἔτυχεν, οἶμαι, τότε ἐπιδημῶν. ἐγένοντο δέ μοι καὶ παρὰ τοῦ
Σαράπιδος καὶ τῆς Ἴσιδος χρησμοί, ὡς πεπραξομένου τε τοῦ πράγ-
ματος καὶ ‛ἐχθροῖς εἰς φιλίαν ἥξεις᾽ ἔφασαν. καὶ τὰ μὲν χρη- 98
σθέντα καὶ φανθέντα ὡς ἐν κεφαλαίοις τοιαῦτα ἦν· εἰς δὲ τὴν
Φιλαδελφίαν ἀφίκοντο οἱ πεμφθέντες, καὶ ἦν μὲν ἀφέσιμος, ὡς
ἔφασαν, ἡμέρα ᾗ τὰ γράμματα ἀπεδίδοσαν, ἀναγνοὺς δὲ ὁ Πωλ-
λίων καὶ τινος καιροῦ γενομένου περὶ ἡμῶν ὑπὸ τῶν ἐν τῇ προσ-
ρήσει παρόντων γνοὺς τοῦ πρεσβευτοῦ τὴν ἀφέλειαν κελεύει πο-
ρευθέντα εὐθὺς καθίζεσθαι καὶ ἐπανορθώσασθαι τὴν γνῶσιν.
ποιεῖ ταῦτα ὁ πρεσβευτὴς καὶ καθίζει ἑνὸς ἕνεκα τούτου καὶ δί-
δωσι γράμματα ἕτερα πρὸς τὴν βουλήν. κομισθέντων δ᾽ αὐτῶν 99
ὁ ἄρχων, ὅσπερ προθυμότατα ἀνθειστήκει μοι καὶ τἀναντία τού-
των ἀνεγνώκει πρότερον, θορυβούμενος ἤδη καὶ ἐν παντὶ ὢν ἔπεμ-
ψεν ὡς τοὺς ἡγεμόνας πυνθανόμενος περὶ αὐτῶν. οἱ δ᾽ οὐδὲν

---

2 κατὰ] non ‛ad orationes producente᾽ (Canter), sed ‛producente ita, ut dicendi studio, quod imperabat, uteretur;᾽ ad haec ὥσπερ ἔφην, sc. § 19 sqq. 3 ἅπαντεσ δ᾽ ἦσαν AD: ἦσαν δ᾽ ἅπαντεσ ST 4 ἀπολώλεσαν A[1] (corr. A[2]) S 5 ἐκλογεύς] non i. q. λογιστής, sed ‛exactor᾽, munus parum nobilis notae, ut videtur (cf. διακονίας p. 450, 2) 6 τὸν πρεσβευτήν] cf. ad p. 446, 22 φιλαδελφεία D; ceterum cf. Marquardt l. c. p. 341, 6 7 ἀνεγινώσκετο DT 10 Ἄλκιμον] idem p. 457, 8. 10. 26 14 Γλαβρίωνος] cf. ad p. 450, 6 15 ἐγένοντο AD: ἐγένετο ST 17 ἐχθροῖς — ἥξεις] hexametri initium (Kaibel) 21 vv. καιροῦ — ἡμῶν vereor ut sana sint 22 ἀφέλειαν] ἀμέλειαν ci. Büchner l. c., at ἀφέλεια hic i. q. εὐήθεια 26 ἄρχων] archontis Smyrnaei mentio neque apud scriptores neque in titulis aut nummis, ut proprie πρύτανις intellegendus sit (cf. p. 447, 26 et CIG. 3168; Head H.N. 509) sicut τοὺς ἡγεμόνας v. 28 certo dicit qui proprie στρατηγοί audiebant ὥσπερ T[1] a. ras. (Junt.)

ἀπεκρίναντο. ὁ δ' ἐλθὼν ὡς ἐμὲ ἐδεῖτο συγγνώμην ἔχειν, καὶ
παρήειν εἰς τὴν βουλὴν καὶ τῆς τε διακονίας ἀφείθην καὶ τῆς
ἀτελείας ἔτυχον. πρῶτον τότε καὶ μετὰ τοῦτο φίλτατος μὲν ὁ 531 D
ἄρχων, φίλτατος δὲ ὁ πρεσβευτὴς αὐτός.
100 Φέρε δὴ καθάπερ κλίμακος αἰεὶ τὸ ἀνωτέρω προϊόντες ἑτέ-
ρου τῶν ὑπὲρ ταῦτα μνημονεύσωμεν. ὁ σοφιστής, οὗ μικρῷ πρό-
σθεν ἐμνήσθην, ἦρχεν. ἱσταμένου δὲ τοῦ ἔτους καὶ γιγνομένης
ἐκκλησίας τῆς πρώτης ἧκον ἐκ δήμου καλοῦντές με, οἷα δὴ διὰ
χρόνου [τε] ἀφιγμένον, καὶ ἅμα ἀπαγγέλλοντες ὅτι μέλλοιεν θύσειν
ὑπὲρ ἐμοῦ δημοσίᾳ, ὅπερ οὖν καὶ πρότερον πολλάκις πεποιηκότες
101 ἦσαν. ὡς δὲ παρῆλθον εἰς τὴν ἐκκλησίαν καὶ ὁ δῆμος τὰ εἰω-
θότα ἐπεθορύβησεν, ἔργου εἴχοντο οἱ παρεσκευασμένοι κροτοῦντές 345 J
τε καὶ τὴν ἱερωσύνην τὴν κοινὴν τῆς Ἀσίας ἀνατιθέντες μοι καὶ
τὸν δῆμον ⟨ἐπ⟩εσπάσαντο οὐ χαλεπῶς· καὶ ἅμα αἱ ἀρχαὶ περιίσταντό
με, ἄλλος ἄλλοθεν ἐπαινῶν καὶ βοῶν καὶ πρὸς τὸν δῆμον τῇ παρα-
κλήσει φιλοτιμούμενοι. ἐγεγόνει δέ μοι σημεῖα ἐξ ὀνειράτων
102 λαμπρὰ καὶ ἐπιφανῆ, οἷς ἐθάρρουν καὶ πάνυ. λόγον δ' αἰτήσας
οὕτως ἔπεισα ὥστε ὁ δῆμος ταύτης μὲν ἀπέστη τῆς ἀξιώσεως,
ἐψηφίζετο δέ μοι τὴν ἱερωσύνην τοῦ Ἀσκληπιοῦ μάλα φαιδρῶς
ἅπας· ἔτι δ' ἦν ἐν κατασκευῇ τότε ὁ νεὼς ὁ πρὸς τῷ ἔξω λιμένι.
καὶ οἶδα εὐδοκιμήσας οἷς ἀπεκρινάμην· ἔφην γὰρ ὡς οὐδὲν οὔτε
μεῖζον οὔτε ἔλαττον οἷόν τ' εἴη πράττειν μοι ἄνευ τοῦ θεοῦ, οὐδ'
οὖν αὐτὸ τὸ ἱερᾶσθαι νομίζειν ἐξεῖναι πρότερον, πρὶν ἂν αὐτοῦ
πύθωμαι τοῦ θεοῦ. οἱ δ' ἐθαύμασάν τε καὶ συνεχώρουν. γενο-
μένων δὲ τούτων εὐδοξία καὶ ζῆλος ἦν ἐπὶ ταῖς δημηγορίαις, καὶ
οὐδὲν δεῖν ᾤμην ἔτι πραγμάτων. ὁ δὲ θεὸς οὔ τι που οἴει † πέρας
103 τοῦτο ἔχειν, ὁ δ' ἐγχειρίδιον ἔχει ὑπὸ μάλης. καὶ συμβαίνει μετὰ
τοῦτο συνέδρους μὲν ἐξιέναι Σμυρναίων εἰς Φρυγίαν ἄνω καὶ μέλ-
λειν φέρειν τοὐμὸν ὄνομα ἐν τῷ συνεδρίῳ τῷ κοινῷ, προαισθέσθαι
δέ με καὶ πέμψαι τὸν τροφέα τὸν Ζώσιμον· καὶ γίγνομαι τρίτος
ἢ τέταρτος τῇ χειροτονίᾳ. μετὰ ταῦτα ἔφεσις, κλῆσις ἡγεμόνος, 582 D

5 ἀεὶ A¹ (corr. Aʳ) τὸ AD: τῷ ST 6 ὁ σοφιστής — ἐμνήσθην] p. 449, 14; certum est, quod Waddington est suspicatus (cf. Prosopogr. Imp. Rom. II 118), Glabrionem illum significari; nec de proconsulatu nec de consulatu constat 7 ἱσταμένου] incipit annus Asiae provinciae a. d. IX. Kal. Oct., cf. ad p. 377, 11 9 τε secl. Kaibel 13 τὴν ἱερωσύνην — Ἀσίας] titulus ἀρχιερεὺς Ἀσίας 14 ἐπεσπάσαντο Junt.: ἐσπάσαντο O 17 δὲ D 22 οὐδ' Wil.: οὔτ' O 24 πείθωμαι D 26 vv. ὁ δὲ θεὸς — πέρας aut corrupta (pro οἴει ci. εἴα Canter) aut lacunosa (Wil.) 26 ὁ δ'] sc. ὁ θεός; ceterum cf. Plat. Gorg. 469 D cum scholio 29 τῷ συνεδρίῳ τῷ κοινῷ] conventus Asiae; de toto hoc loco recte iudicavit Brandis, Pauly-Wissowa R.-E. II 476

κλῆσις τοῦ Σωτῆρος εἰς Πέργαμον· διέτριβον δ᾽ ἐν τῷ χωρίῳ τῷ
εἰωθότι τοῦτον ἤδη τὸν χρόνον αὐτοῦ γε πέμψαντος. δευτέρᾳ δ᾽ 104
ἡμέρᾳ ᾗ ὡρμήθην ἀπαντᾷ μοι ὁ κομίζων τὴν ἐπιστολὴν ⟨τὴν⟩ τοῦ
ἡγεμόνος. καὶ ἐπειδὴ ἀνέγνων τὰ γράμματα ‛ἀλλὰ προκέκλημαί τε,
ἔφην, ὑπὸ τοῦ θεοῦ καὶ θέοντα ἐπεγείρεις.᾽ τί δεῖ διατρίβειν;
ἀφείθην γὰρ πάντων πραγμάτων ..... ἐν περιόδῳ τῶν ναῶν τῶν ἐν
᾽Ασκληπιοῦ· οὕτω πρὸς ἡμᾶς ἔσχεν ὁ ἡγεμών, οἶμαι δ᾽ οὐκ ἐκεῖ-
νος μᾶλλόν τι ἢ ὁ τῷ ὄντι καὶ καθάπαξ ἡγεμών.

῞Ομοιον δὲ τούτῳ καὶ τὸ πρῶτον ἁπάντων τούτων γενόμενον. 105
χωρίον ἐστὶ Λανεῖον οὐ πόρρω τοῦ ἱεροῦ τοῦ Διός, οὗ κἀν τοῖς
ἄνω λόγοις (p. 423, 14) ἐμεμνήμην [τοῦ ἱεροῦ]. τοῦτο τὸ χωρίον
346 J πριαμένων ἐμοὶ τῶν ἐμῶν ἐπὶ τῆς διατριβῆς τῆς ἐν Αἰγύπτῳ
ἐσφετερίζοντο Μυσῶν τινες, πολλὰ καὶ παντοῖα τὸ μὲν πρῶτον
λέγοντες, ἔπειτα καὶ πράττοντες ἤδη. ὡς γὰρ ἀπέγνωσαν αὐτούς
— ἵνα μὴ κατ᾽ ἐμαυτοῦ λέγω τὸ βλάσφημον —, ἀθροίσαντες ὡς
ἐδύναντο πλείστους οἰκέτας ἅμα καὶ μισθωτούς, ἐπῆλθον μεθ᾽
ὅπλων ἁπάντων· ἔπειθ᾽ οἱ μὲν αὐτῶν ἄπωθεν ἠκόντιζον καὶ
ἐσφενδόνων λίθοις καὶ βώλοις, οἱ δ᾽ εἰς χεῖρας ᾔεσαν, οἱ δ᾽ ἐν-
εβάτευον εἰς τὴν οἰκίαν καὶ τοῖς ἔνδον ἐχρῶντο ὡς οὖσιν ἑαυτῶν·
πάντα δ᾽ ἦν ταραχῆς μεστὰ καὶ τραυμάτων. ἀγγελθέντων δὲ τού- 106
των εἰς Πέργαμον εἶχον μὲν οὕτως τὸ σῶμα ὥστε ἀναπνεῖν μόλις,
ἀγορὰ δ᾽ ἦν δικῶν, ὅ τι δὲ χρήσομαι ἠπόρουν· ὁ δὲ θεὸς τήν τε
πρόσοδον ἐξεῦρεν τὴν πρὸς τὸν ἡγεμόνα καὶ τὸν καιρὸν παρεσκεύ-
ασε. καὶ τὸ μὲν ἀκροτελεύτιον τῶν ὀνειράτων ᾽Αδριανὸς ἦν ὁ αὐ-
τοκράτωρ ἐν τῇ αὐλῇ τοῦ ἱεροῦ, περιέπων τέ με ἄρτι γνώριμον
αὐτῷ γεγονότα καὶ ὑποτιθεὶς ἐλπίδας μεγάλας· τὸ δὲ συμβὰν
εὐθὺς ἐπὶ τῇ ὄψει ταύτῃ τόδε. ἧκον εἰς τὸ ἱερὸν οὕτως ὅπως 107
οἷός τ᾽ ἦν· καί μου διατρίβοντος ἔτι αὐτόθι ὁ ἡγεμὼν ᾽Ιουλιανὸς
533 D ἐπέρχεται καὶ σὺν αὐτῷ ῾Ρουφῖνος. γνοὺς δὲ ἐγὼ τὸν καιρὸν τῷ

1 δ᾽ om. S[1] 2 εἰοθότι A[1] (corr. A[2]); sc. in Laneo fundo γε et δ᾽ om. D
3 ⟨τὴν⟩ addidi 5 θέοντα ἐπεγείρεις] schol. A[r]S: θέοντα ἐπεγείρεις παροιμία;
cf. Paroemiogr. Gr. II 686 adn. σπεύδοντα ὀτρύνεις (ex Hom. Θ 293) et Eustath.
in Il. 713, 57; 1033, 4 ἔγειρε μεμαῶτα (ex Hom. Ο 604; cf. Hotop, de Eustath.
proverb. [Jahrb. f. kl. Phil. Suppl. XVI] p. 254 sq.) 6 lacunam indicavi; pro
᾽Ασκληπιοῦ v. 7 ci. ᾽Ασίας Brandis l. c., in quibus ἐν περιόδῳ non intellegitur; ne
Aesculapii quidem sacerdos Aristides factus; sententia fuerit: ‛⟨neque id in foro,
sed cum aliquot ante iudicium diebus proconsuli forte obviam factus essem
ambulanti⟩ in circuitu . . .᾽; ita demum οὕτω vim suam habebit 8 ὁ — ἡγε-
μών] ‛Aesculapius᾽ (Canter) 11 τοῦ ἱεροῦ secl. Büchner l. c. p. 184
14 αὐτοὺσ A[r]S[2]: αὐτὸνσ O 17 ἄποθεν DTS p. ras. 22 χρήσωμαι ST
28 ᾽Ιουλιανὸς] nec de consulatu nec de proconsulatu constat; cf. Prosopogr.
Imp. Rom. II p. 381 sq. 29 ῾Ρουφῖνος] cf. ad p. 432, 29

τε Ῥουφίνῳ φράζω τὸ πρᾶγμα καὶ τῷ Ἰουλιανῷ ἀναστρέφοντι προσέρχομαι, κατ' αὐτόν πως ὃν εἶδον ὄναρ τὸν τόπον, καὶ ὅσα τε αὐτῷ μοι καιρὸς ἦν εἶπον, καὶ ὁ Ῥουφῖνος προθυμίας οὐδὲν ἀπέλιπεν. ὁ δ' οὕτως ἔνθεος γίγνεται ὥστ' εὐθὺς μὲν περιέβαλλεν, ὡς ἄν τις πάλαι φίλτατος, λαβόμενος δέ μου τῆς χειρὸς θαρρεῖν τε ἐκέλευεν καὶ περὶ τὸν θεὸν ἔχειν, ταῦτα δὲ αὐτῷ με-
108 λήσειν· καὶ τέλος εἶπεν· 'οὐ μὴ ἡμῶν καταφρονήσωσι.' γίγνεται δὲ ἐπὶ τοῦ δικαστηρίου καὶ καλέσας τὴν δίκην καὶ λόγων οὐ πολλῶν ῥηθέντων ἠγανάκτησέ τε τοῖς γενομένοις καί τινα καὶ τῶν μετασχόντων τῆς ἐπιδρομῆς εἰς τὴν εἱρκτὴν ἐνέβαλεν, καὶ τὸ χωρίον ἡμῖν ψηφίζεται· καὶ εἰσήειμεν εἰς αὐτὸ ὑπὸ γραμμάτων. ὁπλῖται δὲ καὶ σφενδονῆται καὶ πάντα ἐκεῖνα ὑπεχώρει τῷ θεῷ.

LI.

(27) ΙΕΡΩΝ ΛΟΓΩΝ ΠΕΜΠΤΟΣ. I 534 D I 347 J

Θέρους ὥρᾳ πονήρως εἶχεν ὁ στόμαχος καὶ δίψος ἦν νύκτα καὶ ἡμέραν καὶ ἱδρὼς ἀμύθητος καὶ λύσις τοῦ σώματος, καὶ μόλις ἂν δύο καὶ τρεῖς εἷλκον ἀπὸ τῆς κλίνης ἀναστῆναι δεόμενον· καὶ ὁ θεὸς σημαίνει ἔξοδον ἐν Σμύρνῃ ὄντι τὸν χρόνον τοῦτον, καὶ
2 ἔδει ἐξιέναι αὐτίκα· καὶ ἐξήειμεν τὴν ἐπὶ Περγάμου. ἐν ὅσῳ δὲ ὀχήματα ἐπορίζετο, καὶ δὴ μεσημβρία τε προσήει καὶ καῦμα ἤρετο λαμπρόν. ἔδοξεν οὖν ἡμῖν ἐν τῷ προαστίῳ διατρίψαντας αὐτὴν τὴν ἀκμὴν οὕτως περαίνειν. ἡ δ' ὁρμὴ ἦν ὡς εἰς Μύριναν καὶ τὰ σκευοφόρα ἐπὶ τούτῳ προήει. οἷα δὲ πνίγους ὄντος καὶ ἅμα ὑφ' ἡδονῆς τοῦ χωρίου καὶ προσέτι ἀσχολιῶν τινων προείμεθα τῆς ὥρας συχνόν, ὥστε γιγνόμεθα ἐπὶ τῷ καταγωγίῳ τῷ πρὸ τοῦ

Or. LI: libri ASDT = O

---

4 ἀπέλιπεν TS²: ἀπέλειπεν AS¹D ὃ/δ' S 4. 5 περιέβαλεν D 6 ἔχειν] ν erasum in A restituit A² αὐτῷ O 10 εἱρκτὴν D. — Subscr. ἱερῶν λόγων τέταρτοσ T, λόγων ἱερῶν δ̄ AS

Tit. ἱερῶν λόγων πέμπτοσ T: λόγων ἱερῶν ε̄ AS; om. D; cf. ad tit. or. XLVII 15 δεόμενον] i. e. εἰ ἐδεῖτο, cf. p. 419, 15. 420, 23; Herodae VI 41 et Bücheler ad h. l. 17 ἐξήεῖ μὲν T (˜ i. e. ν fort. postea add. pr. m.) S², ἐξήιει μὲν S¹: ἐξήιειμεν AD(-ηει-) 19 προαστείῳ O 20 Μύριναν Canter (et Palmerius Exercit. p. 471. 638): σμύρναν O

Ἑρμοῦ περὶ αὐτὴν δύσιν ἡλίου. καὶ ἠπόρησα μὲν ὅ τι ποιῶ· ὡς 3
δὲ οὔτε τὴν δυσχέρειαν τῶν οἰκημάτων ἔφερον εἰσελθὼν θεραπεία
τε οὐ παρῆν διὰ τὸ προεκπέμψαι, ἐδόκει χρῆναι τὸ πρόσω διώκειν.
καὶ διαβάντι τὸν ποταμὸν νύξ τε ἦν ἤδη καθαρὰ καὶ προσέβαλεν
αὔρα τις ἐλαφρὰ καὶ ψυχεινή, καὶ τό τε σῶμά πως ἀνελάμβανε
535 D καὶ τῇ γνώμῃ τόνος τις μετ᾽ εὐθυμίας ἐνεδύετο, ὡς τῷ τε ἀέρι
ὁμιλοῦντι καθ᾽ ἡσυχίαν καὶ ἅμα πρὸς τὴν παρελθοῦσαν ἡμέραν
τὰ παρόντα κρίνοντι ὁπόσον τι μετεβεβλήκει. ἤδη δὲ βαθείας 4
ἑσπέρας ἦλθον εἰς Λάρισσαν, καί μοι ἀσμένῳ γίγνεται ὡς τά τε
ὀχήματα οὐ κατείληπτο καὶ τὰ τῆς καταγωγῆς οὐδὲν ἀμείνω τῶν
πρόσθεν ἦν, ἀλλ᾽ ἀνάγκη παρῆν ἔχεσθαι τῆς ὁδοῦ καὶ διακαρτε-
ρεῖν. καὶ μέσαι τε ἤδη νύκτες ἢ καὶ ἔτι πορρωτέρω, καὶ γιγνό-
348 J μεθα ἐν Κύμῃ, καὶ πάντα ἀπεκέκλειτο καὶ μάλ᾽ ἀγαπητῶς ἐμοί.
παρακαλέσας δὲ τοὺς ἑπομένους, οἳ παρέπεμπόν με ἀπὸ τοῦ χω- 5
ρίου, προσταλαιπωρῆσαι καὶ τὸ λοιπόν, ὡς οὐκ † εἰσόμενον αὐτοῖς,
πάντως δὲ ὀλίγον τ᾽ εἶναι καὶ προφέρειν οὐκ ὀλίγον μὴ δοκεῖν
τῆς προαιρέσεως διαμαρτεῖν, ἐχώρουν ἔξω πυλῶν, καὶ ψῦχός τε
ἤδη ἦν ὑγρότερον, ὥστε καὶ θέρμης δεῖσθαι. καὶ περὶ ἀλεκτρυό-
νων μάλιστά πως ᾠδὰς ἀνύσας εἰς Μύριναν ὁρῶ τοὺς ἐμοὺς
πρόσθεν τῶν καταγωγίων τινὸς συνεσκευασμένους ὡς εἶχον διὰ
τὸ μηδ᾽ αὐτούς, ὡς ἔφασαν, καταλαβεῖν ἀνεῳγμένον μηδέν. ἦν δέ 6
τις ἐν προθύρῳ τοῦ πανδοκείου σκίμπους· τοῦτον περιφέροντες
ἄνω καὶ κάτω διατριβὴν εἴχομεν· ὅπου γὰρ τεθείη, πανταχοῦ λυ-
πηρὸς ἦν. θύραν δὲ κόπτουσιν ἢ ξένων ἢ ὡντινωνοῦν πλέον οὐ-
δὲν ἦν· οὐ γὰρ ὑπήκουεν οὐδείς. ὀψὲ δέ ποτε εὕρομεν εἰσελθεῖν
εἰς οἰκίαν τῶν ἐπιτηδείων τινός· κακοδαιμονίᾳ δὲ θυρωρῶν τό
536 D τε πῦρ ἀπεσβήκει καὶ ἄλλο γε οὐδὲν ἦν οὐ μικρὸν οὐ μέγα. εἰσ-
ῄειμεν δὲ ὑπὸ σκότου καὶ ὑπὸ χειραγωγοῦ οὔτε ὁρῶντες οὔτε ὁρώ-
μενοι. ἐν ὅσῳ δὲ πῦρ τε ἐπορίζετο καὶ πορισθέντος ἔμελλον 7

---

4 διαβάντα D τὸν ποταμὸν] v. 1 προσέβαλλεν Lex. Vindob. p. 92, 6
5 ψυχεινὴ D Lex. Vindob. l. c.: ψυχινὴ AST; cf. Lobeck, Pathol. proleg. p. 189
7 ὁμιλοῦντι Büchner Philol. 1890, p. 184: ὁμιλοῦν O 8 μεταβεβλήκει O (correxi) 9 Λάρισσαν] cf. p. 287, 28. 29 ὡσ τά τε AS[1]: ὡσ δὲ τά τε DTS[2]
13 ἀπεκέκλειστο TA[2] 14. 15 χωρίου] Larissae 15 οὐκ εἰσόμενον corrupta vel potius lacunosa; certum inveniri non posse videtur; vv. ὡς — αὐτοῖς tanquam spuria non vertit Canter 16 μὴ] ἐμοὶ ci. Canter, falsus 18 ἦν ἤδη D 19 Μύριναν Canter (Palmerius, cf. p. 452, 20): σμυρίναν AS a. ras. D, σμύρναν TS p. ras. 22 σκίμπους] ι in ras. S[2]
28 σκότου AS[1]: σκότω T[1](at ου sup. ω add. T[2])S[2], σκότ D pr. m. (εισ sup.) χειραγωγοῦ S[1]: χειραγωγῷ A(-ῶι)DTS[2], unde χειραγωγῶν ci. Kaibel, fort. recte

*χρήσεσθαί τε καὶ πίεσθαι, καὶ δὴ ἑωσφόρος τε ὑπερεῖχεν καὶ
φῶς ἡμέρας ὑπέφαινεν. ἐδόκει χρῆναι μὴ μαλθακίζεσθαι μηδὲ
καθεύδειν ἡμέρας οὔσης, ἀλλ᾿ ἔργον ἔργῳ συνάπτειν καὶ βαδί-
ζειν εἰς τὸ τοῦ Ἀπόλλωνος ἱερόν, εἰς Γρυνεῖον, εἰωθός μοι καὶ*
8 *ἰόντι καὶ ἐπανιόντι θύειν τῷ θεῷ. γενόμενος δὲ ἐν Γρυνείῳ
θύσας τῷ Ἀπόλλωνι καὶ τὰ εἰωθότα διατρίψας εἰς Ἐλαίαν ἐλθὼν
ἀνεπαυόμην. καὶ ὡς ἐγενόμην ἐν Περγάμῳ τῇ ἐπιούσῃ, ἐγὼ μὲν
οἷα εἰκὸς οὕτως εἶχον ὡς ἐνδιατρίψων, ἐνύπνιον δ᾿ ἐλθόν, εἴτε δὴ
εἰς ἑσπέραν εὐθὺς εἴτε καὶ μιᾷ ὕστερον ἡμέρᾳ ἢ καὶ δευτέρᾳ,
ἐπείγεσθαί τε ἐκέλευεν καὶ μὴ ἄλλως ποιεῖν· ʿοἴδε γὰρ καὶ δὴ
διώκουσιν᾿· καὶ ἅμα τούτοις αἵ τε θυρίδες πνεύματος ἐμπεσόντος
ἀνεῴγνυντο εὖ καὶ καλῶς ἐσφηκωμέναι ἔνδοθεν καὶ ἔξωθεν, [καὶ]
πρόσθεν οὔπω συμβάν, αἵ τε θύραι παρέσχον ψόφον. ὡς δὲ
ἀφυπνίσθην, οὐδὲν ἔτι διέτριψα, ἀλλ᾿ εἰπὼν τοῖς οἰκέταις μετα-* 349 J
9 *διώκειν ἐπιβὰς τοῦ ὀχήματος ἤλαυνον ὡς ἤνυτον. καὶ ὁ βορέας
ἐπέκειτο πάντα κινῶν. ἦν δὲ τὸν χρόνον τοῦτον ἐργώδη τὰ περὶ
τὴν φάρυγγα, ὑπό τε φλυκταίνης συνεχοῦς πιεζόμενα καὶ ὑπὸ παν-
τὸς αἰεὶ τοῦ συντυχόντος ἀναξαινόμενα. τότε δὲ τῆς τε ἄμμου
πολλῆς ἅμα τῷ ἀνέμῳ φερομένης ἐπὶ τοῦ προσώπου καὶ τοῦ κονι-
ορτοῦ σύρδην ἁπανταχόθεν ἐμπίπτοντος οὐκ ἀγωνιᾶν μᾶλλόν τι
παρειστήκει μοι ἢ θαρρεῖν, ἅμα μὲν οἷον ἀπονοίᾳ τινὶ καὶ παρα-
τάξει — οὐ γὰρ ἦν ἀναφυγή —, ἅμα δ᾿ ὡς ἀντεῖχον παρὰ πᾶν
τὸ εἰκός. οἱ δὲ ἰατροὶ τὰ πρὸ τοῦδε ἀνακογχυλιάζειν τε ἐκέλευον*
10 *καὶ σκέπην ἀκριβεστάτην καὶ τὰ τοιαῦτα εἰσηγοῦντο. δευτέρᾳ δὲ
ἢ τρίτῃ ἡμέρᾳ παρελθὼν τὴν πατρῴαν οἰκίαν γίγνομαι ἐν τῷ ἱερῷ* 537 D
*τοῦ Διὸς τοῦ Ὀλυμπίου· καὶ θύω πρὶν καταλῦσαι [τὴν ὁδόν], ὥσπερ
μοι καὶ τὸ ἐξ ἀρχῆς εὐθὺς ἐν Σμύρνῃ προείρητο, ἐλαύνειν ὀρθὴν
εἰς Διὸς χωρίον. καὶ μετὰ τοῦτο ἤδη ῥάω τὰ τῆς διαίτης ἐπι-
φανῶς ἦν.*

11 *Περιόντι δὲ τῷ ἔτει καὶ μηνὶ μάλιστα θᾶττον ἦγον Κυζικη-
νοὶ τὴν ἱερομηνίαν τὴν ἐπὶ τῷ νεῴ, ἐμοὶ δὲ ὕπνοι τε ἦσαν ἐργώ-
δεις καὶ πέψις ἀπήντα μόλις ἐν συχνῷ τινι μέρει τῆς ἐπιούσης*

---

1 *χρήσεσθαί* A[1]ST (sc. *τῷ πυρί*): *χρίσεσθαί* A[r]D (ci. Canter) 3 *ἔργον ἔργῳ συνάπτειν*] invertit proverbium *λίνον λίνῳ συνάπτειν*, cf. Quattuorv. II p. 192, 7 Ddf.; plura Kock ad Stratt. frg. 38 (CAF. I 722) 12 *ἐσφηνωμέναι* ci. Valckenaer in notis ineditis tertium *καὶ* seclusi 15 an *ἐπιβάς του*? pluribus utebatur vehiculis (cf. p. 452, 18. 453, 10) *ἤνυτον*] ʿquoad poteram᾿ (Canter), cf. *ὡς ἀνυστόν* 17 *τὴν*] *τὸν* Thom. Mag. p. 223, 3; femininum p. 407, 15. 413, 16 18 *αἰεὶ* A[1] (corr. A[r]); item p. 455, 28 26 *τὴν ὁδόν* secl. Büchner l. c.; interpretamentum ad *ὀρθὴν* v. 27 spectans 28 *ῥάω* DT[2]S[2] (-*άι*-): *ῥᾷιον* AS[1]T[1](-*ᾶο*-) 30 *περιόντι* O 31 *τὴν ἱερομηνίαν — νεῴ*] ubi declamavit or. XXVII

ἡμέρας ἡσυχάζοντι μέν, καθεύδοντι δ᾽ οὔ. τότε δ᾽ οὖν ἡνίχ᾽ ἧκεν 12
τὸ ὄναρ, ἡμέρα τε ἦν ἐκ πολλοῦ καὶ ὕπνου τοσούτου σχεδὸν ἔλαχον
ὅσον δόξαι ἃ ἔδοξα. ταῦτα δ᾽ ἦν, Πορφυρίων ὁ ἰατρὸς ἐδόκει
μοι τοὺς Κυζικηνοὺς ἐπιὼν παραπλήσια τοῖς τῆς Ἀθηνᾶς πρὸς
τοὺς Φαίακας λέγειν, μέγαν τε ἄγων ἐμὲ καὶ προμνώμενος συνου-
σίας περὶ λόγους. οἱ δὲ πείθεσθαι, καὶ ἅμα θέατρόν τε εἶναι
καὶ αὐτὸς ἐν τῷ θεάτρῳ καὶ ἄλλ᾽ ἄττα εἰς τοῦτο φέροντα ἦν.
ἀνίσταμαι καὶ συσκευάζεσθαι τοῖς οἰκέταις εἰπών, ὡς αὐτίκα 13
ἐξιόντας, ἐξήλαυνον, μεσημβρίας οὐ πολλῷ τινι θᾶττον. οἷα δ᾽
ἐπαναμένων τοὺς οἰκέτας προήειν σχολαίτερον, κἀν τούτῳ ἐτρίβη
τι τῆς ὥρας. καὶ γίγνομαι περὶ δείλην ὀψίαν ἐπὶ τοῖς ὕδασι τοῖς
θερμοῖς, καὶ πάντα ἦν θορύβου μεστὰ καὶ πλήθους ἀνθρώπων,
350 J ὥστ᾽ οὐχ οἷόν τ᾽ ἦν στέγην εὑρεῖν, ἀλλ᾽ ἔδει παρελαύνειν. καὶ
εἵποντο μὲν ὀλίγοι ἤδη. προελθὼν δὲ τετταράκοντα στάδια εἴς 14
τινα κώμην, ὡς οὐδέν με προσίετο τῶν αὐτόθι, ἔγνων τῇ νυκτὶ
χρῆσθαι. αὐτῷ μὲν οὖν μοι ἐδέδοκτο ἐλαύνειν εἰς αὐτὴν Κύζικον,
οἱ δ᾽ ἀκόλουθοι ἀπειρήκεσαν, σχεδὸν δύ᾽ ὄντες οἱ λοιποί, ὥστ᾽
ἠναγκάσθην καταλῦσαι περὶ τὴν λίμνην εἴκοσι καὶ ἑκατὸν στάδια
538 D ἀπὸ τῆς πόλεως, ἀνύσας δὲ εἰς εἴκοσι καὶ τριακόσια. παρελθὼν 15
δὲ εἰς δωμάτιον καὶ σκίμποδος εὐπορήσας καὶ στρώματος καθα-
ροῦ καὶ μάλ᾽ ἀγαπητῶς — οὐ γὰρ ἔμοιγε οὐδὲν παρῆν —, ὡς
εἶχον διψῶν τε καὶ κονιορτοῦ πλέως, ἐν τῇ ἐσθῆτι, ἐν ᾗπερ καθ-
ήμην ἐπὶ τοῦ ὀχήματος, διενυκτέρευσα καθήμενος τὰ πλείω ἐπὶ
τοῦ σκίμποδος. ἀστέρων δὲ πρὸς ἡμέραν φερομένων ἀναστὰς
ἤνυσα ἀναμείνας οὐδένα. καί μοι παραμύθιον ἦν τῆς πορείας 16
τὸ τῷ λόγῳ προσέχειν, ὃν ἔδει τοῖς Κυζικηνοῖς ἐπιδεῖξαι κατὰ
τὴν τοῦ ἐνυπνίου φήμην· ὥστε καὶ ἐποιήθη οὕτω παρὰ τὴν ὁδὸν
τὰ εὑρισκόμενα αἰεὶ ἀναλαμβάνοντι. τὴν μὲν οὖν σπουδὴν τὴν
συμβᾶσαν περὶ τὸν λόγον οὐ μόνον ἡνίκα ἐδείκνυτο ἐν τῷ βουλευ-
τηρίῳ, ἀλλὰ καὶ ὕστερον ἐν τῇ πανηγύρει, εἰδεῖεν ἂν οἱ παρα-
γενόμενοι καὶ οἱ τούτων ἀκούσαντες, ἐμοὶ δ᾽ οὐχ ἥδιον ἐν τοῖς
τοιούτοις διατρίβειν. ἀλλ᾽ ἐπειδὴ προσέταξεν ἀναστρέφειν, ἐπαι- 17

---

1 ἡνίχ᾽ ἧκεν A[1](corr. A[2]), ἡνίχ᾽ ἧμεν T[1] a. ras., ἡνίχ᾽ ἧκεν ST[1] p. ras. 3 *Πορφυρίων*] idem p. 457, 27; ceteroquin ignotus 4 *Ἀθηνᾶς*] Hom. ϑ 11 sqq. 7 *αὐτὸσ* AD: *αὐτὸν* ST *ἄλλάτα εἰσ* T *ἦν*] *ν* in ras. A[r] (A[1] incert.) 9 *ἐξιόντας*] sc. *ἡμᾶς* (fallitur Schmid p. 65) 14 *στάδια* sic O item v. 18. 19; cf. Schmid III p. 27 18 *λίμνην*] sc. *Ἀφνῖτιν* 21 *οὐδὲν*] impedimentorum nempe; *καὶ μάλ᾽ ἀγαπητῶς* (cf. p. 453, 13) ad *εὐπορήσας* referendum 22 *δίψω* A[1] (*δίψων* A[2]) 31 *ἥδιον* Valckenaer in notis ineditis: *ἥδιστον* O; cf. (etiam ad sententiae figuram) p. 459, 33

νέσας τὸ ἐν Λανείῳ ὕδωρ, σχεδὸν ὥσπερ στροφήν τινα δευτέραν ἀποδιδόντες, ἐπανήειμεν, τῇ τε ὥρᾳ τῆς ἐξόδου μάλιστά πως παραπλησίως, διὰ τὸ καὶ τότε αὐθημερὸν ἐξιέναι ἐπὶ τῷ προστάγματι, καὶ δὴ καὶ τῇ συνεχείᾳ τῆς πορείας· οὐδαμοῦ γὰρ διαναπαύσας ἧκον ἄσιτος μικρῷ πρὸ μέσων νυκτῶν εἰς αὔλιόν τι γεωργικὸν τῶν ἐμαυτοῦ, τετρακοσίους σταδίους τοὺς ἅπαντας, τῇ δ' ὑστεραίᾳ ἐκεῖθεν εἰς Λανεῖον.

18 *Καὶ τὰ μὲν τῆς προτέρας εἰς Κύζικον ἐξόδου καὶ διατριβῆς οὕτως ἔσχεν. ἐπελθόντος δὲ τοῦ χειμῶνος ἦγεν πάλιν τὴν ἐπὶ Σμύρνης, καὶ γίγνεται τῶν ἡμερῶν ἡ πρώτη σφόδρα ἤπιος. ὡς δὲ κατέβην εἰς τὸ πεδίον, τῆς ἐπιούσης νυκτός, ἄλλα τε ὀνείρατα* 539 D *ἐγίγνετο ἐπισχόντα καὶ δὴ καὶ Νεφέλας Ἀριστοφάνους ἐδόκουν μεταχειρίζεσθαι· καὶ ἅμα ἕῳ νέφη τε ἦν καὶ ὑετὸς οὐ πολὺ ὕστε-* 351 J *ρον· ὥσθ' οἱ μὲν συνέχαιρον ὡς οὐ προεξῆλθον, οἱ δ' ἐθαύμαζον* 19 *τῆς προρρήσεως τὴν ἀκρίβειαν. μένοντι δέ μοι αὐτόθι ἡμέρας τινὰς ἀγγέλλεται ἡ τῆς ⟨συν⟩τρόφου θυγάτηρ ἀσθενοῦσα καὶ ἔχουσα σφαλερῶς. κἀκείνῃ μὲν ἰατρὸν ἔπεμπον, αὐτὸς δέ, ἐπειδὴ τάχιστα παρέσχεν, εἰχόμην τῆς ὁδοῦ. καί μου προϊόντος ἤδη ὑπεκινεῖτο ὁ ἀὴρ ὡς πρὸς ὕδωρ τε καὶ χειμῶνα καὶ δέος ἦν μὴ καταληφθῶμεν, ἄλλως τε καὶ δυσπόρων ὄντων. ὅμως δὲ τοσοῦτον ἀντέσχεν ὅσον δύο σταδίους ἐλλείπεσθαι πρὸς τὸ ἱερὸν τοῦ Ἀπόλλωνος. τηνικαῦτα δὲ ὁμίχλη τε κατέβη βαθεῖα καὶ ψακάς τις διέθει· καὶ παρελθόντων εἴσω λαμπρῶς ἤδη τὸ ὕδωρ παρῆν, ὥστε ἑορτὴν ἤγομεν. ἐπισχόντων δέ με κἀνταῦθα ὀνειράτων ἐπέμεινα. πρὸς* 20 *δὲ τοῖς ἐπισχοῦσιν καὶ τοιόνδε ἐγεγόνει. ἐδόκουν ἱερεῖόν τι τεθυκὼς ἐπισκοπεῖσθαι τόν τε δὴ θεὸν . . . ., οἶμαι, καλούμενον καὶ Λυτῆρα. καί τινος τῶν μάντεων ἐπελθόντος πυνθάνεσθαι τί βούλοιτο ὁ Λυτήρ, πότερον καθάπαξ λύοι τι ἢ μικρότερον ἀντὶ μείζονος ποιοίη καὶ ἀναβολῆς εἴη σημεῖον. ὁ δ' ἐῴκει οὐ πάνυ τι ἰσχυρότατα ἡγουμένῳ . . . . εἰς τὸ καθάπαξ, ἀλλὰ καὶ ἀέρας καὶ ἀστέρας καὶ τοιαῦτα ᾐτιᾶτο. κἂν τούτῳ ἠγγέλθη περὶ τῆς κόρης ὅτι εἴη τε-*

1 *Λανείῳ* Palmerius l. c. p. 471 (dubitanter recepi): *βαλανείῳ* O; cf. v. 7. p. 451, 10 *τροφήν* D 5 *αὐλεῖόν* A^2 7 *Λανεῖον* A^1ST: *βαλανεῖον* DA^2; cf. v. 1 10 *γίνεται* AST 12 *Νεφέλας*] ergo *νέφη* v. 13 16 *συντρόφου* scripsi: *τροφοῦ* O; cf. p. 386, 27 sq. 458, 1; nomen filiae (p. 457, 7. 23) idem quod matris Callitychae (p. 394, 12) 21 *δύο* AD: om. ST *Ἀπόλλωνος*] cf. ad p. 390, 5 22 *ψακάσ* A a. ras. ST: *ψεκάσ* D, voluit A p. ras. (nunc *ψικάσ*); cf. v. l. p. 268, 19 25 *ἱερεῖ ὄντι* D 26 lacunam indicavi; e. g. *θεὸν ⟨ἐν ᾧ ἕστηκε σχήματι καὶ τὰ προσόντα ἐπιγράμματα, ἐν οἷς εὗρον αὐτὸν ἄλλα τε δή,⟩ οἶμαι* . .; cf. *ἄλλα τε μοι δοκεῖν* p. 462, 23 30 lacunam indicavi; sententia fuerit *ἡγουμένῳ ⟨λύειν τι αὐτὸν τὸν θεὸν⟩ εἰς* 30. 31 *καὶ τὰ τοιαῦτα* D

θνεῶσα. εὐθὺς μὲν οὖν ἀκούσασιν ἐδόκει θεῖον εἶναι τὸ μὴ τυ- 21
χεῖν παρόντα ἐμὲ τῇ συμφορᾷ, ἀλλὰ προεξελθεῖν· ἔτι δὲ σαφέστε-
ρον ἐκ τῶν ὕστερον χρησμῶν ἐγένετο ὡς οὐκ ἄνευ δαιμονίου τινὸς
πᾶν τοῦτο συνέβη. ἐπειδὴ γὰρ κατέβην ἀπὸ τοῦ ὄρους, δευτέρᾳ 22
νυκτὶ ὕστερον, ὤφθη τοιάδε· ἔμεινα δὲ καὶ πλείους κατέχοντος
τοῦ θεοῦ. Τελεσφόρος ἦν ὀρεωκόμος· οὗτος ἐδόκει μοι ὁρμηθεὶς
αὐτόθεν βαδίζειν ὀπίσω, τὰ χρησθέντα ἐπὶ τῇ Φιλουμένῃ σημαί-
νων — τοῦτο γὰρ ὄνομα τῇ κόρῃ —, κεχρῆσθαι δ' αὐτὰ Ἀλκίμῳ
πατρὶ τῆς κόρης, καὶ δὴ καὶ γράμματα ἔχειν, εἴτε δὴ σεσημασμένα
540 D *εἴτε καὶ μή, ἃ τὸν Ἄλκιμον νύκτωρ ἀκούσαντα παρ' αὐτῆς ἀπο-*
μνημονεύσαντα γράψασθαι, θαυμαστὰ πλήθει καὶ δυνάμει, φέροντα
352 J *εἰς ἐμέ, ὥστε θαυμάζειν ὅπως καὶ ἀπεμνημόνευσεν. κεφάλαιον* 23
δ' ἦν, ὡς ἐν αὐτῷ τῷ σώματι τῆς Φιλουμένης καὶ τοῖς ἐντός,
ὥσπερ ἐν σπλάγχνοις ἱερείων, ἐγγεγραμμένου παντὸς τοῦ περὶ
αὐτὴν πράγματος. ἐδόκουν δὲ καὶ κοιλίαι τινὲς εἶναι πλείους, καὶ
ἅμα πως ἑώρων αὐτάς, αἱ μὲν ἄνω ὑγιεῖς καὶ εὖ διακείμεναι, ἐν
δὲ τῇ τελευταίᾳ τὸ πεπονθὸς ἦν. καὶ ἐδείκνυντο ὑπὸ τοῦ ἐφεστῶ-
τος ὅστις καὶ ἦν. καὶ ἠρόμην γὰρ δὴ αὐτόν· 'πόθεν οὖν οἱ ὄκνοι καὶ
ἡ δυσέργεια;' ὁ δὲ ἐδείκνυεν ἐκεῖνον τὸν τόπον. οἱ δ' οὖν χρησμοὶ τοι- 24
οῦτοί τινες ἦσαν. ἐνεγέγραπτο μὲν τὸ ὄνομα τὸ ἐμὸν οὑτωσί·
'Αἴλιος Ἀριστείδης' καὶ σχεδὸν ἐκ διαλειμμάτων ἄλλα καὶ ἄλλα
ἐπίσημα τοῦ ὀνόματος· προσενεγέγραπτο δὲ Σωσιμένης καὶ ἕτερα
τοιαῦτα σωτηρίαν ἐπαγγελλόμενα, καὶ ὅτι ἡ Φιλουμένη ψυχὴν
ἀντὶ ψυχῆς καὶ σῶμα ἀντὶ σώματος ἀντέδωκεν, τὰ αὑτῆς ἀντὶ τῶν
ἐμῶν. καὶ τἄλλα εἰς ταὐτὸν φέροντα ἐνῆν, ἅπαντα ἐν βιβλίοις
τισὶν ἐγγεγραμμένα, ἃ πάντα γράψαντος τοῦ Ἀλκίμου ἐδόκει ἀπο-
κομίζειν ὁ Τελεσφόρος οἴκαδε. ἐνῆσαν δὲ καὶ Πορφυρίωνος τοῦ
ἰατροῦ παραινέσεις ὡς πρὸς τὴν μητέρα αὐτῆς, μάλιστα μὲν καὶ
λούσασθαι, εἰ δὲ μή, ἀλλὰ τραφῆναι. ταύτης τῆς κόρης Ἑρμείας 25
ἐκεῖνος ἀδελφὸς ἦν, ὃς ἐν τῇ μεγάλῃ νόσῳ, ὅτε καὶ ἡ θεὸς ἐφάνη
μοι, ἀπέθανεν καὶ αὐτὸς σχεδὸν ὡς εἰπεῖν ἀντ' ἐμοῦ. τῇ γὰρ
αὐτῇ ἡμέρᾳ, ὡς ὕστερον ἐπυθόμην, ἐκεῖνός τε ἐτελεύτα κἀγὼ τοῦ
πυρὸς ἀπηλλαττόμην καὶ πάνυ χρονισθέντος. ἄμφω δὲ ἤστην

---

6 *ὀρεοκόμοσ* A p. ras.; Telesphori nomen omen: *ὁ τὰ περὶ τῆς Φιλουμένης τελευτῆς γράμματα φέρων*; cf. ad p. 388, 20 7 *αὐτόθεν*] ubi Philumena mortua erat 15 *κοιλίαι* Wil.: *κοιναί* O 19 *δυσεργία* DS[2]T[2] *ἐκεῖνον τὸν τόπον*] v. 17 *ἐν τῇ τελευταίᾳ* 24 *αὐτῆσ* D 25 *καὶ τἄλλα*] aut *καὶ ἄλλα* aut *κἄτι ἄλλα* scrib. 26 *ἃ πάντα γράψαντος*] *ἀπογράψαντοσ* A[1], corr. m. inc. 27 *Πορφυρίωνος*] cf. p. 455, 3 28 *αὐτῆσ* sic O; Philumenae 29 *Ἑρμείας ἐκεῖνος — νόσῳ κτἑ.*] cf. or. XLVIII § 44. 38

παῖδες ἐμῆς συντρόφου Καλλιτύχης. καὶ ταῦτα μὲν εἰς τοσοῦ-
26 *τον. Πέντε δὲ ἡμέρας ὑπὸ τῷ ὄρει μείνας καὶ διαιτηθεὶς ὡς ⟨ὁ*
θεὸς⟩ παρήγγειλεν, ἕκτῃ κινήσαντος ἐξῄειν ἐπὶ Περγάμου· καὶ ἦσαν
μὲν ἐπίβδαι, ἣν Ῥωμαῖοι πρώτην ἄγουσιν τοῦ ἔτους, χειμὼν δὲ οὕτω
δή τις σφοδρὸς ὥστε μηδ' οἴκοι μένοντι ῥᾳδίως ἔχειν ὑπενεγκεῖν.
27 *καὶ συνέβη τοῦτο δὴ θειότατον τῆς ὁδοῦ — τὸ γὰρ τοῦ Ὁμήρου* 541 D
σαφὲς ἦν ὅτι τις θεῶν ἡγεῖτο καὶ ὅστις γε ὁ θεός· ἐξόπισθεν
μὲν γὰρ βορέου πνεῦμα ἐπέκειτο οἷον ψυχρότατον, νεφέλας ἐλαῦ-
νον μελαίνας καὶ πυκνάς, ἐκ δεξιᾶς δὲ ἅπαντα κατενίφετο, ὗεν δὲ
ἐν ἀριστερᾷ, καὶ ταῦτ' ἦν παρὰ πᾶσαν τὴν ἡμέραν τε καὶ τὴν 353 J
ὁδόν. μία τε οἷον ζώνη διὰ παντὸς τοῦ ἀέρος ἦγεν εἰς τὸ ἱερὸν
28 *κατ' αὐτῆς τῆς ὁδοῦ τεταμένη, σκέπην ἅμα καὶ φῶς ἔχουσα. καὶ*
πάμπολυ δὴ τῶν ἄλλων ἀποσπάσας ἦγον εἰς τὸ ἱερὸν μεθ' ἑνὸς
ἀκολούθου, σταδίους οὐκ ἔλαττον ἢ τριακοσίους διαδραμών. καὶ
ἦν μὲν τῆς ὥρας τὸ μετὰ λύχνους τοὺς ἱερούς· ἐν ὅσῳ δὲ τούς
τε ὑπολειφθέντας ἐπανέμενον καὶ καταγωγὴ ἐπορίζετο, διέτριψα
τούς τε νεὼς περιὼν ὡς εἶχον ἐκ τῆς ὁδοῦ καὶ βαδίζων ἄνω καὶ
κάτω περὶ τὸ ἱερόν. ἤδη δὲ βαθείας ἑσπέρας εὐπορήσας ὑπηρε-
τῶν, αὐτόθεν λουσάμενος ὑπὸ λαμπτῆρος ἀπὸ μικρᾶς πάνυ τρο-
29 *φῆς ἀνεπαυόμην. καὶ μὴν τά γε ἄλλα σαφῶς ἐγίγνετο σὺν θεῷ,*
σπουδὴ τῶν ἀνθρώπων καὶ σύνοδοι κατὰ τοὺς λόγους καὶ δέος μὴ
θᾶττον ἀπαλλαγείημεν. ταὐτὰ δὲ ταῦτα καὶ ὕστερον, ὡς ἐν τῇ
Σμύρνῃ ἐγενόμεθα· μᾶλλον δὲ καὶ πρὶν εἰσελθεῖν εἰς τὴν πόλιν,
ἦσαν οἱ κατὰ τὴν φήμην ἀπαντῶντες, καὶ τῶν τε νέων οἱ γνωρι-
μώτατοι σφᾶς αὐτοὺς ἐδίδοσαν καὶ τύπος τις ἤδη τεταγμένος
30 *διατριβῆς ἦν, καὶ διὰ πάντων ἡ κλῆσις ἠκριβοῦτο. Αἰγυπτίου δέ*
τινος ἀνθρωπίσκου περὶ τὸν χρόνον τοῦτον εἰσκωμάσαντος εἰς
τὴν πόλιν καὶ τῶν τε βουλευτῶν ἔστιν οὓς διαφθείραντος καὶ τισι
τῶν πολλῶν καὶ ἰδιωτῶν δόξαν παραστήσαντος ὅτι καὶ πολιτεύ-
σοιτο καὶ φιλοτιμίας θαυμαστὰς οἵας φιλοτιμήσοιτο ἀπὸ χρη-
μάτων, εἰς τὸ θέατρον εἰσπηδῶντος ὅπως τύχοι, καὶ τοιαύτης
αἰσχύνης κατεχούσης τὴν πόλιν — ᾔδειν μὲν οὐδ' ὁτιοῦν τούτων

---

2. 3 *ὁ θεὸς* addidi (ωCOΘ̄C̄), cf. v. l. p. 331, 10; quo omisso neglegentius *κινή-σαντος* dictum foret; nec praecedit Aesculapii mentio 4 *ἐπίβδαι* (*-ιβδαὶ* O)] Atheniensibus nomen diei qui Apaturiorum ferias proxime insequitur; qui hic intellegendus sit, nescitur, cum ne id quidem constet, quos fastos Aristides secutus sit 5 *τισ* AS a. ras.: *τι* DTS p. ras. 6 *Ὁμήρου*] e. g. *β* 405 11 *εἰς*] *ἐσ* A 13 *ἀποσπάσας*] cf. ad p. 279, 3 14 *διακοσίουσ* D 15 *λύχνους — ἱερούς*] cf. p. 378, 28 sq. 17 *περιιὼν* O 19 *αὐτόθι* D 21 *σπουδὴ* Canter: *σπουδῇ* O; cf. p. 462, 1 22 *ταὐτὰ*] *ταῦτὰ* SDT 25 *σφᾶσ αὐτοὺσ* A 30 post *ἀπὸ* quattuor folia excisa in A, desunt verba usque ad 465, 25 *τῷ προ*|

ἐγὼ ἀλλ᾽ ἢ ὀψέ ποτε ἤκουσα, ἅτε καὶ κατ᾽ οἰκίαν τὰς συνουσίας
πρὸς τοὺς ἐπιτηδείους ποιούμενος, ἄρτι δ᾽ αὐτοῦ παριέναι μέλ-
512 D λοντος εἰς τὸ ᾠδεῖον τὸ πρὸς τῷ λιμένι καὶ διατριβὴν αὐτόθι
καθισταμένου, εἴτε δὴ κατὰ ψήφισμα εἴτε καὶ οὐκ οἶδ᾽ ὅπη —
ἐμοὶ δ᾽ ὄναρ γίγνεται. ἐδόκουν τοῦτο μὲν τὸν ἥλιον ἐκ τῆς 31
ἀγορᾶς ἰδεῖν ἀνίσχοντα, τοῦτο δὲ ἀνὰ στόμα ἔχειν 'Ἀριστείδης
μελετήσεται τήμερον ἐν τῷ βουλευτηρίῳ ὥρας τετάρτης.' ταῦτα
φθεγγόμενος καὶ τούτων ἀκούων ἀφυπνιζόμην, ὥστε διεσκόπουν
εἴτ᾽ ὄναρ εἴη εἴθ᾽ ὕπαρ. καλέσας δὲ τῶν φίλων τοὺς ἐπικαίρους 32
454 J φράζω τὸ πρόσταγμα. καὶ τότε δὴ γράμμα ἐξετίθετο, καὶ γὰρ
προσῆγεν ἡ ἐκ τοῦ ὀνείρατος ὥρα, καὶ παρῆμεν εὐθὺς ἐπ᾽ αὐτῷ.
ὅμως δὲ καίπερ οὕτως ἐξ ὑπογυίου τῆς παρόδου γιγνομένης καὶ
τῶν πολλῶν ἀγνοησάντων, οὕτω δή τι μεστὸν γίγνεται τὸ βουλευ-
τήριον ὥστε οὐδὲν ἦν πλὴν ἀνθρώπων κεφαλὰς ὁρᾶν, καὶ οὐδ᾽ ἂν
τὴν χεῖρα διέωσας μέσην οὐδαμοῦ. καὶ μὴν τό γε τοῦ θορύβου 33
τε καὶ τῆς εὐνοίας, μᾶλλον δέ, εἰ χρὴ τἀληθὲς εἰπεῖν, ἐνθουσια-
σμοῦ, τοσοῦτον παρὰ πάντων συνέβη ὥστε οὐδεὶς ὤφθη καθ-
ήμενος οὔτ᾽ ἐπὶ τοῦ προαγῶνος οὔθ᾽ ἡνίκα ἀναστὰς ἠγωνιζόμην,
ἀλλ᾽ ἐκ πρώτου ῥήματος εἱστήκεσαν ὤδινον ἐγάννυντο ἐξεπλήττοντο,
συμπαρένευον τοῖς λεγομένοις, ἠφίεσαν φωνὰς οὔπω πρόσθεν γε-
νομένας, πᾶς τις αὐτοῦ τὸ κέρδος ποιούμενος, εἴ τι νείμαι τῶν
μεγίστων ἐμοί. ὡς δ᾽ ἀπηλλάγημεν ἀπὸ τοῦ βουλευτηρίου καὶ 34
περὶ λουτρὸν ἦμεν, τότε δή τις ἀγγέλλει μοι ὅτι καὶ ὁ δεῖνα προ-
γράψας πρότριτα εἰς τὴν ἡμέραν ταύτην εἰς τὸ ᾠδεῖον ἑπτακαί-
δεκα εἴη τοὺς σύμπαντας ἠθροικώς. καὶ μέντοι καὶ ἦρξεν αὐτῷ
σωφροσύνης ἐκείνη ἡ ἡμέρα· τὸ πέρα δ᾽ οὐ λέγω, οὐδ᾽ ἂν τούτων
ἐμνήσθην, εἰ μὴ τό τε ἐνύπνιον ὡς ἐναργὲς ἐξέβη ἐβουλόμην ἐν-
δείξασθαι καὶ ὅτι καὶ τούτων ἐμέλησε τῷ θεῷ, καὶ ἅμα τοῖς ἐξ
543 D ἀρχῆς ὡμολόγει λόγοις ὡς αὐτὸς ἀνέστησέν τε καὶ κατέστησεν εἰς
τὴν Σμύρναν. Οὐ πολλῷ δ᾽ ὕστερον εἰς Ἔφεσον κομίζει στεφά- 35
νους τε προειπὼν ὡς ἀγωνιστῇ καὶ κατασκευάσας οὕτως ὥστε
ἀφυπνιζόμην Ἔφεσον βοῶν. ἀλλὰ μὴν τά γε ἐκεῖ πραχθέντα
ἐμοὶ μὲν οὐκ εὐπρεπέστερόν ἐστι λέγειν, πολλοὶ δὲ οἱ διηγησό-

3 alterum τὸ] τῶι S¹ 5 δ᾽] analeptice post longam parenthesin; ἐμοὶ δ᾽ ⟨οὖν⟩ Schmid Philol. 1889 (I) 377 7 βουλευτηρίῳ] cf. p. 11, 6 sq. 12 ὑπογύου O (corr. Ddf.) 14 ὁρᾶν SD: om. T 15 διέωσας Valckenaer in notis ineditis (iterum Jacobs, Lect. Stob. p. 65): διέσωσασ S, διεσώσασ DT 16 an ⟨τοῦ⟩ ἐνθουσιασμοῦ? 18 προάγωνοσ DTS², cf. Lobeck, Paralip. p. 201 sq. 545 19 εἱστήκεσαν Junt: ἑστήκεσαν SDT ἐγάννυντο DTS² 21 αὑτοῦ DT a. corr. τὸ] τὸ/ S 23 δή sic SDT 33 εὐπρεπέστερόν] cf. p. 213, 24

36 μενοι τοῖς δεομένοις εἰδέναι. ἀλλ᾽ ὅσον μὲν εἰς τὸν θεὸν ἔρ-
χεται τῶν λόγων, ἀνάγκη φράζειν πειρᾶσθαι καὶ μὴ παραλιπεῖν
ἐκ τῶν δυνατῶν. ἄτοπον γάρ, εἰ μέν τι τῷ σώματι καὶ κατ᾽ οἶκον
ἔδωκεν ἴαμα, διηγεῖσθαι τοῦτ᾽ ἂν καὶ αὐτὸν καὶ ἕτερον, ἐκεῖνα δὲ
ἃ ὁμοῦ τὸ σῶμα ἀνίστη, τὴν ψυχὴν ἐπερρώννυ, τοὺς λόγους ηὖξε
37 μετ᾽ εὐδοξίας, ταῦτα δὲ οὑτωσὶ παρελθεῖν σιωπῇ. ὅτι δὲ οὐδὲν
πώποτε τῶν ἀνθρωπείων ἔμεγε ἐχαύνωσεν οὐδὲ ἐπήρθην οὔτ᾽
ὀλίγους οὔτε πολλοὺς χειρωσάμενος οὐδ᾽ οἶμαι δεῖν φιλοτιμεῖσθαι 355 J
τοῖς τοιούτοις μᾶλλον ἢ αἰσχύνεσθαι φιλοτιμούμενος, ἐμαυτόν τε
38 καλῶς πέπεικα καὶ πολλούς. Ἀλλὰ γὰρ θαυμαστὸν τοῦ θεοῦ
τὸ διηνεκές, οἷον καὶ τὸ τῆς ὕστερον ἐν Σμύρνῃ γενομένης ἐπι-
δείξεως τῆς μεγάλης ἐκείνης. ἐκέλευσε μὲν γὰρ παρελθεῖν εἰς
τὸ βουλευτήριον, παρελθεῖν δὲ φαγόντα· καὶ ἐποίουν οὕτως. ἦν
δέ τις τοῦ βουλευτηρίου φρουρός, ἀνὴρ κατὰ δέρμα θαυμαστὸς
οἷος. οὗτος ὡς εἶδεν προσιόντας τοὺς ἐμούς, ἠξίωσε συγχωρῆσαι
ἑαυτῷ πρότερον τὰ εἰωθότα συγγενέσθαι τοῖς μαθηταῖς καὶ δι-
39 έτριψεν εἰς μεσημβρίαν αὐτήν. εἰσῄειν μὲν δὴ τηνικαῦτα, εἰσελθὼν
δὲ ἀπέτεινα τὴν ῥῆσιν τὴν κατὰ τῶν σοφιστῶν, ἡδίστην δὴ ταύ-
την πασῶν ἡμερῶν ἀγαγὼν ἐπὶ λόγοις. αὐτός τε γὰρ οἷον σχολῆς
εἰλημμένος ἐχρώμην ἄσμενος καὶ τὸ θέατρον εἰς ἅμιλλαν κατέστη
μὴ λείπεσθαι τῶν λεγομένων· ὅ τι δ᾽ ἐνθυμηθείης ἢ εἴποις,
40 ἔλαττον τῶν τότε συμβάντων ἐρεῖς. ὡς δ᾽ ἐξεπέρανα, ἐγὼ μὲν
ἀνιστάμην ὡς ἀπαλλαξόμενος, νομίζων καὶ ταῦτα ἐπέκεινα παντὸς
ἀγῶνος εἶναι, οἱ δ᾽ οὐκ ἠνέσχοντο, ἀλλ ὥσπερ ἐξ ἑνὸς στόματος 544 I
πάντες παραμένειν τε ἐκέλευον καὶ δέχεσθαι προβλήματα καὶ ἀγω-
νίσασθαι τὰ δεύτερα πάντως. κἀγὼ τέως μὲν διεωθούμην, ἄλλως
τε καὶ διὰ τὸ πόρρω τῆς ὥρας εἶναι, βιαιοτέρας δὲ τῆς παρακλή-
σεως γιγνομένης ἐνεθυμήθην τοῦ ἐνυπνίου καὶ ὅτι ταῦτ᾽ ἄρα καὶ
41 ὁ θεὸς προεῖπεν, μὴ ἄσιτον εἰσιέναι ὅπως ἀνταρκέσαιμι. τόν τε
οὖν ἀγῶνα ὑπέστην καὶ προϊόντος αὐτοῦ κατασχεῖν οὐκ ἐδυνήθην,
ἀλλ᾽ ὡμολόγησα τοῦ θεοῦ τὴν πρόρρησιν καὶ ὅτι ἥκοιμι παρ-
εσκευασμένος· οἱ δ᾽ ἐθαύμαζον ἅπαντα. ἀγωνισάμενος δὲ εἰς δύ-

---

2 παραλειπεῖν S[1] 3 ἄτοπον γάρ κτἑ.] sententiam invertit Isocr. IV 1 τι] τοι D 5 ἐπερρώνυ O (corr. Junt.) 6 σιωπῶ D ὅτι δὲ κτἑ.] cf. or. XXVIII § 129 sqq. 8. 9 τοῖσ τοιούτοισ φιλοτιμεῖσθαι D 12 ἐκέλευε ci. Ddf. 14 βουλευτηρίου φρουρός] ironice rhetorem dicit, qui curiam occupaverat δέρμα] δέμας ci. Büchner l. c., acumen tollens 17 εἰσῄειν μὲν Junt.: εἰσή(ι)-ειμεν SDT; cf. v. l. p. 452, 17 18 δὴ D: δὲ ST 23 ἀπαλλαξάμενοσ D 26 διεωθούμην ST: διωθούμην D (prob. Ddf.) 29 ἀνταρκέσαιμι S a. ras.: αὐταρκέσαιμι TS p. ras., αὐταρκέσοιμι D 30 ἠδυνήθην Junt., fort. recte

ναμιν τὴν ἐμαυτοῦ διὰ τέλους ἀπηλλαττόμην, ἀπολείπων ὀλίγον
εἰς ἡλίου δυσμάς. καὶ τῆς ἐπιούσης ἠγωνιζόμην αὖθις ἐν τοῖς
αὐτοῖς, ἐπεὶ τοιαῦτα ἡγήσατο ὁ θεὸς κατ᾽ ἐκείνους τοὺς χρόνους.
Φέρε δὴ καὶ περὶ τῆς ἔναγχος εἰς Κύζικον ἐξόδου γενομένης 42
ἐξηγήσωμαι, ἣ πέμπτῳ μὲν ἔτει περιόντι μηνὶ τῷ αὐτῷ καὶ ἡμέ-
ραις μάλιστα ταῖς αὐταῖς ἐγένετο, Ὀλυμπίων ἐπιόντων. ἔσχεν δὲ
οὐ πόρρω τῆς πρότερον· καὶ γὰρ ἀσιτία τῇ προτέρᾳ τῶν ἡμερῶν
356 J μοχθηρία τε ὕδατος, καὶ ἅμα ὑπὸ πλήθους ἐμπίδων συνέβη πρό-
δηλον ὂν ὡς ἀγρυπνῆσαι δεήσοι. καὶ τῆς ἐπιούσης ὡδοιπόρουν
ἐξ ὄρθρου βαθέος ῥοφήματι χρησάμενος βραχεῖ. καὶ ὡς ἐπανῄειν,
κατέλυσα μὲν πρὸς τοῖς ὕδασι τοῖς θερμοῖς ὑσθείς, προειρημένον
καὶ τοῦτο, τὴν δὲ ἀσιτίαν ἀπέδωκα, ἐπειδὴ ἐπανῆλθον, ἐπιταχθεῖ-
σαν εἰς τὴν ἐπιοῦσαν. καὶ μὴν τά γε τῆς διατριβῆς τῆς ἐν τῇ 43
πόλει σχεδὸν ὥσπερ προείρητο οὕτως ἐχώρησεν· ἦν γὰρ τοιάδε
τὰ φανθέντα· αὐτὸς δὲ καὶ ἤτησα τὸν θεὸν σημῆναι, ἅτε καὶ δικῶν
οὐσῶν καὶ τῶν φίλων δεομένων ἥκειν. ἐδόκουν ἐπιτηρεῖν 44
προσόδου καιρὸν πρὸς τὸν βασιλέα, θύοντος δὲ αὐτοῦ τυγ-
χάνειν κατακείμενος· ὡς δὲ πλησίον γενέσθαι τῶν χειρῶν μου
545 D ἀλεκτρυόνα ἀσπαίροντα, συλλαβεῖν τε καὶ οἰωνίσασθαι καί, ὡς
εἶχον ἐν ταῖν χεροῖν, ἄρχεσθαι τῆς προσρήσεως. ὥρμητο δέ μοι
τοῦτο πᾶν ἀπὸ τοῦ Ὁμηρικοῦ, ὡς Ὀδυσσεὺς τὸ ἔκπωμα πλησά-
μενος προσαγορεύει τὸν Ἀχιλλέα καὶ λέγει· τὰ δὲ ῥήματα οὕτω
πως εἶχεν· ‘ἐπ᾽ ἀγαθῷ μὲν τῷ βασιλεῖ, ἐπ᾽ ἀγαθῷ δὲ καὶ ἀμφο-
τέροις τοῖς βασιλεῦσιν, ὡς δὲ καὶ ἡμῖν ἅπασιν.’ ὁ δὲ ἐθαύμασέν 45
τε [καὶ] πειρώμενος τῶν λόγων ἀντὶ πάντων τε ἔφη τιμᾶσθαι χρη-
μάτων αὐτούς, καὶ ἐπεῖπεν· ‘τούτοις τοῖς λόγοις εἰ προσῆσαν
ἀκροαταὶ ὅσον καὶ πεντήκοντα’· κἀγὼ ὑπολαβὼν ‘σοῦ γε, ἔφην,
βουλομένου, βασιλεῦ, καὶ ἀκροαταὶ γενήσονται. καὶ ὅπως γ᾽, ἔφην,
θαυμάσῃς, ταῦτα ἃ νυνὶ λέγεις, ἐμοὶ ὑπὸ τοῦ Ἀσκληπιοῦ προεί-
ρηται.’ καὶ ἕτοιμος ἦν αὐτῷ γεγραμμένα δεικνύναι. μετὰ ταῦτα
δὲ ὁ μὲν οὐκ οἶδ᾽ ὅποι ἐτράπετο, ἐγὼ δ᾽ ἐνεθυμήθην ὅτι οὗτος
ἐκεῖνος ὁ καιρὸς εἴη τῆς ἐπιδείξεως. ἐπὶ τούτοις ἐδόκουν βαδίζειν
ἐπὶ Κυζίκου. τοιαῦτ᾽ ἦν τὰ κινήσαντα. ὡς τοίνυν ἐγενόμην ἐν 46

---

4 γενομένησ T γενομ^ε S: γενόμενοσ D 5 ἐξηγήσομαι D περιἰόντι S 6 Ὀλυμπίων] Cyzicenorum, cf. Marquardt, Cyzicus p. 143 sqq. 7 τῆσ T (Junt.): τισ SD ἀσιτεία D, item v. 12 (-είαν); ieiunium p. 454, 32 significavit, μοχθηρίαν ὕδατος non memoravit τῇ προτέρᾳ] bidui iter, cf. § 13 sqq. 13 μὴν τά] μετά D τῇ om. D 15 φανθέντα D, cf. v. l. p. 413, 2; 424, 29 20 προσρήσεως scripsi: προρρήσεωσ O; cf. προσαγορεύει v. 22 21 Ὁμηρικοῦ] I 223 sq. ὀδυσσεὺσ ST: ὁ D; fort. ⟨ὁ⟩ Ὀδυσσεὺς 25 καὶ seclusi posterius τε om. Thom. Mag. p. 69, 22, ut par est 27 ὅσον καὶ scripsi: καὶ ὅσον SDT

τῇ πόλει, πολλὴ μὲν ἦν σπουδὴ τῶν ἡγεμόνων, πολλὴ δὲ τῶν
ἄλλων ἀνθρώπων, ὅμως δὲ εἰς μὲν τὸ δημόσιον οὐ παρῆλθον,
προσδοκώντων ὁσημέραι καὶ θαυμαστὰ ποιούντων, κατ᾽ οἰκίαν δὲ
συνῆν τοῖς ἐπιεικεστάτοις, καὶ σχεδὸν ἐξεπληροῦτο ἡ τοῦ ἐνυπνίου
47 φήμη· ἦν γὰρ εἰς τοὺς πεντήκοντα ὁ σύλλογος. χρονιζομένης δὲ
τῆς διατριβῆς καὶ χαίροντός μου καὶ τῷ χωρίῳ καὶ τοῖς παροῦσι 357 J
πᾶσιν, ἄλλα τε δὴ ὀνείρατα γίγνεται ἀνιστάντα καὶ διαρρήδην
ἐγένετο ὡς τὸ ἀνωτέρω τοῦ Ἑλλησπόντου οὐκ ἐπιτήδειον πρὸς
διατριβήν. ἐπανῄειμεν οὖν· καὶ γὰρ δὴ Διὸς Ὀλυμπίου θυσία
πάνδημος προσῆγεν, καὶ παρεδείκνυτο πανταχόθεν ὅτι παρεῖναι
48 δέοι καὶ θύειν. Συνέβη τοίνυν καὶ τὰ τοῦ σώματος τοῦτον δὴ τὸν
χρόνον ῥᾷστα καὶ φαιδρότατα σχεῖν ἐξ οὗ πρῶτον ἔκαμεν. ὅσον
τε γὰρ χρόνον ἦμεν ἐν τῇ Κυζίκῳ καὶ μετὰ τοῦτο ὡς ἐπανήλθομεν,
ἓξ μῆνας ἑξῆς τοὺς ἅπαντας ἐρρωμενέστατα ἐμαυτοῦ διετέθην, ἐξ 546 D
ἕω τε ἀνιστάμενος καὶ βαδίζων μακρὰ καὶ πολλάκις τῆς ἡμέρας
καὶ τῆς ἀρχαίας φύσεως ὅτι ἐγγυτάτω γενόμενος. καὶ δὴ καὶ τῆς
συνήθους μελέτης οὐδὲν παρελείπετο, ὥστε συγχαίρειν ἅπαντας
καὶ ἰδίᾳ καὶ δημοσίᾳ. ὅσον δὲ κἂν τούτῳ συνέβη καμεῖν ἡμέρας
49 τινάς, θαυμαστῶς ὡς ὁ θεὸς καὶ ἅμα εἰωθότως ἰάσατο. βορέας
μὲν γὰρ ὀπωρινὸς ἦν, εἶχον δὲ ἀδυνάτως κινεῖσθαι, ὥστε καὶ τὰς
ἀναστάσεις ὤκνουν· ὁ δ᾽ ἐπιτάττει. βέλτιον δ᾽ ἴσως αὐτὸ τὸ
ὄναρ διηγήσασθαι, καὶ γὰρ ἔναυλόν τέ ἐστιν καὶ οὐκ ἀνάγκη παρα-
λιπεῖν. ἡκέτην ἰατρὼ δύο καὶ διελεγέσθην ἐν τῷ προθύρῳ ἄλλα
τέ μοι δοκεῖν καὶ περὶ ψυχροῦ λουτροῦ. ἠρώτα μὲν ὁ ἕτερος, ὁ δ᾽
ἀπεκρίνετο· ‘τί λέγει, ἔφη, Ἱπποκράτης;’ ‘τί δ᾽ ἄλλο γε ἢ δραμόντα
δέκα σταδίους ἐπὶ θάλατταν οὕτως ῥῖψαι;’ ταῦτα μὲν δὴ ὡς ὄναρ
50 πεφάνθαι ἐδόκουν. μετὰ δὲ τοῦτο ἐπελθεῖν ὡς ἀληθῶς αὐτοὺς
τοὺς ἰατρούς, θαυμάσαι τε δὴ τοῦ ἐνυπνίου τὴν ἀκρίβειαν καὶ
πρὸς αὐτοὺς εἰπεῖν ‘ἄρτι τε ὑμᾶς ἐδόκουν ὁρᾶν καὶ ἄρτι ἥκετε.
καὶ δῆτα ὁπότερος μὲν ὑμῶν, ἔφην, ὁ ἐρωτῶν ἦν καὶ ὁπότερος ὁ ἀπο-
κρινόμενος οὐκ ἔχω λέγειν.’ ἡ δ᾽ ἀπόκρισις οὕτως εἶχεν, ὡς ἄρα Ἱππο-
κράτης κελεύοι δέκα σταδίους θεῖν τὸν μέλλοντα λοῦσθαι ψυχρῷ· ἅμα
δὲ ἐμαυτῷ μετέλαβον τὸ ἐπὶ θάλατταν, ὡς δηλοῦν † τὴν κατὰ φύσιν

---

1 ἡγεμόνων] Cyzicenorum magistratus dicit, cf. ad p. 449, 26 12 φαιδρότατα ST: σφοδρότατα D ἔκαμον Junt. (prob. Ddf.) 13 τε om. D 22 ἔναυλόν] cf. ad. p. 443, 6 22. 23 παραλειπεῖν S^1 23 ἱκέτην S^1 διελεγέσθην T^2: διαλεγέσθην SDT^1 24 τέ μιν T sic prius ὁ om. D 25 Ἱπποκράτης] quae Aristides somniarit, apud Hippocratem non legi consentaneum est 28 τε ST: δὲ D 29 τε D: γε ST 30 prius ὁ om. T^1 32 κελεύει D 33 μετέβαλον ci. Canter (edd.) τὴν S^1T^1 a. corr., τὸ DT^1 p. corr. S^2, verba corrupta;

τῷ ποταμῷ, καὶ οὕτως εἶπον ʽδέκα σταδίους θεῖν τῷ ποταμῷ
358 J συμπαραθέοντα᾽. ἐνεθυμήθην δ᾽ αὐτὸ διὰ τὸ εἶναι ἐν μεσογείᾳ·
ἐδόκει σαφὲς εἶναι καὶ χρῆναι οὕτω ποιεῖν. ἔπειτά πως ἐκ τού- 51
των ἔδοξα κατακεῖσθαι μὲν ὡς ἐπ᾽ ἀρίστῳ, ἀναμνησθεὶς δ᾽ ὅτι
λούσασθαι χρὴ πρότερον τῷ ψυχρῷ κατὰ τὴν πρόρρησιν, αὐτός τε
ἀνίστασθαι καὶ τοὺς ἄλλους κελεύειν. ἐρομένου δὲ τοῦ ἑτέρου τῶν
ἰατρῶν περὶ τῆς ὥρας τοῦ λουτροῦ, φάναι ὅτι ⟨τὴν⟩ πέμπτην δέοι
547 D κινηθῆναι, συμβήσεσθαι γὰρ εἰς τὴν ἕκτην· πάλιν γὰρ αὖ τὸ πρωΐ-
τερον τοῦ δέοντος ἢ λούεσθαι ἢ ἐσθίειν ἐργῶδες εἶναι· οὐδὲ γὰρ
εἰς αὐτὸ τοῦτο φέρειν ὃ δοκεῖ αὐτοῦ ⟨τὸ⟩ χρήσιμον εἶναι, τὸ πέψαι
ῥᾷον, ἀγρυπνίας γὰρ ἀπ᾽ αὐτοῦ γίγνεσθαι. ʽτί οὖν, ἔφη ὁ ἰατρός, 52
οὐκ ἐμελέτησας ἡμῖν ἐν τῷ τέως;᾽ ʽὅτι νὴ Δί᾽, ἔφην ἐγώ, σπου-
δαιότερόν μοί ἐστιν ἐπελθεῖν τινα τῶν γεγραμμένων· δεῖ γάρ με
καὶ τοῖς ὕστερον ἀνθρώποις διαλέγεσθαι᾽· καὶ ἅμα ἐνεδειξάμην
ὅτι ἐπειγοίμην, μὴ ἄρα τι συμβαίη πρότερον. καὶ ὃς οἰωνίζετο
ἔτη πολλά μοι, κἀγὼ εἶπον· ʽβουλοίμην ἂν καὶ πολλὰ ἔτη βιῶναι,
εἰ μέλλοιμι ἔσεσθαι πρὸς λόγοις.᾽ τὸ μὲν δὴ ὄναρ τοιοῦτον ἐγέ- 53
νετο. τὸ δὲ χωρίον οὗ διέτριβον παραρρεῖ μὲν ποταμός, κάθοδος
δ᾽ ἐπ᾽ αὐτόν ἐστι τραχυτέρα καὶ κατάντης μᾶλλον, καὶ ἅμα ἐντὸς
τῶν δέκα σταδίων· ἔτι δ᾽ οὐκ ἐνῆν θεῖν τῷ ποταμῷ συμπαρα-
θέοντα, ἀλλ᾽ ἐγκάρσιον καὶ εἰς ὄχθην· ἔπειτα μέντοι προϊὼν ὁ
ποταμὸς παραρρεῖ χωρίον ἕτερον, ἔμβασίν τε ἔχον παγκάλην
καὶ μάλα εὐειδῆ ἐνταῦθα ἤδη· ἐπενόησα δὴ τοιόνδε. ἐκέλευσα 54
μετρῆσαι σχοινίῳ ὁπόσον τι ἀπέχει τὸ χωρίον ἀπὸ τοῦ χωρίου,
κατὰ δὲ ἕκαστον στάδιον σημεῖον καταλιπεῖν. ὡς δὲ ἐφάνησαν
οἱ σύμπαντες ἑκκαίδεκα, δέκα μὲν τοὺς τελευταίους ὑπελειπόμην
εἰς τὸν δρόμον, τοὺς δὲ πρώτους προῆλθον ἐπί του ζεύγους.
ἔπειτα καταβὰς ἔθεον τούς τε πόδας ἀνέλκων μόλις καὶ ἅμα ὁ
βορέας ἐπαιγίζων ἀνέστελλεν τὸ εἰς τοὐπίσω καὶ παρεῖχεν ἱδρῶ-
τα θαυμαστὸν ὅσον, ὥσθ᾽, ὅτε δὴ ἀπέραντον ἦν, παρεῖχον ψύχειν
ὁπόσα βούλοιτο. λαβόμενος δὲ τῆς ὄχθης ἄσμενος εἰς τὸ ὕδωρ 55

desidero *ὡς δηλοῦν* [*τὴν*] *κατὰ φύσιν* (i. e. *φυσικῶς*) *τὸν ποταμόν, καὶ* . . .; quippe aquae mare et fluvius; *τὸ κατὰ φύσιν* [*τῷ ποταμῷ*] Kaibel

5 *πότερον* S[1] 7 *τὴν* addidi 8 *πρῳαίτερον* Ddf.; cf. ad p. 384, 14 9 *λούεσθαι*] sic O (Thom. Mag. p. 310, 4); *λοῦσθαι* scr. Ddf.; cf. p. 381, 3 10 ⟨*τὸ*⟩ addidi 15 *οἰωνίζετο*] cf. Kühner-Blass, Gr. Gr. II 499 23 *μάλα* ST: *μάλιστα* D; verba distinxi *δὴ* om. D 27 *ἐπί του* legi: *ἐπὶ τοῦ* SDT 29 *τὸ*] cf. ad p. 408, 12; *τὸ* ⟨*ἱμάτιον*⟩ Wyttenbach ad Plut. VI p. 881 30 *ἀπέραντον ἦν*] e Thuc. IV 36, 1; ʽsi (propter venti violentiam) longius progredi non potui, substiti nec sensi frigus prae corporis calore᾽ 31 *λαβόμενοσ* sic O *δὲ* Canter: *δὴ* O; an *δ᾽ ἤδη*?

ἵεμαι, καὶ ὡς ἀνέσχον τε καὶ ἀνέστην — ἔτυχεν γὰρ καὶ τῆς ἄμμου 359 J
πολλὴ περιχυθεῖσα —, αὖθις ἐκ μέσου τοῦ ῥείθρου λοῦμαι δεύ-
τερον. ἀνατρίψασθαι δὲ καὶ τἄλλα ἐπὶ τῆς ἀντιπέρας ὄχθης
ὑπῆρξεν ἐν καλῷ τοῦ τε ἡλίου καὶ τοῦ πνεύματος. παρελθὼν δὲ
εἰς τὸ περιοίκιον καὶ διατρίψας ὅσον ἐπισκέψασθαί τινα τῶν 548 D
γιγνομένων, ἐπανήειν πρὶν καὶ πιεῖν, θέρμης τε ἀπολαύων θαυ-
μαστῆς καὶ συγκρίσεως παντάπασιν ἑτέρας. καὶ τὸ ἀπὸ τούτου
πάντ' ἦν εὔκολα εἰς μέσον χειμῶνα. τὰ δ' ἐν τῷ χειμῶνι διαί-
της τισὶ τάξεσι καὶ τύποις ἰᾶτο.

56 Ἀναλογιζομένῳ δέ μοι τόν τε χρόνον ὁπόσον τινὰ ἀπείην
τῆς Σμύρνης, καὶ ταῦτα ψηφισμάτων ἡκόντων, καὶ ὅτι καὶ
ἡλικίας ἤδη μέσως ἔχοιμι, καὶ πρὸς τούτοις τῶν ἄνω χρόνων
τὸ πλῆθος, ἐν οἷς ἐξῆν, εἴ τις ἔρρωτο, ἐπελθεῖν τὰς πόλεις,
καὶ ὅτι καὶ τῆς ὑπαρχούσης δόξης δέος εἴη ἀφαιρεθῆναί
τι διὰ τὴν πολλὴν ἡσυχίαν — ταῦτα δὲ ἐλογιζόμην μέν,
οἷα εἰκὸς ἄνθρωπον, εὖ δὲ ᾔδειν ὅτι πάντα λῆρος πρὸς τὸ πεί-
θεσθαι τῷ θεῷ· ἔτι δὲ οὐδ' ἀπόρως εἶχον ἐμαυτῷ συνεῖναι, ἀλλὰ
καὶ [τὸ] κέρδος αὐτὸ μᾶλλον ἐποιούμην —, ἔχοντι δὲ οὕτω μοι
57 γίγνεται ὄψις ὀνειράτων τοιάδε. ἐδόκουν εἶναι μὲν Ἀθήνησιν
ἄρτι κατηρκώς, οἰκεῖν δὲ ἐξόπισθεν τῆς ἀκροπόλεως ἐν οἰκίᾳ
Θεοδότου τοῦ ἰατροῦ, εἶναι δ' αὐτὴν πρώτην πρὸς ἥλιον ἀνίσχον-
τα· τοῦ δὲ νεὼ τῆς Ἀθηνᾶς ὁρᾶσθαι τὸν ὀπισθόδομον ἀπ' αὐτῆς,
καὶ εἶναι πολὺ κατωτέρω τῆς ἀκροπόλεως τὴν οἰκίαν. τυγχάνειν
δὲ πομπὴν Ἔρωτι γιγνομένην ἔξω πυλῶν καὶ τὸν Θεόδοτον περὶ
ταῦτα ἔχειν καὶ ἄλλους τινὰς οἷς προσετέτακτο, αὐτὸς δὲ ἐν τούτῳ
διατρίβειν ἔνδον. καὶ τυχεῖν Λούκιόν τε παρόντα τῶν ἑταίρων
καὶ ἄλλους τῶν περὶ λόγους, καὶ προτρέπειν δή με, ὥσπερ εἴωθε,
τὸν Λούκιον τάς τε διατριβὰς συνέχειν τὰς περὶ τοὺς λόγους καὶ
58 προσίεσθαι τοὺς νέους. καὶ δὴ καὶ παῖδά τινα [Λούκιον] πρὸς
αὐτὸν λέγειν περὶ ἐμοῦ ἄλλα τε δὴ εὔφημα καὶ ὡδί πως τὸν

---

1 ὡς om. D 8. 9 διαίτησ DS^2: διαίταισ S^1T; cf. 428, 6 (405, 6) 10 ἀναλογιζομένῳ] resumit orationem v. 18 ἔχοντι δὲ ἀπείην] ἀπήνειν T^1 18 τὸ seclusi, fuit correctio ad αὐτοῦ corruptum αὐτὸ scripsi: αὐτοῦ O 20 κατηρτηκὼσ D δὲ om. D 21 Θεοδότου] incertum, num sit medicus Pergamenus, de quo ad p. 379, 19 22 ὁρᾶσθαι — ἀπ' αὐτῆς] per somnium vidit, quae ex domo in orientali urbis parte sita revera videri non poterant; sed ipsum hoc miraculum oratori causa fuit, cur de re, quae ad somnii summam non facit, diserte referret 24. 25 περὶ ταῦτα ἔχειν] cf. p. 429, 12 26 Λούκιόν] rhetor ceteroquin ignotus 28 συνέχειν] corruptum, aut ἔχειν scrib. aut συν⟨εχῶς⟩ ἔχειν 29 τοὺς om. D Λούκιον seclusi, glossema ad αὐτὸν v. 30; Λουκίου ci. Schmid l. c.

ἔπαινον διατίθεσθαι· ʻοὗτος, ἔφη, ἐστὶ Πλάτων καὶ Θουκυδίδης
καὶ Πλάτων καὶ ὁ δεῖνα', καὶ πολλοὺς κατέλεξεν οὕτως αἰεὶ τῷ
549 D Πλάτωνι συζευγνύς τινα, ὡς τὰς ἁπάντων τούτων δυνάμεις ἔχοντα
360 J ἐμέ. κἀγὼ βλέψας πρὸς τὸν παῖδα, ʻπάντα, ἔφην, ἀξιῶ Λουκίῳ
πιστεύειν σὲ πλὴν τούτου.' καὶ ὁ Λούκιος τὴν μὲν εὐπορίαν τῆς
ἀποκρίσεως ἐδόκει μοι ἐπαινέσαι, οὐ μέντοι τήν γε ἀναχώρησιν
ἐνεγκεῖν ἡδέως. · πάλιν δὲ τοῦ παιδὸς ἀμειβομένου καὶ λέγοντος
⟨ὡς⟩ ἐν μελέτῃ τε καὶ δεξιὰ πρὸς ἐμέ, ὑπολαβὼν ἅμα παίζων, ʻἀλλὰ
μέντοι, ἔφην, εἰ οὕτως οἷός τ' εἶ λέγειν, θαυμάσαιμ' ἄν, εἰ ἐμοῦ
γε δέοιο διδασκάλου.' μετὰ ταῦτα ἐδόκουν προελθὼν ἔξω τῆς 60
οἰκίας ἅμα νεανίσκῳ τινὶ τῶν ἐπιτηδείων τὴν μὲν λεπτότητα τοῦ
ἀέρος γνωρίζειν τε καὶ ἀποδέχεσθαι, μεταβολῶν δὲ πολλῶν δι'
ὀλίγου γιγνομένων καὶ ἅμα καὶ νότου συμπεσόντος, καὶ τοτὲ μὲν
ὡς χειμῶνος, τοτὲ δὲ ὡς θέρμης οὔσης, φάναι ἐπισημαινόμενος
ὅτι ʻλεπτὸς μὲν ὁ ἀὴρ οὗτος, ὁ δὲ οἴκοι βεβαιότερος.' μετὰ ταῦτα 61
ἐχωροῦμεν ᾗ τὸ Λύκειον, καὶ νεώς τις ἐξεδέχετο πάνυ μέγας καὶ
καλὸς οὐχ ἧττον ἢ ⟨ὁ⟩ ἑκατόμπεδος· καὶ ἔδει ἀναβαίνειν ἀναβασμούς
τινας πρὸς τὸν νεών· εἱστήκεσαν δὲ ὥσπερ οἱ τοὺς θαλλοὺς
ὀρέγοντες .... ἔνθεν καὶ ἔνθεν μοι δοκεῖν. ἀνιόντι οὖν μοι
παιδάριον προὔτεινεν ᾠὰ τρία· κἀγὼ — παρῆλθον γὰρ οὐ λαβὼν
— ἐνθύμιον ἐποιησάμην ὅτι χρὴ μέντοι λαβεῖν τοῦ συμβόλου
εἵνεκα. ἐπιστραφεὶς οὖν καὶ λαβὼν ᾔειν ἄνω, καὶ ἐπειδὴ πρὸς
τῷ νεῷ γίγνομαι, τὰ μὲν ᾠὰ δίδωμί τινι τῶν περὶ τὸ ἱερὸν ἑστῶτι
πρός τινι κίονι, ὁ δ' ἔμελλεν παρ' αὐτοῦ προσθήσειν ἕν. αὐτὸς 62
δὲ ἐν τῷ προνάῳ γενόμενος ὁρῶ τὸν νεὼν Πλάτωνος ὄντα τοῦ
φιλοσόφου καὶ τὸ ἄγαλμα ἐκείνου μέγα καὶ καλὸν ἑστηκός, ἐκ
δεξιᾶς δ' αὐτοῦ οὐκ οἶδ' ὅστις εἱστήκει. καθῆστο δὲ ἐπὶ τοῦ
ὀδοῦ γυνὴ μάλ' εὐσχήμων, ἣ διελέγετο περί τε τοῦ Πλάτωνος καὶ
τοῦ ἕδους. συνεπελάμβανον δέ τινες καὶ ἄλλοι τοῦ λόγου καὶ ἅμα
ὡς περὶ παλαιοῦ διελέγοντο. κἀγὼ ʻτοῦτο μέν, ἔφην, οὐκ ἔνεστιν
εἰπεῖν ὅτι καὶ παλαιόν· ὅ τε γὰρ τύπος τῆς ἐργασίας ἐλέγχεται

---

1 οὗτος κτἑ.] cf. p. 441, 18 sqq. 4 ἄξιω S¹D 6 ἀναχώρησιν] cf. p. 237, 12. 13; 422, 21 8 ὡς add. Kaibel; pro ἐν μελέτῃ ci. ἐμμελῆ Wil. 10 δέοι S¹D 17 ὁ addidi 17. 18 ἀναβασμούσ ST Thom. Mag. p. 8, 7: ἀναβαθμούσ D 18 τὸν νεών] τὸ ἱερόν Thom. Mag. l. c. 18. 19 οἱ — ὀρέγοντες] ramos oleagineos ad templorum portas clamitantes offerebant et venditabant 19 lacunam indicavi; fuerint e. g. ⟨παῖδές τινες ὤνια καὶ ἄλλα τοιαῦτα παρέχοντες⟩ prius ἔνθεν TS²: om. S¹D, in quibus maior lacuna 21 συμβόλου Junt.: συμβούλου O; rem non intellego 23 νεῷ scripsi: ναῷ O 24 αὐτοῦ S²: αὑτοῦ O 25 |νάωι iterum incipit A, cf. ad p. 458, 30 28 ὁδοῦ sic A¹S¹ (correxi): οὐδοῦ DTA²S² τε om. D 31 ἐλέγχεται scripsi: ἐλέγχει O

νεώτερος ὤν, Πλάτωνός τε οὐ πολὺς ἦν λόγος ἐπ' αὐτοῦ Πλάτω- 550 D
63 *νος, ἀλλ' ὕστερον, ἔφην, προὔβη ⟨ἡ⟩ δόξα. εἰπόντος δέ τινος ὡς*
καὶ τρεῖς ἔδει νεὼς εἶναι Πλάτωνός γε, 'τί δ' οὐ καὶ Δημοσθένους, 361 J
ἔφην ὑπερβαλών, ὀγδοήκοντα, καὶ Ὁμήρου γε, οἶμαι;' καὶ ἔτι ταῦτα
λέγων, 'ἀλλ' ἴσως, ἔφην, τοὺς μὲν νεὼς τοῖς θεοῖς προσήκει καθ-
ιεροῦν, τοὺς δὲ ἄνδρας τοὺς ἐλλογίμους τῇ τῶν βιβλίων ἀναθέσει
τιμᾶν, ἐπεὶ καὶ αὐτῶν, ἔφην, ἡμῶν τιμιώτατα ἃ φθεγγόμεθα, ὡς
δὴ τοὺς μὲν ἀνδριάντας καὶ τὰ ἀγάλματα τῶν σωμάτων ὄντα
ὑπομνήματα, τὰ δὲ βιβλία τῶν λόγων.' τοιαῦτα εἰπὼν καὶ ἀκού-
64 *σας ἐπανῄειν. καὶ κατιδὼν ἐπιόντα τὸν σύντροφον τοὺς χρόνους*
ἀνενεούμην, ὁπόσοις τισὶ πρότερον γενοίμεθα Ἀθήνησιν ἅμα·
ἐπιστρέψαντος δέ μου ὡς πρὸς τὴν ἀκρόπολιν, ἵν' οἴκαδε εἰσέλ-
θοιμι, διῇξεν σέλας ἐκ δεξιᾶς καὶ κατέσκηψεν οὕτω δή τι παρ'
αὐτὰς ἄκρας μου τὰς κόμας ὥστε ἐθαύμαζον εἰ μὴ ἡμμέναι εἶεν.
ἠγωνίασα μὲν δή, ἔλαβον δὲ ὡς αἴσιον μᾶλλον τὸ σημεῖον, καὶ
γὰρ ὁ νεανίσκος ὁ συνών μοι δόξαν ἔφη φέρειν αὐτὸ ἄλλως τε
65 *καὶ ἐπειδὴ ἐκ δεξιᾶς ἐγεγόνει. ἐδόκει δέ μοι τὰ πλείω τῶν οἰ-*
κοδομημάτων κλίμακάς τινας προσθέτους ἔχειν καὶ διὰ τούτων
ἀνιέναι δεῖν καὶ κατιέναι· ὥσθ' ὑπεδυσχέραινον τοῦτό γε, ὅμως δ'
οὖν γίγνομαί πως ἔνδον. κἂν τούτῳ οἱ τὴν πομπὴν τῷ Ἔρωτι
πέμποντες ἐπανεληλύθεσαν, καὶ πυθόμενος τὸ σημεῖον ὁ ἐξηγητὴς
καὶ αὐτὸς ἔφασκεν αἴσιον εἶναι καὶ ὀρθῶς ἄρα μοι συμβῆναι τὰς
66 *θυσίας. προγεγενῆσθαι δέ μοι ἐδόκει ὄναρ ὡς ἱερὰ ποιῆσαι Διὶ*
καὶ Ἀρτέμιδι καὶ εἰ δή τινι ἑτέρῳ θεῶν. καὶ ἐπὶ τούτοις πᾶσιν
ἐδόκουν καλεῖν Εὔδοξον ὡς ἀπογραψόμενον διά τε τὸ μακρότερα
67 *εἶναι καὶ τὸ βούλεσθαι δι' ἀκριβείας αὐτῷ σῶσαι. ταυτί μοι*
καὶ περὶ τῆς ὕστερον δόξης καὶ τοῦ δεῖν κατὰ χώραν μένειν πρὸς
πολλοῖς ἄλλοις ἐδηλώθη.

---

1 *νεώτεροσ* A: *νεώτερόσ τε* SDT *οὐ*] *οὖ* A^{1} (corr. A^{2}) *ἐπὶ* ST 2 *ἔφην* AS: *ἔφη* DT *ἡ* addidi 3 *γε τί*] *γ' ἐστι* A^{1} ut vid. (corr. A^{r}) 7. 8 *ὡσ μὲν δὴ τοὺσ ἀνδριάντασ* D 13 *διῇξεν σέλας* — 14 *εἶεν*] signum *τοῦ δεῖν κατὰ χώραν μένειν* (v. 27), cf. Artemid. II 9 p. 95, 11 sqq. H. *ὁ κεραυνὸς . . . τοὺς δὲ ἐνδήμους* (Aristides domi est, in Laneo fundo) *ἐν τῇ οἰκείᾳ κατέχει κτἑ.* 14 *ἡμμένα* D 15 *ἠγωνίασα μὲν* scripsi: *ἠγωνιασάμεθα* O 18 *τινας* om. D 20 *γίγνομαί*] *γιγνόμεναί* D 22 *αὐτὸς* scripsi: *οὗτοσ* O 23 *προγεγενῆσθαι* sic O; *προσγεγενῆσθαι* Junt. (edd.) 25 *Εὔδοξον*] causa nominis *ἡ ὕστερον δόξα* (v. 27), cf. ad p. 388, 20 26 *τὸ*] *τῷ* D *αὐτῷ* (i. e. *ἐμαυτῷ*) legi: *αὐτῷ* O; *αὐτὰ* ci. Canter. — Subscr. *ἱερῶν λόγων πέμπτοσ* T, *λόγων ἱερῶν ε* AS.

LII.

I 551 D
I 362 J

(28) ΙΕΡΩΝ ΛΟΓΩΝ ΕΚΤΟΣ.

Τὰ μὲν δὴ πολλὰ οὕτω διῆγεν ἡμᾶς ὁ θεὸς σημαίνων τε ἃ χρὴ ποιεῖν καὶ ἔχων ὑπακούοντας, εἴ τις καὶ ἄλλος ἀνθρώπων ὑπήκουσεν θεῷ. δευτέρῳ δὲ ἔτει μετὰ τὴν ἀναχώρησιν τὴν ἀπ᾿ Αἰσήπου, δωδεκάτῳ δὲ ἀφ᾿ οὗ πρῶτον ἔκαμον πολλὰ καὶ θαυμαστὰ ἐφοίτα φαντάσματα ἄγοντα εἰς Ἐπίδαυρον τὴν ἱερὰν τοῦ θεοῦ. καὶ τό γε ἐν πρώτοις γενόμενον τοιοῦτον ἦν. προτρέπων 2 *μέ τις θαρρῆσαι Μουσωνίου διῄει λόγον· ‘ἐκεῖνος, ἔφη, βουλόμενός τινα ἀναστῆσαι κάμνοντα καὶ ἀπειρηκότα οὑτωσί πως εἶπεν καθαπτόμενος· τί μένεις; ποῖ βλέπεις; ἢ μέχρι ἂν αὐτὸς ὁ θεὸς παραστάς σοι φωνὴν ἀφιῇ; ἔκκοψον τὸ τεθνηκὸς τῆς ψυχῆς, καὶ γνώσῃ τὸν θεόν.’ τοιαῦτ᾿ ἔφη τὸν Μουσώνιον εἰπεῖν. καὶ πρός* 3 *γε τούτοις ἦσαν φωναί· ‘σῶσον αὑτὸν τῇ Ἀθηναίων πόλει’, τὸ δ᾿ ἦν οἷον τοῖς Ἕλλησι· καὶ περὶ τῶν ἐν Ἰταλίᾳ μεγάλαι προρρήσεις . . . .*

Libri ASFU Ambr(os. A 175 sup.) = O

Tit. *ἱερῶν λόγων ἕκτοσ* FUAmbr.: *λόγων ἱερῶν* ϛ̄ AS; cf. ad tit. or. XLVII 3 *μετὰ τὴν ἀναχώρησιν κτἑ.*] cf. or. L § 12 7 *ἔφη βουλόμενόσ* A: *βουλόμενοσ ἔφη* SFUAmbr. 8 *εἶπεν* scripsi: *εἰπεῖν* O, cf. v. 11 9 *μέχρισ* U 11 *Μουσώνιον*] Muson. frg. ed Peerlkamp in addendis ad p. 275 12 *αὑτὸν* SUAmbr. a. corr.: *αὐτὸν* AFAmbr. p. corr.

LIII.

(55) ΠΑΝΗΓΥΡΙΚΟΣ ΕΠΙ ΤΩΙ ΥΔΑΤΙ ⟨ΤΩΙ⟩ ΕΝ ΠΕΡΓΑΜΩΙ. II 707 D

Ὁμήρῳ μὲν εἰς τὴν σύνοδον τῶν χειμάρρων εἴρηται·
τῶν δέ τε τηλόθι δοῦπον ἐν οὔρεσιν ἔκλυε ποιμήν (Δ 455),
καὶ φρίξαντα δή φησιν αὐτὸν εἰς τὸ σπήλαιον εἰσελαύνειν τὰς οἶς·
ἐγὼ δὲ καίτοι τοσοῦτον ὑμῶν ἀπέχων τὸ νῦν, ἀκούσας τοῦ ὕδατος
τὴν εἰσβολὴν καὶ ὅσον τι κόσμου προσγέγονεν τῇ πόλει, οὐχ οἷός 708 D
τε ἦν ἡσυχάζειν ὑφ' ἡδονῆς, ἀλλ' ἐφθεγγόμην τε ἃ ἐφθεγγόμην
καὶ τοῦ σώματος ᾐσθανόμην ἐλαφροτέρου καὶ χαρᾶς ἀπῆν
2 οὐδέν. δυοῖν δ' ἡμέραιν πρότερον πρὶν ἀκοῦσαι — οὐ γὰρ
χεῖρον ἴσως πρὸς ὑμᾶς εἰπεῖν· ἀκούσεσθε γὰρ ἡδέως τοῦ
θεοῦ χάριν τοῦ προδείξαντος καὶ ἅμα τῆς εὐφημίας — ὄψις
ὀνειράτων γενομένη μοι ὡσπερεὶ διπλασίαν ἐδείκνυε τὴν πόλιν,
χωρίου τε δή τινος προσθήκῃ, πεπορισμένου συνεχῶς πρὸς
αὐτήν, καὶ δημοσίων δὴ κόσμων προσγενομένων παραπλησίων
μάλιστά πως τοῖς περὶ τὸν Φίλιον. διὰ ταῦτ' οὖν ὄναρ τε
ἐγανύμην καί, ἐπειδὴ ἀνέστην, ἐλάμβανον εἰς ἀγαθὸν τῇ τε πόλει
3 καὶ ἐμαυτῷ. τριταίᾳ δὲ ἐπὶ τούτοις ἀγγελία παρὰ ἀνδρὸς τῶν
ἐπιτηδείων ἀφικνεῖται φράζουσα καὶ δὴ πᾶσαν ὑμῖν τὴν Ἀσίαν
συνεορτάζειν τῆς περὶ πάντα ἀγαθῆς τύχης· εἶναι γὰρ τὸ ὕδωρ
πλήθει τε πλεῖστον καὶ κάλλει κάλλιστον ὅσων ἔλαχον πόλεις.

Liber A; inde a p. 469, 9 libri A² *Α a* = *O*; cf. praef. p. IX

Tit. ⟨τῷ⟩ addidi; cf. tit. or. XXXIX 2 τηλόθι] Schol. Hom. BT ad h. l. 'τηλόσε', ἄμεινον δὲ 'τηλόθι' γράφειν (γρ. τηλόθι Harl.); quae subiunxit v. 3 e Δ 279 ῥίγησέν τε ἰδὼν ὑπό τε σπέος ἤλασε μῆλα, aut memoria lapsus aut usus exemplo Homerico interpolato 4 ἀκούσας — ἡσυχάζειν] cf. p. 14, 5 7 ἐλαφροτέρου] cf. p. [211, 2]; 377, 19 (420, 11; 431, 11) 12 χωρίου sic A (item *a*, χωρίον *A*) 13 καὶ — δὴ] cf. p. 222, 29; 298, 3 14 Φίλιον] Inschr. v. Pergam. n. 269, 9 *templi Iovis amicalis et* [*Imp. Caes. divi Nervae f. Ner*]*vae Traiani Augusti* q. s. et Fränkel p. 206

ἦγον οὖν οὐχ ὅσον ἠρινὴν ἡμέραν, ἀλλ' οἵαν εἰκὸς ἄγειν Διός τε
Εὐαγγελίου καὶ Ἀσκληπιοῦ Σωτῆρος πανταχῇ τιμῶντος. καὶ συν-
έχαιρον δὴ τῇ πόλει μὲν τῶν προσγεγονότων, ἐμαυτῷ δὲ ὡς ἠξιώ-
θην προακοῦσαι, δῆλον ὅτι ὡς οὐδενὸς ἧττον ἐμοὶ τῆς πόλεως
προσῆκον. Μετὰ δὲ τοῦτο ἐλογιζόμην ὡς τὸ μὲν χαίρειν κοινὸν 4
ἁπάντων καὶ ἀνδρῶν καὶ παιδαρίων καὶ γυναικῶν, ἅτε τῆς ὄψεως
προξενούσης τὴν ἡδονήν, λόγῳ δὲ ἐπικοσμῆσαι τὴν τῶν Νυμφῶν
δόσιν τάχα ἂν τινος εἴη τῶν περὶ τὸν Παιῶνα διατριψάντων καὶ
τῶν ἐπιταχθέντων ζῆν ἐν λόγοις. ἀνεμιμνησκόμην δὲ τῶν ποιη-
τῶν, ὅτι Νύμφας καὶ Μούσας αἰεί πως συνάγουσι, καὶ τὸν Ἑρμῆν
ὡς χορηγὸν αὖ προσαγορεύουσι τῶν Νυμφῶν, καὶ πάλιν γε Ἀπόλ-
λωνα χορηγὸν Μουσῶν· ὁ δ' αὐτὸς οὗτος ὑμῖν θεὸς Καλλιτέκνου
709 D προσηγορίαν ἔχει τοῦ πατρὸς εἵνεκα· ἁπανταχῇ δὴ πρέπον τε καὶ
οὐκ ἄωρον ἐφαίνετο τῇ τῶν Νυμφῶν χάριτι συγκεράσαι τὴν παρὰ
τῆς μουσικῆς. πᾶσι γὰρ ἂν προσήκοντα πράττειν οἷς εἶπον θεοῖς.
Ἐξ ἀρχῆς δ', ὡς ἔοικε, τὰ κάλλιστα ἐδόθη τῇ πόλει καὶ παρὰ 5
θεῶν καὶ παρὰ ἀνθρώπων. τοῦτο μὲν πρεσβύτατοι δαιμόνων
ἐνταυθοῖ λέγονται γενέσθαι Κάβειροι καὶ τελεταὶ τούτοις καὶ
μυστήρια, ἃ τοσαύτην ἰσχὺν ἔχειν πεπίστευται ὥστε χειμώνων τε
ἐξαισίων . . . . . .

2 *Εὐαγγελίου*] *ἐπίκλησις* aliunde non nota; moneo autem inter fastos Asianos Ionum hemerologii Florentini quod dicitur (Ideler, Handb. d. Chronol. I 414) mensem ferri *Εὐαγγέλιον*, quem dies complecti m. April. XXIV — Mai. XXIII (cf. *ἠρινήν* v. 1) 2. 3 *συνέχαιρον — προσγεγονότων*] cf. ad p. 434, 28 7 *προξενούσης τὴν ἡδονὴν*] cf. p. 243, 6 sq. (3, 14 sq.) *λόγῳ δὲ ἐπικοσμῆσαι*] cf. p. 320, 13 8 *Παιῶνα* scripsi: *παιᾶνα* A 9 *ἐπι*| desinit A[1] *ζῆν* *O* (ζ in A[2] membrana perforata periit) 10 *αἰεί* *Aa*, *α̉ . . ι* A[2] membrana perforata 11 *ὡς*] pendet ex *ἀνεμιμνησκόμην* ut *ὅτι* v. 10; sententia: oratoris est Nymphas laudare, quia Mercurius et Apollo, qui oratorum di sunt praesides, praesides sunt ille ipsarum Nympharum, hic Musarum, quas cum Nymphis coniunctas esse poetae testantur *χορηγὸν — τῶν Νυμφῶν*] in epigrammate quod fuit olim prope puteum Pergami (Inschr. v. Perg. n. 183, 3): *με διάκτορον εἵσατο Νύμφαις* [*Ἑρμῆ*]*ν*; cf. Preller-Robert, Gr. Myth. I 399, 4; 720, 5 *αὖ* et *γε* *O* 11. 12 *ἀπόλλωνα* A[2]: *ἀπόλλων* *Aa* 12 *ὑμῖν* A[2]: om. *Aa*; Apollinis *Καλλιτέκνου* templum Pergami, cf. p. 398, 23 13 *ἔχει* sic *O* *δὴ πρέπον* A[2]: *δὴ πρέπων* *Aa* 14 *ἐφαίνετο*] *ἐφαι* non legi A[2] *συγκεράσαι*] legi A[2] 15 *ἂν προσήκοντα*] praeter *π* et *κ* legi A[2] 16 *ἔοικε* sic A[2] 17 *μὲν* Grauert: *μοι* *O* 18 *ἐνταυθοῖ* sic *O*, cf. ad p. 429, 20; de re cf. Kaibel Epigr. Gr. n. 1035, 7 *ἐθήσαντο Κάβειροι πρῶτοι Περγαμίης ὑπὲρ ἄκριος . . τικτόμενον Δία λέγοντι* A[2] *Κάβειροι*] legi A[2] 19 *τοσαύτην*] praeter *τοσ* non legi A[2] 20 *ἐξαισίων*] falsa ergo de voce Schmid p. 105

CORRIGENDA ET ADDENDA.

Inter verba:

p. 32 in titulo *l(ege)*: *ΠΟΛΕΣΙΝ*
„ 37, 27 dele ⟨καί⟩; cf. ad p. 373, 14
„ 50, 19 *l*: ἀποκλεῖσαι; aliam alio tempore formam Aristides videtur usurpasse
„ 63, 20 *l*: χαλεπώτατον; cf. p. 471.
„ 128, 12 pro ἐκλέξομαι *l*: ἐκλέξω
„ 231, 25 pro εἴη *l*: εἴην
„ 300, 5 *l*: διαφθαρέν, ἢ
„ 428, 5 *l*: καί, σὺν

In adnotationibus:

p. 5 v. 7. 8 pro P. Stephanus *l*: Canter
„ 15 v. paenult. pro 'αὐτη . . . om. U[1]' *l*: αὐτῇ] om. U[1]; αὕτη S
„ 18 v. 12. 13 *dele* 'verbum . . . . l. c. 82'; cf. p. 243, 20 κηλεῖν
„ 22 v. 18 pro 23 *l*: 22
„ 24 v. 3. 4 *l*: οὗ ARQT
v. paenult. initio *l*: QDUT:
„ 26 v. 9 pro 9 *l*: 19
„ 33 v. 5 ex. *l*: AT:
„ 57 v. 1 pro 2 *l*: 3
„ 58 v. 8 pro 31 *l*: 13
„ 59 v. 6 post ἢ A[1] *adde*: (corr. A[r])
„ 63 v. 2 *l*: τῷ A[1]U[1]T[1]
„ 85 v. 8 *dele* ἐξῆν
„ 87 v. 11. 12 *l*: extrusit
„ 99 v. 8 pro τε ST *l*: τε BT
„ 100 v. 9 *l*: mon*ente Reis*kio

p. 109 v. 2 *dele*: 14 δὲ DS
„ 110 v. 1 *l*: B*ü*ch*n*er
„ 121 v. ult. *l*: Agath*o*
„ 127 v. 4 pro S *l*: R[1]
v. 12 pro S[2] mg. *l*: R[2] mg.
„ 130 v. 8 *dele* verba uncinis inclusa
„ 134 v. 11 ex. *l*: 'M. *L*. Caesares'
„ 137 v. paenult. *l*: εἰδότες
„ 158 v. 9 init. *l*: AS[1], ἡ
„ 169 v. 8 *l*: ar*t*iore; item p. 204 v. 5 et p. 218, v. 1
„ 170 v. 2 *l*: Q[1]), καθῆστο
„ 179 v. 1 pro I 395 W. *l*: IX 395 W.
„ 187 v. 6 post vocem 'paraphthegmate' *dele* comma
„ 212 v. ult. init. *l*: UT: τό SD
„ 222 v. paenult. pro or. XXXVI § 108 *l*: p. 298, 3
„ 248 v. 9 pro 23 *l*: 22
„ 306 v. 10 *l*: τῶν addidi
„ 318 v. 6 pro STU *l*: SDU
„ 335 v. paenult. *dele* primum α
pro § 22 *l*: § 21
„ 360 v. 10 *l*: deus *apud* homines
„ 403 v. 3 *l*: περὶ O
„ 405 v. 2 *l*: (cf. p. 464, 8)
„ 408 v. 7 *l*: 463, 29
„ 429 v. 10 *l*: p. 469, 18

In praefatione:

„ V v. 1 *l*: fac*tum*

quae signa prosodiam verborum subministrantia dum imprimuntur interciderunt non notavi; in ipsis, quas rettuli, librorum lectionibus haec deprehendi huius generis menda, quae corrigas: p. 11 v. 7 ἅλλεσθαι 30 v. ult. εὐφημία

49 v. 8 *αὐτοῖσ* 93 v. 5 in fine *οὐδ'* 154 v. 2 *ἀλκαῖον* 172 v. 4 *ἀμείνον' ἔπη* 196 v. 1. 2 *προσήκει* 239 v. 5 *αὐτοὺσ* 273 v. 1 *αὐτὴν* 288 v. 1 *αὐτοὺσ* 412 v. 6 *αὐτῷ*

---

p. 5 adde: 14 *δι' ὀλίγου ⟨πέφυκεν⟩. ῥεῖ* Buresch (Klaros p. 75), qui v. 12. 13 *Μέλης ὁ ἐπώνυμος διωρυχὴν .... ποιεῖ*

„ 9 adde TESTIMONIVM ad v. 6: *Θησεὺς οἰκιστὴς — τόπων* respicit schol. ad Aristid. p. 305 Ddf. (97 Fro.)

„ 53 adde: 12 *τῷ θεσμῷ*] cf. ad p. 301, 4

„ 60 adde: 14 *ἐκεῖνον — τὸν λόγον*] Herodoti nempe, qui VIII 3 *στάσις γὰρ ἔμφυλος πολέμου ὁμοφρονέοντος τοσούτῳ κάκιον ὅσῳ πόλεμος εἰρήνης*, quem eundem locum Herod. Att. *π. πολ.* p. 659, 30 sqq. Bk. (p. 6 Hass) invertere non sine causa moneo

„ 63, 20 (cf. p. 470) lege: *χαλεπώτατον*] coll. Demosth. III 3 tuetur Blass ad Demosth. XV 34, ubi, quod Rsk. apud Aristidem coniecit, *χαλεπόν*

„ 76 adde: 6 *οἴκοθεν*] cf. pro rhet. II p. 97, 15 Ddf.; Paroemiogr. Gr. I p. 291 n. 29

„ 80, 27 adde: potius funes vel rudentes e capillo aut pilo torti inter merces Rhodiorum peculiares videntur fuisse; cf. Polyb. IV 56, 3 *ἡτοίμασαν* (Rhodii Sinopensibus) *οἴνου κεράμια μύρια, τριχὸς εἰργασμένης τάλαντα τριακόσια, νεύρων εἰργασμένων ἑκατὸν τάλαντα κτέ.*

„ 88, 4 adde tertium exemplum v. *ἐνθυμεῖσθαι* cum genet. coniunctae: p. 390, 22

„ 100 adde: 10. 11 *ποιητὰς — θεῖναι*] imitatur ad verbum Herodot. II 23 ex. *Ὅμηρον δὲ ἤ τινα τῶν πρότερον γενομένων ποιητέων δοκέω τὸ οὔνομα εὑρόντα ἐς ποίησιν ἐσενείκασθαι*

„ 108 adde: 9 *τῆσ* sic O; *τὰς* ex errore typothetae Dindorfiani (cf. Mommsen, Herm. XVI 475, 1)

„ 111 adde: 10. 11 *Γετῶν — Λιβύων — τῶν περὶ τὴν ἐρυθρὰν θάλατταν*] cf. v. Rohden ap. Pauly-Wissowa R.-E. II 2507; Mauretanorum seditio circa a. 145 compressa; quod v. Rohden seditionem Getarum (Dacorum) circa a. 157 factam esse coniecit, in eo fallitur; quippe oratio haec sex annis ante habita

„ 112 adde: 5 *μέχρι μὲν γὰρ κτέ.*] cf. ad p. 348, 11

„ 125 ad titulum: verba extrema *περὶ τοῦ ναοῦ* valde suspecta et deleverim

„ 145, 14 adde: *ἐπίτηδες* et abundat prope *ἑκὼν* et alienum est a dicendi usu Aristidis, qui semper *ἐξεπίτηδες*

„ 159, 28 fort. *ἀναίτια τοῖς ῥήμασιν* integrum; cf. p. 198, 1 *ἀθῷοι τῷ λόγῳ*

„ 166, 9 adde: de Q nunc dubito (certe nihil ad *ἀναισθητῶν* Dindorfianae notavi)

„ 173, 9 deletis 'at ... § 2' adde: cui favet Plat. Alc. 110 E; loci or. XXXIV § 1 (sic) paullo diversa est ratio

„ 187 adde TESTIMONIVM: 27 *φρονίμου* — 188, 5 *ἐφέλκονται* Aristid. art. rhet. IX 396 W. (II 502 Sp.; cf. Baumgart, Ael. Arist. p. 229). unde

„ 188 adde 1 *τὴν ἀξίαν ἑκάστου τῶν πραγμάτων, δικαίου* Ars ad 2 *ἑαυτῷ* Ars 5 *ἐφελκόμενοι* Ars

p. 188, 8 adde *τοῖς νόμοις*] in quibus similia plurima, eadem non leguntur
„ 235 adde: 18 *μὴ τὴν ὕειον κτἑ.*] falsa Kock CAF. III 474 frg. 348
„ 238 adde: 8 *Πλάτων*] Aristidem [Plat.] de iusto 374 A respicere censuit Bergk PLG.[4] III p. 738, vel ipsius oratoris verbis v. 12 *ὁ δ' ἄνω καὶ κάτω .. διορίζεται* (e. g. Menon. 78 A) refutatus
„ 291 adde: 20 *ἀπόλογον Ἀλκίνου*] cf. ad p. 408, 6
„ 308, 15 adde: non recte Lobeck, Patholog. I 424, 1 *εἰ μὴ ἐπὶ φρεσὶ θῆκε θεὰ γλαυκῶπις* apud oratorem scribi iussit; obstat *δῶκε* omnibus libris traditum
„ 384, 22 adde: cf. etiam Georges, Wörterb. d. lat. Wortformen s. v.

Lipsiae, typis I. B. Hirschfeldi.